OPERUM HIPPOCRATIS COI, ET GALENI PERGAMENI ARCHIATRΩN

TOMUS XII.

CONTINENS QUÆ AD CHIRURGIAM SPECTANT.

Cum figuris æneis ſuo loco inſertis.

RENATUS CHARTERIUS, *Vindocinenſis, Doctor Medicus Pariſ. Regis Chriſtianiſsimi Conſiliarius Medicus, ac Profeſſor, plurima interpretatus, univerſa emendavit, inſtauravit, notavit, auxit, ſecundùm diſtinctas Medicinæ partes in tredecim Tomos digeſsit, & conjunctim Græcè & Latinè primus edidit.*

LUTETIÆ PARISIORUM,
Apud ANDREAM PRALARD Bibliopolam, viâ Jacobæâ, ad inſigne Occaſionis.

M. DC. LXXIX.

Cum Privilegio Regis Chriſtianiſſimi.

Digitized by Google

Digitized by Google

TOMO XII.

Τὰ χειρουργικά, ad Chirurgiam ſpectantia.

Hippocratis de Medici Officina liber, & Galeni in eum commentarii tres. 1
Hippocratis de capitis vulneribus liber. 115
Hippocratis de ulceribus liber. 130
Hippocratis de fiſtulis. 141
Hippocratis de hæmorrhoidibus liber. 147
Hippocratis de fracturis liber, & Galeni in eum commentarii tres. 151
Palladii ſcholia in librum Hippocratis de fracturis. 270
Hippocratis de articulis liber, & Galeni in hunc librum commentarii quatuor. 287
Galeni de faſciis liber. 469
Ex Galeni commentariis de faſciis libellus. 500
Sorani de faſciis liber. 505
Heliodori de faſciis liber. 518
Hippocratis vectiarium. 536
Hippocratis de fœtus in utero mortui exſectione, liber. 550
Hippocratis de corporum reſectione, liber. 552
Oribaſii de laqueis ex Heracle libellus. 553
Oribaſii de machinamentis ex Heliodoro. 557

ΙΠΠΟΚΡΑΤΟΥΣ τὸ κατ᾽ ἰητρεῖον βιβλίον, καὶ Γαληνοῦ εἰς τοῦτο ὑπομνήματα γ΄. α΄
Ἱπποκράτους περὶ τῶν ἐν κεφαλῇ τρωμάτων βιβλίον. ριε΄
Ἱπποκράτους περὶ ἑλκῶν βιβλίον. ρλ΄
Ἱπποκράτους περὶ συρίγγων βιβλίον. ρμα΄
Ἱπποκράτους περὶ αἱμορροΐδων βιβλίον. ρμζ΄
Ἱπποκράτους περὶ ἀγμῶν βιβλίον, καὶ εἰς αὐτὸ Γαληνοῦ ὑπομνήματα γ΄. ρνα΄
Παλλαδίου σχόλια εἰς τὸ περὶ ἀγμῶν Ἱπποκράτους. σο΄
Ἱπποκράτους περὶ ἄρθρων βιβλίον, καὶ εἰς αὐτὸ Γαληνοῦ ὑπομνήματα δ΄. σπζ΄
Γαληνοῦ περὶ ἐπιδέσμων βιβλίον. υξθ΄
Ἐκ τῶν Γαληνοῦ περὶ ἐπιδέσμων βιβλίον. φ΄
Σωρανοῦ περὶ τῶν ἐπιδέσμων βιβλίον. φε΄
Ἡλιοδώρου περὶ τῶν ἐπιδέσμων βιβλίον. φιη΄
Ἱπποκράτους μοχλικόν. φλϛ΄
Ἱπποκράτους περὶ ἐγκατατομῆς ἐμβρύου βιβλίον. φν΄
Ἱπποκράτους περὶ ἀνατομῆς βιβλίον. φνβ΄

Digitized by Google

ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΟ ΚΑΤ᾽ ΙΗΤΡΕΙΟΝ ΒΙΒΛΙΟΝ,
ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟ
ΥΠΟΜΝΗΜΑΤΑ ΤΡΙΑ.

HIPPOCRATIS
DE MEDICI OFFICINA LIBER:
ET GALENI IN EVM
COMMENTARII TRES.

ΥΠΟΜΝΗΜΑ ΠΡΩΤΟΝ.

ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΕ ΚΑΙ ΥΠΟΜΝΗΜΑΤΟΣ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Περὶ ἰατρείου, καὶ τῶν χειρουργικῶν ὀργάνων, καὶ ἔργων, καὶ ἐπιδέσεων, καὶ σχημάτων, καὶ στηριγμάτων, καὶ ναρθήκων, φησὶν ὁ Ἱπποκράτης, καὶ ἐξηγεῖται Γαληνός.

COMMENTARIVS PRIMVS.

LIBRI ET COMMENTARII ARGVMENTVM.

De Medici officina, inſtrumentis Chirurgicis, operationibus, deligationibus, figuris, fulcimentis, & ferulis agit Hippocrates, ac ediſſerit Galenus.

GALENI PRÆFATIO. A

Primò de Libri inſcriptione diſſerit; deinde quid doceat Liber explicat; tertiò Chirurgicas operationes Medico perutiles eſſe denunciat.

MEDICUM hoc Opus *De Medici officina* inſcripſit. Satius autem erat *de rebus ad Medicam Officinam ſpectantibus* inſcripſiſſe, quemadmodùm nonnulli Dioclis, Philotimi, & Mantiæ operibus titulum impoſuerunt. Etenim

ΓΑΛΗΝΟΥ ΠΡΟΟΙΜΙΟΝ.

Πρῶτον μὲν περὶ τῆς τοῦ βιβλίου ἐπιγραφῆς διαλογίζεται· ἔπειτα δὲ τί διδάσκει τὸ βιβλίον, ἐξηγεῖται· τρίτον δὲ τὰ χειρουργικὰ τῷ ἰατρῷ πάνυ χρήσιμα εἶναι καταγγέλλει.

ΙΑΤΡΙΚΟΝ ἐπέγραψεν αὐτὸ, κατ᾽ ἰητρεῖον· ἄμεινον δὲ ἦν, περὶ τῶν κατ᾽ ἰητρεῖον, ἐπιγεγράφθαι, καθάπερ ἔνιοι τὸ Διοκλέους ἐπιγεγράφασι, καὶ Φιλοτίμου, καὶ Μαντίου. Γεγραφότων γὰρ

Digitized by Google

τοῦτο πρῶτον ἀξιοῦντος ἀσκεῖσθαι τἄνδρος· καὶ μέντοι καὶ δυνάσθαι ἡ ἄσκησις αὐτοῦ γίγνεσθαι, μάλιστα μὲν ἐπὶ ξύλων ἐγγεγλυμμένων ἐς ἀνθρώπων ἰδέαν, εἰ δὲ μὴ, κατά γε τὰ τῶν παιδίων σώματα. Ταῦτα μὲν οὖν αὐτὸ τὸ βιβλίον ἠνάγκασεν ἡμᾶς περὶ τῶν κατὰ μέρος ἐξηγήσεων εἰπεῖν. ἃ δὲ οὐκέτι τὸ βιβλίον, ἀλλ' οἱ μεταγράφοντες δὲ ἑτοίμως εἰς ὅπερ ἂν αὐτοὶ βουληθῶσι, διεδέξαντο τῶν πρεσβυτέρων γραφὰς, ἤδη σοι δίειμι. τινὲς μὲν γὰρ καὶ πάνυ παλαιὰ βιβλίων ἀνευρεῖν ἐσπούδασαν πρὸ τριακοσίων ἐτῶν γεγραμμένα, τὰ μὲν ἔχοντες ἐν τοῖς βιβλίοις, τὰ δὲ ἐν τοῖς χάρταις, τὰ δὲ ἐν διαφόροις φιλύραις, ὥσπερ τὰ παρ' ἡμῖν ἐν Περγάμῳ. Ταῦτ' οὖν πάντα, παρὰ τοῖς πρώτοις ἐξηγησαμένοις κατανοῆσαι προὐθέμην, ὅπως ἐκ τῶν πλείστων τε, καὶ ἀξιοπιστοτάτων εὕρωμεν τὰς γνησίας γραφάς· καί μοι τὸ πρᾶγμα κρεῖττον τῆς ἐμῆς ἐλπίδος εὑρέθη. Συμφωνοῦντα γὰρ ἅπαντα, ὀλίγου δεῖν, εὗρον ἀλλήλοις, τά τε συγγράμματα, καὶ τὰ τῶν ἐξηγητῶν ὑπομνήματα· ὥστε θαυμάζειν συνέπεσέ μοι τὴν τόλμαν τῶν χθὲς καὶ πρῴην τὰ ὑπομνήματα γραψάντων, ἢ πάντων τῶν Ἱπποκράτους βιβλίων ἰδίαν ἔκδοσιν πεποιημένων, ἐξ ὧν εἰσι καὶ οἱ περὶ Διοσκουρίδην, καὶ Ἀρτεμίδωρον τὸν ἐπικληθέντα Καπίτωνα, πολλὰ περὶ τὰς ἀρχαίας γραφὰς καινοτομήσαντες. Καί μοι μακρὸς ὁ λόγος ἔδοξεν εἶναι τῶν ὑπομνημάτων, εἰ πασῶν τῶν γραφῶν μνημονεύοιμεν. βέλτιον οὖν εἶναι ὑπέλαβον τὰς παλαιὰς μόνον γράψαι, προσθεὶς ὀλίγας τινὰς αὐτῆς, ὅσαι βραχὺ μετακεκίνηνται, καὶ τούτων καὶ αὐτῶν ἐκείνας μᾶλλον, ὅσαι περὶ τοῖς ἔμπροσθεν ἐξηγησαμένοις τὸ βιβλίον ὡμολόγηνται· τέτταρες δέ εἰσιν αὐτῶν· δύο μὲν εἰς ἅπαντα βιβλία Ἱπποκράτους γράψαντες ὑπομνήματα, Ζεῦξίς τε, καὶ Ἡρακλείδης, οὐκ εἰς πάντα δὲ Βάκχειος, καὶ Ἀσκληπιάδης δυσλόγιστα. Καὶ τούτων μὲν ἅλις· ἀναλαβόντες δὲ χάριν σαφεστέρας ἀρχῆς, διὰ βραχέων ἐροῦμεν, ὡς εἰ καὶ μηδὲν προειρήκαμεν. Τὸ κατ' ἰητρεῖον ἐπιγραφόμενον Ἱπποκράτους βιβλίον, ἐν ἀρχῇ μὲν ἔχει κοινὸν ἁπάσης τέχνης προοίμιον, ὡς ὀλίγον ὕστερον δείξω, καὶ διὰ τοῦτό τινες εἰκότως ἠξίωσαν αὐτὸ πρῶτον ἁπάντων ἀναγινώσκεσθαι, παραπλησίαν ἐπαγγελλόμενοι διδασκαλίαν, ἣν ἐς ὕστερον ἐποιήσαντό τινες, ἐν ταῖς ὑπ' αὐτῶν ἐπιγραφομέναις Εἰσαγωγαῖς· ἐφεξῆς δὲ, τῷ κοινῷ προοιμίῳ περὶ τῶν κατὰ τὸ ἰατρεῖον ἐνεργεῖσθαι δυναμένων, διδάσκει τὰ χρησιμώτατα τοῖς ἀρχομένοις μανθάνειν τὴν ἰατρικὴν τέχνην. ὅτι δ' οὕτω ταῦτ' ἔχει, φανεῖταί σοι προσέχοντι τὸν νοῦν ἀκριβῶς τῇ ἐξηγήσει τῶν ῥήσεων αὐτῶν.

B quoque exerceri primùm imperat; atque etiam hujus muneris exercitatio in lignis ad hominum ſpeciem inſculptis, aut certè in puerorum corporibus fieri poteſt. At ſanè ipſe liber, ante particulares interpretationes, hæc nos præfari coegit. Quæ verò me nequaquàm Liber *impellit*; ſed qui tranſcribentes, perquam facilè ad quamcunque ſententiam ipſi voluerint, Majorum opera prodiderunt, ea jam tibi percenſeo. Quidam enim etiam vetuſtiſſima volumina ante trecentos annos ſcripta invenire ſtuduerunt, quæ partim quidem in libris, partim verò in chartis, partim demum in tiliaceis membranis, quemadmodùm
C apud nos Pergami conſervabant. Quare hæc omnia à primis Interpretibus tradita perpendere conſtituimus, quò tum è plurimis, tum fide digniſſimis legitima monumenta reperta conſequeremur. Reſque mihi mea expectatione ceſſit opportunior. Omnia namque opera, paucis exceptis, etiam Interpretum Commentaria ſibi mutuò conſentire nactus ſum. Quare mihi contigit eorum audaciam admirari, qui nuper, ac non pridem Commentaria ſcripſerunt, aut omnium Hippocratis Librorum ſuam editionem fecerunt; ex quibus numerantur Dioſcorides, & Artemidorus Capito cognominatus, qui mul-
D ta in vetuſtis operibus innovarunt. Atque mihi de Commentariis prolixa eſſe comparuit oratio, ſi omnium Operum mentionem fecerimus. Quare ſatius eſſe duxi vetuſta ſolùm deſcribere, paucis quibuſdam eorum quæ paululùm mutata fuerunt, additis. *Additis* quoque ipſorum Authorum *ſcriptis*, quæ cum præcedentibus hujus Libri explanatoribus convenêre. Hi verò quatuor exiſtunt, quorum duo Zeuxis, & Heraclides, in omnes Hippocratis Libros Commentaria ſcripſerunt; at non in omnes, ſed obſcuros Bacchius, & Aſclepiades. Ac de his quidem ſa-
E tis. Quò tamen clariùs exordium pateat, *à principio* repetentes, paucis agemus, quaſi nihil præfati. Liber Hippocratis qui *de Medici officina* inſcribitur, in principio quidem communem totius Operis Præfationem ſortitur, ut paulò poſt ſum demonſtraturus; ob idque nonnulli ipſum omnium primum jure legendum eſſe cenſuerunt, ſimilem profitentes doctrinam, quam quidam poſteriores in ſuis, quas inſcribunt, Introductionibus tradiderunt. Poſtea verò communi Prooemio, quæ in Medici officina edi queunt
F operationes, eas Medicam artem ediſcere incipientibus utiliſſimas edocet. Quòd autem hæc ita ſeſe habeant, tibi, ſi mentem ipſorum verborum explicationibus accuratè adhibueris, innoteſcet.

A

Ad ſanitatem, ut ad artis finem, omnia revocari. Diagnoſticen Medico neceſſariam eſſe. Varia morbi ſynonyma. Laborantium corpora, & partes ſanorum corporibus, & partibus ſimilibus ſimilia conferenda eſſe. Ægrotantium naturam particularem, uſum, ac mores dignoſcat Medicus. De humeri prolapſi Hiſtoria, & dignotione, & curatione Galenica. Empiricorum, & Methodicorum diſcrepantes curationes, & de Empiricorum concurſu. Dignotionem prænotioni, & curationi præire.

Πρὸς τὴν ὑγίειαν, ὡς πρὸς τὸ τῆς τέχνης τέλος, ἅπαντα ἀνακαλεῖσθαι· τὴν Σημειωτικὴν τῷ ἰατρῷ ἀναγκαίαν εἶναι. Τὰ διαφόρα νοσήματος συνώνυμα· Τὰ τῶν καμνόντων σώματα, καὶ τὰ μέρη, τοῖς ὑγιαινόντων σώμασί τε καὶ μέρεσιν ὅμοια τοῖς ὁμοίοις παραβαλλόμενα· ὁ τὴν νοσούντων φύσιν ἰδίαν, καὶ τὴν χρείαν, καὶ τὰ ἔθη διαγινωσκέτω ἰατρός· Περὶ τῆς ὤμου καταπεσόντος ἱστορίας, καὶ διαγνώσεως, καὶ θεραπείας Γαληνικῆς· Διάφοροι τῶν Εμπειρικῶν, καὶ Μεθοδικῶν θεραπεῖαι· καὶ περὶ τῆς τῶν Εμπειρικῶν συνδρομῆς· τὴν σημειωτικὴν τῇ προγνωστικῇ, καὶ θεραπευτικῇ προηγεῖσθαι.

B

HIPPOCRATIS TEXTUS I.

An ſimilia, an diſſimilia, principio à maximis, à facillimis, à quibuſcumque quoquoverſum cognitis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α΄.

Ὅμοια, ἢ ἀνόμοια, ἐξ ἀρχῆς ἀπὸ τῶν μεγίστων, ἀπὸ τῶν ῥηΐστων, ἀπὸ τῶν πάντῃ πάντως γιγνωσκομένων.

C

GALENI COMMENTARIUS.

Sive proſperè valere, ſive ſanitatem, ſive quid aliud hujuſmodi, artis Medicæ finem eſſe quiſquam conceſſerit, is ipſe finis propter ſe à viris hanc artem profitentibus ſtudio conſervatur. Atque conſtat Theoriam quandam eſſe huic perdiſcendam, qui noſtrum qui ſecundum naturam eſt, aut affectum, aut diſpoſitionem, aut ſtructuram, aut aliam quamcunque quis vocare voluerit, conſtitutionem inſtauraturus eſt. At non propter ſe cætera omnia ad artem ſpectantia aut diſcimus, aut docemus, aut denique auſcultamus, ſed quod eorum unumquodque ſit ad finem utile. Ut quamprimùm Diagnoſticam artis partem (quam Semioticam Recentiores vocitant) Therapeuticam rectè Medicinam facturis priorem didiciſſe neceſſe eſt, ut planè morborum differentias in ægrotantibus agnoſcant, quum ſimile quiddam conſequantur. Nihil autem in ſequenti oratione diſſentaneum erit exhortari, oppoſitum ei quæ ſecundum naturam eſt noſtri corporis diſpoſitioni affectum utroque vocabulo nominare, quemadmodum & increbuit conſuetudo Græcis omnibus, qui interdum quidem univerſum id genus *νόσημα morbum*, interdum verò *πάθος affectionem* vocitant. Nunc igitur generaliſſimus Diagnoſticæ ſcopus docetur, quemadmodum Therapeuticæ partis Medicinæ: Ut enim in Therapeutica, *Contraria contrariorum ſunt remedia*, nimirum communis totius curationis exiſtit ſcopus: ſic in Diagnoſtica illa artis parte communiſſimus ſcopus eſt, poſſe dignoſcere, quatenus partes ægrotantis corporis quamoptimè valentium partibus ſunt ſimiles, quemadmodum ipſe Hippocrates in Prognoſtico pronunciavit. *Præſtantiſſimum eſt explorare, primùm quidem utrum ægrotantis facies ſanorum faciei ſit ſimilis, maximè verò, an ſibi ipſi æger ſimilis exiſtat aliqua ex parte.* Idipſum & in libro de Articulis declaravit, ubi parti corporis ſecundum naturam conſtitutæ, affectam partè conferri imperat. Non enim ſimpliciter loquutus eſt illic comparationem eſſe oportere, ſed hominis affecti partes dextras cum ſiniſtris con-

Εἴτε τὸ ὑγιαίνειν, εἴτε τὴν ὑγίειαν, εἴτε ἄλλο τι τοιοῦτον, τῆς ἰατρικῆς τέχνης τέλος εἶναί τις φαίη, τοῦτο μὲν αὐτὸ δι' ἑαυτὸ σπουδάζεται τοῖς μετιοῦσι τὴν τέχνην· καὶ δῆλον ὅτι θεωρία τίς ἐστιν, ἣν μαθεῖν χρὴ, τὸν μέλλοντα ἐπανορθοῦσθαι τὴν κατὰ φύσιν ἡμῶν, εἴτε διάθεσιν, εἴτε διοίκησιν, εἴτε κατασκευὴν, εἴτε ἄλλο καλεῖν ἐθέλοι τις. Οὐ δι' ἑαυτὰ δὲ τὰ

D ἄλλα πάντα τὰ κατὰ τὴν τέχνην ἢ μανθάνομεν, ἢ διδάσκομεν, ἢ ὅλως ἀκούομεν, ἀλλ' ὅτι πρὸς τὸ τέλος χρήσιμον ἕκαστον αὐτῶν γίγνεται· οἷον εὐθέως, τὸ διαγνωστικὸν μέρος τῆς τέχνης, ὃ καλοῦσιν οἱ νεώτεροι σημειωτικὸν, ἀναγκαῖόν ἐστιν ἠσκῆσθαι πρότερον τοῦ θεραπευτικοῦ, τοῖς μέλλουσι καλῶς ἰατρεύειν, ἕνεκα τοῦ τὰς διαφορὰς τῶν νοσημάτων ἐπὶ τῶν καμνόντων ἀκριβῶς γνωρίζειν, ἐπειδὴ ἔχουσι τὸ παραπλήσιον. Οὐ διοίσει δὴ ἐν τῷ μέλλοντι περαίνεσθαι λόγῳ, τὴν ἀντικειμένην τῇ κατὰ φύσιν διοικήσει τοῦ σώματος ἡμῶν διάθεσιν ὀνομάζειν ἀμ-

E φοτέραις ταῖς προσηγορίαις, ὥσπερ γε καὶ δι' ἔθους ἐστὶ πᾶσι τοῖς Ελλησι, καί ποτε μὲν νόσημα καλοῦσιν ὅλον τοῦτο τὸ γένος, ἔστι δ' ὅτε πάθος. Ὁ τοίνυν γενικώτατος αὐτοῦ σκοπὸς νῦν διδάσκεται, καθάπερ τοῦ θεραπευτικοῦ μέρους τῆς τέχνης. ὡς γὰρ ἐπ' ἐκείνου, τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, ὅτι κοινὸς ἁπάσης θεραπείας ὑπάρχει σκοπὸς, οὕτως ἐνταῦθα τοῦ διαγνωστικοῦ μέρους τῆς τέχνης ὁ κοινότατος σκοπός ἐστι, διαγινώσκειν δύνασθαι, καθ' ὅ τι μὲν ὅμοια τὰ περὶ τὸ σῶμα τοῦ κάμνοντός ἐστι τῶν ὑγιαινόντων ὡς μάλιστα, καθάπερ αὐτὸς Ἱπποκράτης ἐν

F προγνωστικῷ δεδήλωκεν· πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων, μάλιστα δὲ εἰ αὐτὸ ἑωυτῷ τις ὅμοιός ἐστι κατά τι, κράτιστον σκοπεῖσθαι. Τὸ αὐτὸ τοῦτο, κἀν τῷ περὶ ἄρθρων ἐδήλωσεν, ἔνθα παραβαλεῖν ἀξιοῖ τῷ κατὰ φύσιν ἔχοντι μέρει τοῦ σώματος τὸ πεπονθός. Οὐ γὰρ ἁπλῶς εἶπεν, οὐδ' ἐκεῖ, τὴν παραβολὴν εἶναι χρὴ, ἀλλὰ τοῦ πάσχοντος ἀνθρώπου τὰ δεξιὰ τοῖς ἀριστεροῖς παραβα-

Digitized by Google

μειώσεις τῶν παθῶν ποιησόμεθα. χρὴ γὰρ γινώσκειν ἡμᾶς, ὡς οὐκ ἄλλα μέν ἐστι μέγιστα, ῥᾷστα δὲ ἄλλα· τοῖς γὰρ B αὐτοῖς σημείοις ὑπάρχει, μεγίστοις μὲν εἶναι τῇ δυνάμει, εἰς διάγνωσιν δὲ ῥᾴστοις, ὡς τοῖς ἐν τῷ προγνωστικῷ κατὰ τὴν ἀρχὴν εὐθὺς γεγραμμένοις, ἐν τῇδε τῇ ῥήσει· ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι ξυμπεπτωκότες. ὅσα τε τούτων ἐφεξῆς εἴρηται. Ταῦτα γὰρ ὅτι τὴν μεγίστην ἔχει δύναμιν εἰς πρόγνωσιν, οὐδεὶς ἀγνοεῖ τῶν κατὰ τὸ μέτρια τοῖς ἔργοις τῆς τέχνης ὡμιληκότων· ὅτι δὲ τὴν διάγνωσιν ἔχει ῥᾴστην, ἴσασι τοῦτο καὶ οἱ τῆς τέχνης ἰδιῶται πάντες· C οὐδὲν γὰρ ἄλλο πρότερον μέρος τοῦ σώματος εὐθὺς εἰσελθών τις ἐπὶ τὸν ἄρρωστον, ὁρᾷ τοῦ προσώπου. Ἑαυτῷ μὲν οὖν ὁ κάμνων παραβαλλόμενος, ὡς ἐκέλευσεν, ἀσφαλεστέραν τε ἅμα τὴν διάγνωσιν ἔχει, καὶ οὕτως ἐπὶ τῶν μεγίστων τε ἅμα καὶ ῥᾴστων ἀρχόμενος, ἤδη τὸ τῆς τέχνης ἐξετάζοιτο. Τάχα δ' ἄν ποτε καὶ σφαλείη τις, ἐπὶ τῶν φύσει μὲν ἐχόντων ὀξεῖαν τὴν ῥῖνα, τοὺς δ' ὀφθαλμοὺς κοίλους, καὶ τοὺς κροτάφους συμπεπτωκότας· ἀλλ' ἐὰν εὕρωμεν ὅμοιον τοῖς τῶν πολλῶν ἀνθρώπων τὸ τοῦ κάμνοντος σῶμα, σαφὴς ἡ διάγνωσις ἔσται τοῦ, μηδεμίαν D νόσον ἐπὶ τούτῳ μοχθηρὰν ἐνυπάρχειν, ἢ διάθεσιν· ἐὰν δὲ κατὰ τὸ γεγραμμένον ὑφ' Ἱπποκράτους, ἐπισκεψόμεθα, τἄλλα τὰ κατὰ τὸ πᾶν σῶμα σημεῖα, κἂν φαίνηται σωτήρια, τοιοῦτον τῇ φύσει τὸ πρόσωπον τοῦ κάμνοντος ἐλπίσαντες, ἀκριβεστέρας διαγνώσεως χάριν ἐρησόμεθα τοὺς ἐπισταμένους αὐτὸν ἔμπροσθεν· ὁμολογησάντων δὲ, βεβαιοτέραν τὴν πρόγνωσιν ἕξομεν, οὐ μὴν ὁμοίως γε ἐπιστημονικήν, ὡς εἰ καὶ γινώσκοντες αὐτοὶ τύχοιμεν τὸν κάμνοντα, καὶ E μᾶλλόν γε τοι συμφοιτήσαντες αὐτῷ· Τὸ γὰρ ἑωρακέναι πολλάκις ὑγιαίνοντα τὸν νῦν παρὰ φύσιν ἔχοντα, διαγνωστικωτέρους ἡμᾶς ἐργάζεται τοῦ ποσοῦ τῆς διαφορᾶς τῶν κατ' αὐτὸ σημείων. Ἔστω γὰρ, ἀκοῦσαί τε ἡμᾶς, καὶ τεκμηραμένους, τὸν κάμνοντα τὴν ῥῖνα μὲν ὀξεῖαν ἔχειν, τοὺς δὲ ὀφθαλμοὺς κοίλους, ὁ συνήθης γε πόσῳ γινώσκει μόνος. ἰδίως δὲ καὶ τούτου χρεία τοῖς ἰατροῖς· οὐ γὰρ μόνον ὅτι παρὰ φύσιν ἔχει τὸ σῶμα, χρήσιμόν ἐστιν ἡμῖν γινώσκειν, ἀλλὰ καὶ τὸ, πόσῳ μὲν ἡ ῥὶς ὀξυτέρα τῆς κατὰ φύσιν ἐστίν, πόσῳ δὲ οἱ ὀφθαλμοὶ κοιλότεροι, καὶ οἱ F κρόταφοι συμπεπτωκότες, ἕκαστόν τε τῶν ἄλλων, ὧν εἶπεν, οὐχ ἁπλῶς δεινόν ἐστι τὸ ἐναντιώτατον τοῦ ὁμοίου, ἀλλὰ δεινότατον. ἐναντιώτατον δηλονότι τὸ πλεῖστον ἐκ τοῦ κατὰ φύσιν κεχωρηκός. ὡς οὖν τοῦτο δεινότατον εἶπεν, οὐχ ἁπλῶς δεινὸν τὸ ἐναντιώτατον, οὕτω καὶ δεινὸν ἧττον καὶ μᾶλλον εἰς ὅσον ἂν ἧττόν τε καὶ μᾶλλον ἐναντίον δείκνυται. Τὰ μὲν οὖν ἀπὸ τοῦ προσώπου φαινόμενα σημεῖα, ἃ ῥᾷστα γνωσθήσεται, καὶ μεγίστην ἔχοντα δύναμίν ἐστιν, ἅτε κατὰ τὴν ἀρχὴν εἶπεν εὐθέως, ἅτε περὶ τοὺς ὀφθαλμοὺς ἑξῆς ἔγραψεν. Ἃ δὲ οὐκ ὀλίγα τῶν κατὰ τὸ προγνωστικὸν εἰρη-

quemur. Quandoquidem noſſe nos oportet alia quidem maxima, alia verò facillima non eſſe; ſed iiſdem ſignis contingere, facultate quidem maximis eſſe, ad dignotionem verò facillimis; ut in prognoſtico ſtatim per initia hiſce verbis conſcriptum eſt; *Nares acutæ, oculi concavi, collapſa tempora*, & quæ deinceps hujuſmodi prodita ſunt. Hæc enim tum maximas ad prænotionem vires ſortiri, qui mediocriter in artis Medicæ operationibus verſati fuerint, eorum nemo ignorat, tum dignotionem facillimam habere, id norunt etiam omnes artis imperiti. Nullam enim aliam corporis partem facie priorem intuetur, quum quis ſtatim ad infirmum acceſſerit. Ægrotus itaque ſi ſibi ipſe conferatur (ut imperavit Hippocrates) certiorem quoque dignotionem exhibet; atque ſic tum à maximis, tum ſimul à facillimis ducto exordio, jam quod artis eſt, perpenderit. At fortaſſis aliquis decipietur in his quibus natura ſunt nares acutæ, oculi concavi, & collapſa tempora. Verùm ſi laborantis corpus pleriſque hominum corporibus ſimile comperiamus, nullum huic pernicioſum morbum aut affectum ineſſe manifeſta prodet dignotio. Si verò, prout ab Hippocrate ſcriptum eſt, inſpexerimus, & cætera univerſi corporis ſigna etiamſi ſalutaria prodeant, talem natura laborantis faciem eſſe augurati, accuratioris dignotionis gratia, qui antea ipſum noverunt, eos tamen percunctabimur, quibus nos aſtipulati certiorem prænotionem conſequemur; non tamen peræquè ſcientia partam, ac ſi ipſi laborantem noviſſemus, imò verò, ac ſi cum eo ſocietatem iniviſſemus. Qui namque nunc præter naturam ſe habet, quòd dum multoties ſanitate fruentem conſpexerimus, eò nos dignotionis modi diſcrepantium in ipſo ſignorum peritiores efficit. Detur enim nos tum audiiſſe, tum conjecturis exploraſſe laborantem nares quidem acutas, oculos verò concavos habere, familiaris duntaxat modum agnoſcit: Sed & hujus rei functio præcipuè Medicis eſt: non enim ſolùm quod præter naturam corpus afficiatur, nobis utile eſt dignoſcere, verumetiã quatenus nares naturali ſua conformatione ſint acutiores; & quatenus oculi magis concavi, & collapſa tempora, cæteræque partes ſingulæ, quarum quæ ſimili maximè contraria eſt, eam non ſimpliciter pravam, ſed praviſſimam pronunciavit. At maximè contrarium eſt quod planè à naturali conſtitutione receſſit. Quare ut quæ pars ſimili maximè contraria eſt, hanc non ſimpliciter gravem, ſed graviſſimam, effatus eſt: ſic gravem minus & magis protulit, quatenus plus minuſve contraria proditur. Quæ igitur in facie ſigna conſpiciuntur, & facillimè dignoſcenda ſunt, & maximas vires ſortiuntur, tum quæ per initia protinus recenſuit, tum quæ in oculis *leguntur*, ea deinceps ſcriptis prodit. At non pauca ex iis quæ in prognoſtico ab ipſo pro-

Digitized by Google

nunciata ſunt, partim non eſſe maxima, partim non facillima, partim denique ſimul utrumque habentia, neque maxima, neque facillima tibi exploranti declarantur; de quibus plura quidem in illius libri explicatione narrata ſunt; nunc autem pro exemplo pauca narrabuntur. Nam ſupinum jacere, brachia quoque & crura peræquè reſolutis jacentia ſortiri, id non ob pravum ægrotantis affectum, ſed ob mollitiem, aut exuberantem luxum accidit. Quare niſi ipſius *ægri* mores noverimus, decipiemur. Quos autem omnes inviſimus, eorum mores noſſe nobis non datur. Quamobrem & paucis ipſi tandem perquirendi ſunt; quos comperimus interdum quidem non magnum denunciare, ut in decubitu; interdum verò maxima, ut in moderatis hominibus, quum truculentiorem conſpectum, ac loquutionem exhibeant, ac præterea crepitantem flatum edant; aut enim dolorem, aut mentis alienationem ſignificant, quos aliàs id facere quibuſdam auſcultantibus puderet. Verùm ſi nullam præſentium rationem haberent, nullius rei foret ſignum. Quocirca hîc etiam noviſſe ægrotantis mores oportet, quemadmodum & in ventrem obdormientium conſuetudinem, eorumque naturam qui dormientes dentibus ſtrident, aut oculis planè connivent. Hæc enim ubi decumbentis mores, aut naturam *Medicus* prænoverit, aut ab aliquo eorum qui ipſos norunt, reſciverit, dignotionem obtinet; interdum quoque bona, interdum prava ſigna conſequitur. Prava quidem, ut quæ urina nigra, aut ſputum nigrum, aut atra bilis morbis incipientibus conſpicitur, quæ tum maximas vires, tum facillimam dignotionem habent. Bona verò, ut è contrario in morbis acutis facilis ſpiratio, & urina, ſedimentum album, læve, & æquale conſequuta, quæ ad ſalutem vires habent maximas. Hæc itaque de *ſignis* ad dignotionem ſpectantibus ſatis enunciata ſunt, quo futura ſint exempla eorum, quæ maximas habent vires, & cognitu ſunt facillima, & quoquoverſum, & quibuſcunque modis nobis innoteſcunt, ſive experimento ipſa contigerint, ſive ratione ſub conſpectum venerint. Non tamen tantam vim habent, neque promptam dignotionem, niſi prius ægrotantium conſuetudines, mores, & naturam noſcamus, ac ſciſcitemur. At mihi deinceps de rebus ad Chirurgiam ſpectantibus erit oratio, producenti in medium perſpicuitatis gratia, quoddam exemplum, ſtatim per initia libri de Articulis ſcriptum, qui de brachii luxationibus docet. In hoc enim maximum ac facillimum eſt ad dignotionem, ſi id in ala rotundum ac breve appareat: Nam præterquam brachii caput eſſe non poteſt è ſua prolapſum articulatione, & in alæ regionem delatum. Sed epomidis cavitas prolapſionis brachii commune ſignum eſt, & avulſionis acromii, quatenus in altum procedit, atque mox ipſa pars affecta conferenda eſt; deinde quum propriam naturam non habere deprehendatur, brachium excidiſſe conjectandum eſt. Hoc certè ſignum non quemadmodum quod ab axilla deſumitur, tum apertam vim, tum expeditam dignotionem exhibet: præterea verò magis à viribus diſcedit ſignum, quod ex motu colligitur. Æger namque brachium ſurſum tollere non poteſt, contuſis, tenſis, ac inflammatis iſtic muſculis; ſicut etiam quum quædam eorum fibræ altiùs avulſæ ſunt. Ego verò novi hujuſmodi quic-

A μένων ὑπ' αὐτοῦ, τὰ μὲν οὐ μέγιστα, τὰ δὲ οὐ ῥᾷστα, τὰ δὲ συναμφότερον ἔχοντα, μήτε μέγιστα εἶναι, μήτε ῥᾷστα φαίνεσθαί σοι σκοποῦντι, περὶ ὧν ἐπὶ πλέον μὲν ἐν τῇ καθ' ἐκεῖνο τὸ βιβλίον ἐξηγήσει λέλεκται, ῥηθήσεται δὲ νῦν ὀλίγα, παραδείγματος ἕνεκα. Τὸ γὰρ ὕπτιον κεῖσθαι καὶ τὰς χεῖρας ἔχειν, καὶ τὰ σκέλη παραπλησίως κείμενα τοῖς παρέτοις, οὐ κατὰ διάθεσιν μοχθηράν, ἀλλὰ διὰ μαλακίαν ἐγγίγνεται τοῦ κάμνοντος, ἢ τρυφὴν ὑπερβάλλουσαν· ὥστε, εἰ μὴ τὸ ἦθος εἰδείημεν αὐτοῦ, σφαλησόμεθα. γιγνώσκειν δὲ ὧν ἐπισκεπτόμεθα πάντων τὰ ἤθη, τῶν ἀδυνάτων
B ἐστί· καὶ διὰ τοῦτο ἐπ' ὀλίγον μόλις αὐτὰ διερευνητέον, εὑρίσκομεν, ἐνίοτε μέν, οὐ μέγα δηλοῦντα, καθάπερ ἐπὶ τῆς κατακλίσεως, ἐνίοτε δὲ μέγιστα, ὡς ἐπὶ τῶν κοσμίων, ἤτοι τὸ βλέμμα θρασύτερον, καὶ τὴν φωνὴν ἐχόντων· κατὰ ταὐτὰ δέ, κἀπὶ τῆς ψοφούσης φύσης· ἢ γὰρ ὀδύνην, ἢ παραφροσύνην σημαίνει, τοῖς αἰδουμένοις τοῦτο πράττειν, ἀκουόντων τινῶν. εἰ δὲ οὐδὲν φροντίζοιεν τῶν παρόντων, οὐδενὸς ἔσται σημεῖον. ὥστε κἀνταῦθα, τὸ ἦθος ἐπίστασθαι χρὴ τοῦ κάμνοντος, ὥσπερ τὸ μὲν ἔθος τῶν ἐπὶ τὴν γαστέρα κοιμω-
C μένων, τὴν δὲ φύσιν, ὅσοι πρίουσι κοιμώμενοι τοὺς ὀδόντας, ἢ τοῖς ὀφθαλμοῖς οὐκ ἀκριβῶς μύουσιν. Τὰ γὰρ τοιαῦτα, μετὰ τοῦ προεγνωκέναι τὸ ἦθος, ἢ τὴν φύσιν τοῦ κάμνοντος, ἢ παρά τινος τῶν ἐπισταμένων αὐτούς, πυθέσθαι, τὴν διάγνωσιν ἴσχει, καὶ ποτὲ μὲν ἀγαθά, ποτὲ δὲ φαῦλα σημεῖα. τὰ μέν, ὡς τὸ μὲν μέλαν οὖρον, ἢ πτύσμα μέλαν, ἢ χολὴν μέλαιναν, νοσημάτων ἀρχομένων φανῆναι, καὶ δύναμιν ἔχει μεγίστην, καὶ διάγνωσιν ῥᾴστην· ὥσπερ γε πάλιν ἐξ ὑπεναντίου, τοῖς δὲ μεγίστην δύναμιν εἰς σω-
D τηρίαν ἐν τοῖς ὀξέσι νοσήμασιν εὔπνοια, καὶ οὖρον ὑπόστασιν ἔχον λευκήν, καὶ λείαν, καὶ ὁμαλήν. Ταῦτα μὲν οὖν, ἐπὶ τῆς κατὰ διάγνωσιν αὐτάρκως εἴρηται, παραδείγματα ἐσόμενα, τῶν τε μεγάλην ἐχόντων δύναμιν καὶ ῥᾷστον γνωσθῆναι, καὶ τῶν γνωσκομένων ἡμῖν πάντῃ γε, καὶ πάντως, ἐάν τε διὰ πείρας εἴη, ἐάν τε διὰ λόγου σκοπῶμεν, οὐ μὴν οὔτε δύναμιν ἐχόντων τηλικαύτην, οὔτε διάγνωσιν ἑτοίμην, ἀλλὰ μετὰ τοῦ προγιγνώσκειν, πυνθάνεσθαι τὰ τῶν νοσούντων ἔθη τε, καὶ ἤθη, καὶ φύσεις. Ἐφεξῆς δὲ ἐπὶ τῆς κατὰ
E χειρουργίαν, ὁ λόγος ἔσται μοι, προχειρισαμένῳ τι παράδειγμα σαφηνείας ἕνεκεν, ὃ κατὰ τὴν ἀρχὴν εὐθέως γέγραπται τοῦ περὶ ἄρθρων βιβλίου, διδάσκοντος αὐτοῦ περὶ τῶν βραχίονος ἐξαρθρημάτων. ἐπὶ τούτου γάρ, τὸ μέγιστον, καὶ ῥᾷστόν ἐστιν εἰς διάγνωσιν, εἰ στρογγύλος, καὶ μικρὸς ἐν τῇ μασχάλῃ φαίνεται· οὐ γὰρ ἐνδέχεται γενέσθαι, χωρὶς τοῦ, τὴν κεφαλὴν τοῦ βραχίονος ἐκπεσοῦσαν τῆς διαρθρώσεως, εἰς τὸ τῆς μασχάλης ἐνεχθῆναι χωρίον. Ἡ δὲ κατὰ τὴν ἐπωμίδα κοιλότης, κοινόν ἐστι σημεῖον, ἐκπτώσεως μὲν βραχίονος, ἀποσπάσματος δέ, καὶ ἀκρωμίου, εἰς ὅσον ὕψος ἀνήκει, κἄπειτα παραβαλεῖν αὐτῷ τὸ πε-
F πονθός, εἶθ' ὅταν φαίνηται τὴν ἑαυτοῦ φύσιν μὴ ἔχον, ἐκπεπτωκέναι λογίζεσθαι τὸν βραχίονα. Τοῦτ' οὖν τὸ σημεῖον οὐχ ὥσπερ τὸ κατὰ τὴν μασχάλην, δύναμιν εὐθύς, ἑτοίμην τὴν διάγνωσιν ἔχει· ἔτι δὲ μᾶλλον ἀπολείπεται τῇ δυνάμει, τὸ κατὰ τὰς κινήσεις· ἀνατείνειν γὰρ οὐ δύναται τὸν βραχίονα, καὶ θλασθέντων, καὶ ταθέντων, καὶ φλεγμηνάντων τῶν ἐνταῦθα μυῶν, ὥσπερ γε, καὶ ὅταν ἶνές τινες αὐτῶν ἀποσπασθῶσι διὰ βάθους. Ἐγὼ δὲ οἶδά ποτε καὶ τοιοῦ-

Digitized by Google

λον ὕδατι, καὶ ἐπεὶ ἐξῆλθεν, σκεπάσας δὲ τὸ πεπληγὸς μόριον ἐρίοις διαβεβρεγμένοις ἐξ ἐλαίου μετὰ βραχέος κηροῦ, κατέκλινέ τε καὶ ἡσυχίαν ἄγειν. B γενομένων τούτων, ὁ μὲν ἄνθρωπος ὠδυνᾶτο δι᾽ ὅλης νυκτός. ἕωθεν ἐκάλεσεν ἐκεῖνόν τε τὸν ἰατρὸν αὐτόν, καί τινας ἄλλους διὰ τῆς ἀλόγου τριβῆς τὴν τέχνην μεταχειριζόντων· ὁ κατὰ τὴν προτεραίαν σφαλεὶς, ὑπὸ προπετείας ἀπερισκέπτως ἀποφηνάμενος, ὡς κατὰ φύσιν ἔχειν τὸ ἄρθρον. ἀφικόμενος οὖν ἐπὶ τὸν κάμνοντα, καὶ θεασάμενος αὐτοῦ δύο φαυλοτέρους ἰατρούς, ἠγανάκτησε μὲν ὡς ἀτιμασόμενος, οὐκ ἐμφήνας δὲ αὐτὸ τοῦτο τῷ κελεύσαντι, προπετέστερον ἔτι, διά τε καὶ θυμοῦσθαι, κατὰ φύσιν ἔχειν ἀπεφήνατο τὴν διάρθρωσιν, ὁμοίας εὑρίσκων ἀμφοτέρας τὰς C ἐπωμίδας, ὡς ἂν καὶ φλεγμονή τις ἦν προσπεφυκυῖα τοῦ πεπληγότος ὤμου. καταντλησαμένου οὖν ὕδατι πολλῷ θερμῷ τὸν κάμνοντα, παραχεομένου συνεχῶς ἐλαίου δαψιλῶς, ἐκέλευσεν ἐρίοις αὖθις ἐνειλιχθέντα, παραπλησίως ἡσυχάζειν. ὡς δὲ τούτων γενομένων, οὐδὲν ὤνητο, τῇ τρίτῃ τῶν ἡμερῶν, ἐκλήθην κἀγώ, καὶ θεασάμενος τὸν ἀνώδυνον ὦμον κοιλοτέραν ἔχοντα τὴν ἐπωμίδα τοῦ πεπονθότος, ὡς ἂν ηὐξημένης τῆς φλεγμονῆς, ἐσκόπουν ἐπιμελῶς τὸν δοκοῦντα κατὰ φύσιν ἔχειν ὦμον· ἐφαίνετο γάρ μοι τὸ κατ᾽ αὐτὸν ἀκρώμιον, ἄνω κεχωρηκέναι. κινηθεὶς οὖν ἐκ τούτου τε, καὶ D τοῦ μηδὲν ἐκ τῆς προσηκούσης θεραπείας ὠφελῆσθαι τὸν ἄνθρωπον, εἰς τὴν τοῦ φλεγμαίνοντος ὤμου μασχάλην ἐνθεὶς τοὺς δακτύλους, εὗρον ἐν αὐτῇ σχεδὸν τὴν κεφαλὴν τοῦ βραχίονος. ἀλλ᾽ ὅμως ἀσφαλεστέρας ἕνεκα διαγνώσεως, ἐπεσκεψάμην καὶ τὴν τοῦ ἑτέρου ὤμου μασχάλην· ὡς δὲ οὐδεὶς ὄγκος ἦν ἐν αὐτῇ τοιοῦτος, ἐξηρθρηκέναι μὲν τὸν βραχίονα ἔφην, τοὺς ἰατροὺς δὲ ἀγνοῆσαι, διὰ τὸ μὴ γνῶναι, κατὰ τὴν ἑτέραν χεῖρα τὸ ἀκρώμιον ἀπεσπασμένον, ἔπειτα παραβάλλειν ὡς κατὰ φύσιν E ἔχοντα τὸν ὦμον πεπληγμένον. μαθεῖν δὲ ἡμῖν ἔστιν, ἔφην, πυνθανομένοις τοῦ κάμνοντος, εἰ ἐπλήγη ποτὲ τὸ ἀκρώμιον τῆς ἑτέρας χειρός· ὁ δὲ ἐν ἀρχῇ μὲν οὐκ εἶχε λέγειν, ἀναμνησθεὶς δὲ ὕστερον, ὡμολόγησεν, ἐξ ὀχήματός ποτε αὐτὸν ἐκπεσόντα πεπλῆχθαί τε, καὶ ῥᾳδίως ἄπονον γεγονέναι τρισὶν, ἢ τέτρασιν ἡμέραις, ἔριον μεθ᾽ ἐλαίου κατὰ τῆς πληγῆς ἐπιθέντα. τίνος οὖν ἕνεκα ταῦτα εἴρηταί μοι; τοῦ δεῖξαι, πόσον ἀξιώματι διενήνοχεν ἀλλήλων τὰ σημεῖα, δι᾽ ὧν ἡ γνῶσις γίγνεται τῶν κατὰ χεῖρα παθῶν. Τὸ μὲν γὰρ μὴ δύνασθαι τὴν πεπονθυῖαν ἀνατείναι χεῖρα, κοινὰ καὶ ἄλλων πλειόνων εἰσίν· καὶ γὰρ οἱ τένοντες τῶν ἐνταῦθα F μυῶν, καὶ αὐτοὶ πολλάκις οἱ μύες σκιρρούμενοι, καὶ φλεγμαίνοντες, ἔτι δὲ θλασθέντες, ἢ βύθιον ῥῆγμα ἔχοντες, ἢ καί τινων ἰνῶν ἀπορραγεισῶν ἐν αὐτοῖς, ἀδύνατοι γίγνονται πρὸς τὸ μετέωρον ἀναφέρειν τὴν χεῖρα· δι᾽ αὐτὰ δὲ ταῦτα καὶ ὀδυνῶνται κατὰ τὰς κινήσεις, οὐ μόνον ταύτας, ἀλλὰ καὶ τὰς ἄλλας τῆς χειρός· Ἡ δὲ κατὰ τὴν ἐπωμίδα κοιλότης, κοινὴ καὶ αὐτὴ πρὸς ἐπίσπασμα· ὁ δὲ ἐν μασχάλῃ παρὰ φύσιν ὄγκος, σκληρὸς καὶ περιφερὴς, ἱκανὸν σημεῖον ἐκπεπτω-

coque egreſſum læſa parte lanis oleo cum pauca cera perfuſis operta, tum decumbere, tum quietem agere. His factis, homo totam noctem dolore vexatus eſt, & mane illum eundemque Medicum, & quoſdam alios acceſſivit ex iis ſanè qui citra rationem trita via artem exercent, ille pridie temeritate deceptus, articulum ſecundum naturam! ſe habere inconſultò protulerat. Quum ergo ad ægrotantem accederet, ac duos alios Medicos ipſo imperitiores conſpiceret, ut parvi ductus moleſtè tulit, id ipſum tamen diſſimulans ſententiam roganti promptiùs, adhuc ob indignationem aſſeruit, articulationem ſecundum naturam eſſe, quum utraſque epomidas ſimiles inveniret, quodque priùs vulnerati humeri quædam inflammatio ortum haberet. Quare perfuſum aqua copioſa calida laborantem, affuſo ſubinde oleo multo, juſſit lanis rurſus involutum ſimiliter quieſcere. Quum autem his factis nihil juvaretur, ego tertio die vocatus ſum, qui conſpiciens humerum dolore vacuum magis cavam epomidem habere, *tumenti* ob auctam inflammationem humeri affecti *epomide*, humerum qui ſecundum naturam ſe habere videbatur, ſurſum receſſiſſe. Itaque concitatus ego tum hoc indicio, tum eò quod per congruentem curationem homo nihil levaretur, injectis ſub inflammati humeri axillam digitis, in ipſa cominus brachii caput comperi. Verumtamen certioris dignotionis gratia, alterius quoque humeri alam inſpexi. Quod verò in ea nullus ejuſmodi tumor eſſet, brachium luxatum eſſe pronunciavi, & Medicos ignoraſſe, quòd alterius manus acromium avulſum fuiſſe minimè noviſſent; deinde vulneratum humerum, ac ſi ſecundum naturam ſe haberet, compararent. Nobis autem diſcere licet, inquam, ex ægroto ſciſcitantibus, an alterius manus acromium aliquando plagam acceperit. Ille principio quid diceret non habebat, poſtea recordatus ſe quondam ex vehiculo decidentem, & vulneratum fuiſſe conceſſit, & facilè lana oleo inebriata tribus, aut quatuor diebus ſuper ictam partem impoſita laboris expertem evaſiſſe. Sed quorſum hæc à me dicta ſunt? quò demonſtrem quantum dignitate inter ſe ſigna diſcrepent, quibus morborum manus cognitio proditur. Non enim poſſe manum affectam attollere, multis quoque aliis pluribus commune; Etenim tendones hìc muſculorum, etiam ſæpenumero ipſi muſculi ſcirrho, phlegmone, & præterea contuſione, aut alia ruptione, vel etiam quibuſdam ipſorum fibris abruptis, læſi ad ſublimem manus elationem redduntur impotes. Has autem ob ipſas cauſas, imò non ſolùm per hoſce, verumetiam cæteros manus motus doloribus vexantur. Sinus verò epomidis oſſi divulſo quoque communis eſt. At rotundus, durúſque in ala præter naturam tumor ſatis idoneum prolapſi humeri ſig-

Digitized by Google

num eſt. Quare qui ſoli ipſi fidem habuerit, is nequaquam aberraverit; quin & facillimam in eo dignotionem obtinet, quem ſolùm oportet extuberationem contingere, immiſſis in alam digitis, qua humeri caput evidenter agnoſcetur. Sed muſculorum affectus, quòd neque ſurſum humerum attollere queant, neque citrà dolorem movere, exercitatam rationem, ſummamque animadverſionem exigunt. Incedit igitur horum *ſignorum* cognitio cum iis quæ tum maximis pollent viribus, tum cognitu facillimis, ſive quis Empiricam, ſive Rationalem Medendi artem profiteatur. Empiricus enim inſpiciens quas ſyndromas, *aut concurſus* vocitat, quæ ſunt ſymptomatum acervationes, quum multoties eadem uno tempore ſpectaverit, peræque omnia meminit. Atque quum ex hac obſervatione multorum concurſuum experientiam habeat, tunc indicium fecit, ſe nonnulla quidem in multis concurſibus, quædam verò in uno ſolo ſymptomata conſpexiſſe, ſicque in rerum tum communium, tum propriarum ſpeculationem venit, quam rem ſequitur notitia ſignorum viribus diſcrepantium. Quod enim in multis quidem, aut omnibus concurſibus conſpectum eſt, longè iis cedit quæ in uno ſolo comparuere; quod verò in paucis, minùs is cedit, ac præcipuè quod in duobus. Veruntamen quemadmodum & propria obſervavit & memoriæ prodidit Empiricus Medicus: ita & communia. Hæc etenim paſſim & ubique unà cum propriis obſervat quæcunque illis oboriuntur. Qui verò ratione nititur multò magis celeriùſque ſingulorum morborum ſigna comperit, & ubi propria ſint, & ubi communia; nec velut Empiricus diuturnum tempus, imo nullum diem, horamve moratur. Speculatus enim brachium è propria regione excidiſſe & ad axillam invectum eſſe, primùm quidem quòd hîc contra naturam tumor appareat mente perpendit. Deinde verò quòd cavus epomidis locus ſit, brachii capite prius ipſi inſidente exutus, in alæ regionem tranſlato. Præterea quòd ſcapulæ cervix brachio incumbens manum ſurſum tolli prohibeat. Tum etiam quòd muſculi vehementer extenſi admodum doluerint, quum brachium ita movere præmoliuntur. Similiter quoque quòd quum ad coſtas partem affectam adducere tentant, eam vexari doloribus acciderit. Atque ſic paſſim & ubique non modò quæ maximas vires ſortiuntur, verumetiam & cætera *ſigna* noverit. Hac enim unà viâ cuncta inveniuntur; alterâ quũ ignorentur non facillimè, ſed demonſtratione comprehendimus. In ala namque brachii caput *magnam* vim habet, & facillimè *dignoſcitur*: at muſculorum affectus majorem inſpectionem poſtulant. Veruntamen & ipſi utrique tum dignotionis facilitati, tum viribus tumoris axillæ cedentes, eâdem ſpeculatione artis peritis Medicis in cognitionem veniunt. Meritò igitur Hippocrates ante alia artis opera, hoc eſt, ante prænotionem, & curationem, morborum dignotionem (quam juniores ſignificationem appellitant) ſimilium ac diſſimilium ſpeculatione conſtrui voluit. Meritò etiam & vi maximis, & dignotione facillimis; ad hæc etiamnum tertiò his paſſim & ubique cognitis, dignitate verò, & dignotionis facilitate cedentibus. His itaque præfatus, à quibus morborum dignotiones obeundæ ſunt, hoc eſt, quod & per ſimilia & diſſimilia ſecundum

A κῆτος βραχίονος, ὥστε μόνῳ γε αὐτῷ πιστεύσας οὐκ ἂν ἁμάρτοι, καὶ μέντοι καὶ ῥᾴστην ἔχει τὴν διάγνωσιν ἐνταῦθα, καὶ χρὴ μόνον εἰς τὴν μασχάλην τοὺς δακτύλους ἐνθέντα ψαῦσαι τῆς ἐξοχῆς, καὶ φανεῖται σαφῶς ἡ κεφαλὴ τοῦ βραχίονος ἐνταῦθα. Τὰ δὲ τῶν μυῶν πάθη, διὰ τὸ μήτ' ἀνατείνειν δύνασθαι τὸν βραχίονα, μήτ' ἀνωδύνως κινεῖν, γεγυμνασμένου τε δεῖται λογισμοῦ, καὶ πολλῆς περισκέψεως χρήζει. συνεισέρχεταί γε μὴν καὶ τούτων ἡ γνῶσις τοῖς μεγίστην τε δύναμιν ἔχουσι, καὶ ῥᾴστοις γνωσθῆναι, ἐάν τ' ἐμπειρικῶς,
B ἐάν τε λογικῶς μεταχειρίζηταί τις τέχνην. ὅ τε γὰρ ἐμπειρικὸς, ἐπισκεπτόμενος τὰς ὑπ' αὐτῶν καλουμένας συνδρομὰς, αἵ τινές εἰσι συμπτωμάτων ἀθροίσματα, ὅταν πολλάκις θεάσηται τὰ αὐτὰ καθ' ἕνα καιρὸν ὁμοίως πάντα, μνημονεύει. κᾄπειθ' ὅταν ἐκ τῆς τηρήσεως ταύτης πολλῶν συνδρομῶν ἐμπειρίαν ἔχῃ, τηνικαῦτα δι' αἰσθάνεται, ἵνα μὲν ἐν πολλαῖς συνδρομαῖς ἐθεάσατο συμπτώματα, ἵνα δὲ ἐν μιᾷ μόνῃ, καὶ οὕτως εἰς ἔννοιαν ἔρχεται τῶν κοινῶν τε καὶ ἰδίων, ᾧ πάλιν ἕπεται γνῶσις τῆς κατὰ δύναμιν διαφορᾶς τῶν σημείων. ὃ μὲν
C γὰρ ἐν πολλαῖς ὤφθη συνδρομαῖς, ἢ πάσαις πολὺ λείπεται τῶν ἐν μιᾷ μόνῃ φαινομένων, ὃ δὲ ἐν ὀλίγαις, ἔλαττον τούτων, καὶ μάλιστα τὸ κατὰ δύο μόνας. ὅμως δ' οὖν, ὥσπερ καὶ τῶν ἰδίων ἐγένετο τηρητικός τε καὶ μνημονευτικὸς ὁ ἐμπειρικὸς ἰατρὸς, οὕτω καὶ τῶν κοινῶν. Καὶ γὰρ ταῦτα, πάντῃ τε καὶ πάντως ἅμα τοῖς ἰδίοις ἐτήρησεν, ὅσα ἐπ' ἐκείνοις γιγνόμενα. πολὺ δὲ μᾶλλόν τε καὶ θᾶττον, ὁ τῷ λόγῳ, τῶν σημείων ἑκάστου πάθους εὕρεσιν ποιησάμενος, ἐν ᾧ, τά τε ἴδια, καὶ τὰ κοινὰ, μὴ ὅτι χρόνον πολὺν ἀναμείνας, ὥσπερ ὁ ἐμπειρικὸς, ἀλλὰ μηδε-
D μίαν ἡμέραν, ἢ ὥραν. Νοήσας γὰρ ἐκπεπτωκότα τῆς ἰδίας βραχίονα χώρας, καὶ πρὸς τὴν μασχάλην ἐνηνεγμένον, πρῶτον μὲν, ὡς ἐνταῦθα παρὰ φύσιν ὄγκος φανεῖται, συνεπινοεῖ· δεύτερον δὲ, ὅτι κοῖλος ὁ κατὰ τὴν ἐπωμίδα τόπος ἔσται, τῆς πρότερον ἐν αὐτῷ κεφαλῆς τοῦ βραχίονος ἐστερημένος, εἰς τὸ κατὰ τὴν μασχάλην χωρίον μεθιστηκυίας· τρίτον δὲ καὶ ὡς ὁ τῆς ὠμοπλάτης αὐχὴν, ὃς ἐπικείμενος τῷ βραχίονι, ἀνατείνεσθαι τὴν χεῖρα κωλύει, καὶ ὡς ὀδυνήσονται σφοδρῶς οἱ μύες, ἰσχυρῶς τεινόμενοι, κινεῖν οὕτως τὸν βραχίονα προαιρουμένων· ὡσαύτως δὲ καὶ ὅτι παρὰ τὰς πλευρὰς παράγειν ἐπιχειροῦσι τὸ πεπονθὸς κῶλον, ὀδυνᾶσθαι συμβήσεται. ὥστε καὶ οὕτως εἴσεται
E πάντῃ τε, καὶ πάντως, οὐ μόνον τὰ μεγίστας ἔχοντα δυνάμεις, ἀλλὰ καὶ τὰ ἄλλα· διὰ μιᾶς γὰρ ὁδοῦ, τὰ πάντα εὕρηται, διὰ τῆς ἑτέρας ἀγνοηθῆναι τοῖς μὴ ῥᾴστοις εὑρισκομένων, ἀλλὰ καὶ ἔνδειξιν. ἡ γὰρ ἐν τῇ μασχάλῃ κεφαλὴ τοῦ βραχίονος, ἑτοιμοτάτην ἔχει τὴν δύναμιν, ἡ δὲ τῶν μυῶν διάθεσις, ἐπισκέψεως πλείονος δεομένη· ἀλλ' ὅμως καὶ αὕτη, κατ' ἀμφότερα λειπομένη, τῷ τε τῆς διαγνώσεως ῥᾴστῳ, καὶ τῇ δυνάμει, τοῦ κατὰ τὴν μασχάλην ὄγκου, διὰ τῆς αὐτῆς θεωρίας, τοῖς τεχνικοῖς ἰατροῖς εἰς γνῶσιν ἔρχεται. εἰκότως οὖν Ἱπποκράτης ἐκέλευσε
F τὰς διαγνώσεις τῶν παθῶν, ἃς καὶ σημειώσεις ὀνομάζουσιν οἱ νεώτεροι, κατὰ τὴν τῶν ὁμοίων, καὶ ἀνομοίων θεωρίαν ποιεῖσθαι, πρὸ τῶν ἄλλων τῆς τέχνης ἔργων, τουτέστι τῆς κατὰ πρόγνωσίν τε, καὶ θεραπείαν· εἰκότως δὲ καὶ διὰ τῶν μεγίστων τε τῇ δυνάμει, καὶ ῥᾴστων τῇ διαγνώσει, καὶ πρὸς τούτοις ἔτι τρίτον τὸ, πάντῃ μὲν, καὶ πάντως, τούτοις γιγνωσκομένων, ἀπολειπομένων δὲ ἀξιώματί τε, καὶ τῷ τῆς διαγνώσεως ἑτοίμῳ. προειρηκὼς οὖν διὰ τούτων ἀφ' ὧν χρὴ τὰς διαγνώσεις τῶν παθῶν ποιεῖσθαι, τουτέστιν ἔτι διὰ τῶν ὁμοίων τε, καὶ ἀνομοίων τοῖς κατὰ

A Καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαί ἐστι.

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

ΤΟ διαγνωστικὸν τῶν παθῶν, μέρος τῆς τέχνης, πάντων πρῶτον ἀσκεῖν ἀξιώσας, ἔκ τε τῶν ὁμοίως τε, καὶ ἀνομοίως ἐχόντων κατὰ τὸ σῶμα τοῦ κάμνοντος, ὡς πρὸς τοὺς ὑγιαίνοντας· καὶ ὡς τὰ μέν ἐστι καὶ μέγιστα, καὶ ῥᾷστα, τὰ δὲ σὺν αὐτοῖς, ἐξ ἀνάγκης γιγνώσκεται· νυνὶ ἤδη τίνα ταῦτά ἐστι, καθάπερ ἔφην, διδάσκει, λέγων, ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαί ἐστι· ἰδεῖν μὲν δηλονότι τὰ ὁρατά, θιγεῖν C δὲ τῶν ἁπτῶν, ἀκοῦσαι δὲ τῶν ἀκουστῶν. Τὸ μὲν οὖν κατὰ τὸ πρόσωπον ἐν ἀρχῇ τοῦ προγνωστικοῦ γεγραμμένον, ἔστιν ἰδεῖν, ῥῖνα μὲν ὀξεῖαν, ὀφθαλμοὺς κοίλους, καὶ κροτάφους συμπεπτωκότας· θιγεῖν δὲ τῶν ὤτων ψυχρῶν· ἰδεῖν δὲ ἅμα, καὶ θιγεῖν, τοῦ κατὰ τὸ πρόσωπον δέρματος, σκληροῦ γε, καὶ καρφαλέου, καὶ περιτεταμένου· ἀκοῦσαι δὲ τῶν ἐν τοῖς ἐφεξῆς τοῦ βιβλίου εἰρημένων, πταρμοῦ, καὶ βηχός, καὶ φύσης, καὶ ψόφου, ἢ φθεγγομένου τι καὶ παρὰ φύσιν τοῦ κάμνοντος, ἤτοι κατὰ παραφροσύνην, ἢ κλαγγώδη, ἢ βραγχώδη, ἢ τοιοῦτόν τι πάθος ἐχούσης τῆς φωνῆς. Ἐν δὲ τοῖς κατὰ χειρουργίαν, D ἰδεῖν μέν ἐστιν τὰ μελαινόμενα, τὰ ἐρυθραινόμενα, τὰ καθ' ὁντιναοῦν τρόπον ἐξαλλάττοντα τὴν κατὰ φύσιν χροιάν, ἢ φυλάττοντα· καὶ πρὸς τούτοις ἔτι καθάπερ ἐπὶ τοῦ κατ' ὦμον ἄρθρου, κοιλότητα μὲν ἐπωμίδος, ἀκρωμίου δὲ ἀνάτασιν ἰδεῖν ἐστι· θιγεῖν δὲ τῆς ἐν μασχάλῃ κεφαλῆς, ἀκοῦσαι δὲ τῶν γιγνομένων ψόφων ἐν τῷ κάμνοντος σώματι, καθάπερ ἐπὶ θώρακος συντετρημένου, πνεύματος ἐκφυσωμένου πρὸς τὸ τραῦμα.

E Περὶ τῶν ἔξωθεν αἰσθήσεων, ὄψεως, ἀκοῆς, γεύσεως, ὀσφρήσεως, καὶ ἁφῆς· Περὶ δὲ τῶν ἔσωθεν, διανοίας, γνώμης, λόγου τοῦ ἐνδιαθέτου, δι' ὧν ἔκ τε τῶν αἰσθητῶν ὁμοιότητος, καὶ ἀνομοιότητος τὰ νοσήματα διαγινώσκεται. τὰ αἰσθητά, τὰ ὄντα χρῶμα, χυλός, ἀτμός, φωνή, σκληρότης, μαλακότης, θερμότης, ψυχρότης, καὶ ἁπτὴ ποιότης. τὸ πάσαις ὑποβάλλειν ταῖς αἰσθήσεσι τὴν κρίσιν οὐκ ἄνευ μνήμης καὶ συναριθμήσεως, γνώμης ἔργον εἶναι· τί ἡ γνώμη.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

A Καὶ τῇ ὄψει, καὶ τῇ ἁφῇ, καὶ τῇ ἀκοῇ, καὶ τῇ ῥινί, καὶ τῇ γλώσσῃ, καὶ τῇ γνώμῃ ἔστιν αἰσθέσθαι.

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

ΤΩν αἰσθήσεων ἁπάσαις τὴν γνώμην ἐφεξῆς ἔταξεν, ὅπερ ἐστὶ τὴν διάνοιαν, ὅν τε καὶ νοῦν, καὶ φρένα,

B *QVæ & videre, & tangere, & audire decet.*

GALENI COMMENTARIUS.

QVum æquum cenſuerit artis partem Diagnoſticam morborum *dignotioni dicatam* omnium primam per ea exerceri quæ in ægrotantis corpore tum ſimiliter, tum diſſimiliter afficiuntur, prout ſanis conferuntur, & prout ſunt quædam & maxima, & faciliſſima, quædam cum ipſis neceſſariò noſcuntur; nunc jam (quemadmodùm commentatus ſum) quænam illa ſint, his verbis docet *quæ & videre, & tangere, & audire decet.* Videre quidem licet, quæ ſub viſum; tangere, quæ ſub tactum; & audire, quæ ſub auditum cadunt. Enimverò quod de facie per initia Prognoſtici ſcriptum eſt, videre licet, nares acutas, oculos concavos, & collapſa tempora; tangere, aures frigidas; videre ſimul, & tangere cutim faciei duram, aridam, & obtentam; audire quæ in libri ſerie pronunciata ſunt, ſternutamentum, tuſſim, flatum, ſtrepitum, aut loquentem præter naturam ægrotum, aut vocem cum delirio, aut ſtridulam, aut raucam, aut ejuſmodi quopiam vitio affectam. In morbis ad Chirurgiam ſpectantibus cernere quidem licet quæ nigreſcunt, quæ rubent, quæ quocunque modo naturalem ſuum colorem immutant, aut tuentur. Adhæc etiamnum ut in humeri articulo epomidis quidem cavitatem, & acromii extenſionem videre licet; caput verò in ala tangere; audire denique eos qui in laborantis corpore ſtrepitus eduntur, quemadmodùm qui in thorace perforato, ſpiritu per vulnus efflante *ſtrepitant.*

De quinque ſenſibus externis, viſu, auditu, guſtu, odoratu, & tactu; de internis, intellectu, mente, ratione mente conceptâ, quibus ſenſilium ſimilitudine ac diſſimilitudine morbi dignoſcuntur. Quid ſenſilia, quæ ſunt color, ſapor, odor, vox, durities, mollities, calor, frigus, tractabilis qualitas: cunctis ſenſibus rerum judicium ſubjicere, non citrà memoriam & enumerationem, mentis munus eſſe: Quid γνώμη.

HIPPOCRATIS TEXTUS III.

QVæ & viſu, & tactu, & auditu, & naribus, & lingua, & mente ſentire licet.

GALENI COMMENTARIUS.

CUm ſenſibus omnibus *externis* intellectum ſerie collocavit, hoc eſt, intelligentiam, quam & mentem, & animum vulgò, &

& rationem homines vocitant. Quia verò & in A
voce quædam ratio eſt, propterea illam ſejungentes Philoſophi prædictam rationem mente conceptam appellant; quâ ratione rebus cognitis & conſentanea, & repugnantia comprehenduntur; diviſio quoque, & compoſitio, & reſolutio, & demonſtratio, & quæcumque ſunt ejuſmodi cætera. Cur verò narium, & linguæ ſenſuum ſeorſum priùs immemor, hoc in textu, *quæ & videre, & tangere, & audire licet*, poſtea horum quinque cum mente meminerit, decenter quæritur. Atque ſanè & à multis non-
B nulla quidem abſurda, memoriæ indigna; quædam verò probabilia, & commemoratione digna enarrata ſunt, ducto hinc exordio. Hippocratem aſſerunt nobis præcepiſſe, ut ex eorum quæ ſub ſenſus cadunt ſimilitudine, ac diſſimilitudine morborum dignotiones conſtitueremus. Senſilia verò propriè dicuntur quæ ad dignotionem non alias vires deſiderant; ſed ſoli quæ ſenſu fit, cognitioni ſubminiſtrant. Atque hæc ſenſilia dici volunt, non tamen propriè ipſa appellatione quæ pluribus ſenſibus ſimul tum memoria, tum ratione quam compoſitam &
C maximè contractam vocitant, dignotionem inſtituunt. Itaque colorem ex iis, quæ præcipua ſenſilia dicuntur, eſſe ferunt, quemadmodum ſaporem, odorem, vocem, prætereà duritiem, mollitudinẽ, calorem, frigus, & uno nomine qualitates omnes tractabiles; neque verò malum, malum-punicum, neque pirum, neque aliam ſubſtantiam, totam ſenſu notam eſſe proferunt; ſed, ut Plato dicebat, opinione cum ſenſu bruto, omniaque eſſe opinabilia; & propterea quædam plerunque in ipſorum dignotionibus decipi,
D quum vel colorem tantùm, vel figuram, vel hæc ambo rei priùs conferenti conſimilia conſpiciant. Etenim mala, mala-punica, pira, uvas, nuces, juglandes, & alia multa cibaria, ex cera formata, priuſquam & odore percipiantur, & guſtentur, tanganturque, à veris non diſcrepantia videri. Qui verò cunctis præpollet ſenſibus, cum ipſorum uſu falli minimè poſſe. Cunctis autem præpollere *ſenſibus* citra memoriam, & enumerationem difficile, & hanc neque ſenſus, neque memoriæ; ſed cognitionis, hoc eſt, mentis munus eſſe. Quum igitur pronuntiavit Hippocrates, *quæ & videre, & tangere, & audire li-*
E *cet*, cum exempli authoritate ipſorum ſenſilium mentionem feciſſe proferunt. Quum verò tum ſimpliciter, tum propriè à ſenſilibus digreſſus ad totam naturam tranſiit, jure tunc ipſum & ſenſus omnes, & cum ipſis mentem commemoraſſe, itaut univerſa oratio ſit hujuſmodi. Ad morborum dignotionem Medicum decet à ſimilium, ac diſſimilium inſpectione auſpicari, qui interdum ſimplicium duntaxat qualitatum, interdum omnium corporis partium comparationem efficiat; Enimverò hæc explicatio ratione non caret. Eſt & altera quædam hunc in mo-
F dum. Hippocratem quum inquit, *quæ & videre, & tangere, & audire licet*, de Medico ſermonem feciſſe proferunt; quum verò quæ ſequuntur, pronuntiat, *quæ autem viſu, auditu, tactu, odoratu, guſtu, & mente ſentire licet*, ad ægrotantem ipſum orationem conflexiſſe, ut Medicus dignotionem inveſtiget non ſolùm ex iis quæ ipſe, ſed & ex iis, quæ æger videt, tãgit, audit, odoratur, guſtat; & mente afficitur dum ſapit, aut

A καὶ λόγον κοινῶς οἱ ἄνθρωποι καλοῦσιν. ἐπεὶ δὲ καὶ ὁ κατὰ τὴν φωνὴν
ἐστί τις λόγος, ἀφορίζοντες αὐτὴν τοῦτον τὸν προειρημένον λόγον οἱ φιλόσοφοι, καλοῦσιν ἐνδιάθετον, ᾧ λόγῳ, τά τε ἀκόλουθα, καὶ τὰ μαχόμενα γιγνωσκομένοις ἐμπεριέχεται, καὶ διαίρεσις, καὶ σύνθεσις, καὶ ἀνάλυσις, καὶ ἀπόδειξις, ὅσα τἄλλα τοιαῦτα. Διὰ τί δὲ τῶν ῥινῶν, καὶ τῆς γλώττης αἰσθήσεων, ἰδίᾳ πρότερον οὐ μνημονεύσας ἐν τῷ φάναι, ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαί ἐστι, ἑξῆς τῶν πέντε μετὰ τῆς γνώμης ἐμνημόνευσεν, εἰκότως ἐζήτηται. Καὶ δὴ καὶ λέλεκται πολλοῖς, τὰ μὲν ἀπίθανα
B καὶ ἀνάξια μνήμης, τὰ δὲ πιθανά, καὶ μνήμης ἄξια, τὴν ἀρχὴν ποιησαμένοις ἐνθένδε. Τὸν Ἱπποκράτην φασὶ κελεύειν ἡμᾶς, τὰς διαγνώσεις ποιεῖσθαι τῶν παθῶν, ἐξ ὁμοιότητός τε, καὶ ἀνομοιότητος τῶν αἰσθητῶν· Αἰσθητὰ δὲ, κυρίως λέγεται, τὰ μὴ δεόμενα δυνάμεως ἑτέρας εἰς διάγνωσιν, ἀλλ' ἀρκούμενα μόνῃ τῇ διὰ τῆς αἰσθήσεως γνώσει· οὐ κυρίως δὲ ὅμως λέγεσθαι, καὶ αὐτὰ κατὰ τὴν αὐτὴν προσηγορίαν αἰσθητά, τὰ διὰ πλειόνων αἰσθήσεων, ἅμα μνήμῃ τε, καὶ τῷ καλουμένῳ συνθέτῳ τε ἅμα καὶ κεφαλαιωτικῷ λόγῳ, τὴν διάγνωσιν ἔχοντα. Τὸ μὲν οὖν χρῶμα τῶν κυρίως λεγομένων αἰσθητῶν εἶναι, καθάπερ τὸν χυ-
C λόν, καὶ τὸν ἀτμόν, καὶ τὴν φωνήν, ὡσαύτως δὲ σκληρότητα, καὶ μαλακότητα, καὶ θερμότητά τε, καὶ ψυχρότητα, καὶ συνελόντα φάναι, τὰς ἁπτὰς ἁπάσας ποιότητας· οὐ μὴν δὲ μῆλον, οὔτε ῥοιάν, οὔτε ἄπιον, οὔτε ἄλλην οὐσίαν φασὶν ὅλην αἰσθητῶς γνωστὴν ὑπάρχειν· ἀλλ' ὡς ὁ Πλάτων ἔλεγε, δόξῃ, μετ' αἰσθήσεως ἀλόγου· δοξαστὰ δὲ τὰ πλεῖστα εἶναι, καὶ διὰ τοῦτό γέ που σφάλλεσθαι πολλάκις ἐν ταῖς διαγνώσεσιν αὐτῶν ἐνίους, ὅταν ἤτοι χρῶμα μόνον, ἢ σχῆμα, ἢ ἄμφω ταῦτα θεάσηταί τις παραπλήσια τῷ πρόσθεν ἐφεωρακότι. Καὶ γὰρ μῆλα,
D καὶ ῥοιάς, καὶ ἄπια, καὶ σταφυλάς, καὶ κάρυα, καὶ ἄλλα πολλὰ φαίνεσθαι σιτίων πεπλασμένων ἐκ κηροῦ, πρὶν ὀσμήσασθαί τε, καὶ γεύσασθαι, καὶ ἅψασθαι, τοῖς ἀληθινοῖς ἀπαράλλακτα· πάσαις δ' ἄν τινα ταῖς αἰσθήσεσιν ὑπερβάλλοντα, τῇ χρήσει αὐτῶν, μὴ δύνασθαι σφαλῆναι. Τὸ δὲ πάσαις ὑπερβάλλειν οὐκ ἄνευ μνήμης, καὶ συναριθμήσεως, καὶ ταύτην οὔτε αἰσθήσεως, οὔτε μνήμης, ἀλλὰ τῆς γνώμης ἔργον εἶναι, τουτέστι τῆς διανοίας· Ονομάζουσι δὲ τὴν συναρίθμησιν, οὐχ οὕτως μόνον, ἀλλὰ καὶ συγκεφαλαίωσιν, ὅτε μὲν οὖν εἶπεν Ἱπποκράτης, ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαί ἐστι, ὡς ἐν παραδείγματος μοίρᾳ μνημονεῦσαί φασι τῶν αἰσθητῶν αὐτόν· ὁπότε δὲ
E ἀποχωρήσας τῶν ἁπλῶς τε καὶ κυρίως αἰσθητῶν, ἐπὶ τὰς ὅλας οὐσίας μετέβη, προσηκόντως αὐτὸν ἐνταῦθα, τῶν δὲ αἰσθήσεων ἁπασῶν, καὶ σὺν αὐταῖς, γνώμης μνημονεῦσαι, ὡς εἶναι τὸν ὅλον λόγον τοιοῦτον ἄρχεσθαι. προσήκει τὸν ἰατρὸν τῆς τῶν παθῶν διαγνώσεως, ἀπὸ τῆς τοῦ ὁμοίου τε, καὶ ἀνομοίου θεωρίας, ἐνίοτε μὲν, ἐπὶ μόνων τῶν ἁπλῶν ποιοτήτων, ποιούμενον τὴν παραβολήν, ἐνίοτε δὲ, ὅλων τῶν σωμάτων. ἔστι μὲν γὰρ ἤδη ἡ ἐξήγησις οὐκ ἄλογος· ἔστι δὲ καὶ ἑτέρα τις τοιάδε. Τὸν Ἱπποκράτην φασίν, ὁπότε μὲν εἶπεν,
F ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαί ἐστι· ἐπὶ τοῦ ἰατροῦ πεποιῆσθαι τὸν λόγον· Ὁπότε δὲ ἐφεξῆς τὴν δὲ φησιν, ἃ καὶ ὄψει, καὶ τῇ ἀκοῇ, καὶ τῇ ἁφῇ, καὶ τῇ ῥινί, καὶ τῇ γλώσσῃ, καὶ τῇ γνώμῃ ἐστὶν αἰσθέσθαι, ἐπὶ τοῦ κάμνοντος αὐτοῦ γεγονέναι τὸν λόγον· ἵνα μὴ μόνον, ἐξ ὧν αὐτὸς ὁ ἰατρός, ἀλλὰ καὶ ἐξ ὧν ὁ κάμνων ὁρᾷ, καὶ ἅπτεται, καὶ ἀκούει, καὶ ὀσφραίνεται, καὶ γεύεται, καὶ τῇ γνώμῃ διακεῖται, κατὰ μὲν τὸ ἀσθενεῖν, ἢ παρακρούειν, ἡ διάγνωσις γί-

A Καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαί ἐστιν.

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

ΤΟ διαγνωστικὸν τῶν παθῶν, μέρος τῆς τέχνης, πάντων πρῶτον ἀσκεῖν ἀξιώσας, ἐκ τῶν ὁμοίως τε, καὶ ἀνομοίως ἐχόντων κατὰ τὸ σῶμα τοῦ κάμνοντος, ὡς πρὸς τοὺς ὑγιαίνοντας· καὶ ὡς τὰ μέν ἐστι καὶ μέγιστα, καὶ ῥᾷστα, τὰ δὲ σὺν αὐτοῖς, ἐξ ἀνάγκης γιγνώσκεται· νῦν ἤδη τίνα ταῦτά ἐστι, καθάπερ ἔφην, διδάσκει, λέγων, ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαί ἐστιν· ἰδεῖν μὲν δηλονότι τὰ ὁρατά, θιγεῖν δὲ τῶν ἁπτῶν, ἀκοῦσαι δὲ τῶν ἀκουστῶν. C Τὸ μὲν οὖν κατὰ τὸ πρόσωπον ἐν ἀρχῇ τοῦ προγνωστικοῦ γεγραμμένον, ἔστιν ἰδεῖν, ῥῖνα μὲν ὀξεῖαν, ὀφθαλμοὺς κοίλους, καὶ κροτάφους συμπεπτωκότας· θιγεῖν δὲ τῶν ὤτων ψυχρῶν· ἰδεῖν δὲ ἅμα, καὶ θιγεῖν, τοῦ κατὰ πρόσωπον δέρματος, σκληροῦ γάρ, καὶ καρφαλέου, καὶ περιτεταμένου· ἀκοῦσαι δὲ τῶν ἐν τοῖς ἐφεξῆς τοῦ βιβλίου εἰρημένων, πταρμοῦ, καὶ βηχός, καὶ φύσης, καὶ ψόφου, ἢ φθεγγομένου τι καὶ παρὰ φύσιν τοῦ κάμνοντος, ἤτοι κατὰ παραφροσύνην, ἢ κλαγγῶδες, ἢ βραγχῶδες, ἢ τοιοῦτόν τι πάθος ἐχούσης τῆς φωνῆς. D Ἐν δὲ τοῖς κατὰ χειρουργίαν, ἰδεῖν μέν ἐστιν τὰ μελαινόμενα, τὰ ἐρυθραινόμενα, τὰ καθ' ὁντιναοῦν τρόπον ἐξαλλάττοντα τὴν κατὰ φύσιν χροιάν, ἢ φυλάττοντα· καὶ πρὸς τούτοις ἔτι καθάπερ ἐπὶ τοῦ κατ' ὦμον ἄρθρου, κοιλότητα μὲν ἐπωμίδος, ἀκρωμίου δὲ ἀνάτασιν ἰδεῖν ἐστι· θιγεῖν δὲ τῆς ἐν μασχάλῃ κεφαλῆς, ἀκοῦσαι δὲ τῶν γιγνομένων ψόφων ἐν τῷ κάμνοντος σώματι, καθάπερ ἐπὶ θώρακος συντετρημένου, πνεύματος ἐκφυσωμένου πρὸς τὸ τραῦμα.

E Περὶ τῶν ἔξωθεν αἰσθήσεων, ὄψεως, ἀκοῆς, γεύσεως, ὀσφρήσεως, καὶ ἁφῆς· Περὶ δὲ τῶν ἔσωθεν, διανοίας, γνώμης, λόγου τοῦ ἐνδιαθέτου, δι' ὧν ἐκ τῆς τῶν αἰσθητῶν ὁμοιότητος, καὶ ἀνομοιότητος τὰ νοσήματα διαγινώσκεται. τὰ αἰσθητά, τὰ ὄντα χρῶμα, χυλός, ἀτμός, φωνή, σκληρότης, μαλακότης, θερμότης, ψυχρότης, καὶ ἁπτὴ ποιότης. τὸ πάσαις ὑποβάλλειν ταῖς αἰσθήσεσι τὴν κρίσιν οὐκ ἄνευ μνήμης καὶ συναριθμήσεως, γνώμης ἔργον εἶναι. τί ἡ γνώμη.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

Καὶ τῇ ὄψει, καὶ τῇ ἁφῇ, καὶ τῇ ἀκοῇ, καὶ τῇ ῥινί, καὶ τῇ γλώσσῃ, καὶ τῇ γνώμῃ ἐστὶν αἰσθέσθαι.

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

ΤΩν αἰσθήσεων ἁπάσαις τὴν γνώμην ἐφεξῆς ἔταξεν, ὅπερ ἐστὶ τὴν διάνοιαν, ἥν τε καὶ νοῦν, καὶ φρένα,

B *QVæ & videre, & tangere, & audire decet.*

GALENI COMMENTARIUS.

QUum æquum cenſuerit artis partem Diagnoſticam morborum *dignotioni dicatam* omnium primam per ea exerceri quæ in ægrotantis corpore tum ſimiliter, tum diſſimiliter afficiuntur, prout ſanis conferuntur, & prout ſunt quædam & maxima, & facillima, quædam cum ipſis neceſſariò noſcuntur; nunc jam (quemadmodùm commentatus ſum) quænam illa ſint, his verbis docet *quæ & videre, & tangere, & audire decet.* Videre quidem licet, quæ ſub viſum; tangere, quæ ſub tactum; & audire, quæ ſub auditum cadunt. Enimverò quod de facie per initia Prognoſtici ſcriptum eſt, videre licet, nares acutas, oculos concavos, & collapſa tempora; tangere, aures frigidas; videre ſimul, & tangere cutim faciei duram, aridam, & obtentam; audire quæ in libri ſerie pronunciata ſunt, ſternutamentum, tuſſim, flatum, ſtrepitum, aut loquentem præter naturam ægrotum, aut vocem cum delirio, aut ſtridulam, aut raucam, aut ejuſmodi quopiam vitio affectam. In morbis ad Chirurgiam ſpectantibus cernere quidem licet quæ nigreſcunt, quæ rubent, quæ quocunque modo naturalem ſuum colorem immutant, aut tuentur. Adhæc etiamnum ut in humeri articulo epomidis quidem cavitatem, & acromii extenſionem videre licet; caput verò in ala tangere; audire denique eos qui in laborantis corpore ſtrepitus eduntur, quemadmodùm qui in thorace perforato, ſpiritu per vulnus efflante *ſtrepitant.*

De quinque ſenſibus externis, viſu, auditu, guſtu, odoratu, & tactu; de internis, intellectu, mente, ratione mente conceptâ, quibus ſenſilium ſimilitudine ac diſſimilitudine morbi dignoſcuntur. Quid ſenſilia, quæ ſunt color, ſapor, odor, vox, durities, mollities, calor, frigus, tractabilis qualitas: cunctis ſenſibus rerum judicium ſubjicere, non citrà memoriam & enumerationem, mentis munus eſſe: Quid *γνώμη*.

HIPPOCRATIS TEXTUS III.

QVæ & viſu, & tactu, & auditu, & naribus, & lingua, & mente ſentire licet.

GALENI COMMENTARIUS.

CUm ſenſibus omnibus *externis* intellectum ſerie collocavit, hoc eſt, intelligentiam, quam & mentem, & animum vulgò, &

& rationem homines vocitant. Quia verò & in voce quædam ratio eſt, propterea illam ſejungentes Philoſophi prædictam rationem mente conceptam appellant; quâ ratione rebus cognitis & conſentanea, & repugnantia comprehenduntur; diviſio quoque, & compoſitio, & reſolutio, & demonſtratio, & quæcumque ſunt ejuſmodi cætera. Cur verò narium, & linguæ ſenſuum ſeorſum priùs immemor, hoc in textu, *quæ & videre, & tangere, & audire licet*, poſtea horum quinque cum mente meminerit, decenter quæritur. Atque ſanè & à multis nonnulla quidem abſurda, memoriæ indigna; quædam verò probabilia, & commemoratione digna enarrata ſunt, ducto hinc exordio. Hippocratem aſſerunt nobis præcepiſſe, ut ex eorum quæ ſub ſenſus cadunt ſimilitudine, ac diſſimilitudine morborum dignotiones conſtitueremus. Senſilia verò propriè dicuntur quæ ad dignotionem non alias vires deſiderant; ſed ſoli quæ ſenſu fit, cognitioni ſubminiſtrant. Atque hæc ſenſilia dici volunt, non tamen propriè ipſa appellatione quæ pluribus ſenſibus ſimul cum memoria, tum ratione quam compoſitam & maximè contractam vocitant, dignotionem inſtituunt. Itaque colorem ex iis, quæ præcipua ſenſilia dicuntur, eſſe ferunt, quemadmodum ſaporem, odorem, vocem, prætereà duritiem, mollitudinē, calorem, frigus, & uno nomine qualitates omnes tractabiles; neque verò malum, malum-punicum, neque pirum, neque aliam ſubſtantiam, totam ſenſu notam eſſe proferunt; ſed, ut Plato dicebat, opinione cum ſenſu bruto, omniaque eſſe opinabilia; & propterea quædam plerunque in ipſorum dignotionibus decipi, quum vel colorem tantùm, vel figuram, vel hæc ambo rei priùs conſenti conſimilia conſpiciant. Etenim mala, mala-punica, pira, uvas, nuces, juglandes, & alia multa cibaria, ex cera formata, priuſquam & odore percipiantur, & guſtentur, tanganturque, à veris non diſcrepantia videri. Qui verò cunctis præpollet ſenſibus, eum ipſorum uſu falli minimè poſſe. Cunctis autem præpollere *ſenſibus* citra memoriam, & enumerationem difficile, & hanc neque ſenſus, neque memoriæ; ſed cognitionis, hoc eſt, mentis munus eſſe. Quum igitur pronuntiavit Hippocrates, *quæ & videre, & tangere, & audire licet*, eum exempli authoritate ipſorum ſenſilium mentionem feciſſe proferunt. Quum verò tum ſimpliciter, tum propriè à ſenſilibus digreſſus ad totam naturam tranſiit, jure tunc ipſum & ſenſus omnes, & cum ipſis mentem commemoraſſe, itaut univerſa oratio ſit hujuſmodi. Ad morborum dignotionem Medicum decet à ſimilium, ac diſſimilium inſpectione auſpicari, qui interdum ſimplicium duntaxat qualitatum, interdum omnium corporis partium comparationem efficiat; Enimverò hæc explicatio ratione non caret. Eſt & altera quædam hunc in modum. Hippocratem quum inquit, *quæ & videre, & tangere, & audire licet*, de Medico ſermonem feciſſe proferunt; quum verò quæ ſequuntur, pronuntiat, *quæ autem viſu, auditu, tactu, odoratu, guſtu, & mente ſentire licet*, ad ægrotantem ipſum orationem contexiſſe, ut Medicus dignotionem inveſtiget non ſolùm ex iis quæ ipſe, ſed & ex iis, quæ æger videt, tāgit, audit, odoratur, guſtat; & mente afficitur dum ſapit, aut

A καὶ λόγον κοινῶς οἱ ἄνθρωποι καλοῦσιν. ἐπεὶ δὲ καὶ ὁ κατὰ τὴν φωνήν ἐστί τις λόγος, ἀφορίζοντες ἀπὸ τούτου τὸν προειρημένον λόγον οἱ φιλόσοφοι, καλοῦσιν ἐνδιάθετον, ᾧ λόγῳ, τά τε ἀκόλουθα, καὶ τὰ μαχόμενα γιγνωσκομένοις ἐμπεριέχεσθαι, καὶ διαίρεσις, καὶ σύνθεσις, καὶ ἀνάλυσις, καὶ ἀπόδειξις, ὅσα τἆλλα τοιαῦτα. Διὰ τί δὲ τῶν ῥινῶν, καὶ τῆς γλώττης αἰσθήσεων, ἰδίᾳ πρότερον οὐ μνημονεύσας ἐν τῷ φάναι, ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαί ἐστι, ἑξῆς τῶν πέντε μετὰ τῆς γνώμης ἐμνημόνευσεν, εἰκότως ἐζήτηται. Καὶ δὴ καὶ λέλεκται πολλοῖς, τὰ μὲν ἀπίθανα
B καὶ ἀνάξια μνήμης, τὰ δὲ πιθανά, καὶ μνήμης ἄξια, τὴν ἀρχὴν ποιησαμένοις ἐνθένδε. Τὸν Ἱπποκράτην φασὶ κελεύειν ἡμᾶς, τὰς διαγνώσεις ποιεῖσθαι τῶν παθῶν, ἐξ ὁμοιότητός τε, καὶ ἀνομοιότητος τῶν αἰσθητῶν· Αἰσθητὰ δὲ, κυρίως λέγεται, τὰ μὴ δεόμενα δυνάμεως ἑτέρας εἰς διάγνωσιν, ἀλλ' ἀρκούμενα μόνῃ τῇ διὰ τῆς αἰσθήσεως γνώσει· οὐ κυρίως δὲ ὅμως λέγεσθαι, καὶ αὐτὰ κατὰ τὴν αὐτὴν προσηγορίαν αἰσθητά, τὰ διὰ πλειόνων αἰσθήσεων, ἅμα μνήμῃ τε, καὶ τῷ καλουμένῳ συνθέτῳ τε ἅμα καὶ κεφαλαιωτικῷ λόγῳ, τὴν διάγνωσιν ἔχοντα. Τὸ μὲν οὖν χρῶμα τῶν κυρίως λεγομένων αἰσθητῶν εἶναι, καθάπερ τὸν χυ-
C λόν, καὶ τὸν ἀτμόν, καὶ τὴν φωνήν, ὡσαύτως δὲ σκληρότητα, καὶ μαλακότητα, καὶ θερμότητά τε, καὶ ψυχρότητα, καὶ συνελόντα φάναι, τὰς ἁπτὰς ἁπάσας ποιότητας· οὔτε δὲ μῆλον, οὔτε ῥοιάν, οὔτε ἄπιον, οὔτε ἄλλην οὐσίαν φασὶν ὅλην αἰσθήσει γνώριμον ὑπάρχειν· ἀλλ' ὡς ὁ Πλάτων ἔλεγε, δόξῃ μετ' αἰσθήσεως ἀλόγου· δοξαστὰ δὲ τὰ πλεῖστα εἶναι, καὶ διὰ τοῦτό γέ που σφάλλεσθαι πολλάκις ἐν ταῖς διαγνώσεσιν αὐτῶν ἐνίους, ὅταν ἤτοι χρῶμα μόνον, ἢ σχῆμα, ἢ ἄμφω ταῦτα θεάσωνταί τις παραπλήσια τῷ πρόσθεν ὠφθέντι. Καὶ γὰρ μῆλα,
D καὶ ῥοιάς, καὶ ἄπια, καὶ σταφυλάς, καὶ κάρυα, καὶ ἄλλα πολλὰ φαίνεσθαι σιτίων πεπλασμένων ἐκ κηροῦ, πρὶν ὀσμήσασθαί τε, καὶ γεύσασθαι, καὶ ἅψασθαι, τοῖς ἀληθινοῖς ἀπαράλλακτα· πάσαις δ' ἄν τινα ταῖς αἰσθήσεσιν ὑπερβάλλοντα, τῇ χρήσει αὐτῶν, μὴ δύνασθαι σφαλῆναι. τὸ δὲ πάσαις ὑπερβάλλειν οὐκ ἄνευ μνήμης, καὶ συναριθμήσεως, καὶ ταύτην οὔτε αἰσθήσεως, οὔτε μνήμης, ἀλλὰ τῆς γνώμης ἔργον εἶναι, τουτέστι τῆς διανοίας· Ὀνομάζουσι δὲ τὴν συναρίθμησιν, οὐχ οὕτως μόνον, ἀλλὰ καὶ συγκεφαλαίωσιν, ὅτι μὲν οὖν εἶπεν Ἱπποκράτης, ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαί ἐστι, ὡς ἐν παραδείγματος μοίρᾳ μνημονεῦσαί φασι τῶν αἰσθητῶν αὐτόν· ὁπότε δὲ
E ἀποχωρήσας τῶν ἁπλῶς τε καὶ κυρίως αἰσθητῶν, ἐπὶ τὰς ὅλας οὐσίας μετέβη, προσηκόντως αὐτὸν ἐνταῦθα, τῶν δὲ αἰσθήσεων ἁπασῶν, καὶ σὺν αὐταῖς, γνώμης μνημονεῦσαι, ὡς εἶναι τὸν ὅλον λόγον τοιοῦτον ἀρχεσθαι. προσήκει τὸν ἰατρὸν τῆς τῶν παθῶν διαγνώσεως, ἀπὸ τῆς τοῦ ὁμοίου τε, καὶ ἀνομοίου θεωρίας, ἐνίοτε μὲν, ἐπὶ μόνων τῶν ἁπλῶν ποιοτήτων, ποιούμενον τὴν παραβολήν, ἐνίοτε δέ, ὅλων τῶν σωμάτων. ἔστι μὲν γὰρ ἤδη ἡ ἐξήγησις οὐκ ἄλογος· ἔστι δὲ καὶ ἑτέρα τις τοιάδε. Τὸν Ἱπποκράτην φασίν, ὁπότε μὲν εἶπεν,
F ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαί ἐστι· ἐπὶ τοῦ ἰατροῦ πεποιῆσθαι τὸν λόγον· Ὁπότε δὲ ἐφεξῆς τῶν δέ φησιν, ἃ καὶ ὄψει, καὶ τῇ ἀκοῇ, καὶ τῇ ἁφῇ, καὶ τῇ ῥινί, καὶ τῇ γλώσσῃ, καὶ τῇ γνώμῃ ἐστὶν αἰσθέσθαι, ἐπὶ τοῦ κάμνοντος αὐτοῦ γεγονέναι τὸν λόγον· ἵνα μὴ μόνον, ἐξ ὧν αὐτὸς ὁ ἰατρός, ἀλλὰ καὶ ἐξ ὧν ὁ κάμνων ὁρᾷ, καὶ ἅπτεται, καὶ ἀκούει, καὶ ὀσφραίνεται, καὶ γεύεται, καὶ τῇ γνώμῃ διακρίνεται, καταμαθών, ἢ παραιτῶν, ἡ διάγνωσις γί-

μνοντος, ὥσπερ ἐκ τῆς νόσου· ἐὰν μὲν γὰρ ἅπαντα αὐτῷ φαίνηται γευομένῳ πικρά, καθάπερ τοῖς ἰκτεριῶσι, χολῆς ἐμπεπλῆσθαι τὴν γλῶτταν· ἐὰν δὲ ἁλυκά, φλέγματος ἁλυκοῦ· ἐὰν δὲ ὀξέα, αὐτοῦ ὀξέος· οὕτω δὲ καὶ τοῦ ἰδίου ἱδρῶτος ἐνίοτε παραρρυέντος εἰς τὸ στόμα, τῆς ποιότητος αἰσθάνεσθαι φασὶ τὸν κάμνοντα. Τοῖς τοῦτον τὸν τρόπον ἐξηγουμένοις ἐμποδίσασθαι δοκεῖ, τὸ παραλελεῖφθαι τὴν ὄσφρησιν τοῦ ἰατροῦ, καίτοι χρωμένου αὐτῇ πρὸς πολλά· καὶ γὰρ ἐπὶ διαχωρημάτων, καὶ οὔρων, καὶ πτυέλων, ἑλκῶν τε, καὶ αὐτῆς τῆς τοῦ κάμνοντος εἰσπνοῆς, χρῆται τῇ τῆς ὀσφρήσεως αἰσθήσει, κατὰ τὴν σημείωσιν. ἐγχωρεῖ δέ, ταύτην παραλελεῖφθαι φάναι ὑπὸ τοῦ βιβλιογράφου, καθάπερ καὶ ἄλλα πολλὰ ἐν πολλοῖς βιβλίοις Ἱπποκράτους τε, καὶ τῶν ἄλλων εὑρίσκομεν, τὰ μὲν ἡμαρτημένα φανερῶς, τὰ δὲ παραλελειμμένα. Καὶ μὴν καὶ τοιαύτην ἐξήγησιν ἔγραψάν τινες· οὐ τὸ αὐτὸ σημαίνεσθαί φασιν ἐκ τοῦ φάναι, καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαί ἐστι, τῷ καὶ τῇ ὄψει, καὶ τῇ ἀκοῇ, καὶ τῇ ἁφῇ ἐστιν αἰσθάνεσθαι. ἰδεῖν μὲν γάρ ἐστι, καὶ θιγεῖν, καὶ ἀκούειν μὴ καταληπτικῶς, αἰσθάνεσθαι δὲ οὐκέτι μὴ καταληπτικῶς. ἔστι δὲ ἡ τοιαύτη τῆς αἰσθήσεως ἐξήγησις τοῦ Σημίου τοῦ Στωϊκοῦ, διὸ καὶ τοῦ Κοΐντου μαθητὴς Ἰφικιανός, αὐτὴν προσήκατο, τὴν Στωϊκὴν ἀσπαζόμενος φιλοσοφίαν· ἀλλ' ὃ λέγουσιν ἐστὶ τοιοῦτον. Τὸ μὲν ἕτερον μέρος τῆς ῥήσεως, περὶ τοῦ γένους μόνου διδάσκει τῶν πραγμάτων, ἐξ ὧν αἱ σημειώσεις ἡμῖν γίνονται· τὸ δὲ δεύτερον, περὶ τοῦ κατ' αὐτὸ διηκριβωμένου τε, καὶ πιστοῦ, ὡς εἰ καὶ οὕτως ἐγέγραπτο, προσήκει ποιεῖσθαι τὰς διαγνώσεις, ἀπὸ τῶν ὁμοίων τε, καὶ ἀνομοίων τοῖς κατὰ φύσιν, ἐν τῷ τοῦ κάμνοντος σώματι φαινομένων· Ταῦτα δέ, καὶ τὰ αἰσθητὰ καὶ τούτων αὐτῶν οὐχ ὅσα παρεῖδεν, ἢ παρήκουσεν, ἢ ὅλως παρῄσθετο κατά τινα τῶν αἰσθήσεων, ἀλλ' ἃ καλῶς καὶ καταληπτικῶς τῶν αἰσθήσεων ᾔσθετο ἑκάστη καὶ τῇ γνώμῃ. συγκεχρῆσθαι γάρ φησι τῇ τοῦ αἰσθάνεσθαι φωνῇ τὸν Ἱπποκράτην, κατὰ τῆς γνώμης. καὶ τοίνυν ἐν τῷ προτέρῳ μέρει τῆς ῥήσεως, ἑνός, ἢ καὶ δυοῖν ἔτυχε μνημονεύσας, ὅλον γὰρ τὸ γένος αὐτῶν ἐκ παραδείγματος ἐνεδείξατο· κατὰ δὲ τὸ δεύτερον μέρος τῆς ῥήσεως, ἁπασῶν ἐμνημόνευσε μετὰ τῆς γνώμης, ἀσφαλῆ καὶ βέβαιον τὴν ἀπόφασιν ποιούμενος, ἐπειδὴ πάσαις ὑπάρχει κοινόν, τὸ καταληπτικῶς τῶν ὑποκειμένων ἀπομάττεσθαι τὰς ἰδέας· ἐπεὶ δέ, ὅπερ ὑπεσχόμην, ἔπραξα, δηλώσας τε ὅσα πιθανῶς εἴρηταί τισιν εἰς τὸ μὴ δοκεῖν τὸν Ἱπποκράτην πολλάκις εἰρηκέναι περὶ τῶν αὐτῶν, ἐμοὶ μὲν ἤδη καιρὸς ἐπὶ τὰ συνεχῆ μετέρχεσθαι, σοὶ δὲ τὴν δόξαν τῶν εἰρημένων ἀρίστην σκεψαμένῳ προαιρεῖν. μέμνηται δὲ καὶ περὶ τοῦ τῆς γνώμης ὀνόματος εἰπών, ὡς ἐπὶ τῶν παλαιῶν, ἐν ἴσῳ ἐστὶ τῷ διανοίας, εἴτε καὶ ἐννοήσεως ἐλέγετο. πολλῶν δ' ὄντων εἰς τοῦτο μαρτυριῶν, ὀλίγα παραθήσομαι. Κριτίας μέν, ἐν τῷ πρώτῳ ἀφορισμῶν τάδε γράφει· μήτε ἃ τῷ ἄλλῳ σώματι αἰσθάνεται, μήτε ἃ τῇ γνώμῃ γιγνώσκει. καὶ πάλιν γιγνώσκουσιν οἱ ἄνθρωποι, εἴ τις μὲν ὑγιαίνει τῇ γνώμῃ, καὶ ἐν ὁμιλιῶν προτέρῳ· εἰ δ' αὐτὸς ἀσκήσειας οὕτως γνώμῃ, ἱκανός, ἥκιστα

conjicere: Nam ſi *ægro* ipſi guſtanti amara omnia videantur, veluti ictero laborantibus, linguam bile ſaturatam eſſe; ſi ſalſa, pituita ſalſa;
B ſi acida, ipſa acida. Sic & ægrum dicunt ſui ſudoris interdum in ea diffluentis qualitatem ſentire. Hoc pacto explicantibus adverſari videtur, quod odoratum Medici prætererit, etiamſi ipſo ad multa utatur. Etenim ex dejectionibus, urinis, ſputis, ulceribus, & ipſa laborantis reſpiratione, odoratus ſenſu ad dignotionem utitur. At forte datur hunc à Librario prætermiſſum, ſicut & alia multa, quæ in multis & Hippocratis, & aliorum libris partim omiſſa, partim evidenter depravata comperiuntur. Quinetiam ejuſmodi explicationem quidam ſcripſerunt, qui
C non idem his verbis ſignificari profitentur, *quæ videre, tangere, & audire licet*, ac illis, *viſu, auditu, & tactu ſentiuntur*. Videre namque licet, tangere, & audire, re minimè comprehenſa; ſentire verò citrà comprehenſionem non item. At hujuſmodi ſenſus explicatio Semii eſt Stoici; quam propterea admiſit Iphicianus Quinti diſcipulus qui Stoicam Philoſophiam ſectatus eſt. Verùm quod proferũt, eſt ejuſmodi. Altera quidem pars textûs de ſolo docet rerum genere, ex quibus dignotiones oriuntur; altera verò de eo quod per ſe accuratè diſcuſſum & exploratum eſt; ac ſi ita ſcripſerat. Decebat conſtitui dignotiones
D tum à ſimilibus, tum diſſimilibus rei ſecundum naturam exiſtentis, quæ in ægrotantis corpore conſpiciuntur. Hæc autem ſunt & quæ ſub ſenſus cadunt, & ex iis ipſis non quæ pravè videntur, aut pravè audiuntur, aut omnino aliquo ſenſu pravè ſentiuntur; ſed quæ probè & ſingulorum ſenſuum comprehenſione, & mente percipiuntur; abuſum verò Hippocratem fuiſſe dicunt vocabulo, *ſentiuntur*, de mente verba facientem: ac proinde in prima ſententiæ parte unius *ſenſus*, vel duorum fuiſſe memorem. Uni-
E verſum enim eorum genus ſub exemplo demonſtravit. In ſecunda verò textus parte omnium ſenſuum cum mente meminiſſe, quò ſolidam & exploratam enunciationem redderet: Nam commune eſt omnibus comprehenſione objectorum ſpecies excipere. Sed quum quod pollicitus ſum, præſtiterim, & quæ à nonnullis appoſitè dicta ſunt, ad hoc attulerim, ne videretur Hippocrates eadem ſæpius pronunciaſſe; jam opportunum mihi quidem tempus eſt orationis ſeriem ſectari; tibi verò ſuperiores ſententias ſcrutato omnium optimam eligere. Me-
F minit autem *γνώμης* vocabulum accepiſſe, ut apud Veteres, quod idem atque mens ſive etiam intelligentia ſignificat. Quum igitur ad hoc multa ſint teſtimonia, pauca in medium proferam. Critias in primo Aphoriſmo hæc ſcribit. *Nec quæ reliquo corpore, nec quæ mente intelligit* Et iterum; *Homines an ſanus aliquis ſit mente cognoſcunt.* Et in priore de Colloquiis libro; *Si ipſe exercitatus ita fuiſſes, ut tua mente valeres, minime*

ſic ab ipſo tibi injuria fieret. Et in eodem ſæpenumero, & in ſecundo colloquiorum, *γνώμης* mentionem fecit, ſenſibus ipſam in diviſione opponens. Quemadmodum & Antipho in primo de Veritate. Ratione qui hæc novit, nequaquàm ipſe longitudinem viſu cernit, neque qui longitudinem novit, abſque mente novit. Etenim omnibus hominibus tum per corporis ſanitatem, tum per morbum, atque cætera omnia mens imperat. Et Plato ut in primo ſæpe; ita in quinto de Republica immoratus eſt. Itaque hujus intelligentiam ut cognoſcentis mentem, ita & opinantis opinionem eſſe rectè dicimus. Et Lyſias in Polyuchum: Ille namque in omnibus rebus quæ ſua uſus mente pro noſtro populo geſſit, multorum bonorum civitati cauſa fuiſſe videbitur & plurimis incommodis hoſtes affeciſſe. Æſchines quoque Socraticus in Miltiade, & Hyperides in Dioclem, & alii Rhetores, Medici, atque Poëtæ, quorum omnium meminiſſe ſupervacaneum eſt, eadem ſignificatione id vocabulum uſurpatunt.

αὐ οὕτως ὑπ' αὐτοῦ ἂν ἀδικηθείης, καὶ πολλάκις ἐν τῷ αὐτῷ καὶ ἐν τῷ δευτέρῳ τῆς ὁμιλίας, ἀντιδιαιρῶν τῇ αἰσθήσει τὴν γνώμην, πολλάκις εἴρηκεν· ὥσπερ καὶ ὁ Ἀντιφῶν ἐν τῷ πρώτῳ περὶ τῆς ἀληθείας, ἐν τῷ λόγῳ ταῦτα δὲ γνούς, εἰς εἴσεται οὐδὲν αὐτῷ τῶν ὄψει ὁρᾷ μακρότατα, οὔτε ὧν γνώμῃ γιγνώσκει, ὁ μακρότατα γιγνώσκων. καὶ πᾶσι γὰρ ἀνθρώποις, ἡ γνώμη τοῦ σώματος ἡγεῖται καὶ εἰς ὑγείαν, καὶ νόσον, καὶ τὰ ἄλλα πάντα. καὶ ὡς ὁ Πλάτων περὶ πρώτου ἐν ἄλλοις τε καὶ κατὰ τὸ ε΄. τῆς πολιτείας. οὐκοῦν τούτου μὲν τὴν διάνοιαν, ὡς γιγνώσκοντος, γνώμην ἂν ὀρθῶς φαμὲν εἶναι, τοῦ δὲ δοξάζοντος, δόξαν, Καὶ Λυσίας κατὰ Πολυεύχου· ἐκεῖνος γὰρ ὅσα τῇ ἑαυτοῦ γνώμῃ χρώμενος, ὑπὲρ τοῦ ἡμετέρου πλήθους ἔπραξε, πανταχοῦ φανήσεται, πολλῶν μὲν καὶ ἀγαθῶν αἴτιος τῇ πόλει γενόμενος, πλεῖστα δὲ καὶ ἄχρηστα τοὺς πολεμίους ἐργασάμενος. καὶ Αἰσχίνης δὲ κατὰ τοῦτο ὁ Σωκρατικὸς ἐν τῷ Μιλτιάδῃ, κατὰ τὸ αὐτὸ σημαινόμενον κέχρηται τῷ ὀνόματι, καὶ Ὑπερίδης, ἐν τῷ κατ' αὐτὸ Διοκλέους, καὶ ἄλλοι ῥήτορές τε, καὶ ἰατροί, καὶ ποιηταί· περιττὸν δὲ πάντων μνημονεύειν.

Huc uſque Libri percurrit Proœmium. Utrum animæ facultates duæ ſint quibus objecta dignoſcuntur Senſus, & Mens, quas conſtituit Hippocrates, Memoriam addidit Galenus. Quidam adjiciunt Intelligentiam, Rationem, Judicium, & Conſilium. Quid Memoria? Opiniones cum Authorum mente interire. Suam quiſque Sectam primariam eſſe vult. In Artis operibus decet Medicum ab affectûs dignotione exordium ducere, ſimilium & diſſimilium inſpectione, & ſenſu, & perceptorum mente comparatione. Quæ ſit inter idem ac ſimile differentia. Eorumdem & ſimiles obſervationes eſſe faciendas, pathognomonicas, prognoſticas, & therapeuticas. Diſſimilia multa.

Ἄχρι δεῦρο τὸ βιβλίου προοίμιον διεξέρχεται. πότερον αἱ τῆς ψυχῆς δυνάμεις ὡσεὶ δύο διαγνωστικαὶ τῶν ὑποκειμένων, ἡ αἴσθησις, καὶ γνώμη, ἃς τέθεικεν Ἱπποκράτης. Μνήμην προστέθεικεν ὁ Γαληνός. Ἔνιοι προστεθείκασι τὴν διάνοιαν, καὶ τὸν λόγον, καὶ κρίσιν, καὶ προαίρεσιν. Τί ἡ μνήμη; Τὰς δόξας μετὰ τῆς αὐτουργῶν γνώμης διεφθάρθαι. Ἕκαστος τὴν ἑαυτοῦ αἵρεσιν πρώτην εἶναι θέλει· προσήκει τὸν ἰατρὸν τὸ ἔργον τῆς τέχνης ἀπὸ τῆς διαγνώσεως τῶν παθῶν ἄρχεσθαι, τῇ τῶν ὁμοίων καὶ ἀνομοίων θεωρίᾳ, τῇ αἰσθήσει καὶ γνώμῃ, καὶ παραλελημμένων παραβολῇ. Τί διαφέρει τοῦ ὁμοίου τὸ ταυτόν. Τὰς αὐτὰς καὶ ὁμοίους τηρήσεων ποιητέας εἶναι τὰς παθογνωμονικάς, καὶ προγνωστικάς, καὶ θεραπευτικάς. Τὰ ἀνόμοια πλεῖστα.

HIPPOCRATIS TEXTUS IV.

QUæ, & quibus cognoſcuntur, omnibus datur cognoſcere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ΄.

Ἃ, Καὶ οἷς γιγνώσκεται, πᾶσίν ἐστι γνῶναι.

GALENI COMMENTARIUS.

QUæritur & hîc decenter quænam ſint aliæ præter ſenſum & mentem facultates à natura nobis conceſſæ, quibus exteriora objecta dignoſcuntur. Quod enim non omnes enumeraverit, ita intulit; *Quæ cognoſcuntur, omnibus datur cognoſcere.* Quamobrem nunc ipſum ita pronunciare dicimus, & ſanè explicabimus, quiddam imprimis præfatis & ad quæ deinceps dicenda ſunt neceſſarium, & jam à multis veteribus proditum, quibus placet nullam eſſe opinionem, quam Sectarum Authores Philoſophi videntur inveniſſe, quæcunque verò prioribus ſeculis ſæpe tradita ſunt, unà cùm aliorum mente interiiſſe. Non tamen Pyrrhoniam Sectam, aut Academicam, aut Stoïcam, aut Peripateticam, aut quamvis aliam poſt Hippocratem ortum habuiſſe cenſet quiſquis rerum ipſarum opinione accenditur, quum ipſi Pyrrhonei ad vetuſtiſſimos viros primariam ſuam Sectam referant. Quocircà veriſimile eſt Hippocratis temporibus, imò verò, non veriſimile; ſed neceſſa-

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

Ζητεῖται κἀνταῦθα προσηκόντως, τίνες ποτέ εἰσιν ἄλλαι δυνάμεις, παρά τε τὴν αἴσθησιν, καὶ τὴν γνώμην, ὑπὸ τῆς φύσεως ἡμῖν δεδομέναι, διαγνωστικαὶ τῶν ἐκτὸς ὑποκειμένων· ὡς γὰρ οὐκ εἰρηκὼς ἁπάσας, οὕτως ἐπιφέρει, γιγνωσκόμενα πᾶσίν ἐστι γνῶναι. διότι τοίνυν αὐτὸν οὕτως εἰπεῖν νομίζω, καὶ δὴ φράσω, προειπών τι πρότερον, ἀναγκαῖον εἰς τὰ μέλλοντα λεχθήσεσθαι, πολλοῖς ἤδη καὶ τῶν παλαιῶν εἰρημένον, οἷς ἀρέσκει μηδεμίαν εἶναι δόξαν, ἣν οἱ τὰς αἱρέσεις συστησάμενοι φιλόσοφοι δοκοῦσιν εὑρηκέναι, πάντα δὲ τὰ εἰρημένα τῷ πρόσθεν χρόνῳ πολλάκις, ἅμα τῇ τῶν ἄλλων γνώμῃ διέφθαρται. μὴ μέντοι δοκεῖ τὴν Πυρρώνειαν αἵρεσιν, ἢ Ἀκαδημαϊκήν, ἢ Στωϊκήν, ἢ Περιπατητικήν, ἤ τινα ἄλλην, ὕστερον Ἱπποκράτους γεγονέναι, τῇ τῶν πραγμάτων αὐτῶν ἐξαπτόμενος δόξῃ. αὐτοὶ γοῦν οἱ τοῦ Πύρρωνος, εἰς παλαιοτάτους ἄνδρας ἀνάγουσι τὴν ἑαυτῶν προαίρεσιν. εἰκὸς οὖν καθ' Ἱπποκράτην, μᾶλλον δὲ οὐκ εἰκός, ἀλλ' ἀναγ-

εἶναι νομίζειν. ὅπως οὖν αὐτῶν ἐκφύγῃ τὴν ἐπήρειαν ὁ Ἱπποκράτης, αὐτὸς μὲν ἐμνημόνευσε δυοῖν κατὰ γένος δυνάμεσιν, αἰσθήσεώς τε, καὶ διανοίας, ἃς ἴστε κἀμὲ διὰ παντὸς ἐπιδεικνύντα, μόνα ἡμᾶς ἔχειν κριτήρια τῆς γνώσεως. ἕνεκα δὲ τῶν σοφιστῶν, τῷ λόγῳ προσέθηκε, ἃ δὴ οἷς γινώσκομεν πᾶσι δυνατόν ἐστι γνῶναι. τινὲς μὲν οἴονται, τὸν μὲν νοῦν, ἄλλης εἶναι φύσεως, τὴν δὲ διάνοιαν ἄλλης, τὸν δὲ ἐνδιάθετον ὀνομαζόμενον λόγον ἄλλης, καὶ τούτων δὲ πλείους ἄγουσι δυνάμεις. Ἐμοὶ δὲ ἐν τοῖς τοῦ κοινοῦ λόγου βιβλίοις δέδεικται τρεῖς εἶναι τὰς πάσας ἐν ἡμῖν δυνάμεις, αἷς χρώμεθα πρός τε τὰς τῶν τεχνῶν συστάσεις καὶ τῶν βιβλίων, αἴσθησίν τε, καὶ νοῦν, καὶ μνήμην. ἀλλὰ τὴν μὲν μνήμην ἀποτίθεσθαί τε, καὶ φυλάττειν ἐν αὐτῇ, τὰ γνωσθέντα διά τε αἰσθήσεως, καὶ νοῦ, ταμεῖόν τι τῶν εὑρημένων αὐτοῖς ὑπάρχειν, οὐκ αὐτὴν εὑρίσκουσαν ἑκάστου πράγματος φύσιν. εἰς δὲ τὴν τῶν ζητουμένων εὕρεσίν τε, καὶ κρίσιν, αἴσθησίν τε, καὶ νοῦν, ἡμῖν ὑπάρχειν φύσει. Ἀλλ' ὅταν γε μὴν περὶ τούτων αὐτῶν ὁ λόγος ᾖ, συγχωρεῖ τις, ἄλλην μὲν δύναμιν εἶναι τῆς νοήσεως, ὑπολαμβάνουσι δὲ τοῦ λόγου, καὶ νοῦν πάλιν ἄλλην, εἰ βούλονται, τοῦ νοῦ καὶ τῆς διανοίας, ἀρκεῖ γε τοῦτο πρὸς αὐτούς, ὡς ἐναργῶς ἅπαντες ἄνθρωποι διαγινώσκουσι καὶ μῆλον, καὶ μέσπιλον, καὶ σταφυλήν, καὶ ἄλλα σώματα ὀσπρίων, εἴτε διὰ μιᾶς δυνάμεως ψυχικῆς, εἴτε διὰ δυοῖν, ἢ τριῶν, ἢ πλειόνων ἡ διάγνωσις αὐτῶν γίγνηται. πεπεισμένοι δὲ εἰσὶν ὡσαύτως ἅπαντες οἱ ἄνθρωποι, καὶ κίνησιν εἶναί τε, καὶ αἴτιον, καὶ σημεῖον, αὐτά τε ταῦτα τὰ προειρημένα, καὶ νοῦν, καὶ μνήμην, καὶ προαίρεσιν, ἃ πρὸς ἄλλοις πολλοῖς ἀνατρέπειν ἐπεχείρησεν Ἀσκληπιάδης, ὡς οὐκ ὄντα. Τούτων οὖν μοι προειρημένων, ἤδη νομίζω, σαφὲς γεγονέναι, οὗτινος ἕνεκα, ἐπὶ τελευτῇ τῆς διδασκαλίας, ὁ Ἱπποκράτης, αὐτάρκως γεγραμμένης, προσέγραψεν· ἃ καὶ οἷς γινώσκομεν, ἅπασίν ἐστι γνῶναι. ἄρχεσθαι μὲν προσήκει τὸν ἰατρὸν τῶν ἔργων τῆς τέχνης ἀπὸ τῆς διαγνώσεως τῶν παθῶν, παραβαλόντα τὰ κατὰ τὸν νοσοῦντα νοσήματα φαινόμενα τοῖς τῶν ὑγιαινόντων, καὶ θεωροῦντα, τίνα μὲν ὅμοια, τίνα δὲ ἀνόμοια, τὴν γνῶσιν γε καὶ αὐτῶν, καὶ τῶν ἄλλων ἁπάντων ὑπερβαίνειν, αἰσθήσει τε, καὶ γνώμῃ, καὶ εἴ τι δόξειεν ὡς ἄλλο πρὸς τούτοις κοινὸν ἁπάντων εἶναι φύσει κριτήριον, ὁμοίως κἀκείνοις εἰς τὴν τῶν εὑρημένων κρίσιν. ὡς τὸ γιγνώσκειν ἔχουσιν ἅπαντες ἄνθρωποι, ὡς μὲν καὶ ἡμεῖς. εἰς γὰρ τῆς τέχνης ἔργα, τὴν μὲν δὴ ὕλην ἔχοντες, τὰ αἰσθητά, ἐν οἷς φησι, ἃ καὶ θίγειν, καὶ ἀκοῦσαί ἐστι· τὴν δὲ τούτων κριτικήν, διττήν, αἴσθησίν τε, καὶ γνώμην, ἃς διὰ τῆς ἐχομένης ῥήσεως ἐδήλωσεν εἰπών, ἃ καὶ τῇ ἀκοῇ, καὶ τῇ ῥινί, καὶ τῇ γλώττῃ ἐστὶν αἰσθέσθαι, ὑπηρετούσας ἀμφοτέρας, ἐναργῶς μὲν τῇ μνήμῃ, εἰ δέ τινα καὶ ἄλλην ἐπεισάγει τις δύναμιν, οὐκ ἐκείνην ἡμῶν ἀρνουμένων, ἐὰν οὕτως φαίνηται χρήσιμος ὑποκειμένῳ ὑπάρχουσα. διὰ γὰρ τοῦ φάναι, οἷς

Quò igitur eorum inſultum effugeret Hippocrates, ipſe duarum genere facultatum ſenſus B & mentis meminit, quas ſcitis etiam me ſemper demonſtraſſe ſola nos habere cognoſcendi judicia. At propter Sophiſtas orationi appoſuit; *Quæ & quibus cognoſcendi facultas data eſt.* Quidam augurantur alterius quidem naturæ mentem, alterius verò intelligentiam eſſe; alterius quoque quam mente conceptam rationem appellitant, atque his plures etiamnum facultates introducunt. Nobis verò in Libris de communi ratione demonſtratum eſt tres univerſas nobis ineſſe facultates quibus ad artium & librorum conſtructionem utimur, ſenſum, men- C tem, & memoriam. Verùm memoriam in ſe ſenſu ac mente percepta & recondere & reſervare, & rerum ipſis inventarum promptuarium quoddam eſſe, ipſamque ſingularum rerum naturam non invenire; ad eorum verò quæ inquiruntur inventionem & judicium, tum ſenſum, tum mentem nobis naturâ ſuppetere. Sed quum de his ipſis oratio ſit, concedit aliquis aliam quidem eſſe intelligentiæ facultatem, alii verò rationis aliam conjiciunt. Nuneque rurſus aliam ſi velint & mentis & aliam intelligentiæ quæ D huic adverſùs eos par ſit, ut evidenter omnes homines dignoſcant & malum, & meſpillum, & uvam, & leguminum corpora, ſive una animæ facultate, ſive duabus, ſive tribus, ſive pluribus ipſorum dignotio prodeat. Omnes autem homines peræquè ſibi perſuaſerunt & motum & cauſam, & ſignum, & hæc ipſa prædicta, & mentem, & memoriam, & conſilium eſſe, quæ præter alia multa funditùs evertere conatus eſt Aſclepiades, ac ſi nulla ſint. His igitur à nobis propoſitis, jam mea quidem ſententia, dilucidum E eſt cujus rei gratia in fine doctrinæ ſatis editæ adſcripſerit Hippocrates; *Quæ & quibus cognoſcuntur, omnibus datur cognoſcere.* Inire decet Medicum artis opera, ducto ab affectuum dignotione principio, apparentes ægrotantis affectus ſanorum affectibus comparantem, & qui ſimiles ſint, & qui diſſimiles ſpeculantem, eorum & & aliorum omnium cognitionem tum ſenſu, tum mente tranſcendere; & ſi quam cenſuerit præter has aliam communem rerum omnium judicem eſſe naturâ facultatem, ac illis peræquè inventorum judicium; ut etiam cognoſce- F re cuncti omnes poſſunt, ut & nos in Medicinæ operibus habentes tanquam materiam quæ ſub ſenſus cadunt, his verbis; *quæ & tangere, & audire licet;* judicandi verò hæc facultatem duplicem, ſenſum & mentem, quas eâdem textus ſerie declaravit, quum inquit, *Quæ & auditu, & odoratu, & guſtu ſentire licet;* utriſque ſanè memoriæ manifeſtè ſubſervientibus. Si quis verò aliam quandam facultatem introduxerit, illam nos minimè propulerimus, ſi ſubjectæ materiæ utilis exiſtat. His enim pronunciatis; *Quæ & qui-*

bus cognoſcuntur, omnibus datur cognoſcere. Et mentem complexus eſt, vel etiam conceſſit, auguratus aliquam & aliam eſſe judicandi facultatem, & ipſam nobis probare. Quæ igitur huc uſque hoc in Hippocratis Libro ſcripta ſunt ad materiam Medicam vulgò referuntur; atque idcirco ipſa totius artis proœmium quoddam eſſe pronunciavi. Deinceps autem ad Chirurgiam proceſſit, & ad ea quæ hujus ſunt artis, quæ in officina Medici aut diſcere, aut facere poſſunt qui in arte ab initio exercentur. Atque nemo exiſtimaverit, explicationem me longiorem præter meum morem feciſſe. Quæ nanque totius artis communes ſunt ſententiæ, in his, quàm in particularibus prolixiorem appellari conſentaneum eſt, ac maximè quum quis aliquo in opere ipſas diſtinxerit, non amplius eas rursùm explicaturus; quemadmodùm & ego primùm in horum Librorum Hippocratis explicatione ſtatui quidem omnia tum ſenſu, tum mente dignoſcere; earum verò, quas retuli ſententiarum nullam ampliùs mentionem facere. Non tamen tunc, neque nunc, pro ipſius rei dignitate orationem produxi: Quum enim mihi liceat ortam de facultatum animalium controverſiam & explicare, & ſimul decernere, utilius duxi qui harum accuratiorem notitiam deſiderat, eum ad opus de communi ratione remittere. Intercedente verò alia hoc in textu quæſtione, *à ſimilis & diſſimilis inſpectione exordiendum eſſe*, propterea quod frequentiùs articulatè non omnibus innoteſcit, ſi qua ſit inter *idem, ac ſimile* differentia; hanc quoque conſultus omiſi, aliis in Commentariis accuratè tractatam. Nam ad ejus animadverſionem etiam alia quædam coincidunt quæ prætermiſi, & hanc, Utrum eorundem vel ſimilium obſervationes fiant. Et certè quidam Empirici ſimilia obſervanda eſſe profitentur; quidam verò accuratiores univerſæ ſuæ Sectæ diſciplinam ſervantes, eorumdem cenſent obſervationes omnes eſſe faciendas, tum pathognomicas appellatas, tum prognoſticas, tum therapeuticas; & Dionem phreneticum eundem eſſe, atque Theonem phrenitide laborantem, quatenùs ambo phrenitide delirant. Nonnulli verò neque ſimile ſimpliciter dici profitentur, ſed duobus modis & intelligi, & enunciari; uno quidem ſimile intelligitur, quod nulla re diſſidet, quemadmodum Caſtor & Pollux; altero verò non hujuſmodi, verùm in quo & magis & minus eſt. Non tamen & apud vetuſtiſſimos Medicos, & Philoſophos, quorum adhuc extant opera, hujuſmodi ſimilium uſurpatio comperitur; quum ipſi confuſè, & citra diſtinctionem ſimilium appellatione utantur; aliàs quidem in iis qui formam ſortiuntur minimè diſcrepantem, ut ſiniſtrum oculum à dextro, cùm ambo in uno homine ſpectantur; aliàs verò ubi diverſis in hominibus, hic quidem glaucus, ille verò cæſius eſt, aut niger, aut quatenùs oculi; atque hos ſimiles eſſe dijudicant. Satius tamen ipſis & magis conſuetum eſt glaucum glauco, & cæſium cæſio, quemadmodum & naſum aduncum adunco, ſimum ſimo, & rectum recto ſimilem appellare.

A γιγνωσκόμενα πᾶσίν ἐστι γνῶναι, περιέλαβε μὲν καὶ τὴν γνώμην, ἢ ἐξουσίαν δέδωκε τοῖς ἡγουμένοις εἶναί τινα καὶ ἄλλην κριτικὴν δύναμιν, καὶ ἐπιδεικνύειν ἡμῖν αὐτήν. Τὰ μὲν ἄχρι δεῦρο κατὰ τὸ βιβλίον Ἱπποκράτους γεγραμμένα, κοινὰ τῆς ὕλης ἰατρικῆς ἐστι, καὶ διὰ τοῦτό γε ἔφην, αὐτὰ προοίμιον μέν τι πάσης τέχνης εἶναι. Τούτων δ' ἐφεξῆς ἐπὶ χειρουργίαν ἀποκεχώρηκε, καὶ ταύτης ἃ κατὰ τὸ ἰατρεῖον ἢ μανθάνειν, ἢ πράττειν ἐξ ἀρχῆς, οἱ κατὰ τὴν τέχνην ἀσκούμενοι δύνανται. καὶ μὴ νομίσῃ μέ τις, παρὰ τὸ ἐμὸν ἦθος μεμηκυγκέναι τὴν ἐξήγησιν· ὅσοι γὰρ κοινοὶ λόγοι τῆς ὅλης B τέχνης εἰσί, τούτοις προσήκει μακρότερον, ἢ κατὰ τοὺς ἐν μέρει, λέγεσθαι, καὶ μάλισθ' ὅταν αὐτοὺς ἔν τινι πραγματείᾳ διέλῃ, μηκέτι μέλλων αὖθις ἐρεῖν αὐτούς, καθάπερ κἀγὼ προῄρημαι κατὰ τὴν τῶν Ἱπποκράτους βιβλίων ἐξήγησιν, ἅπαντα μὲν διακρίνειν αἰσθήσει τε καὶ γνώμῃ, τῶν δ' εἰρημένων ἄρτι λόγων μηκέτι μνημονεύειν. οὐ μὴν οὐδὲ νῦν, ἀξίως αὐτοῦ τοῦ πράγματος ἐμήκυνα τὸν λόγον. ἐνὸν γάρ μοι διελθεῖν τε ἅμα, καὶ κρῖναι τὴν γεγενημένην διαφωνίαν περὶ τοῦ τῶν ψυχικῶν δυνάμεων ἀριθμοῦ, βέλτιον ἐνόμισα, πρὸς τὴν τοῦ κοινοῦ λόγου πραγματείαν ἀναC πέμψαι τὸν βουλόμενον ἀκριβέστερον περὶ τούτων γνῶναι. διερχομένης δὲ τῆς ἄλλης ζητήσεως, ἐν τῷ λέγειν, ἀπὸ τῆς τοῦ ὁμοίου, καὶ ἀνομοίου θεωρίας ἄρχεσθαι, διὰ τὸ μὴ πάνυ τι διηρθρωμένως νοεῖσθαι πᾶσιν, ὅτι εἴ τι διαφέρει τοῦ ὁμοίου τὸ ταὐτόν, ἑκὼν καὶ ταύτην παρέλιπον, ἐν ἑτέροις ἐξειργασμένην. ἐμπίπτει γὰρ εἰς τὴν περὶ αὐτῆς σκέψιν, ἄλλα τέ τινα ἃ καὶ ταύτην παρέλιπον, τὸ πότερον ἐπὶ τοῖς αὐτοῖς, ἢ ὁμοίοις, αἱ τηρήσεις μὲν τοῖς ἐμπειρικοῖς γίγνονται. ἔνιοι μὲν γὰρ καὶ αὐτῶν τῶν Ἐμπειρικῶν, ἐπὶ τοῖς ὁμοίοις ἔφασαν, οἱ δὲ ἀκριβέστεροι τὴν ἀκολουθίαν διαD σώζοντες ὅλης ἑαυτῶν τῆς ἀγωγῆς, ἐπὶ τοῖς αὐτοῖς φασὶ τὰς τηρήσεις ἁπάσας γίγνεσθαι, τάς τε παθογνωμικὰς ὀνομαζομένας, καὶ τὰς προγνωστικάς, καὶ τὰς θεραπευτικάς. Δίωνα φρενιτίζοντα, Θέωνι φρενιτίζοντι, καθόσον ἀμφότεροι φρενιτίζουσι, τὸν αὐτὸν εἶναι. Τινὲς δ' οὐδ' ἁπλῶς λέγεσθαί φασι τὸ ὅμοιον, ἀλλὰ καὶ νοεῖσθαι, καὶ λέγεσθαι διττῶς· ἓν μὲν γὰρ ὅμοιον ἀπαράλλακτον νοεῖσθαι, καθάπερ τοὺς Διοσκόρους, ἕτερον δέ, οὐ τοιοῦτον, ἀλλ' ἐν ᾧ τὸ μᾶλλόν τε, καὶ ἧττόν ἐστι. οὐ μὴν παρὰ τοῖς παλαιοτάτοις ἰατροῖς τε, καὶ φιλοσόφοις, ὧν ἔτι συγγράμματα διασώζεται, E τοιαύτη χρῆσις εὑρίσκεται, συγκεχυμένως καὶ ἀδιαρθρώτως χρωμένων αὐτῶν τῇ τῶν ὁμοίων προσηγορίᾳ, ποτὲ μὲν ἐπὶ τῶν αὐτὸ εἶδος ἐχόντων ἀπαράλλακτον, ὡς τὸν ἀριστερὸν ὀφθαλμόν, τῷ δεξιῷ θεωρουμένοις ἀμφοῖν ἐφ' ἑνὸς ἀνθρώπου· ποτὲ δ' αὖ καὶ ἐπὶ διαφερόντων ἀνθρώπων, ὁ μὲν γλαυκός, ὁ δὲ χαροπός, ἢ μέλας, ἢ καθόσον ὀφθαλμοί, καὶ τούτους ὁμοίους λέγουσιν εἶναι, μᾶλλον δὲ αὐτοῖς ἐστι, καὶ συνηθέστερον, τὸν γλαυκὸν τῷ γλαυκῷ, τὸν F χαροπὸν τῷ χαροπῷ λέγειν ὅμοιον, καθάπερ γε καὶ τὴν ῥῖνα, τὴν μὲν γρυπὴν τῇ γρυπῇ, τῇ δὲ σιμῇ τὴν σιμήν, τῇ δὲ εὐθείᾳ τὴν εὐθεῖαν ὁμοίαν εἶναι.

ΤΑ δ' ἐς χειρουργίαν, κατ' ἰητρεῖον.

Q... ſicina ſpectant.

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

ΑΙ τοιαῦται βραχυλογίαι προδήλως ἐφ' ἑκόντων γίγνονται, ἀσαφῶς ἑρμηνεῦσαί τι βουληθέντων. ὅπου γὰρ ἐνίοτε μὲν, ὀνόματος ἑνὸς, ἢ ῥήματος, ἢ δυοῖν, ἢ τὸ πλεῖστον τριῶν προστεθέντων, τὸν λόγον ἐργάσασθαί ἐστι σαφῆ, πῶς οὐκ ἄν τις ἀσάφειαν ἐπιτηδεύεσθαι φαίη τοὺς οὕτω συγκειμένους λόγους; ἐγὼ γοῦν ἐρῶ τὸν τύπον τῆς λέξεως, ᾧ τις ἂν χρησάμενος, ἠνύσατο σαφῆ τὸν λόγον. ἔσται δὲ τοιόσδε τις. ἡ μὲν ἰατρικὴ πᾶσα, κοινὸν τὸν σκοπὸν εἰς τὰς διαγνώσεις τῶν παθῶν, ὁμοιότητά τε, καὶ ἀνομοιότητα πρὸς τοὺς ὑγιαίνοντας, ἔκ τε τῶν ἐναργῶς αἰσθήσει τε, καὶ νοήσει φαινομένων, τήν τε εὕρεσιν ἔχουσα, καὶ τὴν κρίσιν. Ἐγὼ δὲ ταύτης ἐρῶ τὰ κατὰ χειρουργίαν μόνον, ἃ ἐν ἰατρικῇ δύναται δείκνυσθαί τε τοῖς μανθάνουσι, καὶ περὶ τοὺς πάσχοντας ἐνεργεῖσθαι. οὕτως ἄν τις μὲν εἴποι, σαφῶς ἑρμηνεῦσαι βουλόμενος. γράφουσι δ' ἔνιοι τοῦ κατ' ἰητρεῖον ὀνόματος, τὴν ἐσχάτην συλλαβὴν διὰ τοῦ η, καὶ εἰ βούλει, κατὰ τὴν ἰατρικὴν, οὐ κατὰ τὸ χωρίον, ὃ καλοῦμεν ἰατρεῖον, ὡσεὶ καὶ οὕτως εἰρήκει. Τὰ δ' ἐς χειρουργίαν, τὴν κατ' ἰατρικὴν τέχνην, ἐστὶ τάδε. Φαίνεται δὲ ἑξῆς ὁ τοῦ βιβλίου συγγραφεὺς, εἴτ' αὐτὸς ὁ Ἱπποκράτης ἐστὶν, εἴθ' υἱὸς αὐτοῦ Θεσσαλὸς, οὔτε πασῶν τῶν κατ' ἰατρικὴν χειρουργιῶν μνημονεύειν, οὔτε τῶν κατὰ τὸ ἰατρεῖον, ἀλλὰ καὶ τούτων αὐτῶν, ὅσαι τοῖς εἰσαγομένοις εἰσὶ χρήσιμοι. καὶ μέντοι καὶ ἡ ἐπιγραφὴ τοῦ συγγράμματος ἐντεῦθεν ἐγένετο, ἣ παραπλησίως ἐς ὕστερον ἐποιήσατο Διοκλῆς, καὶ Φιλότιμος, καὶ Μαντίας. εἶχε δ' ἂν τελειότερον, ἣν περὶ τῶν κατ' ἰητρεῖον ἐπιγέγραπτο. θαυμάζω δὲ Ἀσκληπιάδου, τὴν μὲν κατ' ἰητρείην γραφὴν φυλάξαντος σημεῖον δὲ αὐτὴν οἰομένου περὶ τῶν αὐτῶν, κατὰ τὸ ἰητρεῖον. τὸ γὰρ κατ' ἰητρείην ἐστὶ τούτου σημαντικὸν, οὐ τὸ κατ' ἰητρεῖον, ἵνα τις ἰατρεῖον, τὴν νόσων ἰατρείην ἀκούσῃ. Τὰ μὲν δὴ ταῦτα περὶ τῶν ὀνομάτων ἔχει τὴν σκέψιν, ὧν ὀλίγη φροντὶς τοῖς σπουδάζουσι τὴν τῶν πραγμάτων ἀλήθειαν. Ἡ δὲ αὐτῶν τῶν προκειμένων διδασκαλία, κατὰ τὴν ἑξῆς λέξιν ἄρχεται.

B

GALENI COMMENTARIUS.

HUjuſmodi breviloquentiæ à conſultis perſpicuè procedunt, obſcurè quid enunciare volentibus. Ubi namque nonnunquam unius nominis, aut verbi, aut duorum, aut ad ſummum trium adjectione dilucidam orationem conficere datur: qua ratione quis non obſcuritatem ſectari dixerit verbis ita contextis? Ego certè textus typum ſum dicturus, quo quicunque uſus fuerit, dilucidam noverit orationem. Hic autem talis erit. Univerſa Medicina ad affectuum dignotiones, ſanorum tum ſimi-
C litudine, tum diſſimilitudine, per ea quæ & ſenſu, & mente deprehenduntur, conſilium, inventionem, & judicium dirigit. Ego verò quæ Chirurgiæ ſunt exequar quæ in Medicatrina diſcentibus demonſtrare, & circa morbis affectos operari poſſumus. Quicumque dilucidis verbis explicare velit, ita loqueretur. Scribunt autem nonnulli poſtremam nominis κατ' ἰητρεῖον *Medicatrinæ* ſyllabam per η, κατ' ἰητρείην, ac ſi velis in Medicina, non in loco, quem ἰατρεῖον *Medicatrinam* vocitamus, interpretari, quaſi ita dixerit. Quæ ad Chirurgiam artis Medendi partem ſpectant, hæc ſunt. Author autem libri
D deinceps declaratur (ſive ipſe ſit Hippocrates, ſive Theſſalus ejus filius) neque omnes Medicæ Chirurgiæ operationes, neque res ad Medicatrinam ſpectantes, memoriæ prodidiſſe; ſed ex his ipſis quæcunque tironibus in uſu ſunt. Atque etiam inde Libri titulus ortum duxit, quem poſtea Diocles, Philotimus, & Mantias conſtituerunt. Planiùs autem inſcribi potuit, περὶ τῶν κατ' ἰητρεῖον, ſi de iis, quæ in Medici officina ſpectantur, fiat inſcriptio. Miror autem Aſclepiadem qui titulum quidem κατ' ἰητρείην
E *quæ in Medicina ſpectantur*, ſervandum eſſe cenſet, titulum verò περὶ τῶν αὐτῶν κατὰ τὸ ἰητρεῖον, *de iis quæ in Medici officina ſpectantur ſignificare.* Prior enim titulus κατ' ἰητρείην *Medicinam*, non alter qui κατ' ἰητρεῖον *Medici officinam* ſignificat, quò quis ἰατρεῖον *Medici officinam*, ἰητρείην Medicinam morborum Medicatricem interpretetur. Atque profectò hujuſmodi de nominibus diſceptationem continent, de quibus pauci ſolliciti ſunt, qui rerum veritatem negotiantur. Quæ verò propoſita ſunt, eorum doctrina ſe-
F quenti oratione exorditur.

A quibus, per quæ, & in quibus Chirurgia verſatur. Quæ docturus ſit Galenus. Ægrotans ægrum; agens Chirurgum; miniſtri miniſtrantes Chirurgo ſervos; machinamenta, magna inſtrumenta; lumen, lucem artificioſam; ubi locum, poſituram; quomodo ſitus figuram; quot dictorum numerum; quibus inſtrumentis; quomodo modum operandi; quando tempus vel occaſionem; corpus, partem affectam; inſtrumenta minora; tempus occaſionem junctam; modus ortum morbi dignoſcendi; locus partem affectam ſignificat, quæ Medicum noſſe debet.

ὑφ' ὧν, καὶ δι' ὧν, καὶ περὶ ὧν ἡ χειρουργία καταγίνεται. Ἅττα διδαξόμενος ὁ Γαληνός. Ὁ ἀσθενέων, τὸν νοσέοντα· ὁ δρῶν τὸν χειρουργόν· οἱ ὑπηρέται τοὺς ὑπηρετοῦντας τῷ χειρουργῷ δούλους· τὰ μηχανήματα, μεγάλα τὰ ἐργαλεῖα· τὸ φῶς, τὴν αὐγὴν τεχνικήν. ὅκου, τὸν τόπον καὶ θέσιν. ὅκως τὸ τῆς θέσεως σχῆμα· ὁκόσα, τὸν προειρημένων ἀριθμόν, οἷσι τοῖς ἐργαλείοις· ὅκως τὸν τρόπον τοῦ χειρουργεῖν· ὁκότε, τὸν χρόνον ἢ καιρόν. τὸ σῶμα, τὸ μέρος τὸ πεπονθός. τὰ ἄρμενα, τὰ μικρὰ ὄργανα· ὁ χρόνος, τὸν καιρὸν ἐζευγμένον· ὁ τρόπος τοῦ νοσήματος διαγνωστικοῦ γένεσιν· ὁ τόπος, τὸ μέρος πεπονθότος δηλοῖ· καὶ τοῦτον τὸν ἰατρὸν γνῶναι χρή.

HIPPOCRATIS TEXTUS VI.

Ægrotans, agens, miniſtri, machinamenta, lumen, ubi, quomodo, quot, quibus, quo pacto, quando, corpus, inſtrumenta, tempus, modus, locus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ'.

Ὁ ἀσθενέων, ὁ δρῶν, οἱ ὑπηρέται, τὰ ἐργαλεῖα, τὸ φῶς, ὅκου, ὅκως, ὁκόσα, οἷσιν, ὅκως, ὁκότε, τὸ σῶμα, τὰ ἄρμενα, ὁ χρόνος, ὁ τρόπος, ὁ τόπος.

GALENI COMMENTARIUS.

Hoc textu omnia percenſuit, à quibus, per quæ, & in quibus Chirurgica Medicinæ pars occupatur. Deinde narrat quale prædictorum unumquodque eſſe deceat, & quomodo, & quo tempore ad uſum duci. Ex his plurima manifeſta ſunt, ſicut *ægrotans, agens, miniſtri, machinamenta, lumen.* Et ſanè ipſe quoque Author in ſequentibus de iis diſſeruit, quum docuit, quomodo deceat ægrotantem ſe Medico *obſequentem* præſtare; quomodo Medicum circa ipſum agere oporteat; & quomodo huic aſtantes ſubminiſtrare conſentaneum ſit. Eodem verò modo & de machinamentis, & de lumine quæcunque nos noſſe deceat, ipſe deinceps ſcriptis prodidit. Poſt hæc autem de deligatione longam doctrinam conſtituit, minimè producta orationis forma. At quæcunque propoſito textu narrantur, præterquam *ægrotans, agens, miniſtri, machinamenta, lumen*, perpendenda ſunt. Atque inprimis ὅκου *ubi* primum inter ipſa relatum quod per κ ſecundæ ſyllabæ Iones, nos per π pronunciamus; quod locum, in quo quis ſitus eſt, ſignificat; proindeque prædictis omnibus, non modo id attribui aliquis protulerit. Ægrotans nanque idoneo loco opus habet (ægrotantia verò vocata ſunt, quibus nimirum ſuccurrit Chirurgia.) Hoc autem non minùs Medicus, quemadmodum & inſtrumenta conſentaneum locum deſiderant, & ex luminibus quod artificioſum eſt, ut id penes nos ſit, & quemvis in locum feratur. Quod deinceps ſcribitur *quomodo* ὅκως per κ, id nos per π, ὅπως pronunciamus. Notat autem non apud nos duntaxat; ſed & apud Iones rerum docendarum veluti qualitatem. Artis nanque peritos non ſolùm affectum locum ſcire decet, ubi decumbens æger, aut ſedens manu curandus eſt, ſed & quomodo figurandus: ſic verò & qui operatur, & qui ipſi operanti miniſtrant. Machinamentorum quoque poſitura non ſolùm idoneum habere locum poſtulat; ſed & per ordinem apparari. Sic ſingula tum Medico, tum ejus miniſtris ad manum maximè fuerint. Conſtat autem hinc omiſiſſe inſtrumenta, ut quæ ſimul

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

Διὰ ταύτης τῆς ῥήσεως ἅπαντα δηλοῖ, ὑφ' ὧν, καὶ δι' ὧν, καὶ περὶ ὧν, τὸ χειρουργικὸν μέρος τῆς τέχνης καταγίνεται. διέξεισι δὲ ἐφεξῆς, ὁποῖόν τι τῶν εἰρημένων ἕκαστον εἶναι προσήκει· καὶ καθ' ὅν τινα τρόπον, ἢ χρόνον, εἰς χρῆσιν ἄγεσθαι. ἔστι δ' αὐτῶν τὰ μὲν πλεῖστα σαφῆ, καθάπερ ὁ ἀσθενέων, καὶ ὁ δρῶν, καὶ οἱ ὑπηρέται, καὶ τὰ ὄργανα, καὶ τὸ φῶς. καὶ μέντοι καὶ αὐτὸς ὁ συγγραφεὺς, ἑξῆς ὑπὲρ αὐτῶν δηλοῖ, ὅπως μὲν ἑαυτὸν χρὴ παρέχειν τῷ ἰατρῷ τὸν ἀσθενοῦντα διδάξας, ὅπως δὲ δεῖ τὸν ἰατρὸν ἐνεργεῖν ἀμφ' αὐτόν, ὅπως δὲ τοὺς παρόντας τούτῳ ὑπηρετεῖν δεῖ· ὡσαύτως δὲ καὶ περὶ τῶν ὀργάνων, καὶ τοῦ φωτὸς, αὐτὸς ὅσα προσήκει γιγνώσκειν ἡμᾶς, ἐφεξῆς ἔγραψε. μετὰ δὲ ταῦτα περὶ ἐπιδέσεως μακρὰν ἐποιήσατο διδασκαλίαν, οὐ κατὰ τὸ τῆς λέξεως εἶδος μηκύνας, ἐν ὅλῳ γὰρ τῷ βιβλίῳ φυλάττει τὴν βραχυλογίαν, ἀλλὰ τῷ βουληθῆναι μηδὲν παραλιπεῖν τῶν χρησίμων. ὅσα τοίνυν ἐκτὸς ἀσθενοῦντος, καὶ δρῶντος, καὶ ὑπηρετῶν, καὶ ἐργαλείων, καὶ φωτὸς εἴρηται, κατὰ τὴν προκειμένην ῥῆσιν ἐπισκέψασθαι χρή. καὶ πρῶτόν γε τὸ πρῶτον ἐν αὐτοῖς εἰρημένον, τὸ ὅκου, διὰ τοῦ μὲν κ, τῆς δευτέρας συλλαβῆς ὑπὸ τῶν Ἰώνων λεγομένης, πρὸς ἡμῶν δὲ διὰ τοῦ π. καὶ σημαίνοντος τὸν τόπον ἐν ᾧ κείμενος τυγχάνει. διὸ καὶ κατὰ πάντων αὐτό τις εἰρῆσθαι τῶν προειρημένων, οὐκ ἂν ἀπὸ τρόπου φαίη· ὅ,τι γὰρ ἀσθενὴς ἐπιτηδείου τόπου δεῖται (κέκληνται δὲ τὰ ἀσθενοῦντα δηλονότι, περὶ ὧν ἡ χειρουργία γίνεται) τούτου δ' οὐχ ἧττον ὁ ἰατρός· ὥσπερ γε τὰ ὄργανα τοῦ προσήκοντος τόπου χρῄζει, καὶ τοῦ φωτὸς δὲ, τὸ τεχνικὸν, ὡς αὐτὸ ἐφ' ἡμῖν ἐστιν, ἐν τῷδε τῷ τόπῳ ποιῆσαι. τὸ δὲ ἐφεξῆς γεγραμμένον τὸ, ὅκως, ἡμεῖς μὲν διὰ τοῦ π, λέγομεν ὅπως· σημαίνει δ' οὐ παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς Ἴωσι, τὴν οἷον ποιότητα τῶν διδασκομένων πραγμάτων. οὐ γὰρ μόνον, ὅπου χρὴ κατακείμενον, ἢ καθήμενον χειρουργεῖσθαι τὸν πεπονθότα τόπον, ἐπίστασθαι τοῖς μανθάνουσι τὴν τέχνην, ἀλλὰ καὶ τὸ ποῖον ἔχει σχήματος. οὕτως δὲ καὶ τὸν ἐνεργοῦντα, καὶ τοὺς ὑπηρετοῦντας αὐτῷ. καὶ τῶν ὀργάνων ἡ θέσις, οὐ μόνον ἐπιτήδειον ἔχειν δεῖται τόπον, ἀλλὰ καὶ παρεσκευάσθαι κατὰ τάξιν. οὕτως ἂν εὐληπτότατον ἕκαστον εἴη, καὶ αὐτῷ τῷ ἰατρῷ, καὶ τοῖς ὑπηρέταις αὐτοῦ. φαίνεται δὲ ἐντεῦθεν παραλελοιπὼς τὰ ἄρμενα συνεπινοεῖσθαι συν-

ἵνα τὸ μὲν ὀλίγον ἔμπροσθεν εἰρημένον, ὅκως, ἐφεξῆς τοῦ ὅκου τὴν ἐν τῇ θέσει ποιότητα δηλοῖ. τὸ δὲ νῦν λεγόμενον, τὴν ἐν τῇ χρήσει. τέτακται γοῦν ἐκεῖνο μὲν, B ἐπιρρήματι τοπικῷ τοῦ ὅκου, τοῦτο δὲ, ἄρθρῳ τοῦ διὰ τῶν ὀργάνων ἐργαλείων ἐνεργείας, δηλῶσαι βουλομένῳ. Τὸ δὲ ἐφεξῆς εἰρημένον ὁκότε, προδήλως τὸν καιρὸν δηλοῖ, καθ' ὃν ἑκάστῳ προσήκει χρῆσθαι. Τὰ δὲ μετὰ ταῦτα, κατὰ τήνδε τὴν λέξιν οὕτως ἔχοντα, τὸ σῶμα, τὰ ἄρμενα, ὁ χρόνος, ὁ τρόπος, ὁ τόπος, εἰκότως ἐζήτηται τίνα διάνοιαν ἔχει. καὶ γὰρ τὸ σῶμα τοῦ πάσχοντος, ἔμπροσθεν εἴρηται δυνάμει κατ' ἐκεῖνο τὸ μέρος τῆς ῥήσεως, ἐν ᾧ τοῦ ἀσθενοῦντος ἐμνημόνευσε. καὶ ὁ χρόνος ἐν C τῷ, ὁκότε, καὶ ὁ τρόπος, ἐν τῷ, ὅκως, καὶ ὁ τόπος ἐν τῷ, ὅκου. διὰ τί οὖν φαίνεται ταῦτα λέγων, μετὰ τοῦ καὶ παρόντος ἐμβεβλῆσθαι παρὰ τάξιν αὖθις τὰ ἄρμενα, βελτίονα τάξιν ἔχοντα μετὰ τῶν ὀργάνων τετάχθαι, δυναμένων ἡμῶν, εἰ καὶ μηδ' ὅλως ἐγέγραπτο, συνεπινοεῖν τοῖς ὀργάνοις. Ἀλλὰ περὶ μὲν τούτων ἔνεστι λέγειν, ὡς τὰς σμίλας, καὶ τὰ τρύπανα, καὶ τὰ ἄγκιστρα, καὶ τὰς ξυστῆρας, καὶ τοὺς μηνιγγοφύλακας, ὅσα τε ἄλλα τοιαῦτα, προσήκει νῦν ἀκοῦσαι λέγειν αὐτὸν ἄρμενα. δυναμένων δὲ ἡμῶν αὐτὰ συνυπακοῦσαι τοῖς ὀργάνοις, ὡς ὁμογενῆ D κατὰ τὴν οἰκείαν σκευὴν πρὸς τὴν θεραπείαν χρήσιμα, καλεῖν αὐτὰ ἄρμενα, καθάπερ ἐν τῷ περὶ διαίτης ὀξέων εἶπεν, ἔνθα περὶ λουτροῦ διῆλθεν. ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκεύασται τὰ ἄρμενα, καὶ οἱ θεραπεύοντες ὡς δεῖ. σκάφας οὖν ἡγητέον λέγειν αὐτὸν, καὶ τροχοὺς, καὶ λεκάνας, καὶ πυέλους, καὶ ὅσα τἄλλα τοῖς θεραπευομένοις ἐπιτήδεια. Περὶ τῶν ἅμα τοῖς ἀρμένοις εἰρημένων, ἐμμένει τὸ ἄτοπον. ἴσως οὖν εἴρηκε νῦν, σῶμα μὲν, τὸ πεπονθὸς μόριον, χρόνον δὲ, τὸν ἐζευγμένον αὐτῷ. Προσήκει γὰρ ἐν ταῖς χειρουργίαις ἐπίστασθαι ὁκότε ἀναιρετέον ἐστὶ τὸ θε- E ραπευόμενον πάθος. Αὐτὸς οὖν ἐκέλευσε, μήτε κατατείνειν κῶλα, μήτ' ἐμβάλλειν ἄρθρα τριταῖα, καὶ τεταρταῖα. δύναται δὲ καὶ τῆς χειρουργίας χρόνος εἰρῆσθαι νῦν. ἔνια μὲν γὰρ χρὴ πειρᾶσθαι τάχιστα χειρουργεῖν, ὅταν ἤδη, διὰ τὸ ψυχθῆναι μὲν κίνδυνος ἕπηται μέγιστος, ὡς ἐπὶ τῶν ἀπερραμμένων ἦν. φέρονται γὰρ ταχέως εἰς τὸ μέγεθος τῆς ὀδύνης οἱ χειρουργούμενοι. τινὰ δὲ ἐν χρόνῳ πλείονι, καθάπερ τὰ ὑποχύματα. δεῖ γὰρ μετὰ τὸ καταβῆναι, κρατῆσαι τὸ παρακέντητον ὡς F προσήκει μέχρι πολλοῦ, κατὰ τὸ χωρίον ᾧ βουλόμεθα μένειν στηριχθέντα βεβαίως αὐτό. καὶ νῦν ὁ τρόπος ἐπὶ τῆς τοῦ πάθους γενέσεως εἰρῆσθαι δύναται, κατὰ τίνα τρόπον ἤτοι τὸ κάταγμα γέγονεν, ἢ τὸ ἐξάρθρημα γινώσκειν ἀξιοῦντος αὐτοῦ, τὸν ἰατρὸν, ὥσπερ καὶ τῶν περὶ ἐν τῇ κεφαλῇ τραυμάτων αὐτὸς διῆλθε τοὺς τρόπους, καθ' οὓς αἱ πληγαὶ γίνονται, κατὰ τήνδε τὴν ῥῆσιν. Τιτρώσκεται δὲ ὀστέον τὸ ἐν τῇ κεφαλῇ κατὰ

riùs voci, *ubi*, poſtpoſitum pronunciatur in poſitura, quum verò nunc profertur, in uſu diſpoſitionem declaret. Illud ergo quomodo pro adverbio loci *ubi* collocatur; hoc autem pro articulo ſeu relativo, quod quibuſdam inſtrumentis, aut machinamentis actiones explicare decernit. Quod ſerie dictum eſt, *quando*, occaſionem apertè declarat, per quam ſingulis uti conveniat. Quæ verò poſteà his verbis ità ſe habent, *corpus*, *inſtrumenta*, *tempus*, *modus*, *locus*, meritò indagatur, quam ſortiantur intelligentiam. Etenim *corpus* ægrotantis antè facultate pronunciatum eſt, in quâ textus parte ægrotantis meminit. Atque per *quando*, tempus; per *quomodo*, modus; & per *ubi*, locus intelligitur. Cur igitur his prolatis agnoſcitur cum præſenti quoque *dictione*, ipſis præter ordinem inſtrumenta inſerere, quæ præſtantiorem ordinem ſortiuntur, ſi cum machinamentis collocata ſint; quum poſſimus nos, etiamſi nequaquam ſcripta eſſent ſimul cum machinamentis intelligere? Verùm pro his machinamentis licet proferre quod ſcalpella, terebras, hamos, ſcalpros, laminas membranæ cuſtodes, & quæcunque hujuſmodi cætera intelligere deceat, quæ inſtrumenta nunc vocitat. Quum autem nos ipſa inſtrumenta cum machinamentis intelligere poſſimus, quòd genere ſimilia ex domeſtico apparatu ad curationem ſunt utilia, ipſa ἄρμενα vocitat, qua ratione in opere de ratione victûs in morbis acutis pronuncians, ubi de balneo diſſeruit, *in paucis enim domibus* ἄρμενα *inſtrumenta parata, & miniſtri quales, decet reperiuntur.* Scaphas igitur, rotas, pelves, labra, & quæcunque cætera ægris curandis idonea ipſum exponere exiſtimandum eſt. In iis quæ ſimul cum inſtrumentis narrata ſunt, abſurdùm immoratur. Itaque fortaſſis nunc corpus dixit partem affectam; *tempus* verò quod ipſi junctum eſt. Nam in Chirurgicis operationibus ſcire decet quando curandus affectus evellendus eſt. Ipſe namque imperavit ne tertio, aut quarto die membra extenderentur, aut articuli reponerentur. Poteſt quoque Chirurgiæ *tempus* nunc dixiſſe. Nam in nonnullis celerrimè manu operari nitamur oportet, quum jam maximum ex frigore ſequatur periculum, ut iis qui ſuuntur, accidit; citò ſiquidem in doloris magnitudinem feruntur qui manûs operationibus curantur; in quibuſdam verò ut ſuffuſionibus longiori tempore operatio procedit. Quum enim ſuffuſiones decubuerunt, paracenterium quandiu deceat ea in parte continendum eſt, qua vehementer obfirmatas ipſum ſuſtinere decernimus. At nunc *modus* in affectûs ortu dici poteſt, quum ipſe jubeat Medicum cognoſcere, quomodo aut fractura, aut luxatio orta ſit; quemadmodùm etiam in libro de capitis vulneribus, ipſe modos quibus oboriuntur vulnera, his verbis recenſuit. *Os autem in capite tot modis*

modis vulneratur. Ac deinceps rurſum: *Singulorum verò modorum plures in vulnere ſunt fracturæ ſpecies.* Paulò pòſt hæc ſequuntur. *Contuſionem ſubierit os ſolum in ſua ipſius natura, neque fiſſura ulla oſſis contuſioni acceſſerit. Atque ſecundus hic modus eſt.* Tum alium his verbis infert. *Tertius hic modus eſt.* Ac rurſus paulò pòſt: *quartus hic modus eſt.* Denique rurſum ſequitur *quintus hic modus,* qui inventu difficillimus apparet. Oportet quoque etiamnum *loci* ipſum meminiſſe, qui ſuperiùs, *ubi*, adverbium, locum ſignificare retulit. Quas ob res quidam etiam B alienam dictionis hujus explicationem, ſimulque loco contrariam eſſe tradiderunt. Nam pro ipſa dictione, *locus*, *ubi* prædictum ſcribunt. Veruntamen hanc ſcripturam libri norunt Interpretes, norunt & Empiricorum plurimi. Enimvero perſpicuitatis gratia nunc rurſum ipſam repetam quæ ſic ſe habet: *Ægrotans, agens, miniſtri, machinamenta, lumen, ubi, quomodo, quot, quibus, quando, corpus, inſtrumenta, tempus, modus, locus.* Hoc itaque in textu pronunciat *ubi*, *corpus*, *inſtrumenta*. Primum quidem C eorum ſcripſiſſe hoc in ſuperiori textu, *ubi*, ſimpliciter intelligit. Nam, *ubi*, tum laborantis corpori, tum inſtrumentis convenire poteſt, quum hic inſtrumenta dicantur, quæ ſuprà machinamenta vocata ſunt. Alterum verò, *ubi*, quod in decenti loco tum laborantis corpus, tum inſtrumenta collocanda ſint, nunc definiſſe. Hoc autem in textu cum ſuperiori explicatione *locus* in fine totius orationis de corporis affecta parte dici videbitur. Quemadmodum enim Medici corporis partes, ſic & locos nominare conſueverunt: & à quibuſdam D integra opera de locis affectis inſcripta comperiuntur. Hactenus rerum demonſtrandarum capita duntaxat narrata ſunt: Ipſa verò doctrina ſequenti oratione ſumit initium; ac proinde te illis incumbere lubens dignum eſſe cenſeo. Ex iis huc uſque propoſitis ſi quid non probè cognitum fuerit, id non magnum futurum eſt detrimentum.

A quibus, per quæ, quibuſcum, & circa quæ manus operationes edantur. Enumerationum ordinem à priſcis non ſervari exemplis E probat Galenus.

TEXTUS HIPPOCRATIS VII.

Agens, aut ſedens, aut ſtans commoderatè ad ſeipſum, ad id quod manu tractatur, ad lucis ſplendorem.

GALENI COMMENTARIUS.

F Sententiam dixi ipſum Hippocratem enumerationem feciſſe rerum, *à quibus, per quæ, quibuſcum, & circa quæ*, manuarias operationes fieri neceſſe eſt. *A quibus* itaque tum Medicus, tum miniſtri intelliguntur. *Per quæ*, machinamenta. *Quibuſcum*, lumen, & locus. *Circa quæ* manus operationem ſubeuntis corpus, & affecta pars. In propoſita verò oratione & ſequenti hæc ſingula, qualia eſſe oporteat edocet, minimè ſervato ordine, quo enumerationem fecerat. Prorſus enim ab ægrotante exordium du-

A τόσοις τρόποις. Καὶ ἐφεξῆς πάλιν, τῶν δὲ τρόπων ἑκάστου πλείονες ἰδέαι γίνονται τοῦ κατάγματος ἐν τῇ τρώσει. Καὶ μετὰ ταῦτα πάλιν, Θλασθὲν δὲ αὐτὸ ὀστέον μόνον ἐν τῇ αὐτοῦ φύσει, καὶ ῥωγμὴ τῇ θλάσει οὐκ ἂν προσγένοιτο ἐν τῷ ὀστέῳ οὐδεμία. Δεύτερος οὗτος τρόπος. Ἔτ᾽ ἐφεξῆς ἄλλον εἰπὼν ἐπιφέρει. Τρίτος οὗτος τρόπος. Καὶ πάλιν. Τέταρτος οὗτος τρόπος. Ἐφεξῆς· πέμπτος οὗτος τρόπος ἀπορώτατος φαίνεται. Τοῦ δὲ τόπου δεῖ πάλιν αὐτὸν μνημονεύειν, ἔμπροσθεν εἰρηκότα, B τὸ ὅκου δηλωτικὸν ἐπίρρημα τόπου. δι᾽ ὃ καί τινες ἑτέραν ἐξήγησιν ἐποιήσαντο τῆς ῥήσεως, ἅμα δὲ τῷ, τὴν ἑτέραν εἶναι τῷ τόπῳ. γράφουσι γὰρ ἀντ᾽ αὐτοῦ, τὸ, ὅκου προειρημένον. ἀλλ᾽ ὅμως τὴν γραφὴν ταύτην, οἵ τε ἐξηγησάμενοι τὸ βιβλίον ἴσασι, καὶ οἱ πλεῖστοι τῶν Ἐμπειρικῶν ἔχουσι. Καὶ μέντοι, καὶ ἀναλήψομαι νῦν αὖθις αὐτὴν ἕνεκα σαφηνείας, ἔχουσαν οὕτως· ὁ ἀσθενέων, ὁ δρῶν, οἱ ὑπηρέται, τὰ ὄργανα, τὸ φῶς, ὅκου, ὅκως, ὅσα, οἷσι, ὁκότε, τὸ σῶμα, τὰ ἄρμενα, ὁ χρόνος, ὁ τρόπος, ὁ τόπος. Φασὶν οὖν ἐν τῷ λέγειν, ὅκου, C τὰ σώματα, ἄρμενα. τὸ μὲν αὐτὸν πεποιῆσθαι κατὰ τὸν ἔμπροσθεν λόγον, ἁπλῶς ἀκούσας ὅκου. τὸ γὰρ ὅκου, τῷ τε σώματι τοῦ κάμνοντος, καὶ τοῖς ἀρμένοις συμβεβηκέναι δυνάμενον, νῦν ἀρμένων λέγεσθαι, τῶν ἔμπροσθεν ὀργάνων εἰρημένων. ὅτι δὲ ἐν τῷ προσήκοντι τόπῳ, χρὴ τό γε σῶμα τοῦ κάμνοντος, καὶ τὰ ἄρμενα κεῖσθαι, νῦν ἐπιδείξεσθαι. ἐν ταύτῃ δὲ τῇ γραφῇ, μετὰ τῆς εἰρημένης ἐξηγήσεως, ὁ τόπος ἐπὶ τῇ τελευτῇ τῆς ὅλης ῥήσεως εἰρῆσθαι δόξει, κατὰ τοῦ πεπονθότος μορίου τοῦ σώματος. ὀνομάζειν γὰρ εἰώθασιν, ὥσπερ μόρια D τοῦ σώματος, οὕτω καὶ τόπους, οἱ ἰατροὶ καὶ γεγράφασί τινες ὅλα βιβλία περὶ τόπων πεπονθότων. Ἄχρι μὲν τοῦδε, τὰ κεφάλαια μόνον εἴρηται τῶν διηγησομένων πραγμάτων· αὐτὴ δὲ ἡ διδασκαλία, κατὰ τὴν ἐφεξῆς ῥῆσιν ἄρχεται, δι᾽ ἣν καὶ προσέχειν ἐκείνοις σε θέλων ἀξιῶ. τὸ γὰρ οὐκ ὀρθῶς ἐν αὐτοῖς νοηθὲν, εἰς τὰ τῆς τέχνης ἔργα βλάπτει. τῶν ἄχρι μὲν δεῦρο προειρημένων, εἰ μὴ καὶ καλῶς τινες νοήσειεν, οὐ μεγάλη βλάβη.

Ὑφ᾽ ὧν, καὶ δι᾽ ὧν, καὶ μεθ᾽ ὧν, καὶ περὶ ἃ χειρουργίαι γίνονται. τὴν τοῦ καταλόγου τάξιν ἀπὸ τῶν παλαιῶν μὴ E φυλάττεσθαι, τοῖς παραδείγμασι δοκιμάζει ὁ Γαληνός.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'.

Ὁ Δρῶν, ἢ καθήμενος, ἢ ἑστὼς, ξυμμέτρως πρὸς ἑωυτὸν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγήν.

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

F Φησὶν ἔφην αὐτὸν κατάλογον γεγονέναι τῶν πραγμάτων, ἐφ᾽ ὧν, καὶ δι᾽ ὧν, καὶ μεθ᾽ ὧν, καὶ περὶ ἃ τὰς χειρουργίας ἀναγκαῖόν ἐστι γίνεσθαι. Τὰ μὲν οὖν ὑφ᾽ ὧν, ὅ, τε ἰατρός ἐστι, καὶ οἱ ὑπηρέται· τὰ δὲ δι᾽ ὧν, τά γε ὄργανα· τὰ δὲ, μεθ᾽ ὧν, τό, τε φῶς, καὶ ὁ τόπος· περὶ ἃ δὲ, τό, τε σύμπαν σῶμα τοῦ χειριζομένου, καὶ τὸ πεπονθὸς μόριον. ἐν δὲ τῇ προκειμένῃ ῥήσει, καὶ ταῖς ἐφεξῆς, ἕκαστον τούτων ὁποῖον εἶναι χρὴ διδάσκει, μὴ φυλάττων τὴν τάξιν, ἐν ᾗ τὸν κατάλογον ἐποιήσατο· πρώτως γὰρ ἀπὸ τοῦ ἀσθενοῦ-

Ἵπποι μὲν μέγ' ἄρισται ἔσαν Φηρητιάδαο, B
Τὰς Εὔμηλος ἔλαυνε, ποδώκεας ὄρνιθας ὥς,
Ὄτριχας, οἰέτεας, σταφύλῃ ἐπὶ νῶτον ἐΐσας,
Τὰς ἐν Πιερίῃ θρέψ' ἀργυρότοξος Ἀπόλλων,
Ἄμφω θηλείας, φόβον Ἄρηος φορεούσας.
Ἀνδρῶν δ' αὖ μέγ' ἄριστος ἔην Τελαμώνιος Αἴας,
Ὄφρ' Ἀχιλεὺς μήνιεν, ὁ γὰρ πολὺ φέρτατος ἦεν.

Ἐπήνεγκε δὲ πάλιν εἰπὼν,

Ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν.

Ἐπήνεγκεν πρὸς τὸ δεύτερον ἀπομνήσας πρότερον, C

Ὀλλύντων τε, καὶ ὀλλυμένων.

Ἐν δὲ τῷ η΄. τῆς Ἰλιάδος, ὥσπερ ἐξεπίτηδες ἐνδείξασθαι βουλόμενος, ὡς οὐ χρὴ περιεστηκέναι τῆς τοιαύτης τάξεως, πέντε καταλέξας ἐφεξῆς πράγματα. Πρὸς μὲν (γὰρ) τὸ δεύτερον ἀπήντησε πρῶτον, ἐπεὶ ἑξῆς πρὸς τὸ πέμπτον, εἶτα πρὸς τὸ τέταρτον, εἶτα πρὸς τὸ τρίτον. Ἔστι δὲ τὰ ἔπη, ὧν ἀρχὴ οἵδε οἱ στίχοι.

Ἔνθα δὲ Βοιωτοί τε, καὶ Ἴωνες ἑλκεχίτωνες,
Λοκροί, καὶ Φθῖοι, καὶ φαιδιμόεντες Ἐπειοί.

Περὶ μὲν δὴ τῆς ἐν τῷ λόγῳ τάξεως, ἀρκεῖ ταῦτα ἅπαξ εἰρῆσθαι νῦν, ὡς μηκέτ' ἐν ἄλλῳ περὶ αὐτῶν ἀκοῦσαι ποθεῖν. D Τὰ δὲ περὶ τοῦ δρῶντος, ὅσπερ ἐστὶ χειρουργοῦντος ἰατροῦ, δῆλα πᾶσίν ἐστι τοῖς βουλομένοις προσέχειν αὐτῷ. Φησὶ γὰρ ἤτοι καθήμενον, ἢ ἑστῶτα, τὴν χειρουργίαν ποιεῖσθαι τὸν ἐνεργοῦντα, συμμέτρως ἔχοντα, πρός τε τὸ χειριζόμενον δηλονότι καὶ τὴν αὐγήν· ὃν ἔχομεν σκοπὸν φυλάττειν πρὸς ἕκαστον ὧν εἶπε συμμετρίαν, ἐφεξῆς διδάσκει ἀπομνήσας πρῶτον, ὅπερ ἐστὶν ἡ αὐγή.

Prima Pheretiada veniens gloria equarum,
Quas avium in morem celeres Eumelus agebat,
Æquales ætate, pares tergóque pilóque;
Monte in Pierio, quas enutrîrat Apollo.
Insignes ambæ, & Martis terrore carentes.
Maximus at longè fuit Ajax ille virorum
Indignatus adhuc, dum nulla ſubibat Achilles
Prælia: nam pugnans omnes virtute præibat.

Alibi verò rurſum cecinit,

Triſtis erat gemitus torvo & jactantia vultu

Ad ſecundum detulit quod priùs occurrerat,

Cadentem, & durâ miſeri qui morte peribant.

In Iliados autem ſeptimo volens quaſi de induſtria indicare non eſſe habendam hujuſmodi ordinis rationem, rebus omnibus quinque ſequentibus enumeratis. Ad ſecundam enim primùm orationem contulit; deinde ad quintam; poſteà ad quartam; poſtremò ad tertiam. Sunt autem Poëmata quorum exordio hi verſus leguntur.

Beotii hic Iones prolixâ veſte decori
Et Locri, & Phtii, & qui reſplendebat Epeus.

Hæc certè de Orationis ordine nunc ſemel dixiſſe ſufficiat, ne quis ampliùs alibi iis de rebus audire deſideret. Quæ igitur ad *Agentem*, hoc eſt, Medicum Chirurgum ſpectant, ea pateſcunt omnibus qui mentem ipſi adhibere volunt. Nam agentem ſive ſedeat, ſive ſtet, Chirurgiam facere pronunciat, quum commoderatè ſeſe habet, tum ad ſe Chirurgicam manum adhibentem, tum ad ægrotantem, & Lumen. Quod conſilium ſervandum complectimur in ſingulis pronunciatis, quorum commoderationem deinceps decet primo in lucem prodeunte, quod Lumen eſt.

E

Περὶ τῆς διπλασίας αὐγῆς, τῆς κοινῆς τε καὶ τεχνικῆς. Τί ἑκατέρα; τὸ εἴδους ὄνομα δηλοῦται. Τοὺς οἴκους μεγάλους τοῖς ἰατροῖς ἰωμένοις διδομένοις οὓς ἰατρεῖα προσαγορεύουσι.

De duplici Lumine, communi, & artificioſo. Quid utrumque? Speciei vocabulum explicatur. Magnas ædes Medicis ubi Medicinam faciebant, datas eſſe, vocarique Medicinas.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η΄.

Αὐγῆς μὲν οὖν δύο εἴδεα, τὸ μὲν κοινὸν, τὸ δὲ τεχνητόν. Τὸ μὲν οὖν κοινὸν, οὐκ ἐφ' ἡμῖν, τὸ δὲ τεχνητὸν, καὶ ἐφ' ἡμῖν.

HIPPOCRATIS TEXTUS VIII.

Lucis igitur duæ ſunt ſpecies; una communis, altera artificialis. Communis in nobis ſita non eſt; artificialis penes nos exiſtit. F

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

Καὶ περὶ τοῦ τῶν εἰδῶν ὀνόματος ἅπαξ ἀκούσας νῦν, εἰσαεὶ μέμνησο. Τοῖς γὰρ παλαιοῖς ἔθος ἐστὶ καὶ διαφορὰς, καὶ εἴδη, καὶ τύπους ὀνομάζειν, τὰ κατὰ τὴν τομὴν τῶν γενικωτέρων πραγμάτων ὑποπίπτοντα. Καὶ νῦν οὖν οὕτως εἶπεν ὁ Ἱπποκράτης, αὐγῆς εἶναι δύο εἴδη, ὡς εἰ καὶ διαφορὰς, καὶ τύπους εἰρήκει δύο. Τὸ μὲν

GALENI COMMENTARIVS.

Atque hîc de ſpeciei vocabulo edoctus, id in perpetuum memento. Veteribus enim eſt conſuetudo, & differentias, & ſpecies, & ideas appellare, quæ de rerum genericarum ſectione ſubjiciuntur. Atque nunc ita pronunciat Hippocrates duas eſſe Lucis ſpecies, ac ſi duas differentias, & duas ideas dixerit. Eſt autem

Lux communis, quâ omnes homines utimur; A prima ſub dio potiſſimùm; ſecunda in ampliſſimis ædibus; ſublimes fores, lumine plenas habentibus, quales & nunc multis in civitatibus, Medicinam facientibus Medicis datas, à Medicis factâ denominatione, Medicinas appellitant. Artificialis verò Lux hæc fit maximè, quum lucernas, faces, lampadas aut tale quid accendimus; deinde cùm totas feneſtras, aut earum partem patefacimus, aut alias claudimus, alias aperimus. Eadem quoque de foribus ratio eſt. B

αὐτῶν κοινόν ἐστι, ᾧ πάντες ἄνθρωποι χρώμεθα, μάλιστα μὲν ἐν ὑπαίθρῳ, δεύτερον δὲ, ἐν οἴκοις μεγάλοις θύρας μεγάλας φωτὸς πλήρεις ἔχουσιν, οἷοι καὶ νῦν κατὰ πολλὰς τῶν πόλεων δίδονται ἰωμένοις τοῖς ἰατροῖς, οὓς ἐπωνύμως αὐτοὶ ἰατρεῖα προσαγορεύουσι. Τὸ δὲ τεχνητὸν φῶς, μάλιστα μὲν καὶ τοῦτο γίγνεται, λύχνους ἀψάντων, ἢ δᾷδας, ἢ λαμπάδας, ἢ τι τοιοῦτον. κατὰ δὲ δεύτερον λόγον ἀνοιξάντων θυρίδας, ἢ ὅλας, ἢ ἐκ μέρους, ἢ τὰς μὲν κλεισάντων, τὰς δ' ἀνοιξάντων, καὶ περὶ θυρῶν ὁ αὐτὸς λόγος.

De duplici Luce, communi & artificiali; de utriuſque uſu, ad lucem, & ſub lucem. Quòd utrumque tum averſa, tum adverſa lux, & obliqua efficiat. In oculorum affectorum operationibus edendis adverſam lucem fugiendam eſſe.

Περὶ τῆς διττῆς αὐγῆς, κοινῆς τε καὶ τεχνικῆς. Περὶ τῆς ἑκατέρας χρήσιος πρὸς τὴν αὐγὴν, καὶ ὑπ' αὐγήν. Ὅτι ἑκατέραν καὶ ἡ ἐστραμμένη καὶ ἀπεστραμμένη αὐγὴ καὶ λοξὴ ποιεῖ. Ἐν ταῖς τῶν ὀφθαλμῶν πεπονθότων χειρουργίαις φευκτέον τὴν ἐστραμμένην αὐγήν.

HIPPOCRATIS TEXTUS IX.

Quarum utriuſque duplices ſunt uſus, aut ad lucem, aut ſub lucem. C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ'.

ΩΝ ἑκατέρου διτταὶ χρήσιες, ἢ πρὸς αὐγὴν, ἢ ὑπ' αὐγήν.

GALENI COMMENTARIUS.

Vtriuſque ſpeciei lucis tum communis, tum artificialis duos eſſe uſus pronunciat, aut ad lucem, aut ſub lucem. *Ad lucem* vocat quum luci adverſum fuerit quod manu curatur, aut ſpectatur. *Sub lucem* verò quod paulò averſum eſt, quemadmodùm in ſuffuſionibus, & cunctis oculorum affectibus. Nam oculorum morbi neque accuratè dignoſci, neque curari D queunt luci adverſo ægrotante; proindeque adverſum lumen fugiendum eſſe. *Sub lucem* verò ſive averſum à luce aut obliquum corpus figuratũ eſſe oportet, quod manûs operationem ſubit in oculis. At ipſe velim audias me planè oculos nominare, non palpebras: in hoc enim caſu elaborandum eſt & ad lucem averſi hominis, quemadmodũ in aqulularum extractione, aut pilorum illaqueatione, aut reſuturâ, aut denique ubi Medicus diductis palpebris non eget. Itaque ſi quis lippiens fortè vehementer exulceretur, & quum curatur *oculacinum* ſtaphyloma vocatum patiatur, ipſum à luce prorſus averſum eſſe decet toto E *operationis* tempore, præterquam quum Medicus oculis medicamentum admovet: (In illis enim ipſe citrà lucem affectum non videt, ut neque ſi unguem excidere voluerit, aut ſuffuſionem ſubducere, aut quid ejuſmodi manu operari) ſed obliquum prout ad lucem decet, tunc cum qui manûs operationem ſubit figurare, ne à luce pupilla lædatur, nec Medicus arte privetur, hoc eſt, earum quibus medetur, partium conſpectu. Dilucidè verò lucem averſus appellabitur, neque ad lucem, neque ſub lucem, ſed à luce magis, vel ad lucem obliquus. F Verùm Hippocrati loquutionis ſub lucem, quàm à luce melior viſa eſt interpretatio.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἑκατέρου τῶν τῆς αὐγῆς εἰδῶν, τοῦ τε κοινοῦ, καὶ τοῦ τεχνικοῦ, δύο φησὶν εἶναι χρήσεις, ἢ πρὸς αὐγὴν, ἢ ὑπ' αὐγήν· πρὸς αὐγὴν μὲν καλῶν, ὅταν πρὸς ταύτην ἐστραμμένον ᾖ τὸ χειριζόμενον, ἢ κατανοούμενον· ὑπ' αὐγὴν δὲ, τὸ βραχὺ παρεγκεκλιμένον, ὥσπερ ἐπὶ τῶν ὑποχυμάτων, καὶ ὅλως τῶν κατ' ὀφθαλμοὺς διαθέσεων. οὔτε γὰρ διαγνῶναι δυνατόν ἐστιν ἀκριβῶς, τὰ κατ' αὐτοὺς πάθη, πρὸς D τὴν αὐγὴν ἐστραμμένου τοῦ πάσχοντος, οὔτ' ἰάσασθαι. διὰ τοῦτο, τὸ μὲν πρὸς αὐγὴν φευκτέον ἐστὶν, τὸ δὲ ὑπ' αὐγὴν, ἤτοι ἀπεστραμμένον τῇ αὐγῇ, ἢ λοξὸν ἐσχηματισμένον εἶναι χρὴ τὸ χειρουργούμενον ἐν τοῖς κατὰ τοὺς ὀφθαλμούς. αὐτὸς δὴ ἄκουέ μου, τοὺς ὄντως ὀφθαλμοὺς λέγοντος, οὐ τὰ βλέφαρα· κατὰ ταῦτα γὰρ ἐνεργεῖν ἐγχωρεῖ, καὶ πρὸς τὴν αὐγὴν ἐστραμμένου τοῦ ἀνθρώπου, καθάπερ ἐπὶ τῆς τῶν ὑδατίδων ἐξαιρέσεως, ἢ διαβροχισμοῦ τριχῶν, ἢ ἀναρραφῆς, ἢ ὅλως ἐφ' ὧν ὁ ἰατρὸς οὐ δεῖται τῶν βλεφάρων ἀνεσπασμένων. ἐὰν μὲν οὖν ὁ E ὀφθαλμιῶν τύχῃ σφοδρῶς ἡλκωμένος ὁ θεραπευόμενος, τὸ καλούμενον ἔχων σταφύλωμα, τελέως ἀπεστράφθαι προσήκει τὴν αὐγὴν αὐτὸν, ἐν παντὶ χρόνῳ, πλὴν ἐν ᾧ, φάρμακον ἐπιτίθησι τοῖς ὀφθαλμοῖς ὁ ἰατρός. ἐν ἐκείνοις γὰρ, αὐτὸς ἄνευ αὐγῆς οὐκ ὄψεται τὸ πεπονθὸς, ὥσπερ οὐδ' εἰ πτερύγιον ἐκτέμνειν ἐθελήσειεν, ἢ ὑπόχυμα κατάγειν, ἢ τι τοιοῦτον χειρουργεῖν. ἀλλὰ λοξὸν ὡς πρὸς τὴν αὐγὴν προσήκει τηνικαῦτα σχηματίζειν τὸν χειρουργούμενον, ὅπως μὴ ὑπὸ τῆς αὐγῆς ἡ κόρη πλήττοιτο, μήθ' ὁ ἰατρὸς ἀποστεροῖτο τῆς τέχνης, ἤγουν τῆς θέας, ὧν θεραπεύει μορίων, F ὀνομασθήσεται δὲ σαφῶς, ὁ μὲν ἀπεστραμμένος τὴν αὐγὴν, οὔτε πρὸς αὐγὴν, οὔθ' ὑπ' αὐγὴν, ἀλλ' ἀπὸ τῆς αὐγῆς μᾶλλον ἢ λοξὸς πρὸς αὐγήν. Ἱπποκράτει δὲ ἔδοξε βελτίων ἑρμηνεία τὸ ὑπ' αὐγὴν, ἢ ἀπ' αὐγῆς εἶναι φωνῆς.

ΥΠ' αὐγὴν μὲν οὖν ὀλίγη τε ἡ χρῆσις, καὶ καταφανής τε ἡ μετριότης. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΔείχθη πρόσθεν. οὐδὲν γὰρ τῶν ἄλλων μορίων, πλὴν ὀφθαλμῶν, δεῖται τῆς ὑπ' αὐτὴν χειρουργίας. ἐπεὶ δὲ, ὡς ἔφην, ἀπεστράφθαι τελέως τῆς αὐγῆς, ἀδύνατόν ἐστιν ἐν ταῖς χειρουργίαις, ἐν τῷ μεταξὺ βούλεται τοῦ τ' ἀπεστράφθαι, καὶ τοῦ πρὸς αὐγὴν ἐστράφθαι, σχηματίζειν τὸν ἄνθρωπον. οὐ μὴν ἴσον ἐπὶ πάντων τῶν παθῶν, ἀπεστράφθαι προσήκει τὸν ἰατρὸν τῆς αὐγῆς, ἀλλ' ἐφ' ὅσον αὐτὸ τὸ πάθος ἀναγκάζει. Οἱ μὲν γὰρ ἑλκούμενοι, καὶ ὑπόπυοι, καὶ σταφυλώματα ἔχοντες, ἢ καὶ φλεγμονὴν μεγάλην, ἢ ῥεῦμα δριμὺ, καὶ πρὸς τὴν ὀλίγην αὐγὴν πλήττονται σφοδρῶς, ὡς ὀδυνᾶσθαί τε, καὶ ῥευματίζεσθαι παραχρῆμα. τούτων δ' ἧττον ὑπὸ τῆς αὐγῆς ἐνοχλεῖται παρακεντούμενός τις, ἢ πτερύγιον, ἢ ἐγκανθίδα χειριζόμενος. ἡ τοίνυν τῆς ἀποστροφῆς μετριότης, ἣν ἀπὸ τῆς αὐγῆς ἀπεστράφθαι προσήκει τὸν χειριζόμενον, εὑρεθήσεταί σοι D δύο τούτοις προσέχοντι σκοποῖς, τῷ τε σαφῶς ὁρᾶν τὸν ἰατρὸν ὃ πράττει περὶ τὸν ὀφθαλμὸν ἐν τῇ χειρουργίᾳ, τῷ τε μὴ σφοδρῶς ἀνιᾶσθαι τὸν χειριζόμενον, ἐπεὶ ἑκάτερος σκοπὸς ἐναντίον ὑπαγορεύει σχῆμα, κατὰ τὸν ἐπικρατοῦντα ποιοῦ τὴν αἵρεσιν. εἰ δέ σοι δόξειε μηδ' ἕτερος ἐπικρατεῖν, τὸ μέσον αἱροῦ σχῆμα, τοῦ τε ἀκριβῶς ἐστραμμένου πρὸς τὴν αὐγὴν, καὶ τοῦ ἀπεστραμμένου αὐτήν. ἐγὼ σοι τὴν ὁδὸν ἀφηγησάμην, ᾗ χρώμενος εὑρήσεις τὸ μέτρον τῆς ἐπιστροφῆς, Ἱπποκράτης δὲ εἶπεν, ἡγούμενος ἅπασι καταφανῆ τὴν μετριότητα γενέσθαι ῥᾳδίως, εἰ βουληθεῖεν εὑρεῖν. οὐ γὰρ E ἀπαιδεύτοις ἀνθρώποις, ὡς ἡμεῖς νῦν, ἀλλ' ἱκανῶς γεγυμνασμένοις ἐν τοῖς μαθήμασιν ἐδίδαξεν, ὡς τὰ τοιαῦτα καὶ αὐτοὺς ἐπινοεῖν ἑτοίμως, ἐξ ἀκολουθίας τῶν προδεδειγμένων.

Οἷς χειρουργοῦσι καὶ κάμνουσιν ἡ αὐγὴ, καὶ τόπος, καὶ ἥλιος, καὶ ἄνεμος, καὶ ὁ ἀὴρ συμφέρουσί τε καὶ ἐμποδίζουσι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

ΤΑ δὲ πρὸς αὐγὴν, ἐκ τῶν παρεουσέων, ἐκ τῶν ξυμφερουσέων αὐγέων, πρὸς τὴν λαμπρότητα τρέπειν τὸ χειριζόμενον. F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΣον μὲν ἐπὶ τὸ δεῖν ἐναργέστατα βλέπειν τὸν ἰατρὸν, ὅ τι πράττει κατὰ τὴν χειρουργίαν, ἐν ὅλῳ τῷ τοῦ κάμνοντος σώματι, τὴν λαμπροτάτην αὐγὴν αἱρεῖσθαι χρὴ, κατὰ

SVb lucem quidem & paucus eſt uſus, & perſpicua moderatio.

GALENI COMMENTARIUS.

ID antea demonſtratum eſt. Aliarum nanque partium, exceptis oculis, nulla hujuſmodi manûs operationem *ſub lucem fieri* deſiderat. Quoniam verò, ut diximus, averſam prorsùs eſſe lucem in manûs operationibus fieri non poteſt, inter lucem adverſam & averſam ægrum hominem figurare vult. Non tamen æquè omnibus in morbis Medicum à luce decet averſum eſſe, ſed quatenùs ipſe morbus urget. Nam qui *oculi* ulcere, & ſuppurato, & acino, aut magnâ inflammatione, aut acri fluxione afficiuntur, à paucâ quoque luce tantoperè læduntur, ut ex tempore & doloribus vexentur, & in fluxiones incidant: & is verò minùs à luce infeſtatur, cui paracenteſi ſuffuſio evertitur, aut unguis, aut encanthis manu curatur. At averſionis moderatio, quâ à luce averſum eſſe decet eum qui curatur, tibi his duobus ſcopis mentem adhibenti comperietur, quòd tum quod ad oculum molitur manûs operatione Medicus dilucidè videat, tum curandus æger non magnoperè diſcrucietur, quum uterque ſcopus contrariam figuram indicat, ad prævalentem *ſcopum* conſilium dirige. Si verò neuter prævalere tibi videatur, mediam *adverſionis* figuram delige, tum ex his, quæ planè luci ſunt adverſæ, tum ex illis quæ à luce averſæ ſunt. Ego te viam docui, quâ uſus averſionis moderationem invenies. Hippocrates autem pronunciata fert, auguratus omnibus moderationem facilè pateſcere, ſi qui ipſam invenire ſtuduerint. Non enim imperitos homines, ut nos nunc, ſed admodùm in diſciplinis verſatos docuit, ut etiam ipſi ex eorum quæ præmonſtrata ſunt, conſequutione talia promptè comminiſcerentur.

Quibus operantibus & ægrotis lux, locus, ſol, ventus, & aër conferant, & officiant.

HIPPOCRATIS TEXTUS XI.

QVæ verò ad lucem ſpectant *ex præſentibus & conferentibus luminibus, ad ſplendorem quod manu curatur convertere oportet.*

GALENI COMMENTARIUS.

QUò clariſſimè, prout oporteat, Medicus intueatur quæcunque per Chirurgiam in laborantis corpore molitur Medicus, ipſi omnibus in partibus, oculis exceptis, ſplendidiſſima

lux deligenda eſt. Eſt autem lux ſplendidiſſima, quæ ſubdiali in loco ſolis, nullâ re ipſum obſcurante præfulget. Verùm interdum in manûs curam ſubeuntis domicilio talis locus nullus eſt. Sæpè verò quidem eſt, in eo tamen hominem collocare non expedit, hyeme per frigus, æſtate per æſtum; Utriuſque enim *tempeſtatis* ſua noxa eſt. Prætereà etiam ventos ita cavere oportet, ut in his non ſolùm retrorsùm idoneum aerem vitemus ſæpè, verumetiam ventum januæ & feneſtræ vicinum afflantem qui operationi ſubjectum vehementer agitet. In illis autem ventum maximè vitamus, in quibus veremur ne quid nervoſum genus patiatur, quemadmodùm rurſùs ſolem in iis quæ putreſcunt, ut qui ad ſanguinis eruptionem propensè feruntur. Præclarè igitur adjecit *ex luminibus proſtantibus, & conferentibus.* Non enim ſimpliciter ex luminibus quæ proſtant ſplendorem eligere, ſed & intueri oportet, etiamſi quæ conferunt lumina, eorum ſit ſplendidiſſimum.

πάντα τὰ μέρεα, πλὴν ὀφθαλμῶν. ἡ λαμπροτάτη δὲ ἐστι τῶν αὐγῶν, ἐν ὑπαίθρῳ χωρίῳ τοῦ ἡλίου καταλάμποντος αὐτὸν, μηδενὸς ἐπισκοτοῦντος. Ἀλλ' ἐνίοτε μὲν οὐδέν ἐστι τοιοῦτον ἐν τῇ τοῦ χειριζομένου καταγωγῇ. Πολλάκις δὲ ἐστι μὲν, ἀλλ' οὐ συμφέρει εἰσάγειν εἰς αὐτὸ χειμῶνος μὲν διὰ κρύος, ἐν θέρει δὲ, διὰ θάλπος· ἑκατέρου γὰρ αὐτῶν ἐστιν ἰδία βλάβη· καὶ πρὸς τούτοις ἔτι φυλάττεσθαι χρὴ τοὺς ἀνέμους, ὥστε διὰ τούτους οὐ μόνον αὐτὸν καλὸν ἀέρα φθειρόμενον πολλάκις, ἀλλὰ καὶ τῆς πλησίον θύρας, ἢ θυρίδος ἄνεμον εἰσπνέοντα σφοδρῶς ἄγειν τὸν ἐνεργούμενον. ἐπ' ἐκείνων δὲ μάλιστα φθειρομένων ἀνέμων, ἐφ' ὧν εὐλαβούμεθα παθεῖν τι τὸ νευρῶδες γένος, ὥσπερ γε πάλιν ἥλιον ἐπὶ τῶν σηπομένων, ὡς πρὸς αἱμορραγίαν ἐπιτηδείως ἐχόντων. καλῶς οὖν προσέθηκε τῶν παρουσῶν, τῶν συμφερουσῶν, οὐ γὰρ ἁπλῶς ἐκ τῶν παρουσῶν αὐγῶν αἱρεῖσθαι χρὴ τὴν λαμπροτάτην, ἀλλὰ καὶ προσεπιβλέπειν, εἰ τῶν συμφερουσῶν αὐγῶν ἐστιν ἡ λαμπροτάτη.

Si quas partes latere deceat, aut conſpicere ſit indecorum, eas luci adverſas eſſe non oportet.

Εἰ τινὰ μόρια λαθεῖν δεῖ, ἢ ὁρᾶν αἰσχρόν ἐστι, ταῦτα πρὸς τὴν αὐγὴν ἐστραμμένα εἶναι μὴ δεῖ.

HIPPOCRATIS TEXTUS XII.

His exceptis, quæ aut latere oportet, aut conſpicere turpe eſt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. ιβ'.

Πλὴν ὁκόσα ἢ λαθεῖν δεῖ, ἢ ὁρῆν αἰσχρόν.

GALENI COMMENTARIUS.

NOn dilucidam hâc oratione ſuam ſententiam interpretatus eſt artis peritus, itaut manu tractandas ægrotantium partes ad lucem convertere non deceat, quaſcunque latere congruit, aut conſpicere indecorum eſt. At verò non id imperat, quare hâc ſerie pronunciat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ σαφῶς τῇ λέξει τὴν ἑαυτοῦ διάνοιαν ἡρμήνευσεν ὁ τεχνικὸς, ἀλλ' ὥστε δόξαι, μὴ δεῖν πρὸς αὐγὴν τρέπειν τὰ χειριζόμενα μόρια τῶν καμνόντων, ὅσα λαθεῖν προσήκει, ἢ ὁρᾶν αἰσχρόν. ὁ δὲ, οὐ τοῦτο βούλεται, ἐφεξῆς οὖν φησίν.

De Medici & ægri luce, & poſitura. Cur circumſtantibus operationem occultet Medicus, ne ipſam diſcant, aut in Medicum debacchentur. Cur partes occultet æger ob metum ac pudorem. De Chirurgi cautione quâ operationem fieri non deprehendat æger.

Περὶ τῆς τοῦ ἰατροῦ καὶ κάμνοντος αὐγῆς τε καὶ θέσεως. Διὰ τί τοῖς παροῦσι τὴν χειρουργίαν κρύπτει ὁ ἰατρὸς, ἵνα μὴ ταύτην διδάσκωσιν, ἢ πρὸς τὸν ἰατρὸν ἀγανακτῶσι. Διὰ τί τὰ μόρια κρύπτει ὁ κάμνων, διὰ τὴν ἀθυμίαν, καὶ τὴν αἰδῶ. Περὶ τῆς τοῦ χειρούργου προφυλακῆς, καθ' ἣν χειρουργίαν ποιεῖσθαι μὴ καταλαμβάνεσθαι.

HIPPOCRATIS TEXTUS XIII.

SIc autem manu curandum, luci adverſum; manu verò medentem, manu curando adverſum eſſe oportet, modò non obtenebret.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

Οὕτως δὲ τὸ μὲν χειριζόμενον ἐναντίον τῇ αὐγῇ, τὸν δὲ χειρίζοντα, ἐναντίον τοῦ χειριζομένου, πλὴν ὥστε μὴ ἐπισκοτάζειν.

GALENI COMMENTARIUS.

OPortebat enim univerſam utique ſententiam ab ipſo enunciari, *Quæ verò ad lucem ſpectant, ex præſentibus, & conferentibus luminibus, ad ſplendorem, quod manu curatur convertere oportet.* Non tamen purus ac ſine tenebris lucis ſplendor ſervandus eſt; ſed in quibus latere *partes*, aut conſpicere indecorum ſit, ſeipſum ita collocare decet, ut omnes omnino manu curandarum partium ſpectaculo ſubducantur; ſibi verò nequaquàm ipſas obtenebret.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐχρῆν γὰρ οὐδέ πως ἑρμηνεύεσθαι τὴν ὅλην διάνοιαν ὑπ' αὐτοῦ. Τὰ δὲ πρὸς αὐγὴν ἐκ τῶν παρουσῶν, ἐκ τῶν συμφερουσῶν αὐγέων, πρὸς τὴν λαμπροτάτην τρέπειν τὸ χειριζόμενον. οὐ μὴν ἂν καθαράν γε, καὶ ἀνεπισκότητον φυλάττειν χρὴ τὴν αὐγὴν, ἀλλ' ἐν οἷς λαθεῖν αὖ, ἢ ὁρᾶν αἰσχρὸν, ἑαυτὸν οὕτως σχηματίζειν, ὡς τοὺς μὲν ὅλως πάντας ἀφαιρεῖσθαι τῆς θέας τῶν χειριζομένων μορίων, ἑαυτῷ δὲ κατὰ μηδὲν ἐπισκοτεῖν.

ἐκκόψαι, καὶ τὸ νεῦρον διατεμεῖν ὅλον ἐγκάρσιον, ἕνεκα τοῦ μὴ σπασθῆναι τὸν ἄνθρωπον. ἔνιοι δὲ τῶν ἰδιωτῶν, οὐδὲ τοὺς πάθος ὑπομένουσι θεάσασθαι, τινὲς δ' ἐπιτρέπουσιν ὅλως ἀνοῖξαι σῶμα τοῦ χωρίου, ἐφ' ὧν, ὁ ἰατρὸς τῶν οὐ καταμανθανόντων αὐτούς, τὸ πεπονθότα τόπον ἔτεμεν ἀφθόνως, καὶ πᾶν ἐξέκρινε τὸ πύον· ἀλλὰ διὰ δειλίαν τῶν καμνόντων ἐνίοτε τοῦθ' ἡμῖν περιέστη. εἰσὶ γάρ τινες οὕτω δειλοὶ πρὸς τὰς χειρουργίας, ὡς λειποψυχεῖν πρὶν τμηθῆναι, διὰ τὴν τῆς ὀδύνης προσδοκίαν. ἐπὶ τούτων ἀξιοπίστως χρὴ περὶ μὲν τῆς χειρουργίας λέγειν αὔριον σκέψασθαι, κατὰ δὲ τὸ παρὸν, ἐᾶν. νῦν δὲ καταντλεῖν ὕδατι, ἢ πυριᾶν σπόγγοις, ὡς παρασκευάζοντα τὸ μόριον εἰς ἐπίθεσιν καταπλάσματος, ἢ φαρμάκου, κᾆτα τοῦτο, μὴ προσδοκῶντα τὸν δειλὸν ἄνθρωπον τέμνειν. Ἐν μὲν δὴ τοῖς τοιούτοις ὁ μὲν ἰατρὸς ἐπισκοπεῖ τὸ θεάσασθαι τοῖς παροῦσιν, ἕνεκα τοῦ λαθεῖν· ἐν ἄλλοις δὲ διὰ τὴν αἰδῶ τοῦ κάμνοντος, ἐπειδὴ περὶ πολλοὺς ποιεῖται, μὴ βλέπεσθαι τοῖς πολλοῖς ἣν ἔχει διάθεσιν, ἤτοι κατὰ τὴν ἕδραν, ἢ ἐν τοῖς αἰδοίοις. Ταῦτα γάρ ἐστιν ἃ βούλονται οἱ κάμνοντες λανθάνειν. ἐν εἴδει δὲ τῶν γυναικῶν, καὶ κατὰ τὰς πυγὰς, καὶ τὸ στῆθος, τισὶ δὲ, καὶ κατὰ τὴν γαστέρα, καὶ πολὺ δὴ μᾶλλον ἔτι, κατὰ τὸ καλούμενον ἐφήβαιον. Ἐγκαλεῖ δέ τις ἐνταῦθα αὐτὸν Ἱπποκράτην, γελοίως αὐτὸν ἔφη ταῦτα γεγραφέναι. τοῖς γὰρ αἰσχυνομένοις μὴ ὀφθῆναι τὰ τοιαῦτα μόρια χειριζόμενα, πάρεστιν, ἐκβαλλόμενον τὸν οἰκίου τοὺς ἔνδον ὄντας ἅπαντας, ἐπιτρέψαι μόνῳ τῷ ἰατρῷ τὸ ἔργον, ἢ καί τινος ἑνὸς, ἢ δυοῖν τῶν οἰκειοτάτων παρόντων. Ἀλλὰ ταῦτα λέγων, οὐ πεπείραται πολλῶν αἰδουμένων, ὥσπερ ὀφθῆναι τοῖς παροῦσι τὰς διαθέσεις αὐτῶν, οὕτω καὶ κωλῦσαι τῆς θέας ἐνίους, καὶ χωρίσασθαι κελεῦσαι. Πολλάκις δὲ, κἂν κελεύωσι χωρίζεσθαί τινας, φιλονεικοῦντες, ἢ περιεργαζόμενοι, καὶ πολυπραγμονοῦντες ἐπίστασθαι τὰ τῶν καμνόντων ἔνιοι τῶν οἰκείων ἢ φίλων, ἀναιδῶς παραμένουσιν. Ἐν τοῖς τοιούτοις οὖν καιροῖς, χαρίζεσθαι χρὴ τῷ κάμνοντι τὸν ἰατρὸν ἄλυπον χάριν ὑποσχέσθαι, κατὰ μόνας αὐτὸν καὶ μηδενὸς ἀκούοντος, οὕτω ποιήσασθαι τὴν χειρουργίαν, ὡς λαθεῖν τοὺς πολλούς· δύναται γὰρ, ὡς ἔφην, ἐν τῷ καταντλεῖν ὕδωρ, ἢ διὰ σπόγγων πυριᾶν, ὡς μηδέπω μέλλων ἐνεργεῖν, ἐξαίφνης ἀνύσαι τὸ ἔργον, ἀλλ' ἔτι πραττόντων τῶν πολυπραγμονούντων θεάσασθαι. Τὰ μὲν δὴ τοιαῦτα τῶν ἀμφισβητημάτων, ἔξωθέν ἐστι τῶν τῆς ἰατρικῆς θεωρημάτων· ἡμεῖς δὲ, ἐξ ἀκολουθίας, ἢ καὶ διὰ τὴν ἀντιλογίαν τῶν ἐπηρεαζόντων, ἀναγκαζόμεθα μνημονεύειν αὐτῶν. ἐπὶ δὲ τὰ συνεχῆ τοῖς προειρημένοις ἤδη μεταβῆναι καιρός.

chantur. Quin etiam ſæpè neceſſe fuit putrem
B teſtem penitùs excidere, & nervum transverſum totum diſcindere, ne homo convulſione prehenderetur. Nonnulli idiotæ puris affectum conſpicere nequeunt; quidam verò loci puris corpus planè aperire concedunt, ut in quibus Medicus, his minimè perpendentibus, abundè locum affectum ſecet, & pus univerſum excludat. At id ob laborantium timiditatem nobis interdum accidit. Quidam enim ſunt ad manûs operationes ita timidi, ut priuſquàm ſectio fiat, doloris expectati metu in animi defectum procidant. Ad hæc Medicum oportet de manûs
C operatione pronunciare ſe poſtero quidem die decreturum, in præſenti verò ipſam miſſam facere: nunc autem aquâ perfundere, aut ſpongiis fovere, quò partem affectam ad cataplaſmatis, aut medicamenti appoſitionem præparet, atque intereà timidum hominem minimè ſuſpicantem ſecare. In his ſanè rebus, ut aſtantes lateant *operationes*, *has* aſpici Medicus prohibuerit; in aliis verò ob laborantis pudorem, quum præ multitudine fiant, non à multis affectum ſpectari, quem aut in ſede, aut in pu-
D dendis patitur. Hæ namque ſunt partes, quas ægrotantes occultare deſiderant; ut & muliebre genus, tum clunes, tum pectus; quidam prætereà & ventris, & multò magis pubis appellatæ regiones. At quidam hic Hippocratem reprehendens id ipſum ridiculè ſcripſiſſe profert. Optantibus enim quæ hujuſmodi manu curantur partes minimè videri facilè eſt, excluſis domo qui intùs morantur omnibus, uni Medico, aut etiam uno quopiam, aut duobus amiciſſimis præſentibus, operationes committere. Ve-
E rùm qui hæc narrat, non expertus eſt multòs, quos quemadmodum pudet ſuos affectus ab aſtantibus conſpici: ſic nonnullos aſpectu prohibere, & miſſos facere. Sæpè verò quidam etiamſi ſecedere juſſi fuerint qui æmulantur, qui operationes ambiunt, qui res ægrotantis ſcire multoperè nituntur, nonnulli familiares vel amici impudenter permanent. Itaque per hujuſmodi occaſiones laboranti gratiam conferre Medicum oportet minimè moleſtam, ipſumque ſeorſum, ac nullo auſcultante polliceri, ita ſe manûs operationem facturum, ut multos la-
F tuerit. Poteſt enim (ut dixi) dum aquam perfundit, aut ſpongiis fovet, ac ſi nondum ſit operaturus, opus repentè conficere, iis qui ſpectare moliuntur etiamnum alia facientibus. At hujuſmodi quæſtiones extrà Medicinæ præcepta ſunt. Nos autem ex enarratorum conſequutione, vel etiam ob diſceptantium repugnantiam ipſa commemorare cogimur. Sed quæ prædictis continuâ ſerie ſubjiciuntur, ad ea tranſeundi jam tempus eſt.

A

Præcedentis textus concluſio eſt, quo pars curanda minimè circumſtantium, ſed ſolius Medici aſpectui ſubjici docetur.

HIPPOCRATIS TEXTUS XIV.

Sic enim qui operatur, intuebitur, & quod tractatur non aſpicietur.

GALENI COMMENTARIUS.

B

Atque hic perfecta eſt hujuſmodi oratio. Sic enim qui operatur, quam partem manu curat, intuetur. Hæc autem ipſa pars ab aliis non cernitur. Non enim profectò quod utcunque & aſpici, & non aſpici, parti manu curandæ convenit, ad Medicum refertur.

De Chirurgi ſymmetria, è directo, vel è regione duobus dici modis. ἴξιν rectitudinis poſituram eſſe: qui ſint operantis ſcopi. Quid per poſitionem, & appoſitionem intelligendum.

C

HIPPOCRATIS TEXTUS XV.

Verùm ſui ratione ſedenti quidem pedes ſecundùm eam quæ ſurſum eſt rectitudinem è directo ad genua ſint, diremptum autem minimùm conſequuti; genua verò ſuperiora ſint inguinibus paululùm diducti, pro commoda cubitorum poſitione & appoſitione.

D

GALENI COMMENTARIUS.

Symmetriam manu operantis pro ratione lucis emenſus, ad ejuſdem ſymmetriam accedit. Suprà namque pronunciavit, *Agens, aut ſedens, aut ſtans, aut ſymmetria ad ſeſe, ad id quod manu tractatur, ad lucis ſplendorem*: deinde ad poſtremum primò profectus, & ſimul cum eo, pro ægri manu curandi ratione, factâ neceſſariò ſymmetriæ commemoratione, ad manu operantis ſuiipſius ratione ſymmetriam ſe contulit. Ipſum autem *concinnam* poſituram habere decet, nihil ſimplex quum ſit, & quid veluti articulis diſtinctum. At ſi partes contempleris, ut aliàs atque aliàs variis poſituram figuris ſortiri poteſt: ſic interdum etiam congruenter ſe collocare. Si quis igitur ſedens, aut ſtans *crura* plurimùm inter ſe diduxerit, præter ſymmetriam his inter ſe partibus ſe habuerit, peræquè ac ſi hæc planè coëgerit, ac ſe tangere fecerit; aut alterum alteri ſuperpoſuerit; aut potiùs ſi in longitudinem totum crus extenderit; aut ſi pedem è regione genu poſuerit; imò verſus poſteriorem partem à rectitudine multum ſecedentem. Meritò igitur Hippocrates, quum ipſius *operantis* cujuſque ſymmetriam, ſui habitâ ratione conſtituiſſet, mutuam partium diſpoſitionem definivit. Pedes quidem è regione genuum continere imperavit. Quandoquidē verò *oratio è regione*, vel è directò duplex eſt, una quidem membrorum ſe in longitudinem extendentium; altera verò artuum in altitudinem ſe ſe porrigentium, quemadmodùm quum

E

F

Ἡ τῆς προειρημένης ῥήσεως σύγκλεισίς ἐστιν, ἢ χειριζόμενον τὸ μόριον τῷ μὴ τῶν περιεστώτων, ἀλλά γε μόνου ἰατροῦ προσόψει ὑποβάλλεσθαι διδάσκουσα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδʹ.

Οὕτω γὰρ δὴ ὁ μὲν δρῶν ὁρώη. τὸ δὲ χειριζόμενον οὐχ ὁρῷτο.

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

Τὸ κἀνταῦθα τὸ τέλειον τῆς λέξεώς ἐστι τοιοῦτον. οὕτως ὁ μὲν δρῶν ὁρᾷ τὸ χειριζόμενον μέρος, ὑπὸ δὲ τῶν ἄλλων οὐκ ἂν ὁρῷτο ταὐτὸ τοῦτο τὸ μέρος· οὐ γὰρ δὴ πρὸς τὸν ἰατρὸν ἄμφω πέπονθε τὸ χειριζόμενον, ὁρᾶσθαί τε, καὶ οὐχ ὁρᾶσθαι.

Περὶ τῆς τοῦ καθημένου χειρουργοῦ συμμετρίας· κατ' εὐθὺ, ἢ κατ' ἴξιν διττὸν εἶναι· τὴν ἴξιν τῆς εὐθύτητος θέσιν εἶναι. οἵ τινες τοῦ χειρίζοντος εἰσὶ σκοποί· τί διαθέσιός τε καὶ παραθέσεως νοητέον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιεʹ.

Πρὸς ἑωυτὸν δὲ, καθημένῳ μὲν, πόδες ἐς τὴν ἄνω ἴξιν κατ' ἰθὺ γουνάτων, διαβάσει δὲ, ὀλίγον συμβεβηκότες, γουνάτα δὲ ἀνωτέρω βουβώνων σμικρὸν διαβάσει ἀγκῶνος θέσει, καὶ παραθέσει.

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

Τὴν πρὸς τὴν αὐγὴν συμμετρίαν τοῦ χειρίζοντος διελθὼν, πρὸς τὴν ἑαυτοῦ συμμετρίαν ἥκει. εἰρηκὼς γὰρ ἔμπροσθεν· ὁ δρῶν, καὶ καθήμενος, ἢ ἑστὼς, ξυμμέτρως πρὸς ἑωυτὸν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγὴν, εἶτα πρὸς τὸ τελευταῖον ἀπαρτήσας πρῶτον, ἅμα δ' αὐτῷ πρὸς τὸ χειριζόμενον συμμετρίας, ἐξ ἀνάγκης μνημονεύσας, ἐπὶ τὴν αὐτοῦ πρὸς ἑαυτὸν ἀφίκετο συμμετρίαν τοῦ χειρίζοντος. Αὐτὸν δὲ πρὸς ἑαυτὸν συμμέτρως ἔχειν θέσεως, οὐδὲν τῶν ἁπλῶν ὂν καὶ οἷον τὸ κατ' ἄρθρον διῃρημένον, ἢν δὲ τὰ μόρια σκοπῇς ὡς ἄλλοτε ἄλλως ἴσχειν θέσιν ἐν ποικίλοις σχήμασιν, οὕτως ἂν δύναιτό ποτε μὲν ἔχειν συμμέτρως. Ἐὰν γοῦν τις, ἐπὶ πλεῖστον ἀλλήλων ἀπαγάγῃ καθήμενος, ἢ ἑστὼς, ἀμέτρως ἂν ἔχοι τοῖς μορίοις τούτοις πρὸς ἄλληλα, καθάπερ εἰ καὶ συνάγοι τελέως αὐτὰ, καὶ ψαύειν ποιήσειεν, ἢ καταθείη τὸ ἕτερον ἑτέρου, ἢ μᾶλλον ἀποτείνοι κατὰ μῆκος ὅλον τὸ σκέλος, ἢ εἰ κατ' εὐθὺ θείη τὸν πόδα τοῦ γόνατος, ἀλλ' εἰς τοὐπίσω πολὺ τῆς εὐθύτητος ἀποκεχωρηκότα. Εὐλόγως οὖν ὁ Ἱπποκράτης, τὴν αὐτοῦ πρὸς ἑαυτὸν ἑκάστου συμμετρίαν ἐν τῷ καθῆσθαι, τὴν τῶν μορίων ὡρίσατο πρὸς ἄλληλα σχέσιν, τοὺς μὲν πόδας κατ' εὐθὺ τῶν γονάτων ἀξιώσας κατέχειν· ἐπεὶ δὲ τὸ κατ' εὐθὺ, διττόν ἐστι, τὸ μὲν κατὰ τὸ μῆκος, ἐκτεινόντων τὰ κῶλα, τὸ δὲ εἰς ὕψος ἀνατεινόντων, ὥσπερ ὅταν

ἀπ' ἀλλήλων, ὡς εὐσχημόνως τε ἅμα, καὶ ἀσφαλῶς, καὶ πρὸς τὰς ἐνεργείας ἀκωλύτως· ἐνίοτε μὲν ἐρείδεσθαι τοὺς ἀγκῶνας τῶν χειρῶν κατὰ τοῦ πήχεός τι μέρος, ἐνίοτε δὲ ἑκατέρωθεν αὐτῶν παρατεταγμένας ἐνεργεῖν. τὸ μὲν γὰρ, θέσει, τὴν ἐπ' αὐτῶν ἕδρας δηλωτικόν, τὸ παραθέσει, τὴν τῶν πλαγίων.

nuum lacertis, & alicui cubiti parti incumbat; nonnunquam verò femoribus, interdum autem ipſas utrinque partes operationibus edendis inſtructas ſortiri. Illa nanque dictio *poſitione è directo* poſitarum partium, hæc verò *appoſitio* obliquè appoſitarum ſedem declarat.

Περὶ πρέποντος τοῦ χειρίζοντος ἱματίου, ὅτι εὔσταλες, καὶ τὸ εὐκρινὲς, μήτε περιεσπασμένον, μήτε χαλαρὸν, μήτε ἐνδιπλασιασμένον ἀγκῶσι, καὶ ὤμοις ἴσον, καὶ ὅμοιον εἶναι δεῖ. Ὅλην τὴν χεῖρα μὲν γυμνοῦσθαι ὁ τῆς χρείας σκοπὸς, αὐτὴν δὲ σκεπάζεσθαι ὁ τῆς εὐσχημοσύνης σκοπὸς, τὸ δὲ μέσον ἔχειν, μέσος ὁ σκοπὸς δηλοῖ.

De idoneo Chirurgi veſtitu, quem ſuccinctum, diſtinctum, non inverſum, non laxum, non duplicatum, humeris & cubitis æqualem & ſimilem eſſe decet. Quod manum totam detegi uſus ſcopus, ipſam obtegi, decoris ſcopus, mediam teneri medius ſcopus indicet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ΄.

Ἱμάτιον εὐσταλέως, εὐκρινέως, ἴσως, ὁμοίως, ἀγκῶσιν, ὤμοισι.

TEXTUS HIPPOCRATIS XVI.

Veſtis ſuccinctè, diſtinctè, æqualiter, ſimiliter, cubitis, humeris.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν εὐσταλέως, ἀντὶ τοῦ προσεσταλμένως εἴρηκεν, ὡς μήτε περιεστραμμένον αὐτὸ μήτε χαλαρὸν περικεῖσθαι τῷ σώματι τοῦ ἰατροῦ. Τὸ δὲ εὐκρινέως, ἐπ' αὐτοῦ τοῦ ἱματίου λέλεκται· κελεύει γὰρ καὶ τοῦτο, μηδὲν αὐτοῦ μέρος ἐνδεδιπλῶσθαι. Τὸ δὲ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον, ἴσως, ὁμοίως, ἀγκῶσιν, ὤμοισιν, ἀμφίβολόν ἐστιν· ἤτοι γὰρ, ἴσως, καὶ ὁμοίως, ἐν ἀμφοτέραις ταῖς χερσὶ περιβεβλῆσθαι τοῖς ἀγκῶσι, καὶ τοῖς ὤμοισιν ἀξιοῖ τὸ ἱμάτιον, ὡς παραβάλλεσθαι τὰς δύο χεῖρας ἀλλήλαις, ὅπερ οἱ πολλοὶ συγκρίνεσθαι καλοῦσιν· ἢ τοὺς ἀγκῶνας, ἢ τοὺς ὤμους ἀλλήλοις παραβάλλει· κατ' ἀμφοτέρας τὰς χεῖρας, κελεύων ἴσως καὶ ὁμοίως τοῖς ἀγκῶσι, καὶ τοῖς ὤμοις καθ' ἑκατέραν αὐτῶν περιβεβλῆσθαι τὴν χεῖρα. ὅτι μὲν οὖν, οὐκ ἀνωτέρω τῶν ἀγκώνων βούλεται τὴν περιβολὴν γίγνεσθαι τοῦ ἱματίου, πρόδηλον· ἀσκεπάστους γὰρ εἶναι τούτους αἰσχρὸν, οὐκ ἰατρῷ μόνον, οὕτω σεμνὴν ἐργαζομένῳ τέχνην, ἀλλὰ καὶ τοῖς κατὰ τὴν ἀγορὰν, ἐν θορύβῳ πολλῷ δίκας λέγουσιν, οὓς καὶ αὐτοὺς αἰδουμένους ἰδεῖν ἐστιν, ἀνωτέρω τῶν ἀγκώνων ἔχειν τὸ ἱμάτιον, ὡς εἰς παγκράτιον παρεσκευασμένους· ἔστι δὲ καὶ ἄλλως ἐκκρῖναι τὸ τοιοῦτον τῆς περιβολῆς εἶδος, ψυκτικὸν οὐ μόνον τῶν κατ' ἀγκῶνα μορίων, ἀλλὰ καὶ τῆς ὅλης χειρός· οὐ μὴν ἐδήλωσε τὸ ποσὸν, εἰ ὑπὲρ τὸν δεξιὸν ἀγκῶνα τοῦ πήχεος ἐπιλαμβάνειν αὐτὸ προσῆκεν· ἢ δῆλον ὅτι παραλιπὼν ὡς σαφὲς ὂν τοῦτο, καὶ πρὸς ἁπάντων ἡμῶν εὑρεθῆναι δυνάμενον· οὐ γὰρ χαλεπόν ἐστι στοχάσασθαι καθ' ἑκάστην ἐνέργειαν, ὁπόσον δεῖ τοῦ ἱματίου τοὺς ἀγκῶνας ὑπερβαίνοντας, ἐκτετάσθαι κατὰ τοῦ πήχεος, σκοπὸν κἀνταῦθα πεποιημένους, τόν τε τῆς εὐσχημοσύνης, καὶ τὸν τῆς πρὸς τὴν προκειμένην χειρουργίαν χρείας. ὥσπερ δὴ ὀλίγον ἔμπροσθεν ἐφ' ὧν

GALENI COMMENTARIUS.

Veſtimentum *ſuccinctum* pro concinnè collecto pronunciavit, ut id neque inverſum neque laxum Medici corpus induat. *Diſtinctum*, de ipſo veſtimento dictum eſt: Jubet enim id nullâ ſui parte duplicari. Quod autem in ſerici fine pronunciatum eſt, *æqualiter*, *ſimiliter*, *cubitis*, *humeris*, ambiguum eſt. Aut enim æqualiter & ſimiliter utrarumque manuum cubitos & humeros veſtimento indui imperavit, ita ut ambæ manus inter ſe conferantur (quod plerique comparari vocitant) aut humeros, aut cubitos inter ſe confert; jubens in utrâque manu æqualiter & ſimiliter cubitis & humeris, utriuſque ipſorum manum indutam eſſe. Enimverò quòd nolit cubitis altiorem veſtis ambitum eſſe manifeſtum eſt. Eos namque nudos patere indecorum eſt, non Medico duntaxat qui tam Religioſam artem profitetur, ſed & forenſibus apud frequentem turbam cauſas agentibus, quos ipſos quoque pudere cernere licet, quum veſtem cubitis altiorem gerunt, ut qui ad pancratium accincti ſunt. At hujuſmodi quoque veſtis ſpecies maximè reprobanda, quæ non modò cubiti partes, ſed & totum brachium refrigerat: Non tamen declaravit quouſque ſupra dextrum cubiti angulum brachium operire deceat. An id tanquam dilucidum quòd à nobis omnibus comperiri poteſt, omnino prætermiſit? Non enim iis arduum eſt in ſingulis operationibus conjicere quantùm indumenti oporteat cubitos tranſcendentis ad cubiti lacertum exporrectum eſſe, qui hic obſervationem fecerint cùm decoris, tum uſus ad propoſitam Chirurgiam *ſpectantis*. Sed quemadmodum pauló ante in quibus

quibus quid occultandum erat, contrarios eſſe ſcopos protuli, ne quod manu curatur, conſpicuum cernatur, obſcuro aëre opus eſſe; ut verò qui manu operatur, illud conſpiciat, clarâ luce. Quod autem eorum exuperat, illi ſcopum concedere; at ſi utrumque eſſe tibi videatur, medium omnino tenere. Eodem modo & nunc, & ſemper in omnibus faciendum eſt, hic ad res contrarias ſcopi dirigunt, eos quidem qui amborum medium ſemper eligunt, uter verò ſi prævaleat, ad illum propendentes. Quod igitur ad Chirurgiam ſpectat, ipſa per ſe nudam totam manum maximè deſiderat. Quæ verò decoris ſunt, ipſam totam obtectam. Quamobrem utriuſque medium perpetuò deligi congruit, ſed validiùs urgenti concedere.

ἐγχειρεῖν λαθεῖν, ἐναντίους ἔφην εἶναι σκοπούς, ἵνα μὲν μὴ βλέπηται τὸ φαινόμενον δέον σκοτεινοῦ ἀέρος, ἵνα δὲ τὸ χειριζόμενον ὁ χειρίζων αὐτὸς βλέπῃ, λαμπροῦ φωτός. ὁπότε δ' ἂν αὐτῶν ἐπικρατῇ, τὸν σκοπὸν ἐκείνῳ παραχωρεῖν. εἰ δέ σοι δόξειεν εἶναι, τὸ μέσον ἀκριβῶς ἀμφοτέρων αἱρεῖσθαι. κατὰ τὸν αὐτὸν τρόπον καὶ νῦν ἐστι καὶ διὰ παντὸς ἐπὶ πάντων ποιητέον, ἔνθα πρὸς ἐναντία πράγματα προάγουσιν οἱ σκοποί, τὸ μέσον μὲν ἀμφοῖν αἱρουμένους πάντως, ὁπότερος δ' ἂν ἐπικρατῇ, πρὸς ἐκεῖνον ἐκκλίνοντας. Τὸ μὲν οὖν κατὰ τὴν χειρουργίαν ὅσον ἐπ' αὐτῇ, ἐδεῖτο τῆς ὅλης χειρὸς γυμνῆς, τὰ δὲ τῆς εὐσχημοσύνης, ὅλης αὐτῆς ἐσκεπασμένης. διὰ τοῦτ' οὖν, ἀεὶ μὲν τὸ μέσον ἀμφοῖν αἱρεῖσθαι προσήκει, παραχωρεῖν δὲ τῷ μᾶλλον ἐπείγοντι.

De decenti Chirurgi ad operandum ſedentis ſtatu medio, ad ægrotum relatione factâ. De intervallis, ac intervallorum terminis perpetuò medenti obſervandis, longinquo, propinquo, & medio; longitudinis in anteriorem, poſteriorem, & mediam; latitudinis in dextram, ſiniſtram, & mediam; & altitudinis, in ſuperiorem, inferiorem, & medium. Quid angulares manus. Quomodo variæ fiant operando manuum motiones & figurarum commutationes, in quibus ſedem tueri decet.

Περὶ τοῦ χειρουργοῦ εἰς χειρουργίαν καθημένου πρέποντος σχήματος τοῦ μέσου, κατὰ τὴν πρὸς τὸ χειριζόμενον ἀναφοράν. περὶ τῶν διαστάσεων, καὶ τῶν ὅρων τῶν διαστάσεων διὰ παντὸς τῷ χειρίζοντι ἀποβλεπτέων, τοῦ πρόσω, καὶ ἐγγύς, καὶ μέσου. κατὰ μῆκος, εἰς τὸ πρόσω, καὶ ὀπίσω, καὶ μέσον. κατὰ τὸ πλάτος, εἰς τὸ δεξιὸν, καὶ ἀριστερὸν, καὶ μέσον. κατὰ τὸ βάθος εἰς τὸ ἄνω, καὶ κάτω, καὶ μέσον. τί χεῖρες αἱ ἐγγώνιοι. πῶς διάφοροι γίνονται ἐν τῷ χειρίζειν τῶν χειρῶν κινήσεις, καὶ αἱ τῶν σχημάτων ὑπαλλαγαί, ἐν αἷς τὴν ἕδραν φυλάττειν δεῖ.

HIPPOCRATIS TEXTUS XVI.

AD id autem quod manu tractatur, procul quidem, & propè; & ſurſum & deorſum; & huc, aut illuc, aut ad medium. Procul autem & propè, termini ſunt cubiti: qui in anteriorem partem genua, in poſteriorem coſtas non progrediantur. At ſurſum, ſummas manus mammis ſuperiores non teneat; deorſum verò pectore genibus incumbente non inferiores. Summas manus angulares cum humeris figuret; quæ in medio ſunt, ita ſe habent. Sed quæ huc aut illuc feruntur, *non extra ſedem. Sed pro converſionis ratione corpus, & operantem corporis partem protendat.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ΄.

ΠΡὸς δὲ τὸ χειριζόμενον, τοῦ μὲν πρόσω, καὶ ἐγγύς· καὶ ἄνω καὶ κάτω· καὶ ἔνθα, ἢ ἔνθα, ἢ μέσον. τοῦ μὲν πρόσω καὶ ἐγγύς, ὅρος ἀγκῶνες· ἐς μὲν τὸ πρόσθεν γούνατα μὴ ἀμείβειν, ἐς δὲ τὸ ὄπισθεν, πλευράς. τοῦ δὲ ἄνω, μὴ ἀνωτέρω μαζῶν ἄκρας χεῖρας ἔχειν· τοῦ δὲ κάτω, μὴ κατωτέρω, ἢ ὡς τὸ στῆθος ἐπὶ γούνασιν, ἔχειν· ἄκρας χεῖρας ἐγγωνίους πρὸς βραχίονας σχηματίζειν. τὰ μὲν κατὰ μέσον οὕτως· τὰ δὲ ἔνθα, ἢ ἔνθα, μὴ ἔξω τῆς ἕδρης. κατὰ λόγον δὲ τῆς ἐπιστροφῆς προσαλλόμενον τὸ σῶμα, καὶ τοῦ σώματος τὸ ἐργαζόμενον.

GALENI COMMENTARIUS.

QUum Medicum ad ſe, ad eum qui manu curatur, & ad lucem reſpectu, aut ſedentem, aut ſtantem ſeſe figurare præcepit; ac primùm ſedentis ad trium quodque factâ relatione ſymmetriam docere profeſſus eſt, à luce exorſus. Deinde ad Medici ſui ratione ſymmetriam digreſſus, & hanc perſecutus, ad reſiduum tertium provehitur. Neque enim Medicum laboranti manu curando propiùs ſedere decet, ne loci anguſtiâ manuum actiones interturbentur, neque tantoperè dirimi, ut vix laborantem attingat. Hic igitur terminos quoſdam conſtituit, quos qui manu operatur, neque in anteriora, neque in poſteriora progredi debet. Meminimus autem de ſedente primùm ipſi ſermonem eſſe. Chirurgum igitur ita ab ægrotante diremptum eſſe jubet, ut is neque anteriores genibus cubitos, neque lateribus

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

ΕΠειδὴ τὸν ἰατρὸν ἐκέλευσε συμμέτρως ἔχειν πρὸς ἑαυτὸν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγὴν, ἤτοι καθήμενον, ἢ ἑστῶτα, καὶ πρῶτον ἐπιχείρησε λέγειν τὴν τοῦ καθημένου συμμετρίαν πρὸς ἕκαστον τῶν τριῶν, ἀρξάμενος ἀπὸ τῆς αὐγῆς· εἶτα μεταβὰς ἐπὶ τὴν πρὸς ἑαυτὸν, αὐτοῦ συμμετρίαν, καὶ ταύτην διελθὼν, ἐπὶ τὸ λοιπὸν ἔτι τρίτον ἥκει, διδάσκων τὴν πρὸς τὸ χειριζόμενον αὐτοῦ συμμετρίαν. οὔτε γὰρ ἐγγὺς πάνυ προσήκει καθῆσθαι τοῦ χειριζομένου τὸν ἰατρὸν, ὡς ὑπὸ στενοχωρίας ἐμποδίζεσθαι τὰς τῶν χειρῶν ἐνεργείας, οὔτε διεστηκέναι τοσοῦτον, ὡς μόγις ἐφικνεῖσθαι τοῦ χειριζομένου. Τίθησι γοῦν κἀνταῦθα τινὰς ὅρους, ὧν οὔτ' εἰς τὸ πρόσω χωρεῖν, οὔτ' εἰς τοὐπίσω προσήκει τὸν χειρίζοντα. μεμνήμεθα δὲ, ὅτι περὶ τοῦ καθημένου, πρῶτον ὁ λόγος ἐστὶν αὐτῷ. τοσοῦτον οὖν ἀξιοῖ διεστηκέναι τὸν κάμνοντα, ὡς μήτε προσωτέρω ποτὲ τῶν γονάτων ἔχειν τοὺς ἀγκῶνας, μήτε ὀπίσω

ἔχοντα τοῖς γόνασι, τὰς χεῖρας ἐγγωνίους ἐσχηματισμένας πρὸς τὸν βραχίονα. καλεῖ δὲ ἐγγωνίους, ὅταν ὀρθὴν γωνίαν πῆχυς ἐργάζηται πρὸς τὸν βραχίονα. μέσον γάρ ἐστι τοῦτο τὸ σχῆμα, καμπτῆς τε, τῆς κατ' ἐσχάτην τελέως, μεθ' ἣν οὐκέτι κάμψαι δυνατόν ἐστι, ἐκτάσεώς τε σχήματος, μεθ' ἣν ἀμήχανον ἐστι ἐπεκτεῖναι τὴν χεῖρα. τῆς δὲ κατὰ πλάτος εἰς τὰ πλάγια μέρη γιγνομένης διαστάσεως, ὅρον ἑκατέρας ἐτίθετο, τῆς κατὰ τὸ δεξιὸν καὶ τὸ λαιόν, ὡς ἄριστον ποιῆσαι τὰς ἐπιστροφάς, ὡς μὴ κατακινεῖσθαι τὰς ἕδρας, τουτέστι τὰ μόρια τοῦ σώματος, οἷς ἑδραζόμεθά τε καὶ στηριζόμεθα κατὰ τῶν ὑποκειμένων. εἴρηνται μὲν οὖν ἐφεξῆς ἀλλήλων οἱ ὅροι, κατὰ διαφέροντας χρόνους· ἐν ᾧ γὰρ περὶ τῶν κατὰ μῆκος ἐδίδασκε διαστάσεων, ἐν τούτῳ περὶ τῆς κατὰ πλάτος, καὶ ὕψος, οὐχ οἷόν τ' ἦν διδάσκειν, ὥσπερ οὐδὲ ὁπότε περὶ ἑκατέρας τῶν λοιπῶν δυοῖν. Αὐτὸν δὲ τὸν ἰατρόν, οἶμαι, ταῦτα συμβουλεύει, διὰ παντὸς ἀποβλέπειν χρὴ τῇ διανοίᾳ, πρὸς τὰ λελεγμένα πάντα. τὸ γὰρ πάντων ἐστὶν ἅμα χρεία, κατὰ πᾶσαν ἐνέργειαν. ὥστε οὔσης τινὸς μέσης καταστάσεως, ἐν ᾗ καθίζει ὁ ἰατρός, ὅταν μὴ βλέπων, μηδὲν ἐνεργεῖ ταύτην. εὐσχημονεστέραν τε, καὶ σεμνοτέραν εἶναι προσῆκεν, ὡς εἰ καὶ γραφεύς τις, ἢ πλάστης ἔμελλεν αὐτοῦ ποιήσειν εἰκόνα. προσιόντος δὲ τοῦ χειρουργίας ἀφικνουμένου, χρὴ κινεῖσθαι τὰς χεῖρας, ἐνίοτε μὲν ἅμα πρόσω τε, καὶ ἄνω, κἄπειτα δὴ ἐπ' ἀριστερά, μετὰ τοῦ πρόσω τε, καὶ ἄνω πάλιν ἐκ τούτων τῶν σχημάτων, ἤτοι γε ὀπίσω τὰς χεῖρας ἀμφοτέρας, ἢ μόνην μίαν φέρειν. οὕτω δὲ, καὶ ἢ κάτω ποτὲ ἢ πάλιν ἄνω, καὶ κάτω τε, καὶ ὀπίσω. Πολυειδῶς γὰρ τὰ σχήματα ὑπαλλάσσεται, συμπλεκομένων ἀλλήλαις τῶν διαστάσεων. ἐν ἁπάσαις ταύταις ἐστὶ κοινόν, τὸ φυλάττειν τὴν ἕδραν, ἣν διαφθείρουσιν ἔνιοι, τοὺς ὅρους τῶν διαστάσεων ὑπερβάλλοντες. Ἐάν τε γὰρ οὕτως ὑψηλὸν ᾖ κείμενον τὸ χειριζόμενον μόριον, ὡς ὑπὲρ τοὺς αὐτοῦ τιτθοὺς ἀναφέρειν τὰς χεῖρας τὸν ἰατρόν, ἀναγκασθήσεταί ποτε κουφίσαι μετεωρότερον αὑτὸν ἐπὶ τῆς ἕδρας, ὡς ἀνιστάμενος, ὡς μηδὲ ἑστάναι μηδέπω, μηδὲ καθίζειν, ἀλλ' ἐν ἀστηρίκτῳ τε, καὶ μέσῳ τούτων σχήματι καθεστάναι. ἀλλ' εἰ ἐπὶ πλεῖστον ἐπὶ τὸ δεξιόν, ἢ ἐπὶ τὸ ἀριστερὸν μέρος ἀποκεχωρηκὼς, ἐπ' ἐκείνοις, αὐτὸς ἐκ τῆς ἕδρας κινηθήσεται, ὡς ὀλισθῆσαι ἐξ αὐτῆς κινδυνεύσαι. Τί δεῖ λέγειν, ὡς ἐπὶ τὸ πρόσω ἢ ὀπίσω μέρος ἀμφοτέρας ὅμοια πείσεται· καὶ μόνον γέ τις, τοῦ εἰς τὰ κάτω, πρὸς τὸ σκοτίζειν αὐτοῦ τὴν ἐνέργειαν, ἐν ᾧ πρέποντι σχήματι καθίζηται.

ut neque operatio ſuperiùs mammis [illegible]
manus porrigat, neque inferiùs pectore ſuper
genua incumbente manus angulares cum humeris
figuret. Angulares autem vocat, quum
rectum angulum cubitûs cum brachio efficiat.
B Hic enim medius eſt hàbitus tum flexionis cubiti
ultimæ, ad quam manus flecti nequaquam
poteſt; tum extenſionis extremæ ad quam manum
exporrigi erit perarduum. At terminum
intervalli quod per latitudinem in obliquas fit
partes, utrobique conſtituebat, & in dextram
& ſiniſtram quò facilè fiant converſiones, ut
ſedes non dimoveantur, hoc eſt, corporis partes
quibus & ſedemus, & ſubſtratis ſedilibus
fulcimur. Termini quidem mutuâ ſerie diverſis
temporibus pronunciati ſunt. Nam quo tempore
C re longitudinis intervalla docebat, eo latitudinis
& altitudinis intervallo docere non potuit,
neque quum reliquarum duarum alterutram. At
ipſum Medicum hortatur meâ quidem ſententiâ,
hæc omni tempore mente, prout deceat, inſpicere
quæ pronunciata ſunt omnia. Etenim
in omni operatione ſimul uſui ſunt omnia.
Quum ergo medius quidam ſit Medici ſedendi
ſtatus, quando non intuetur, nihil agit; hunc
ſtatum & decorum magis, & honeſtiorem eſſe
conſentaneum eſt, quàm ſi pictor, quidam aut
plaſtes ejus imaginem effinxerit. Quum autem
ad Chirurgiam accedit, eum movere manus o-
D portet, interdum quidem ſimul & antè & ſurſum;
deinde verò ſiniſtrorſum ſimul & antè &
ſurſum; rurſus ex his figuris aut in poſteriora
manus ambas, vel unicam ſolam ducere. Sic
verò interdum vel deorſum, vel rurſus ſurſum
& deorſum, & retrorſum. Multiplici namque
facie ſtatus ſubmutatur complicatis mutuò intervallis.
His omnibus commune eſt ſedem tueri,
quam nonnulli deſtruunt intervallorum terminos
excedentes. Etenim ſi quæ pars manu
tractatur ita ſublimis ſit, ut ſupra ipſas mammas
manus evehat Medicus, cogetur interdum
E ipſe è ſede ſublimior erigi, ut conſurgens nondum
ſtet, neque ſedeat, ſed & in inſtabili &
mediâ inter has figurâ ſitus ſit. At ſi quamplurimùm
in dextram vel in ſiniſtram partem ſeceſſerit,
illis ipſe è ſede ita dimovebitur, ut ab
eâ lapſurus periclitetur. Quid dicendum eſt
quòd ad anteriorem vel poſteriorem partem utriſque
ſimilia obortura ſint? Tantúmque ſi qua
ſit in partes inferiores converſio, ea ejus operationem
obſcurabit quâ in figurâ decenti ſe-
F derit.

De ſtantis Chirurgi operantis ſymmetriâ, & idoneo ſtatu, in quo ac in ſedentis ſtatu iidem propè termini ſervandi ſunt.

Περὶ τῆς χειρουργοῦ χειρίζοντος συμμετρίας, καὶ τοῦ ἐπιτηδείου σχήματος, ἐν ᾧ ὡς ἐν τῇ τῶν καθημένων καταστάσει ὅμοιον τὰ ὅρια φυλαχθησόμενα.

TEXTUS HIPPOCRATIS XVIII.

Stantem autem utriſque ex æquo pedibus univerſim inſiſtere oportet. Sed altero inſiſtentem agere; non eo qui ad operantem manum eſt; genu ad inguinis altitudinem tollere, *ut in ſedentis ſtatu. Eoſdem quoque cæteros terminos ſervare.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη΄.

Ἑστεῶτα δὲ δεῖ, καὶ ἐπ᾽ ἀμφοτέρων βεβαῶτα ἐξ ἴσου τῶν ποδῶν, ἄλλως ὀρθὸν δὲ, τῷ ἑτέρῳ ἐπιβεβαῶτα, μὴ τῷ κατὰ τὴν δρωμένην χεῖρα· ὕψος γουνάτι πρὸς βουβῶνα, ὡς ἐν ἕδρῃ· καὶ τὰ ἄλλα ὅρια τὰ αὐτά.

GALENI COMMENTARIUS.

Abſoluta de ſedente *Chirurgo* oratione, ad ſtantem emigrat, idem jubens ſtantem obſervare, quod ſedenti paulò antè imperavit, quia impar eſt pedum inceſſus. Alterum enim eſſe vult ipſo ſublimiorem, ut è directo in ejuſmodi ſtatione nullam edat operam, quam ipſiſſimam in omni operatione ſervaturus eſt, ſi quæ pars manu curatur, neque ſublimior ſit, neque in longitudinem, aut altitudinem remotior, patet cuique prædictorum memori. Pars enim ſic elata ut ſuis ipſius mammis ſublimiores manus habere cogatur, Medicum à ſede dimovebit qui citra ſymmetriam protenditur. Si verò quamplurimùm ſeceſſerit, ac retrorsùm rursùs procedere compulerit, ſedem ab initio coget relinquere. Quoniam verò alterum pedem voluit re quâdam fulciri, hîc quoque altitudinis modum declaravit, jubens genu eandem ſortiri ad inguina figuram, quam in ſedentibus pronunciavit. In his autem protulit genua paulò ſupra inguina collocanda eſſe; quòd hujuſmodi ſedes & tutiſſima ſit, & ad operationem aptiſſima & paratiſſima. Verùm nunc alterum genu ſublime ſolùm ad inguina eandem ſortiri figuram cenſet; ac ſæpenumerò inguina utrorumque crurium parem habere altitudinem.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸν περὶ τῶν καθημένων συμπληρώσας λόγον, ἐπὶ τὸν ἑστῶτα μετέβη, πάντως αὐτὸν κελεύων φυλάττειν, ὃ μικρὸν ἔμπροσθεν ἐπὶ τοῦ καθημένου ἐκέλευσεν, ὅτι τὸ τῆς βάσεως τῶν ποδῶν ἄνισον· ὑψηλότερον γὰρ εἶναι βούλεται τὸν ἕτερον αὐτοῦ, ὡς μὴ κατ᾽ εὐθύ τι τοῦ ἐνεργοῦντος εἶναι τὴν τοιαύτην στάσιν, ἣν ὅτι καὶ αὐτὴν φυλάξει διὰ πάσης ἐνεργείας, εἰδὼς μήτε ὑψηλὸν ἰσχόμενος τὸ χειριζόμενον μόριον, μήτε πορρώτερον κατὰ τὸ μῆκος ἢ πλάτος, εὔδηλον τοῖς μεμνημένοις τῶν προειρημένων. Τὸ μὲν γὰρ οὕτως ὑψηλὸν, ὡς τὸν ἰατρὸν ἀναγκάζεσθαι μετεωροτέρας τῶν ἑαυτοῦ τιτθῶν ἔχειν τὰς χεῖρας, ἀποσαλεύσει τῆς ἕδρας αὐτὸν ἀνατεινόμενον ἀμέτρως· τὸ δὲ ἐπὶ πλεῖστον ἀφεστηκὸς, πάλιν αὖ καὶ τὸ προβαίνειν ἀναγκάζον, ἀπολείπειν βιάσεται τὴν ἐξ ἀρχῆς ἕδραν. Ἐπεὶ δὲ, ἐπί τινος ἐστηρίχθαι τὸν ἕτερον τῶν ποδῶν βούλεται, κἀνταῦθα, τὸ ποσὸν τοῦ ὕψους ἐδήλωσεν, ἀξιώσας τὴν αὐτὴν σχέσιν τῷ γόνατι πρὸς βουβῶνας, ἣν κἀπὶ τῶν καθημένων εἶπε· εἴρηκε δ᾽ ἐπ᾽ ἐκείνων, γούνατα δὲ, ἀνώτερον βουβώνων μικρὸν, ὡς ἀσφαλεστάτης τε ἅμα, καὶ εὐχρηστοτάτης πρὸς τὰς ἐνεργείας, καὶ ἑτοιμοτάτης οὔσης τῆς τοιαύτης ἕδρας· ἀλλὰ νῦν γε τῷ ἑτέρῳ γόνατι τῷ ὑψηλῷ μόνῳ, πρὸς τοὺς βουβῶνας εἶναι τὴν αὐτὴν σχέσιν ἀξιοῖ, πληθυντικῶς βουβῶνας ἀμφοτέρων τῶν σκελῶν ἴσον ἔχειν ὕψος.

Explicationes quatuor vocabulorum defluxus, ſubſidentiæ, abductionis, declivitatis. Explicantur quoque tria tempora, deditio, operatio, ſubſequens habitus. Quod poſituræ laborantis figuram & formam ſervare oporteat.

Ἐξήγησις τεττάρων τῶν ὀνομάτων τῆς ὑπορρύσεως, καὶ ὑποστάσεως, καὶ ἐκτρέψιος, καὶ καταρροπίας. Διασαφηνίζονται καὶ τρεῖς χρόνοι, ἡ πάρεξις, ὁ χειρισμὸς, καὶ ἡ ἔπειτα ἕξις. ὅτι δεῖ σώζειν καὶ σχῆμα, καὶ εἶδος τοῦ χειριζομένου κατὰ θέσιν.

TEXTUS HIPPOCRATIS XIX.

At qui tractatur, reliquâ corporis parte manu operanti ſubſerviat, aut ſtans, aut ſedens, quò quamfacillimè ita in ea figura poſitus perſeveret, obſervans defluxionem, ſubſiſtentiam, in latus converſionem, declivitatem; ſic ea, quam oportet ſervatur & figura, & forma, operationem ſubeuntis in ſui *deditione, in manûs operatione, in habitu ſubſequenti.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ΄.

Ὁ δὲ χειριζόμενος τῷ χειρίζοντι, τῷ ἄλλῳ τοῦ σώματος μέρει ὑπηρετείτω, ἢ ἑστεὼς, ἢ καθήμενος, ἢ κείμενος ὅκως ἂν ῥήϊστα ὧδε ὡς σχῆμα ἔχων διατελέει, φυλάσσων ὑπόρρυσιν, ὑπόστασιν, ἔκτρεψιν, καταρροπίαν, ὡς ὃ δεῖ σώζεται, καὶ σχῆμα, καὶ εἶδος τοῦ χειριζομένου, ἐν παρέξει, ἐν χειρισμῷ, ἐν τῇ ἔπειτα ἕξει.

GALENI COMMENTARIUS.

Qui hunc librum interpretati ſunt, diverſas non citra rationem textus explicationes tradiderunt. Etenim quatuor nomi-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διαφέρουσας ἐξηγήσεις ἐποιήσαντο τῆς ῥήσεως, οἱ ἐξηγησάμενοι τὸ βιβλίον εὐλόγως. ἔστι γὰρ τῶν τεττάρων ὀνο-

διώξω τὰ δόξαντά μοι πιθανῶς ἐπινοεῖσθαι, μετὰ τοῦ B προσθεῖναί τι καὶ τῆς ἐμῆς γνώμης. Ἄρξομαι δὲ ἀπὸ τῆς τῶν ἀσαφῶν ὀνομάτων ἐξηγήσεως. ἐπειδὴ πρότερόν ἐστι τὸ ἁπλοῦν τοῦ συνθέτου, καὶ πολλάκις τι, τῶν ἁπλῶν οὐδενὸς ὄντος ἀσαφοῦς, ἡ σύνθεσις αὐτῶν τὴν ἀσάφειαν ἐργάζεται, τοῦτο δέ, ἀμέλει, καὶ κατὰ τὴν προκειμένην γέγονε ῥῆσιν. Ἔνιοι μὲν γάρ, ὑπόρρυσιν ἤκουσαν ἐπὶ τῶν ὑγρῶν, καὶ τούτων αὐτῶν διττῶς, οἱ μὲν ἐκ τοῦ σώματος κινουμένων, οἱ δὲ ἐπὶ τῶν ἐπιβρεχομένων ἔξωθεν· ἀλλὰ καὶ αὐτῶν, τῶν μετὰ τὴν χειρουργίαν ἐκρεόντων, ἔφασαν αὐτὸν μνημονεύειν, ἔνιοι δέ, τῶν μετὰ τὴν χειρουργίαν. ἡ αὐτὴ δέ, C καὶ περὶ τὸ τῆς ὑποστάσιος ὀνόματος γέγονε διαφωνία, τῷ ἐκρεῖν τὰ ὑγρά, τὸ ὑφίστασθαι κατὰ τοὐναντίον λεγόμενον, εἰκότως ἐν μέρει διαφωνίας ἔσχεν. ἕτερος δέ τις χορὸς ἐξηγητῶν, οὐκ ἐπὶ τῶν ὑγρῶν, ἀλλ' ἐπὶ τῶν στερεῶν τοῦ ζώου μορίων, ἤκουσε τοῦ τε τῆς ὑποστάσιος, καὶ τῆς ὑπορρύσιος, ὀνόματος. ὑπόστασιν μὲν τὸν μετεωρισμένον, ἤτοι τῶν τεμνομένων μελῶν, ἢ καὶ παντὸς τοῦ σώματος εἰρῆσθαι νομίζοντες. ὑπόρρυσιν δὲ τὴν εἰς τὰ κάτω ῥοπήν, ὡς εἰ καὶ κατάρρυσιν εἰρήκει. Τὸ οὖν καταρρεῖ, ἐπὶ D τοῦδε τοῦ σημαινομένου λέλεκται κατὰ τὸ προγνωστικόν, ἔνθα φησίν· ἢν δὲ καὶ προπετὴς γίνηται, καὶ καταρρέῃ ἀπὸ τῆς κλίνης ἐπὶ πόδας, δεινότερόν ἐστι. τοῖς οὕτως ἐξηγησαμένοις μαρτυρεῖ, καὶ τὸ τῆς ἐκπιέψιος, καὶ τὸ κατάντιας ὄνομα προσεζευγμένων ἑξῆς γεγραμμένα. τὴν μὲν γὰρ εἰς τὸ πλάγιον ἐκτροπήν, ἔκπιεψιν εἴρηκεν, ἐάν τε ἐφ' ὅλου τοῦ σώματος, ἐάν τε ἐπὶ τοῦ χειριζομένου μορίου γίνηται. Τὴν δὲ κατάντιαν, ἐπὶ τῶν κώλων ἰδίαν λέγεσθαι φασίν, ὥσπερ ἐπὶ παντὸς σώματος τὴν ὑπόρρυσιν. ὅταν γὰρ ὅλον τὸ σῶμα φυλάττων τις ἐν ταὐτῇ χώρᾳ, καὶ μὴ μετακινῶν, ἤτοι τὸ σκέλος, ἢ τὴν χεῖρα, κάτω ῥέπον ἐργάσηται, E κατάρροπον ὀνομάζεσθαί φασι, τὴν τοιαύτην θέσιν, ἀληθῆ λέγοντες αὐτὰ καθ' ἑαυτά, κἂν μὴ διαρκῶς φυλάττωσι τὴν καθ' ὅλην τὴν ῥῆσιν ὁμολογίαν. Ἑτέρα γάρ τις πάλιν αὐτῶν ἁπάντων ἐγένετο διττὴ στάσις· ἐνίων μὲν ἡγουμένων ἀξιοῦν τὸν Ἱπποκράτην, διαφυλάττειν τοὺς χειριζομένους, κατὰ τέτταρας προσηγορίας σημαινόμενα, τὴν ὑπόστασιν, καὶ τὴν ὑπόρρυσιν, καὶ τὴν ἔκπιεψιν, καὶ τὴν κατάντιαν, ἐνίων δέ, οὐ φυλάττειν. διαφέρει δὲ οὐδὲν εἰς τὴν ὅλης τῆς ῥήσεως διάνοιαν, τὸ τρεῖς γεγονέναι γρα- F φὰς τοῦ τῆς ἐκπιέψιος ὀνόματος. ἔνιοι μὲν γὰρ ἔκπρεψιν γράφουσι, διὰ τοῦ τ καὶ ρ καὶ ι, κατὰ τὴν δευτέραν συλλαβήν, τινὲς δὲ καὶ τὸ σ προστιθέασιν, ἐν ἀρχῇ γράφοντες ἔσκπρεψιν, ἔνιοι δὲ καὶ ἔκτρεψιν, διὰ τοῦ τ καὶ ρ καὶ ι. προειρήκαμεν γὰρ ἕνα τινὰ γράφειν. αἱ δὴ δύο εἰρημέναι προσηγορίαι σαφεῖς εἰσιν· ἀπὸ γὰρ τοῦ ἐκπιέζεσθαι ῥήματος ἔκπιεψις, ἀπὸ δὲ τοῦ ἐκτείβεσθαι·

Καινοτομοῦντες δ᾽, ὥσπερ ἐν ἄλλοις, καὶ μετατιθέντες τὰς παλαιὰς γραφάς, ὅ, τε Ἀρτεμίδωρος καὶ ὁ Διοσκορίδης, οὕτως κἀνταῦθα μεταβάλλοντες τὴν κλίσιν, ἤγουν τὴν λέξιν, ἁπλοῦν ἐγκύκλως ἔγραψαν, νοήσαντες C μὲν ὀρθῶς, μεταγράψαντες δὲ τολμηρῶς. ἐπεὶ μέντοι τῶν πλείστων οὐδὲ καλῶς νοήσαντες, ἐτόλμησαν μεταγράψαι, διὰ τοῦτο νῦν αὐτῶν ἐμνημόνευσα, καί τοι μυρία τῶν ἔμπροσθεν, ἄχρι τοῦ δεῦρο μεταγεγραφότων οὐ μνημονεύσας· ἐπεὶ καὶ τοῦτ᾽ ἔδοξαί μοι, καλῶς μὲν νενοηκότες, ἐπὶ τὸ σαφέστερον δὲ μεταγράψαι, σφαλέντες ἐν τοῖς μικροῖς, καὶ μὴ νοήσαντες ὡς ὁ γραφεὺς βούλεται. περὶ μὲν δὴ τούτων, ἅπαξ ἀρκέσει λελέχθαι. προειπὼν δ᾽ ὁ Ἱπποκράτης, καλῶς μέν, ἁπλῶς, εὐκρινέως, ἐφεξῆς D δὲ προσθείς, ὅμοια, καὶ ἴσα, καὶ ἴσως, καὶ ὁμοίως, καὶ ἄνισα, καὶ ἀνόμοια, καὶ ἀνίσως, καὶ ἀνομοίως, ὡς τὸν κοινὸν σκοπὸν ἐνδείξει τῶν εὐκρινῶν ἐπιδέσεων. τὰ μὲν γὰρ ἴσα, καὶ ὅμοια μέλη τοῦ σώματος, ἴσως καὶ ὁμοίως κατὰ πάντα ἑαυτῶν τὰ μόρια τὸν ἐπίδεσμον ἐπιδεῖσθαι δεῖται. τὰ δὲ ἄνισα καὶ ἀνόμοια, ἀνίσως καὶ ἀνομοίως, καὶ τά γε παλαιὰ τῶν ἀντιγράφων, καὶ οἱ ἐξηγησάμενοι τὸ βιβλίον, ἐλλιπῶς ἴσασι γεγραμμένην τὴν λέξιν, οὐ προσκειμένου τοῦ ἀνίσως καὶ ἀνομοίως, ἀλλὰ μόνου γεγραμμένου τούτου, ἄνισα καὶ ἀνόμοια, E προσυπακούειν κελεύουσι, τὸ ἀνίσως, καὶ ἀνομοίως, παραλελειμμένον ὑπ᾽ αὐτοῦ, διὰ τὸ φαίνεσθαι σαφῶς ἐκ τῆς ἀκολουθίας τῶν πρὸς τὰ εἰρημένα. τὸ δὲ τῆς ἑρμηνείας εἶδος, οὐ βραχυλογίας ἴδιόν ἐστι, ἀλλ᾽ ἡμαρτημένον πρόδηλον. ἄμεινον, εἴπερ οὕτως εὑρεθῇ γεγραμμένον ἡγεῖσθαι, καθάπερ καὶ ἄλλα πολλὰ τῶν πρώτων ἀντιγράφων ἡμαρτήθη, καὶ τοῦτο συμβεβηκέναι, τοῦ μὲν βιβλιογράφου παραλιπόντος αὐτά, φυλαχθείσης δὲ ἄχρι δεῦρο, τῆς ἁμαρτίας. περὶ μὲν οὖν βραχίονος ἴσως, καὶ ὁμοίως, ἐγχωρεῖ ποιεῖσθαι τὰς περιβολάς, ἐπὶ δὲ μηροῦ καὶ πήχεος, ἀπολειπομένας, F βραχὺ δὲ πλεῖον ἐπὶ κνήμης. ἐπ᾽ ὤμου, μέν τοι καὶ ἰσχίου, ἀντικειμένων μερῶν δεόμεθα, καθάπερ κἀπὶ τῶν πλαγίων τῆς κεφαλῆς. τὰ μὲν γὰρ κατὰ μέτωπον, καὶ ἡ ῥίς, ἐγκύκλου δεῖται τῆς περιβολῆς, ἴσως καὶ ὁμοίως γιγνομένης, καθάπερ καὶ τὰ κατὰ τὴν κορυφήν, εἰ καὶ μὴ ἐγκύκλως, ἀλλ᾽ ἴσως τε, καὶ ὁμοίως, κἀνταῦθα τῆς ἐπιδέσεως γιγνομένης χρῄζει. περὶ μὲν οὖν τούτων, ἐν τοῖς ἐφεξῆς ἐπιμελέστερον εἰρήσεται. νυνὶ δὲ ἐπὶ τὸ λοιπὸν τῆς ῥήσεως.

τοῦ πεπονθότος μέρους εἴδει, καὶ τοῖς κατ' αὐτὸ πάθεσι. τὸ μὲν γὰρ τῆς ἐπιδέσεως εἶδος, ὃ καλοῦμεν ὀφθαλμὸν, ἐπ' ὀφθαλμοῦ παραλαμβάνομεν, ἤτοι προπτῶσιν κινδυνεύοντος, ἢ καταπλάσματος, ἕνεκα τῶν ἐπικειμένων αὐτῷ· τὸν δὲ ῥόμβον ἐπὶ κεφαλῆς, ἤτοι ῥαφὰς κεχαλασμένας βουλόμενοι συναγαγεῖν, ἢ ἕλκους ἐκπεπταμένα χείλη, ἢ ποτὲ καὶ περιστεῖλαι, καὶ κολλῆσαι τὸ δέρμα μέχρι πλείονος ἀπεσυρμένον· ἀνάλογον δὲ τούτῳ, καὶ ἡ τοῦ ἡμιρρομβίου γίνεται χρεία.

Ταῦτα μὲν οὖν ὡς παραδείγματα γέγραφεν Ἱπποκράτης. ἀναλόγως δὲ αὐτοῖς, ἡμᾶς ἐξευρίσκειν δεῖ καθ' ἕκαστον μέρος καὶ πάθος ἐπίδεσιν ἁρμόττουσαν, ἢ παρὰ τῶν εὑρηκότων μανθάνειν. ἄμεινον δὲ, καὶ διδάσκοντα, μὴ ἁπλῶς κελεύειν, ἀλλὰ μετὰ τοῦ τὴν ὁδὸν ὑφηγεῖσθαι, καθ' ἣν αὐτὸς εὗρε τὸν ἐπίδεσμον. ἔτι γὰρ ἀνάμνησις, τοῖς μανθάνουσι, κἂν ἐπιλανθάνωνταί ποτε, γένοιτ' ἂν οὕτως, ἤτοι καὶ τὸ προσεπινοεῖν ὃ μὴ μεμαθήκασιν ὑπάρξει. διὰ τοῦτον ἴσως ἄμεινόν ἐστι, καὶ ἡμᾶς ἰδίαν ποιήσασθαι καθ' ἓν ὑπόμνημα διδασκαλίαν, περὶ τῆς πρεπούσης ἐπιδέσεως, καὶ τοῖς μέρεσι τοῦ σώματος, καὶ τοῖς πάθεσι.

partis ſpeciei, tum per ſe affectioni congruere. Deligationis enim ſpeciem, quam oculum appellamus, oculo adhibemus, aut procidentiam periclitanti, vel detentionis topicorum ipſi impoſitorum gratia: rhombum verò capiti, quum vel laxatas ſuturas conciliare, vel dejecta ulceris labra cogere, vel cutim ampliùs detractam in unum adducere & agglutinare volumus: His autem effectu reſpondet ſemirhombi uſus.

At enim hæc tanquam exempla ſcriptis prodidit Hippocrates. Simili verò modo ipſis nos in unaquaque parte & affectione congruentem deligationem comperire, vel ab inventoribus diſcere oportet. Præſtat autem doctorem non ſimpliciter imperare; ſed & ſimul viam præcipere, qua ipſe deligationem invenerit. Memoria namque diſcipulis, ſiquando obliviſcerentur, eo modo ſuppeteret, & certè quod non didicerent, id excogitare præſto forent. Quas ob res ſatius fortaſſis fuerit, etiam nos propriam in unico libro de faſciis tum parti cuique corporis, tum affectioni conſentaneis doctrinam conſtruere.

Τὰ τῆς ἀγαθῆς ἐπιδέσεως εἴδη δύο, τὴν μὲν ἰσχύος συμμετρίαν τὴν μόνην δηλουμένην· τὴν δὲ μὴ καλουμένην.

Rectæ deligationis duas eſſe ſpecies alteram roboris commoderationem quæ ſola explicatur; altera minime nominatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

Ἀγαθῆς δὲ δύο εἴδεα τοῦ ἐπιδεομένου, ἰσχύος μὲν, ἢ πιέξει, ἢ πλήθει ὀθονίων.

HIPPOCRATIS TEXTUS III.

At recte quæ fit, deligationis duæ ſpecies, una roboris quæ vel compreſſu, vel linteorum multitudine conſtat.

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

Ὅτι μὲν εἴδη λέγειν εἴωθε τὰς διαφορὰς, ἔμπροσθεν εἴρηται. ζήτημα δὲ μέγιστον εἰργάσατο, διαφωνίας αἴτιον τοῖς ἐξηγουμένοις τὸ βιβλίον, οὐκ εἰπὼν ὀνομαστὶ δύο εἴδη, καθάπερ ἔμπροσθεν ἐπ' ἄλλων ἐποίησε. τὸ μὲν οὖν τῶν εἰδῶν ἐστιν ἐν τῷ ποσῷ τῆς ποιήσεως, ὅπερ αὐτὸς ἰσχὺν ὀνόμασε, δηλῶν ἐκ τοῦ λέγειν ἰσχύος μὲν ἢ πιέξει, ἢ πλήθει ὀθονίων. ἔστι γάρ τις συμμετρία τῆς κατὰ τὴν ἐπίδεσιν ἰσχύος, ἧς ὑπερβαλλούσης μὲν, οἱ κάμνοντες ὀδυνῶνται θλιβομένων τῶν μορίων, ἐλλειπούσης δὲ, χαλαρὸν τὸ σχῆμα ὁ ἐπίδεσμος ἴσχει. τὸ δὲ ἕτερον εἶδος τῆς ἀγαθῆς ἐπιδέσεως οὐκ εἶπε, ἐφεξῆς δὲ ἃ περὶ τῆς ἰσχύος ἔγραψεν, ὧδέ πως φησί.

GALENI COMMENTARIUS.

Quòd ſpecies differentias appellare conſueverit Hippocrates, ſuperiùs divulgatum eſt. At maximam quæſtionem diſſentionis cauſam inter libri Interpretes excitavit, quum duas ſpecies nominatim non protulerit, quemadmodum in aliis antè fecit. Ex his igitur ſpeciebus una quidem in conſtructionis modo ſitâ eſt, quam ipſe robur nominavit, quod his verbis declarat, *roboris quidem aut compreſſu, aut linteorum multitudine.* Eſt enim quædam in deligatione roboris commoderatio, qua excedente quidem laborantes partium compreſſu, doloribus cruciantur; deficiente verò laxatam ſtructuram faſcia ſuſcipit. Alteram verò rectæ deligationis ſpeciem non commemoravit. Poſteà verò quæ de robore ſcriptis mandavit ſic utique pronunciavit.

Quidam

A

Quinam rectæ ac validæ deligationis uſus: triplex deligatio, valida, imbecilla & commoderata. Unde, qua, & quo ducendæ faſciæ. Qualitatem deligationis pro robore in compreſſu, & linteorum multitudine conſiſtere.

Τινὲς τῆς ἀγαθῆς καὶ ἰσχυρᾶς ἐπιδέσεως χρεῖαι· τελεία ἡ ἐπίδεσις, ἰσχυρὰ, καὶ ἀσθενὴς, καὶ σύμμετρος. ὅθεν, ὅπη, καὶ ποῖ τοὺς ἐπιδέσμους ἄγειν δεῖ· τὴν ποιότητα τῆς ἐπιδέσεως κατὰ τὴν ἰσχὺν ἐν πιέξει, καὶ πλήθει ὀθονίων ἐφίστασθαι.

HIPPOCRATIS TEXTUS IV.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δʹ.

B

Partim quidem ipſa deligatio medetur; partim verò medentibus ſubſervit.

ΤΟ μὲν ὅλον, αὕτη ἡ ἐπίδεσις, ἰῆται. τὸ δὲ, τοῖς ἰωμένοισιν ὑπηρετεῖ.

GALENI COMMENTARIUS.

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

Hoc autem, altera rectæ deligationis non eſt ſpecies, ſed universè communes ſunt omnium deligationum uſus. Quandoquidem poſt hæc qua ratione deligationis, commoderatio ſervetur ſcriptum eſt; deinde etiam de nodo; poſtea ſequentem doctrinam auſpicatur dicens, *Probè tamen noſſe convenit ad partes declives & acuminatas omnem faſciam labi ac fugere, velut in capite ſurſum, in tibia deorſum,* & quæ deinceps pronunciantur. Poſteà reſidua ipſius oratio de deligationis qualitate fit, ubi hæcce via rurſum aperitur, quâ noſcimus unde ſingulis in partibus & morbis deligationem ordiri deceat, & quam in partem omnium poſtremam, deligationis finem ducere; præterea etiam quam & qualem in *deligationis* medio faſciarum diſtributionem moliri oporteat, & quos in quâque parte circuitus, hæc quoque docuit. In quibus enim, inquit, *partes quæ moventur, ut articuli, quà inflectuntur,* injectionis faſciarum modum *locumque* percenſuit; ſimulque etiam quo pacto faſciarum extrema tutò his continenda ſint, ſerie ſcripſit; indéque digreſſus, qui ſint faſciarum uſus percurrit, ut altera rectè conſtructæ deligationis ſpecies, quæ *præcedenti* robori per diviſionem opponitur, tota ſit totius deligationis qualitas. At perarduum eſt uno communi vocabulo particulares hujus ſpeciei complecti differentias. Propterea fortaſſis minimè tentavit etiamnum pergere, neque ſpeciei robori per diviſionem oppoſitæ vocabula pronunciare. Rem autem ita habere ipſa verba teſtantur, quibus oſtendit ipſas varietates, quæ ſingulis partibus à me ſigillatim commemoratis oboriuntur. Verùm appelletur totum id genus, dilucidæ & conciſæ doctrinæ gratiâ, deligationis qualitas; roboris quidem compreſſu, & linteorum multitudine, quemadmodum fortitudinis nomen interdum imbecillitatis *nomini* contrarium ſtatui dicunt; interdum quòd tum roboris, tum imbecillitatis commune ſit, uſurpant; ſic magnitudinem & alia multa æquivoca nominis communione. Atque nunc eodem modo roboris vocabulum uſurpatum eſt. Decet enim affectas partes faſciis neque vehementer comprimere, neque ita leviter amplecti, ut ægrotus ipſas injectas non ſentiat. Atque etiam linteorum multitudo pro quantitate accipienda eſt, ita ut, neque multitudo è regione paucitati oppoſita nobis intelligenda ſit. Commoderatio nanque deligationem rectam efficit. At recta eſt ipſa deligatio, quæ proba eſt, nimirum quæ confert, juvatque. Equidem quum duæ deligationes mutuâ relatione inter ſe ac-

Τοῦτο δὲ οὐκ ἔστιν ἕτερον εἶδος ἀγαθῆς ἐπιδέσεως, ἀλλ' ἐν τῶν καθόλου χρειῶν κοιναὶ πασῶν ἐπιδέσεων. καὶ μέν τοι καὶ μετὰ ταῦτα πῶς ἡ συμμετρία τῆς ἐπιδέσεως φυλαχθῇ ἡ γραφὴ, καὶ μετὰ τοῦτο περὶ ἅμματος. εἶθ' οὕτως ἄρχεται τῆς ἐφεξῆς διδασκαλίας, λέγων. εὖ γε μὴν δεῖ

C

γνῶναι, ὅτι ἐς τὰ κατάντη καὶ ἀπόξυ, φεύγει πᾶς ἐπίδεσμος, οἷον κεφαλῆς μὲν, τὸ ἄνω, κνήμης δὲ, τὸ κάτω, καὶ τὰ τούτων ἐφεξῆς λεγόμενα. μετὰ ταῦτα λοιπὸς ὁ λόγος αὐτῷ, περὶ τῆς ποιότητος τῆς ἐπιδέσεως γίγνεται. τεμνομένου(?) δὲ καὶ τοῦδε πάλιν, εἴς τε τὸ γνῶναι, πόθεν ἄρχεσθαι προσήκει καθ' ἕκαστον μέρος καὶ πάθος, εἰς ὅτι γε πάντων ὕστατον, ἄγειν τὸ τελευταῖον τῆς ἐπιδέσεως· ἔτι τε, τὴν ἐν τῷ μεταξὺ νομὴν τῶν ἐπιδέσμων, ὁποίαν τινα χρὴ ποιεῖσθαι, τάς τε καθ' ἕκαστον μέρος ἐπιβολὰς, καὶ ταῦτ' ἐδίδαξεν· ἐν οἷς γὰρ φησίν. τὰ δὲ κινεύμενα οἷον ἄρθρα, ὅπη μὲν

D

συγκάμπτεται τὸν τρόπον τῆς ἐπιβολῆς τῶν ἐπιδέσμων διέρχεται, καὶ μέντοι καὶ ὅπως χρὴ τὰ πέρατα τῶν ἐπιδέσμων ἀσφαλῶς τούτοις φυλάττεσθαι, ἐφεξῆς ἔγραψεν. ἐντεῦθεν τε μεταβὰς, τίνα τῶν ἐπιδέσμων ἐστὶν ἔργα διῆλθεν, ὥστε τῆς ἀγαθῆς γινομένην ἐπιδέσεως τὸ ἕτερον εἶδος, ὃ τῷ τῆς ἰσχύος ἀντιδιαιρεῖται, τὴν ὅλην ποιότητα τῆς ὅλης ἐπιδέσεως εἶναι. χαλεπὸν δ' ὂν, ἑνὶ περιλαβεῖν κοινῷ ὀνόματι τὰς ἐν τούτῳ τῷ εἴδει μερικὰς διαφο-

E

ράς, διὰ τοῦτ' ἴσως οὐδ' ἐπιχείρησιν ἔτι τοῦ ἀντιδιῃρημένου τῇ ἰσχύϊ διαμεῖναι προσηγορίας δηλῶσαι. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δι' αὐτῶν τῶν ῥήσεων ἔσται φανερὸν, δι' ὧν σημαίνει τὰς γινομένας αὐτῆς μεταβολὰς εἰς ἐφ' ἕκαστον τῶν εἰρημένων κατὰ μέρος κεφαλαίων. ὀνομαζέσθω δὲ ἅπαν αὐτὸ τὸ γένος, ἕνεκα σαφοῦς διδασκαλίας καὶ συντόμου, ποιότης ἐπιδέσεως, ἰσχύος μὲν, καὶ πιέξει, ἢ πλήθει ὀθονίων, ὥσπερ τὸ τῆς δυνάμεως ὄνομα, ποτὲ μὲν ἀντίον τάττοντες, τῷ τῆς ἀσθενείας, λέγουσι ποτὲ δὲ, ἐπὶ τοῦ κοινοῦ ῥώμης τε, καὶ ἀῤῥωστίας ἐπιφέρουσιν. οὕτως δὲ καὶ τὸ

F

μέγεθος λέγουσι, καὶ ἄλλα πολλὰ τῶν κατὰ μέρος ὁμωνύμως τῷ κοινῷ. καὶ νῦν ὡσαύτως κέχρηται τῷ τῆς ἰσχύος ὀνόματι. Προσήκει γὰρ οὔτε ἰσχυρῶς πιέζειν, οὔτε ἀσθενῶς περιλαμβάνειν τὰ πεπονθότα μόρια τοῖς ἐπιδέσμοις, ὡς μὴ αἰσθάνεσθαι περικειμένων αὐτῶν τὸν ἀσθενοῦντα. καὶ μέντοι καὶ τὸ πλῆθος τῶν ὀθονίων, ἀντὶ τοῦ, ποσότητα, δεκτέον, ὡς μηδὲ ἐνταῦθα τὸ ἀντιδιαιρούμενον τῇ ὀλιγότητι πλῆθος ἀκούειν ἡμᾶς. ἡ γὰρ συμμετρία τὸ τῆς ἐπιδέσεως ἀγαθὸν ἐργάζεται· καλῶς δὲ ἀγαθὸς δηλονότι τὸ συμφέρον τε, καὶ ὠφέλιμον αὐτοῖς. Ἐν μέντοι τῷ πρός τι ἀναλαμβανομένων ἀλλήλαις δυοῖν ἐπιδέ-

πικῶς ἐστιν, ᾧ τὸ δόγμα ἰατρικὸν περὶ καταγμάτων θεραπευομένων φησὶν παραβάλλεται.

curandis latum comparatur.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε´.

ΕΣ μὲν οὖν ταῦτα νόμος.

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

ΟΙ κατὰ πόλεις νόμοι, λόγοι τινές εἰσι, προστακτικοὶ μὲν, ὧν χρὴ ποιεῖν, ἀπαγορευτικοὶ δὲ ὧν οὐ χρή. τούτοις οὖν τοῖς νόμοις ἐοικέναι φησὶν τὰ νῦν εἰρημένα, μηδὲν ἔχοντα στοχαστικὸν, ἢ ἀμφιβολίαν, ἢ ὡς ἄλλα τινὰ τῶν κατὰ τὴν ἰατρικὴν τέχνην. τὸ δ᾽ αὐτὸ, C κἂν τῷ περὶ καταγμάτων εἴρηκεν ἐπὶ τὸ μετριώτερον ὑφεὶς τὸ τῆς ἀποφάσεως σφοδρόν. οὐ γὰρ ἁπλῶς εἶπεν, ἐς μὲν οὖν ταῦτα νόμος, ὡς νῦν, ἀλλ᾽ οὗτος ὁ λόγος, ὥσπερ νόμος δίκαιος κεῖται περὶ καταγμάτων ἰήσιος.

HIPPOCRATIS TEXTUS V.

IN his itaque lex ſervanda.

GALENI COMMENTARIUS.

LEges in civitatibus quædam ſunt rationes, quæ ea imperant quæ facienda ſunt, prohibentque contraria. His legibus ſimilia eſſe pronunciat quæ nunc commemorantur, quum nihil conjecturale, aut ambiguum contineant, aut ut alia quædam ad artem medendi ſpectantia. Idem quoque protulit in opere de fracturis, decretum remiſſa vehementia commoderatius efficiens. Non enim abſolutè loquutus eſt, *Ad hæc itaque lex* ſervanda veluti nunc. Verùm hæc oratio quemadmodum lex juſta de fracturarum curatione lata eſt.

Τὰ περὶ μέτρου, ἢ τῆς ἐπιδέσεως συμμετρίας ἐν τῇ πιέξει κατὰ τὴν ἰσχὺν παραγγέλματα. τὴν τέχνην ἀναμάρτητον εἶναι, ἐν τοῖς μὲν μικροτάτοις μικρότατα, ἐν τοῖς δὲ ἀξιολόγοις βλάβαις ἥκιστα ἁμαρτάνειν κάλλιστον.

De modo, aut ſymmetria deligationis in compreſſu ratione roboris præcepta. Artem culpâ vacare, & in minimis minimum, in magnis læſionibus minimè aberrare optimum.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ´.

ΕΝ δὲ τουτέοισι, μέγιστα ἐπιδέσιος, πίεξις μὲν ὥστε τὰ ἐπικείμενα μὴ ἀφεστάναι, μηδὲ ἐρηρεῖσθαι, ἀλλὰ ἡρμόσθαι μὲν, προσηναγκάσθαι δὲ μὴ, ἧσσον μὲν τὰ ἔσχατα, ἥκιστα δὲ, τὰ μέσα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τούτοις φησὶ τοῖς κατὰ τὸ τῆς ἰσχύος εἶδος διδασκομένοις μέγιστα παραγγέλματα τῆς ἐπιδέσεως εἶναι, τὰ ἐπικείμενα, τοῦ πεπονθότος μορίου, λέγεται δὲ δηλονότι τὰ ὀθόνια, μήτε ἀφεστάναι τοῦ χρώματος, μήτε θλίβειν, ἀλλ᾽ ἡρμόσθαι μὲν, τουτέστιν ἀσφαλῶς ἐρηρεῖσθαι, προσηναγκάσθαι δὲ μή. σημαίνει δὲ αὐτῷ δηλονότι τὸ προσηναγκάσθαι τὸ ὀθόνιον, οὕτως καὶ σφοδρῶς περιβεβλῆσθαι τοῖς πεπονθόσι μορίοις, ὡς ὀδύνην παρέχειν. αὐτὰ δὲ ταῦτα τὰ παραγγέλματα, περὶ τοῦ ποσοῦ τῆς πιέσεως ἔνθα τὸ πάθος ἐστὶν, ἥκιστα παραλαμβάνειν προσήκει. κατὰ δὲ τὰ πέρατα φροντίζειν μὲν κἀνταῦθα πάντως, ἀλλ᾽ ἧττον, ἢ κατὰ μέσα. κάλλιστον γὰρ ἀναμάρτητον εἶναι τέχνην. εἰ δέ που τι μικρὸν ἁμαρτάνοιτο, κατ᾽ ἐκεῖνα γίγνεσθαι τὰ μόριά τε, καὶ πάθη, καθ᾽ ἃ καὶ ἡ βλάβη μικροτέρα. ἥκιστα δὲ ἁμαρτάνειν ἐν οἷς ἀξιόλογος ἡ βλάβη.

HIPPOCRATIS TEXTUS VI.

IN his autem maximè deligationis eſt compreſſus, qui ita fiat ut admota neque decedant, neque vehementiùs innitantur; ſed concinnentur, non cogantur, minùs extrema, minimum media.

GALENI COMMENTARIUS.

E

QUæ de roboris ſpecie docentur, in his maxima deligationis eſſe præcepta pronunciat, ut admota parti affectæ *topica*, lintea nimirum intelliguntur, neque à cute ſecedant, neque *ipſam* premant; ſed concinnentur, hoc eſt firmiter incumbant, non tamen cogant. Declarat autem hoc verbum cogere, faſciam affectas partes tam vehementer amplecti, ut dolorem excitet. Hæc eadem præcepta de compreſſus modo, quà morbus eſt, nullatenùs præterire conſentaneum eſt. Quod in extremitatibus quoque hic prorſus proſpiciendum eſt, verùm minùs quàm in mediis. Optimum ſiquidem eſt, artem erroris expertem eſſe; ſi quid leve peccet, id tum illis oboriri partibus, tum morbis, quibus & levior læſio oborta eſt; minimè verò errare, in quibus læſio ingens eſt.

F

A

Quid ſit nodus, quid filum? quid nome? quomodo fiant, ac ferantur nomæ? de ſutura. Quatuor operationis partes eſſe ſeu tempora exhibitionis, præparationis, deligationis, poſterioris habitus. Ruri & in itinere ad curationem neceſſaria deeſſe; quid tum agendum? Quid conſueto Medico ſeu Chirurgo quum æger adducitur, moliendum.

HIPPOCRATIS TEXTUS VII.

B

Nodus, & filum, non ferantur deorſum, ſed ſurſum in exhibitione, & præparatione, & deligatione, & compreſſione.

GALENI COMMENTARIUS.

Cur citrà ordinem orationi de faſciis hæc de his attulerit, paulò poſt explorabimus. Nunc autem quod pronunciat priùs intelligere tentemus. Interpretibus obortum eſt diſſidium, quòd nonnulli ſimpliciter ſenſerint & ſurſum & deorſum de dimenſione, ratione longitudinis, enunciari; quidam verò affectûs ratione, ſed neutri dictionem *ferantur*, neque de nodo, neque de filo explicarunt. C

I	K	L	M	N
Nodus ex uno capite in duo crura ſciſſo.	Nodus ex duobus capitibus faſciæ.	Retinaculum foris injectũ	Nodus faſciæ in faſciis.	Nodus in cutis ſuturis

Omnibus igitur innoteſcit nodum vocari, quod ex faſciis conſtruitur, quum vel duo ipſarum extrema ſibi mutuò connectuntur, ac devinciuntur; aut crus alterum ſciſſum eſt; aut tertium ipſis foris adjicitur, quod retinaculum appellatur. Simili quoque ratione conſtat *filum* vocari quod per acus foramen diductum eſt, ut aut diſſecti corporis partes inter ſe conjungat, aut extremum faſciæ præſubjacentibus ipſius partibus conſuat. Atque nunc præſens oratio eſt de filo ad hunc uſum parato., quò jubet νομὴν *ſpiram* ſurſum ferri. Quid verò νομὴ vocet, ex ipſo didiciſſe oportet qui ſæpe eo nomine uſus eſt ad faſciarum ab initio ad finem uſque deductionem. In fracturis enim imperavit utrarumque faſciarum principium ſupra ipſam fracturam imponi, exinde verò priori quidem diſtributionem ſurſum fieri, at ſecundæ primùm quidem deorſum, deinde rurſus ſurſum νομὴν appellans i. *diſtributionem*, quandam velut faſciarum progreſſionem, quum ipſæ ab initio ad finem uſque ægrotantis corpori obvolvuntur. Simile ergo quiddam & in filo νομή, *ſpira*, ſignificat. Quum enim acus & ex partibus ſuperioribus ad inferiores valeat trajici, & contra ex partibus inferioribus ad ſuperiores ſurſum ferri; quumque etiam neutram in partem queat propendere, ſed citra propenſionem à ſiniſtris ad dextras partes, aut à dextris ad ſiniſtras valeat trajici, præcipit omnino ipſam ſurſum lationem habere. Quod ſi ipſum faſciæ extremum ſuppoſitis duntaxat ipſius partibus aſſuatur, in ea quidem deligatione, ubi oppoſitis partibus non indigemus, ut in cubito, brachio, femore, tibia, in quibus etiam neceſſarium eſt, vel à ſiniſtris partibus in dextras acum & contra trajicere; Utrobique verò enitendum eſt

Τί ἡ ῥάμμα, τί ἄμμα; τί ἡ νομή; πῶς αἱ νομαὶ γίνονται, καὶ φέρονται. περὶ τῆς ῥαφῆς. τέσσαρα τῆς χειρουργίας εἶναι μέρη, ἢ τέσσαρας τοὺς καιροὺς ἐν παρέξει, ἐν σχέσει, ἐν ἐπιδέσει, καὶ ἐν τῇ ἔπειτα ἕξει. ἐν ὁδοιπορίᾳ καὶ κατ' ἀγρὸν τῶν εἰς τὴν θεραπείαν ἀναγκαίων οὐκ εὐπορίαν εἶναι. τί τότε πρακτέον; τί τοῖς συνήθεσιν ἰατροῖς ἢ χειρουργοῖς πρακτέον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ′.

Ἄμμα, καὶ ῥάμμα, νεμόμενον μὴ κάτω, ἀλλ' ἄνω ἐν παρέξει, καὶ σχέσει, καὶ ἐπιδέσει, καὶ πιέξει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διότι μὲν ἀτάκτως παρενέγκεν καὶ τὰ περὶ τῆς ἐπιδέσεως λόγῳ τὰ περὶ τούτων, ὀλίγον ὕστερον σκεψόμεθα. νυνὶ δὲ πρότερον, ὃ λέγει νοῆσαι πειραθῶμεν. ἐν διαφωνίᾳ γέγονε τοῖς ἐξηγηταῖς. ἔνιοι μὲν γὰρ ἁπλῶς ἤκουσαν περί τε τὸ κατὰ τὸ μῆκος διαστάσεως εἰρῆσθαι, τό τε ἄνω, καὶ τὸ κάτω. τινὲς δὲ ἐπὶ τὸ κατὰ τὸ πάθος· οὐδέτεροι ἐξηγήσαντο νεμόμενον, οὔτε ἐπὶ τοῦ ῥάμματος, οὔτε ἐπὶ τοῦ ἄμματος.

Ὅτι μὲν οὖν ἄμμα καλεῖται τὸ ἐκ τῶν ἐπιδέσμων γινόμενον, ἀλλήλοις ἐπιπλεκομένων, καὶ δεσμουμένων, ἢ τῶν δύο περάτων, ἢ θατέρου σχισθέντος σκέλους, καὶ τρίτου γε ἐπ' αὐτοῖς τοῦ καλουμένου καταλείμματος ἔξωθεν ἐπιβαλλομένου, πᾶσι πρόδηλον. D ὡσαύτως δὲ καὶ ὅτι ῥάμμα τὸ διὰ τρήματος τῆς βελόνης διῃρημένον, ἕνεκα τοῦ συνάγειν ἀλλήλοις, ἤτοι τὰ μόρια τοῦ διατετμημένου σώματος, ἢ τὸ πέρας τοῦ ἐπιδέσμου τοῖς προϋποβεβλημένοις αὐτοῦ μέρεσι. καὶ ὁ νῦν ἐνεστὼς λόγος ἐστὶ περὶ τοῦ πρὸς ταύτην τὴν χρείαν παρεσκευασμένου ῥάμματος. Ἀξιοῖ δὲ, τούτου τὴν νομὴν ἄνω γίνεσθαι. τί δὲ καλεῖ νομὴν, ἐχρῆν παρ' αὐτοῦ μεμαθηκέναι, πολλάκις κεχρημένῳ τῷ ὀνόματι, κατὰ τὴν τῶν ἐπιδέσμων ἀπὸ τοῦ πέρατος ἄχρι τῆς ἀρχῆς φοράν. ἐπὶ γοῦν τῶν καταγμάτων ἐκέλευσε, τὰς μὲν ἀρχὰς τῶν ἐπιδέσμων ἀμφοτέρων, ἐπ' αὐτοῦ τοῦ κατάγματος E τιθέναι. τοὐντεῦθεν δὲ, τοῦ μὲν προτέρου τὴν νομὴν ἄνω ποιεῖσθαι, τοῦ δὲ δευτέρου, κάτω μὲν πρότερον, εἶτ' αὖθις ἄνω, νομὴν ὀνομάζων τὴν οἷον ὁδοιπορίαν τῶν ἐπιδέσμων, ἣν ἀπ' ἀρχῆς μέχρι τέλους ποιοῦνται, περιελιττόμενοι τῷ σώματι τοῦ κάμνοντος. ἀνάλογον μὲν οὖν, κἀπὶ τοῦ ῥάμματος ἡ νομὴ σημαίνει. δυναμένης γὰρ τῆς βελόνης, κἀκ τῶν ἄνω μερῶν εἰς τὰ κάτω διεκβάλλεσθαι, καὶ κατὰ τοὐναντίον, ἐκ τῶν κάτω πρὸς τὸ μετέωρον ἀναφέρεσθαι. δυναμένης δὲ, καὶ μηδετέρως ῥέπειν, F ἀλλὰ παρεγκλίτως, ἤτοι πρὸς τὸ δεξιὸν μέρος ἀπὸ τῶν ἀριστερῶν, ἢ ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ λαιὰ διεκβάλλεσθαι, κελεύει διὰ πάντως αὐτὴν ἄνω τὴν φορὰν ἔχειν. εἰ δὲ καὶ οὖν τὸ πέρας αὐτὸ μόνον τοῦ ἐπιδέσμου, συρράπτοιτο τοῖς ὑποκειμένοις αὐτοῦ μέρεσιν, ἐφ' ὧν μὲν ἐπιδέσεων οὐ δεόμεθα τῶν ἀντικειμένων μορίων, ὡς ἐπὶ πήχεος, καὶ βραχίονος, καὶ μηροῦ, καὶ κνήμης, καὶ ἐπὶ τούτων ἀναγκαῖόν ἐστιν, ἤτοι ἐπὶ τῶν ἀριστερῶν μερῶν ἐπὶ δεξιὰ διείρειν τὴν βελόνην ἀνάπαλιν ἑκατέρως

καὶ τὸ κάτωθεν αὐτοῦ μέρος, πρὸς τὸ ἄνω, καὶ μὴ κατα- B τείνειν τὸ ἄνωθεν, εἰς τὸ κάτωθεν, σκοπὸν ἔχοντα, διὰ τῶν ἄνωθεν μερῶν τῆς ἐπιδέσεως ἀνέλκεσθαι τὸ κάτω, καὶ τοῦτο ποιεῖν ἡμᾶς κελεύει. ἐν ᾧ τε παρέχει τὸ πεπονθὸς ὁ κάμνων τοῖς ἰατροῖς εἰς μείωσιν, ἐν ᾧ τε παρασκευάζουσιν ὡς πρὸς τὴν χειρουργίαν αὐτοῦ, καὶ τρίτον τὸ τῆς χειρουργίας αὐτῆς μέρος ἐστὶν ἡ ἐπίδεσις. ὀνόμασε, τὸ μὲν πρῶτον ἐν παρέξει, τὸ δὲ δεύτερον ἐν θέσει, τὸ δὲ τρίτον ἐν ἐπιδέσει, τὸ δὲ τέταρτον ἐν πιέξει. γράφουσι δὲ ἀντὶ τοῦ ἐν πιέξει τινὲς, ἐν τῇ ἔπειτα ἕξει, ὃ καί μοι μᾶλλον ἀρέσκει, καὶ C προσῆκεν· ἤδη γὰρ τὸν τοιοῦτον καιρὸν κέκληκεν ἐν ἕξει. καὶ δῆλόν ἐστιν ὅπερ ἓν σχῆμα τοῦτο ἐν πᾶσι τοῖς καιροῖς βούλεται φυλάττεσθαι τῶν ἐπιδουμένων μορίων, οὕτω καὶ τὴν νομὴν τοῦ ἅμματός τε καὶ ῥάμματος ἀεὶ τὴν ἀνάτασιν ἴσχειν ἄνω. πρῶτον μὲν, τοῦ πέρατος τῆς ἐπιδέσεως ἀσφαλῶς ἀνατεινομένου τε, καὶ κρατουμένου δι' ἐκείνης τε καὶ ὅλης αὐτῆς. ἀλλ' ἐκεῖνό γε σκέψεως δεῖται, παραλελειμμένον ἄσκεπτον τοῖς ἐξηγηταῖς αὐτοῦ, κατὰ νομὴν τοῦ τε ἅμματός τε, καὶ τοῦ ῥάμματος, ὥσπερ ἐν τοῖς ἄλλοις καιροῖς, οὕτως καὶ ἐκεῖνον ἐν ᾧ παρέχουσιν οἱ κάμνοντες τοῖς ἰατροῖς ἑαυτοὺς, D ἐπὶ τὴν ἄνω χώραν γίνεσθαι τῶν πεπονθότων μορίων. παραγίνονται γὰρ ἐπὶ τὸν ἰατρὸν οἱ μὲν βαδίζοντες, οἱ δὲ βασταζόμενοι, καθότι ἂν αὐτοῖς δόξῃ. ποτὲ μὲν ἀνειλημμένοι τὰ πεπονθότα μόρια, ἢ ἐπιδεδεμένοι, ποτὲ δὲ ἄμφω πεποιηκότες. ἐν ἐκείνοις οὖν ἐστὶν ἡ ἐξουσία τῶν ἁμμάτων, καὶ τῶν ῥαμμάτων, οὐκ ἐπὶ τοῖς μέλλουσι καταμανθάνειν αὐτοὺς, ἢ θεραπεύειν, ἰατροῖς. ἴσως οὖν ἡγεῖται, καὶ κατ' ἐκεῖνον τὸν καιρὸν ἐνίοτε ἰατρῶν γίνεσθαι χρείαν τοῖς πάσχουσι. καὶ γὰρ ἐν ὁδοιπορίᾳ καὶ κατ' ἀγρὸν ἐνίοτε πληγαὶ συμπίπτουσι τοῖς ἰδιώταις, ἢ ἐξαρθρήματα, καὶ τραύματα. δεομένων μὲν E ἰατρῶν πλειόνων συνόδου σκέψεως ἀκριβοῦς, ὀργάνων τέ τινων, ἢ ἀρμένων, ἢ ὀθονίων, ἔτι βρόχων εἰς τὴν θεραπείαν, ὧν οὐδενὸς ἦν εὐπορία κατὰ τὸν ἀγρὸν, ἢ τὴν ὁδοιπορίαν, ὥστ' εἰ ἐν ἐκείνῳ τῷ καιρῷ παραφανεὶς ὁ ἰατρὸς, ἐπιδήσει τε, καὶ ἀναλήψει, καὶ δήσει τὰ πάσχοντα μόρια τοῖς εὐπορηθεῖσιν ὀθονίοις, καὶ δηλονότι κἂν ἅμματι καταλαβεῖν δεήσῃ τὴν ἐπίδεσιν, ἢ ῥαφαῖς, καὶ τοῦτο πράξει προσηκόντως, εἶτ' ἐν τῇ πόλει πάλιν ἑαυτὸν παρέξει ὁ κάμνων τοῖς συνήθεσιν ἰατροῖς. πρῶτον μὲν εἰς ἀκριβεστέραν διάγνωσιν ὧν ἔπαθεν, εἶτ' ἐφεξῆς εἰς ἐμβολὴν τῶν ἐκπεπτωκότων F ἄρθρων, ἢ διάπλασιν τῶν κατεαγότων ὀστῶν, ἢ ῥαφὴν τῶν τραυμάτων, ἢ τῶν τεθλασμένων προσήκουσαν ἐπιμέλειαν, οἷς ἐφεξῆς, δηλονότι τὴν δέουσαν ἐπίδεσιν οἱ ἰατροὶ ποιήσονται, καὶ μετὰ τὴν δέσιν, ἐν τῷ αὐτῷ σχήματι προνοήσονται τῆς ἀποθέσεως.

ligente per ſuperiores deligationis partes, inferiores attrahi, idque nos facere jubet, & quo tempore qui laborat, partem affectam Medicis ad levationem exhibet; & quo circiter ipſam ad manûs operationem apparant; & quo deligatio fit, quæ tertia Chirurgicæ operationis pars eſt. Primum tempus in exhibitione nominavit; alterum in apparatu; tertium in deligatione; & quartum in compreſſione. Quidam autem pro in compreſſione, in poſteriore habitu ſcribunt, quod & mihi magis probatur. Etenim priùs jam ejuſmodi tempus in habitu vocavit. Atque perſpicuum eſt, quemadmodum hanc unam partium vinciendarum figuram omnibus temporibus ſervari vult. ſic & fili, & nodi diſtributionem ſurſum perpetuò ſuam extenſionem habere. Primum quidem cum faſciæ extremum ſecurè ſurſum extenditur, & continetur, per illam quoque ipſa tota. At illud quoque animadverſionem deſiderat, quod ab Hippocratis Interpretibus inobſervatum prætermiſſum eſt, diſtributionem & fili & nodi, quemadmodum aliis in temporibus, ita & in illo, quo ſeſe laborantes Medicis committunt ad ſuperiorem partis affectæ regionem fieri. Ad Medicum enim accedunt, alii quidem pedites ducti, alii geſtati quatenus ipſis licuerit, modò ſuſpenſis partibus affectis, aut devinctis, modò factis utriſque. Illis igitur tum fili, tum nodi ineſt poteſtas, non Medicis ipſos inſpecturis aut curaturis. Quare fortaſſis cenſet etiam illo tempore Medicorum penuriam interdum eſſe laborantibus. Etenim in itinere, & ruri nonnunquam idiotis ictus, aut vulnera, & luxationes accidunt, ac tum ſanè ad curationem plurium Medicorum conſilio opus eſt, accuratâ conſultatione, quibuſdam inſtrumentis, aut machinamentis, aut linteis, aut etiamnum laqueis, quorum nullius copia & ruri & in itinere ſuppetit. Quare ſi eo tempore ſe offerat Medicus partes affectas deligabit, ſuſpendet, & ſuppeditatis linteis obvolvet, & omnino ſivè nodo, ſive ſuturis opus fuerit deligationem contineri, id decenter efficiet; poſtea in civitate rurſus æger ſe conſuetis Medicis exhibebit; primùm ad eorum quibus afficitur dignotionem; deinde ad prolapſorum articulorum repoſitionem; aut oſſium fractorum conformationem; aut vulnerum ſuturam; aut convenientem colliſorum curationem, quorum ſerie decentem deligationem Medici conſtruent, & poſt deligationem in eadem depoſitionis figura ut contineatur proſpicient.

Capita & nodos ſuper ulcus non injicienda eſſe, ne ulcus comprimatur; Quomodo differant principia & extrema; Extrema & principium & finem complecti. Principia eſſe faſciarum, filorum, habenularum, etiam panniculorum.

HIPPOCRATIS TEXTUS VIII.

Principia non ſuper ulcus injicienda; ſed hinc aut illinc nodus faciendus.

GALENI COMMENTARIUS.

Quid vocet nodum injicere, nuper id explicatum eſt. Nam in ſuperiori textu filum definitum eſt; nunc alterum duntaxat memoravit, ut ſi fieri queat, filum in nodum deſinat. Etenim in omnibus quæ conſuuntur, partibus prorſus in hunc finitur. Non enim acu ſolâ, ſed cum filo partes conſuendæ trajiciuntur, & mutuis nodis inter ſe ſunt proxima, ut quum cutem tranſſuimus; nonnunquam verò remota, prout in vinculis multoties accidit ex multa partium fili collectione, quæ in communem nodum ſtruitur. Itaque conſentaneum eſt nunc ipſum edicere non in illam cui ulcus inſidet partem, fili capita injicienda eſſe; quo edicto ſimul intelligitur, neque nodum ſuper ulcus extendendum. Comprimeretur ſiquidem non ſolùm ulcus ab ipſo nodo, verumetiam à faſcia ab ipſo vehementiùs preſſa, quum nodus ſi faſciam contenturus ſit, violentiùs aſtringi deſideret. Ita verò etſi citra filum nodus ſtruitur, faſciæ extremis inter ſe implicitis, aut quodam externo, ipſum tamen *nodum* ſuper ulcus injici non oportet. Sic enim continget etiam nodum ſuper ulcus impoſitum, ipſum ulcus comprimere, maximè verò ubi aut tenuis fuerit admota prior faſcia, aut citra lanam circumvoluta. Nunc ſanè mihi videtur Hippocrates nexus ſive filorum, ſive habenularum *aut faſciarum*, quæ in nodum deſinant, memoriam facere. Nonnulli autem augurantur ipſum imperare faſciarum principia ſuper ulcus non imponi. Ex ipſis verò quidam exiſtimarunt ſcripturam verè quidem, non tamen propoſitæ orationi congruere: Non enim de faſciis ipſi inſtituta concluditur oratio. Hunc enim textum quiddam verum & artificioſum continere profiteor, quem ita legunt *Et faſciarum principia injicienda ſunt non ſuper ulcus, ſed hinc aut illinc*, hoc eſt, ab utraque ejus parte, dextra & ſiniſtra. Sic hic etiam continget, ab ipſo ſcriptum in opere de fracturis, rectè pronunciatum eſſe, neque in præſentem orationem pugnare. Imperat enim ibi faſciarum capita ſuper affectam partem injici ſive fractura morbus, ſive ulcus fuerit, neque etiam ſuperiùs, neque inferiùs. Eo nanque in libro ad dimenſionem in longitudinem effertur oratio. Nunc autem quum non ad hanc *longitudinem*, ſed ad latitudinem reſpiciat, dixit principia non ſupra ulcus, ſed *hinc aut illinc*, hoc eſt, ab utraque ulceris parte. Huic nanque concedit, neque magis ſurſum, neque magis deorſum injicienda eſſe. Non tamen hanc ſcripturam ſapiunt hujus

Τὰς ἀρχὰς καὶ τὰ ἅμματα μὴ ἐπὶ τὸ ἕλκος εἶναι βαλλόμενα, ἵνα μὴ θλίβηται τὸ ἕλκος· ὅπως αἱ ἀρχαὶ καὶ τὰ πέρατα τοῖς ἀλλήλοις διαφέρονται· τὰ πέρατα τὴν ἀρχὴν καὶ τὴν τελευτὴν εἶναι. τὰς ἀρχὰς εἶναι τῶν ἐπιδέσμων, καὶ ῥαμμάτων, καὶ ταινιῶν, καὶ παραρρυμάτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η′.

Ἀρχὰς βάλλεσθαι μὴ ἐπὶ τὸ ἕλκος, ἀλλ' ἔνθεν ἢ ἔνθεν. τὸ ἅμμα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Βάλλεσθαι δὲ πῶς νῦν ἅμμα τὴν ἐξηγημένην ἐστί. τὸ μὲν γὰρ τὴν ἔμπροσθεν ῥῆσιν, ἀπεπλήρηται τὸ ἅμμα, νυνὶ δὲ θατέρου μόνου ἐμνημόνευσεν, ὡς δυναμένου καὶ ῥάμματος εἰς ἅμμα τελευτᾶν. καὶ γὰρ τελευτᾷ τοῦτο εἰς τοῦτο πάντως ἐν ἅπασι τοῖς ῥαπτομένοις. οὐ γὰρ ἁπλῶς διεκβάλλεται τῶν ῥαπτομένων ἡ βελόνη, ἀλλὰ μετὰ τοῦ ῥάμματος, ἀλλήλοις ἅμμασι σφιγγομένων· πολλάκις μὲν οὖν ἐγγὺς ἀλλήλων αἵ τε ἀρχαὶ τοῦ ῥάμματος γίνονται, καὶ τὸ ἅμμα, καθάπερ ὅταν τὸ δέρμα διαρράπτωμεν. ἐνίοτε δὲ ἀφεστήκασιν ὡς ἐπὶ τῶν δεσμῶν συμβαίνει πολλάκις, ἐκ πολλῆς συναγωγῆς τῶν μερῶν τοῦ ῥάμματος εἰς τὸ κοινὸν ἅμμα γιγνομένης. εἰκὸς οὖν ἐστι νῦν αὐτὸν λέγειν μὴ κατ' ἐκεῖνο τὸ μέρος βάλλεσθαι τὰς ἀρχὰς τοῦ ῥάμματος, ἐν ᾧ τὸ ἕλκος ἐστί· ᾧ προστάγματι συνεπινοεῖσθαι, μηδὲ τὸ ἅμμα κατὰ τὸ ἕλκος τίθεσθαι. θλίβεται γὰρ οὐ μόνον ὑπ' αὐτοῦ τοῦ ἅμματος τὸ ἕλκος, ἀλλὰ καὶ τοῦ ἐπιδέσμου πιλουμένου σφοδρότερον ὑπ' αὐτοῦ τοῦ δεομένου τοῦ ἅμματος ἐσφίγχθαι βιαιότερον, εἰ μέλλει κρατήσειν τὸν ἐπίδεσμον. οὕτως δὲ, κἂν χωρὶς ῥάμματος ἅμμα γένηται τῶν τοῦ ἐπιδέσμου περάτων, τῶν ἐπιπλεκομένων ἀλλήλοις, ἤ τινος ἔξωθεν, οὐ χρὴ βάλλεσθαι κατὰ τὸ ἕλκος αὐτό. συμβήσεται γὰρ οὕτως, καὶ τὸ ἅμμα κατὰ τοῦ ἕλκους ἐπιβεβλημένον, θλίβειν αὐτό, καὶ μάλιστα ὅταν ἢ λεπτὸς ᾖ ὁ ἐπικείμενος προεπίδεσμος, ἢ χωρὶς ἐρίου περιβεβλημένος. ἐμοὶ μὲν οὖν δοκεῖ, τῆς ἐπιπλοκῆς εἰς ἅμμα τελευτώντων, εἴτε ῥαμμάτων, εἴτε ταινιῶν ὁ Ἱπποκράτης νῦν μνημονεύειν. ἔνιοι δὲ ἡγοῦνται τὰς ἀρχὰς τῶν ἐπιδέσμων αὐτὸν ἀξιοῦν μὴ τίθεσθαι κατὰ τὸ ἕλκος. ἐξ αὐτῶν δέ τινες, τὴν γραφὴν ἐποιήσαντο, ἀληθῶς μὲν, οὐ μὴν τῇ προκειμένῃ λέξει προσήκουσαν· οὐ γὰρ περὶ τῶν ἐπιδέσμων ἀλλὰ περὶ ῥάμματος ὁ ἐνεστηκὼς λόγος αὐτῷ περαίνεται. τὴν οὖν γραφὴν τὴν ἀληθές τι καὶ τεχνικὸν ἔχειν φημί, ἣν ποιοῦνται, τὴν τὰς ἀρχὰς βάλλεσθαι μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἔνθεν ἢ ἔνθεν, τουτέστιν ἑκατέρωθεν αὐτοῦ κατὰ δεξιὸν, ἢ λαιὸν μέρος. οὕτω νῦν συμβήσεται καὶ τὸ γεγραμμένον αὐτῷ κατὰ τὸ περὶ ἀγμῶν ὀρθῶς εἰρῆσθαι, καὶ μὴ μάχεσθαι τῷ νῦν λόγῳ. κελεύει γὰρ ἐν ἐκείνῳ, τὰς ἀρχὰς τῶν ἐπιδέσμων βάλλεσθαι κατὰ τὸ πεπονθὸς μέρος ἤτοι κάταγμα τὸ πάθος, ἢ ἕλκος εἴη, καὶ μήτε ἀνωτέρω, ἢ κατωτέρω. πρὸς γὰρ τὴν κατὰ μῆκος διάστασιν, ὁ ἐν ἐκείνῳ τῷ βιβλίῳ λόγος ἐκφέρεται. νυνὶ δὲ, οὐ πρὸς ταύτην, ἀλλὰ πρὸς τὴν κατὰ πλάτος ἀποβλέπων, ἔφη τὰς ἀρχὰς βάλλεσθαι μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἔνθεν ἢ ἔνθεν, τουτέστιν ἐφ' ἑκάτερον τοῦ ἕλκους· ὁμολογεῖ γὰρ τούτῳ τὸ μήτε ἀνωτέρω, μήτε κατωτέρω. οὐ μὴν ἴσασι τὴν γραφὴν ταύτην,

οὐ μὴν τελευτὴν ἀρχῶν. καὶ μὴν εἰ μηδενὸς μὲν ἄλλου δυνατὸν ἀρχὴν ἀκούειν παρὰ τὰς τῶν ἐπιδέσμων, τῶν ῥαμμάτων, τῶν ταινιῶν, ἀδύνατον δὲ τὰς τῶν ἐπιδέσμων ἀκούειν, ἀναγκαῖόν ἐστι, τὰς αὐτῶν ἀκούειν ἀρχὰς ῥαμμάτων τε, καὶ ταινιῶν. εἰ δὲ βούλει καὶ παραρρημάτων, καὶ γὰρ καὶ τούτων αὐτὰς δύναται καταλαμβάνειν δηλονότι τὴν ἐπίδεσιν, ὥσπερ καὶ οἱ στενοὶ τελαμῶνες, ὅσοι κατὰ τὸ πέρας ἀποπλεκόμενοι δεσμὸν ἐργάζονται.

cipium vocare. Quod ſi principia quidem ad nullum aliud referri poſſint, quàm ad faſcias, fila, & habenulas; ſique fieri nequeat ut hic de faſciarum principiis loquatur, neceſſe eſt ipſa & filorum, & habenularum principia intelligere, ac ſi velis etiam panniculorum; hi etenim deligationem quoque planè comprehendere valent, quemadmodum & anguſtæ faſciolæ, quæ per extrema inter ſe complicatæ vinculum efficiunt.

Οὐκ ἐν τρίβῳ, ἐν ἔργῳ, καὶ ἐν κενῷ τὸ ἄμμα ποιητέον ἐστί. τί ὁ τρίβος, τί τὸ ἔργον, καὶ τί τὸ κενόν.

Non in calle, opere, & inani loco; nodum ſtruendum eſſe; Quid callis, opus, inane.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ΄.

ΤΟ δὲ ἄμμα, μήτε ἐν τρίβῳ, μήτε ἐν ἔργῳ, μήτε ἐκεῖσε, ὅκου κενόν, ὡς μὴ ἔσω κενὸν κείσεται.

TEXTUS HIPPOCRATIS IX.

NOdus autem neque in calle *nectatur; neque in opere, neque illic ubi inane, ne in vanum deſidat.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑτὰ τὴν πρὸ ταύτης ῥῆσιν, ἀξιώσας ἀρχὰς, ἐργαζόμενον τὸ ἄμμα, μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἐν ἑτέρῳ τίθεσθαι χωρίῳ, καθ' ὃ, καὶ τὸ ἄμμα προσήκει τεθῆναι, νῦν ἡμᾶς διδάσκει τοὺς τόπους αὐτοὺς, ἐν οἷς χρὴ τίθεσθαι τὸ ἄμμα. γίνεται δὲ ἐνίοτε διδασκαλία πραγμάτων, οὐκ ἐκ τῶν συμβεβηκότων αὐτοῖς, οὕτω δὲ ὀνομάζουσι τὰ δυνάμενα μὲν συμβῆναι, οὐ μὴν συμβεβηκότα γε καὶ εἴη ἂν ὁ λόγος αὐτοῦ δυνάμει τοιοῦτος. Τὸ ἄμμα τίθεσθαι μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἔνθα δυνήσεται τὴν νομὴν αὐτοῦ πρὸς τὴν ἄνω χώραν ποιεῖσθαι, φυλαττόμενος τρίβον, καὶ ἔργον, καὶ τρίτον, τὸ κενόν. τρίβον μὲν οὖν καλεῖ, καθ' ὃ τὴν ἐνέργειαν ἔχει, καμπτόμενον, ἢ ἐκτεινόμενον, ἢ ἐς τὰ πλάγια παρατριβόμενον. ἔσται δὲ τρίβος, τῷ μὲν βαδίζοντι τὸ ἴχνος τοῦ ποδὸς, τῷ δὲ κατακειμένῳ, τὸ νῶτον ἅπαν, καὶ μάλιστα αὐτοῦ τὰ ἐξέχοντα, καὶ τὰ τῆς κεφαλῆς ὀπίσω. τῷ δὲ καθημένῳ, τῆς πυγῆς τὰ κάτω. εἰ δὲ διὰ τῶν χειρῶν τις ἐνεργεῖν ἐπιδεδεμένος μέλλοι, σκέψαι, τίνα τε τὴν ἐνέργειαν ἐνεργήσει, καὶ περὶ τίνων ἔξωθεν. οὕτω γὰρ δυνήσῃ καὶ τὸν ἐν αὐτῇ τρίβον ἐξευρεῖν. αἱ δὲ ἐνέργειαι, δηλονότι κατὰ τὰς διαρθρώσεις γίνονται· φυλάξεις τοίνυν αὐτὰς ἀεὶ, καὶ μάλιστα τὰς μελλούσας ἐνεργεῖν, ἐπιδεδεμένου τοῦ κάμνοντος. ὅτι δὲ καλῶς ὑπ' αὐτοῦ παρῄνηται τὸ συνέχον ὅλην τὴν ἐπίδεσιν ἄμμα, μὴ τίθεσθαι κατὰ τῶν σχηματιζομένων μορίων ἐν ταῖς κινήσεσιν, εὔδηλον. ἀναγκαῖον γὰρ ἔσται, ποτὲ μὲν χαλαρὰ περαιτέρω τοῦ προσήκοντος, αὖθις δὲ θλίβοντα γίγνεσθαι τὰ ἄμματα, καθ' ἡντιναοῦν ἐπιβολὴν, διαφθείρειν. Ὃ δὲ ἐπὶ τῆς τελευτῆς ῥήσεως εἶπεν, κενὸν, ἅπαντες ἀκούουσι μάταιον, ὡς εἰ καὶ ἄπρακτον εἰρήκει. καλοῦσι δὲ οἱ Ἕλληνες, κενοὺς ἐκ γενετῆς ἅμα τι

GALENI COMMENTARIUS.

QUum in ſuperiori qui hunc præcedit textu, nodum conſtruenti imperaverit principia non ſuper ulcus, ſed alteri regioni admovere, in qua quoque nodum collocari convenit: Nunc autem docet ipſos locos, in quibus ſtruere nodum oportet. Accedit autem interdum rerum doctrina non ex ipſis accidentibus, ſic autem nominant quæ poſſunt accidere, nec tamen acciderunt. Obtigerit autem ipſius oratio viribus hujuſmodi. Nodum ponere decet non qua ulcus eſt; ſed qua ipſius diſtributio versùs ſuperiorem regionem fieri valuerit, ſervatis calle, opere, & tertio quod inane eſt. Callem quidem vocat partem qua actionem ſortitur quum flectitur aut extenditur, aut ad latera atteritur. Erit verò callis incedenti pedis planta; decumbenti dorſum univerſum, ac potiſſimum eminentes ejus partes; præterea poſticæ capitis partes, ſedenti ima pars natium. Si quis autem devinctis manibus acturus ſit, animadverte quâ actione & circa quæ externa functurus ſit. Sic enim ipſa *actione* callem invenire poteris. Hæ verò actiones articulationibus fiunt, proinde ipſas perpetuò vitabis, eaſque maximè quæ debent agere, ægrotante devincto. Conſtat autem probè ipſum conſuluiſſe, nodum qui totam deligationem continet, minimè poni ſuper partes quæ in motibus figuram immutant: Neceſſarium enim erit nodos articulationi ſuperpoſitos nonnunquam ſupra modum laxos fieri, præterea quacunque injectione premere. Quod in orationis fine pronunciavit, κενὸν *inane* vacuum omnes explicant, ac ſi irritum protuliſſet. Vocant enim Græci κενοὺς, qui ab ortu & ſimul

ſurdi ſunt, & inarticulatè loquuntur. Quemadmodum igitur hi ad vitæ actiones prorſus inutiles ſunt: ſic aiunt ipſum ἐνεὸν *inane* nominaſſe, quòd nihil ad deligationem conferat. At probabile quidem eſt Hippocratem cum κ κενεὸν ſcripſiſſe, corruptam verò dictionem quamprimùm ab initio talem ſervari, ſenſus hujus textus id declarat. Inane nanque eſt quod à nobis vacuum & vanum appellatur, quod inutile nominant. At quia pleroſque ſcimus vel ob ignorantiam, aut quod velint ſeduli videri, nodos faſciis inutiles admovere, proptereà nunc Hippocrates imperat, *ne in vacuum collocetur* nodus, hoc eſt, in vacuum imponatur, quod planè inutile ac irritum eſt. Placuit autem cuidam Interpretum libri Hippocratem per *inane*, locum inanem intellexiſſe, ut alam, poplitem, vel etiam inguen quis vocaverit. Ita ex adverſo humerum, genu, & coxam dirimens. Apprimendum enim eſſe dixit nodum corpori, neque ſuſpenſo ſimilem eſſe; ac talem fore in ala & poplite. Si cui profectò id mediocriter pronunciatum eſſe videatur, ipſum uſurpare conceditur. In ſolidis enim quod aliquatenus probabile, eſt ſufficiet.

A κωφοὶ, καὶ ἀδιαρθρώτως φθεγγόμενοι, ὡς οὖν οὗτοι πρὸς τὰς κατὰ τὸν βίον ἐνεργείας τελέως εἰσὶν ἄχρηστοι, οὕτω φασὶν αὐτὸν ὠνομακέναι τὸ μηδὲν ὠφελοῦν τὴν ἐπίδεσιν, ἐνεόν. ἐνδέχεται οὖν, τὸν μὲν Ἱπποκράτην μετὰ τοῦ κ γεγραφέναι κενεὸν, ἁμαρτηθῆναι δὲ τὴν λέξιν, εὐθὺς ἐξ ἀρχῆς διαφυλαχθῆναι τοιαύτην, ἥ τε μὲν διάνοια, καὶ κατ' αὐτὴν τὴν γραφὴν τὸ αὐτὸ δηλοῖ. κενεὸν γάρ ἐστι, τὸ λεγόμενον ὑφ' ἡμῶν κενὸν, καὶ μάταιον, ὅπερ ἀνωφελὲς ὀνομάζουσιν. ἐπεὶ τοίνυν πολλοὺς ἴσμεν, ἢ δι' ἄγνοιαν, ἢ βουλομένους ἐπιμελεῖς εἶναι δοκεῖν, ἄχρηστα πολλάκις ἐπιβάλλειν ἄμματα τοῖς ἐπιδέσμοις, B διὰ τοῦτο ἔφη νῦν ὁ Ἱπποκράτης, μὴ εἰς τὸ ἐνεὸν κεῖσθαι, τουτέστι εἰς τὸ κενὸν, ὅπερ δηλονότι καὶ ἄχρηστόν ἐστιν, καὶ μάταιον. ἔδοξε δέ τινι τῶν ἐξηγουμένων τὸ βιβλίον κενεὸν ἠκηκοέναι τὸ κενὸν χωρίον, ὡς ἢ καὶ μασχάλην, ἢ ἰγνύην, ἢ καὶ βουβῶνα προσαγορεύσειέν τις, οὕτως ἀντιδιαιρούμενος ὤμοις, γόνατι, καὶ ἰσχίῳ. προσκεῖσθαι γὰρ ἔφη χρῆναι τὸ ἄμμα τῷ σώματι, καὶ μὴ κεκρεμασμένῳ ὅμοιον εἶναι. τοιοῦτον δὲ ἔσεσθαι κατὰ μασχάλην τε, καὶ ἰγνύην. εἰ δή τῳ καὶ τοῦτο μετρίως δόξειεν εἰρῆσθαι, χρῆσθαι πάρεστιν. ἐν γὰρ τοῖς ἀσφαλέσι, καὶ τὸ μετρίως πιθανὸν C ἀρκέσει.

Quid filum, quid nodus. Quæ utriuſque materia ſit, quæ ſymmetria; quæ qualitas, & quæ ſupervacaneæ partes.

Τί ῥάμμα, τί ἄμμα. τίς ἑκατέρου ὕλη ἤ. τίς συμμετρία. τίς ποιότης καὶ ἄλλα περιττά.

TEXTUS HIPPOCRATIS X.

Nodus & filum mollia ſint, non magna.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι΄.

Ἄμμα δὲ, καὶ ῥάμμα, μαλθακὸν, οὐ μέγα.

GALENI COMMENTARIUS.

Hic rurſus, quemadmodum in principio duo nomina memoriæ prodidit; Deinde res mutuò ſibi oppoſitas dirimit, quibus *illa* inducta eſſe videntur. Filum quidem vocat, quod cum acu trajicitur, cui materia linum eſt, aut lana, aut quid ejuſmodi. Nodum verò, qui ex habenularum, aut crurum faſciæ implicatione efficitur; proindeque conſtat utrumque ipſorum quod molle ſit convenire, niſi compreſſurus ſit. Quod verò etiam *non magnum eſſe deceat* quæ in operationibus ab ipſo laudatur celeritas id in longis filis eſſe indicat; particulatim verò in habenulis, cruribus, & remoris (hæc enim ipſis impoſita ſunt nomina) pendebunt igitur poſt nodos ſupervacanea *ſic dicta*, quod fruſtrà pendula ſint, & moleſtiam per implicationes contingentibus nonnunquam vulneribus exhibeant. Abſolutè autem protulit, *non magnum*, quum potuerit & *parvum* renunciare. Verùm quemadmodum *magnum* vitandum eſt, ob ea quæ retuli incommoda: ſic & parvum operationis tempore è digitorum ipſi admotorum apprehenſionibus interdum elabitur; ob idque moram, temporiſque longitudinem efficit, atque in deligatione ob brevitatem, ſæpenumerò ab eo cum quo devincitur, excidit, & idcirco nos cogit alterum cum ipſo efficere, & explorare, & quum aliquando deligationis factæ opinio eſt, exilis nodus poſtea ſolvitur deligationis tempore. Rationi igitur conſentaneum eſt, quod perpuſillum eſt, quemadmodum quòd permagnum vitandum eſſe,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Πάλιν κἀνταῦθα καθάπερ ἐν ἀρχῇ τῶν δυοῖν ὀνομάτοιν ἐμνημόνευσεν, ἐφεξῆς ἀποδιαιρῶν ἀλλήλοις τὰ πράγματα καθ' ἃ ἐπιφέρεσθαι δοκεῖ. ῥάμμα μὲν ὀνομάζων τὸ διεκβαλλόμενον ἅμα τῇ βελόνῃ, τὴν ὕλην ἔχον ἤτοι λινὸν, ἢ ἔριον, ἢ τι τοιοῦτον. τὸ δὲ ἐξ ἐμπλοκῆς τελαμώνων, ἢ τῶν σκελῶν τοῦ ἐπιδέσμου γινόμενον, ἄμμα. πρόδηλον μὲν οὖν ὡς ἑκάτερον αὐτῶν μαλθακὸν εἶναι προσήκει, εἴ γε μὴ μέλλοι θλίβεσθαι. ὅτι δὲ καὶ μὴ μέγα E τὸ κατὰ τὰς ἐνεργείας ἐπαινούμενον ὑπ' αὐτοῦ, τάχος ἐνδεικνύμενον ἐν μακροῖς ῥάμμασι γίνεσθαι. Ἐπὶ μέρους δὲ, ἐπὶ τῶν τελαμώνων τε, καὶ σκελῶν, καὶ καταλημμάτων (ὀνόματα γὰρ αὐτοῖς τίθεται) ταῦτα) κρεμασθήσεται οὖν μετὰ τὰ ἄμματα περιττὰ, πρὸς τῷ ματαίως ἐξηρτῆσθαι, καὶ δυσχέρειαν παρέχοντα κατὰ τὰς περιπλοκὰς, ἐνίοτε τῶν ψαυόντων τραυμάτων. ἀκριβῶς δὲ εἶπεν, οὐ μέγα, δυνάμενος εἰρηκέναι μικρὸν, ἀλλ' ὥσπερ τὸ μέγα φευκτέον ἐστὶ δι' ἃς εἶπεν ἀτοπίας, οὕτω καὶ τὸ μικρὸν F τοῦ ἐνεργείας ἐν τῷ καιρῷ διαδιδράσκον, ἐνίοτε τὰς λαβὰς τῶν ἐπιβαλλομένων αὐτῷ δακτύλων, καὶ διὰ τοῦτο τριβὴν καὶ χρόνου μῆκος ἐργαζόμενον, ἔν τε τῇ δέσει πολλάκις ἐξολισθάνον ἀπὸ τοῦ συνδουμένου διὰ βραχύτητα, καὶ διὰ τοῦτο δεύτερον ἡμᾶς ἀναγκάζον ἐνεργεῖν ἀμφ' αὐτὸν, καὶ δοκιμάζειν, καὶ διαλελύσθαι ποτὲ δόξαν, τὸ μικρὸν ἄμμα λύεσθαι μετὰ ταῦτα κατὰ τὸν τῆς ἐπιδέσεως καιρόν. εὔλογον οὖν ἐστι, καὶ τὸ πάμμικρον, ὥσπερ καὶ τὸ μέγα φεύγειν.

Εὖ γε μὴν γνῶναι, ὅτι ἐς τὰ κατάντη, καὶ ἀπόξη φεύγει πᾶς ἐπίδεσμος, οἷον κεφαλῆς μὲν τὸ ἄνω, κνήμης δὲ τὸ κάτω.

B *Probè tamen noſſe* decet, *omnem faſciam ad declivia, & acuminata diffugere, ut capitis ſurſum, tibiæ deorſum.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰ, εὖ γε μὴν γνῶναι, κατὰ τὴν ῥῆσιν ἐγέγραπτο, εὖ γε μὴν γνόντα, τέλειος ἂν ἦν ὁ λόγος, καὶ νῦν δὲ κρεμάσθαι δοκεῖ, καίτοι πρὸς ἐπίζευξιν. διὸ καί τινες αὐτῷ τὰ ἐφεξῆς εἰρημένα συνάπτουσιν, ὡς εἶναι τὴν ὅλην ῥῆσιν τοιαύτην· εὖ γε μὴν γνῶναι, ὅτι ἐς τὰ κατάντη καὶ ἀπόξη φεύγει πᾶς ἐπίδεσμος· οἷον, κεφαλῆς μὲν, τὸ ἄνω, κνήμης δὲ τὸ κάτω, ἐπιδεῖν δεξιὰ ἐπ' ἀριστερὰ, καὶ ἀριστερὰ ἐπὶ δεξιὰ, πλὴν κεφαλῆς. ἀλλὰ τοῦτό γε φαίνεται μηδεμίαν ἀκολουθίαν ἔχειν. οὐ γὰρ διὰ τοῦτο χρὴ τὰς εἰρημένας ἐπιδέσεις ποιεῖσθαι, διότι τὸ ἅμμα φεύγειν εἴωθεν εἰς τὰ κατάντη καὶ ἀπόξη. δι' ἕτερον γάρ τι, ὡς ἐφεξῆς ἐροῦμεν, δεξιὰ μὲν ἐπ' ἀριστερὰ, ἀριστερὰ δὲ ἐπὶ δεξιὰ προσέταξεν ἐπιδεῖν. ἀκόλουθα δέ ἐστι τῷ εὖ γε μὴν γνόντα, ὅτι ἐς τὰ κατάντη καὶ ἀπόξη φεύγει. τὰ οὕτως εἰρημένα περιλαβεῖν κατάληψιν τοῦ ξύμπαντος ἐπιδέσμου ἐν τοῖς ἡσυχάζουσι, καὶ λαπαρωτέροις. καὶ τὰ τούτοις ἐφεξῆς, ἃ μετ' ὀλίγον ἐξηγούμεθα, αὐτὸ τοῦτο δείξει σαφέστερον. ἐν δὲ τῷ παρόντι μεταξὺ παρεγκείμενα παρὰ τάξιν, ἐπισκεπτέον αὐτὰ καθ' ἑαυτά.

GALENI COMMENTARIUS.

SI pro *bellè tamen noſſe*, in textu ſcriptum eſſet, *probè tamen ſcientem*, perfecta foret oratio. At ſuſpendere etiamnunc videtur, etiamſi ad conjunctionem *ſpectet*. Ideo quidam quoque ipſi deinceps enarrata connectunt, ut ſit totus textus ejuſmodi. *Probè tamen noſſe decet, ad declivia & acuminata faſciam omnem labi, ut in*
C *capite quidem ſurſum, in tibia verò deorſum*; deligare dextras partes ad ſiniſtras, & ſiniſtras ad dextras, excepto capite: Verùm id nullum tenorem habere videtur. Non enim propterea conſtruere commemoratas deligationes oportet, quòd nodus partes declives & acuminatas fugere conſueverit. Nam alia re (ut ſeri docebimus) dextras partes ad ſiniſtras, & ſiniſtras ad dextras devincire juſſit. Quæ ſequuntur, ſunt ejuſmodi. Probè tamen ſcientem *non latet faſciam omnem* ad declivia & acuminata loca
D fugere. Hæc ita pronunciata univerſæ faſciationis retentionem in quieſcentibus & demiſſioribus complecti *par eſt*, & quæ his ſuccedunt à me paulò poſt explicanda, ea ipſa manifeſtiùs demonſtrabit. In præſenti verò quæ præter ordinem interjecta ſunt, ipſa per ſe conſiderabimus.

Ὅθεν αἱ τοῦ ἐπιδεῖν λαμβάνονται ἐνδείξεις, εἰ ἀπὸ τοῦ πεπονθότος μορίου, κατὰ θέσιν, ἢ κατὰ τὸ πάθημα πότε καὶ ὅπως ἐς τὰ ἐναντία μέρη ἡ νομὴ ἀναδοθησομένη ἐστί. διὰ τί κατ' ἴξιν τὰ κῶλα καὶ τὴν κεφαλὴν ἀνομοίως ἐπιδεῖν δεῖ· τὸ τοῦ ἑκατέρου παράδειγμα.

Unde faſciandi petuntur indicationes, an à parte affecta ratione ſitûs aut affectûs. Quando & quomodo in contrarias partes ſpiratio tribuenda ſit; cur ſecundùm rectitudinem membra, & caput diſſimili modo faſciari oportet; exemplum utriuſque. E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

Ἐπιδεῖν δεξιὰ ἐπ' ἀριστερὰ, καὶ ἀριστερὰ ἐπὶ δεξιὰ, πλὴν κεφαλῆς, ταύτην δὲ κατ' ἴξιν.

HIPPOCRATIS TEXTUS XII.

D*Eligare dextras partes ad ſiniſtras* oportet, *& ſiniſtras ad dextras, excepto capite. Et hoc ſecundum rectitudinem.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῶν καταγμάτων μάλιστα, τοῦ παραγγέλματος οὗ νῦν παραγγέλλει, μεγίστη γὰρ χρεία. περιελίττειν γὰρ ἀεὶ χρὴ πρὸς τοὐναντίον, ὅταν ἐκ θατέρου ἕλκος ᾖ, τοῦ μὲν δεξιοῦ πεπονθότος, ἐπὶ τὸ λαιόν. εἰ δ' ἐκεῖνο πάθοι, πρὸς τοὐναντίον, ὡς ὅταν γεγονὸς ὀστοῦν ὅλον ἐγκάρσιον, ἢ καταγὲς, ἢ ἰσόρροπον, τὴν ἐπίδεσιν ποιούμεθα, περιβάλλοντες αὐτῷ σπληνίας ἐν σχήματι τῷ καλουμένῳ ἐν κύκλῳ. τὸ δ' ἐν τῷ νῦν λεγόμενόν ἐστι τοιοῦτον. ἐπιδεῖν τὰ μὲν δεξιὰ μέρη πεπονθότα, περιστρέφοντας ἐπ' ἀριστερὰ, τὰ δὲ ἀριστερὰ τοὐναντίον ἐπὶ τὰ δεξιά.

GALENI COMMENTARIUS.

F INfracturis potiſſimum præcepti nunc promulgati maximus eſt uſus. Semper enim in contrariam partem circunvolutio ducenda eſt, quum ulcus ex altera parte fuerit, dextra nimirum affecta, in ſiniſtram. Si vero hæc afficiatur, in contrariam; ut quum os totum tranſverſum factum eſt, æquilibrem deligationem conſtruimus, ſpleniis ipſi figura in orbem vocata impoſitis. Quod igitur proponitur, eſt hujuſmodi. Quum dextras partes affectas deligamus, in ſiniſtras ſpiram vertimus, & contra in dextras circumvolvimus, ſi ſiniſtræ affectæ ſint.

Id

affectam partem injicimus, non planè quidem ſuper ipſam fracturam,aut ulcus; ſed ex his hinc atque illinc. Alterâ verò faſciâ quum circumagimus in contraria, partem affectam attrahimus, ſimulque aſtringimus. Poſtquam verò in oppoſitam partem faſcia circunvoluta eſt, hic non amplius peræque aſtringimus, multoque magis non circunvolvimus, donec in orbem circunvolvatur faſcia, & in proprium principium pervenerit, tunc enim priùs manu principium tenebamus. Huic iterum illam faſciæ partem quæ ipſum contingit ſuperpoſitam tutò ita continemus, ut rurſùm ſecundum incipiat circuitum ſuper ipſas partes involutas priori ſimilem, & in contrarias partes circunvolvat, & coarctet; hancque denuo peræque primæ circunvolutam, quum iterum ad principium redierit, æquè faſciam alterâ manu remoratam protendimus, alterâ coarctamus, & in oppoſitam partem læſam circunvolvimus. Non ſolùm autem membra hoc modo devincimus, verumetiam latera, ſi dextris quidem partibus affectus evenerit: his principium injicientes ad ſiniſtras diſtributionem faciamus, quemodo pronunciatum eſt; ſi verò in ſiniſtras inciderit affectus, ab his exordio ducto quaſi deligationis iter ad dextram partem efficimus; ſed caput non ita licet in orbem comprehendere, prohibet enim cervix ipſi inſita. Quamobrem ſive dextræ, ſive ſiniſtræ parti inſideat morbus qui deligationem poſtulat, faſciam è regione, quod eſt ſecundùm rectitudinem, injicimus. Per verticem quidem fertur faſcia; inde verò deorſum ad extremam maxillam inferiorem volvitur; poſtea ſurſum ad partem affectam reducitur; mox iterum ſimiliter bis tenere, prout idoneum eſſe auguramur, ad uſque finem evolvitur. Is *finis* in verticem planè cadat; Quandoquidem firmiſſimus ad remoram ſic is efficitur locus.

Quid faſcia ex duobus principiis; quid faſcia ex uno principio; cur & ubi injiciendæ. Deligatio altera per contrarias partes,altera per proceſſionem conſtruitur.

HIPPOCRATIS TEXTUS XIII.

V*Erum contrariæ* partes *ex duobus principiis* deligendæ. *Si vero ab uno* incipiat, *ad quod ſimile in remoram, quale medium capitis, & ſi quid aliud hujuſmodi.*

GALENI COMMENTARIUS.

DUas ſententias hic textus complecti poteſt, ut aut de omnibus corporis partibus, aut de ſolis capitis dicatur. Effatus enim, *excepto capite*, dextras partes ad ſiniſtras, hoc autem *è directo devinciendum eſſe*. Cæteras ejus partes (quæ inter ſe contrariæ ſunt,quarum hæc & poſterior, & in occipitio eſt, illa & anterior & in fronte) ex duobus principiis deligare jubet. Ipſæ verò ſunt ex duobus principiis deligationes, quum medium totius faſciæ ſuper affectam partem admoventes, utramque ipſarum partium æqualem in oppoſitum locum ducimus. Itaque faſciarum quæ ita peraguntur,

γὰρ δὴ τοῦτο, τὴν μὲν ἀρχὴν τοῦ ἐπιδέσμου βαλλόμενοι ἡμεῖς κατὰ τὸ πεπονθὸς μέρος, οὐκ ἀκριβῶς κατ' αὐτοῦ τοῦ κατάγματος, ἢ τοῦ ἕλκους, ἀλλ' ἔνθεν καὶ ἔνθεν τούτου. τῇ δ' ἑτέρᾳ, περιφέροντες ἐπὶ τἀναντία, τὸ πεπονθὸς, ἅμα καὶ πιλοῦν. ἐπειδὰν δὲ ἐπὶ τὸ ἀντικείμενον μέρος ἐπίδεσμος ἑλιττόμενος γένηται, μηκέτι ἐκεῖ σφίγγοντες ὁμοίως ἔτι δὲ μᾶλλον, οὐδὲ περιφέροντες, ἄχρις ἂν ἐν κύκλῳ περιελιττόμενος ὁ ἐπίδεσμος, ἐπὶ τὴν ἰδίαν ἀρχὴν ἀφίκηται, τηνικαῦτα γὰρ, κατείχομεν ἔμπροσθεν χειρὶ B τὴν ἀρχήν. ταύτῃ πάλιν ἐκεῖνο τὸ μέρος τοῦ ἐπιδέσμου τὸ ψαῦον αὐτῆς ἐπιτιθέντες, καὶ αὐτῆς ἀσφαλῶς κρατοῦμεν, ὥστε δευτέρας ἄρξασθαι αὖθις κατὰ τὴν τῶν αὐτῶν ἐπιβολὴν, ὁμοίως τῇ προτέρᾳ, πιλοῦντές τε καὶ περιτρέποντες ἐπὶ τὰ ἐναντία. καὶ ταύτην πάλιν ὡσαύτως τῇ προτέρᾳ περιελίξαντες, ὅταν αὖθις ἐπὶ τὴν ἀρχὴν ἀφικώμεθα, κατασχόντες ὁμοίως τῇ ἑτέρᾳ χειρὶ τοῦ ἐπιδέσμου ἀνατείνομεν, τῇ ἑτέρᾳ πιλοῦντές τε, καὶ περιφέροντες ἐπὶ τὸ ἀντικείμενον μέρος πεπονθός. οὐ μόνον δὲ τὰ κῶλα κατὰ τοῦτον ἐπιδοῦμεν τὸν τρόπον, ἀλλὰ καὶ τὰς πλευράς. εἰ μὲν C ἐπὶ τοῖς δεξιοῖς μέρεσιν ἡ πεπονθυῖα τύχῃ, τὴν ἀρχὴν ἐνταῦθα βαλλόμενοι, τὴν νομὴν ἐπ' ἀριστερὰ ποιούμεθα, καθ' ὃν εἴρηται τρόπον. εἰ δ' ἐν τοῖς ἀριστεροῖς εἴη τὸ πάθος, ἀπὸ τούτου ἀρξάμενοι, τὴν εἰς ὁδοιπορίαν τῆς ἐπιδέσεως, ἐπὶ τὸ δεξιὸν μέρος ἐργαζόμεθα, κεφαλὴν δ' οὐκ ἔστι περιλαβεῖν οὕτως ἐν κύκλῳ· κωλύει γὰρ ὁ τράχηλος, συμφυὴς ὢν αὐτῇ· διὰ τοῦτο οὖν ἐπ' αὐτῆς, ἐάν τε κατὰ τὸ δεξιὸν μέρος, ἐάν τε κατὰ τὸ ἀριστερὸν ᾖ τὸ τῆς ἐπιδέσεως δεόμενον πάθος, τὴν κατ' ἴξιν, ὅπερ ἐστὶ κατ' εὐθυωρίαν, αἱρούμεθα. διὰ μὲν τῆς D κορυφῆς ἀγομένου τοῦ ἐπιδέσμου, καταγομένου δ' ἐντεῦθεν ἐπ' ἄκραν τὴν κάτω γένυν, εἶτ' ἀναγομένου πάλιν ἐπὶ τὸ πεπονθὸς, εἶτ' αὖθις πάλιν ὁμοίως, εἴτε δὶς, εἴτε τρὶς αὐτάρκες εἶναι νομίζομεν, ἑλιττομένου μέχρι τῆς τελευτῆς. αὕτη δὲ πάντως κατὰ τῆς κορυφῆς γιγνέσθω. μονιμώτατον γὰρ οὕτως ἐργάζεται χωρίον τοῦτο.

Τί ἀπὸ δυοῖν ἀρχῶν ἐπίδεσμος· τί δ' ἀπὸ μιᾶς ἀρχῆς· διὰ τί, καὶ ὅπῃ ταύτας ἐπιβάλλεσθαι· ὅτι ἡ μὲν ἐπίδεσις κατὰ τὰ ἐναντία, ἡ δὲ κατὰ τὴν περίβασιν γίνεται.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ΄.

ΤΑ δ' ὑπεναντία, ἀπὸ δύο ἀρχέων. ἢν δὲ ἀπὸ μιῆς, ἐφ' ὅπερ ὅμοιον ἐς τὸ μόνιμον, οἷον τὸ μέσον τῆς κεφαλῆς, καὶ εἴ τι ἄλλο τοιοῦτον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΙττὸν διανοίας λέξις ἥδε δύναται λαβεῖν, ὥστε ἤτοι περὶ πάντων τῶν μερῶν τοῦ σώματος, ἢ περὶ μόνον τὸ τῆς F κεφαλῆς ἀκούειν. εἰρηκὼς γὰρ, πλὴν κεφαλῆς, δεξιὰ ἐπὶ ἀριστερὰ, ταύτην δὲ κατ' ἴξιν ἐπιδεῖσθαι. λοιπὸν οὖν (τῶν αὐτῆς ὄντων μερῶν ἐναντίων ἀλλήλοις, ὧν τὸ μὲν ὀπίσω τε καὶ κατὰ ἰνίον ἐστὶν, τὸ δὲ πρόσω τε καὶ κατὰ μέτωπον,) ἀπὸ δυοῖν ἀρχῶν ἐπιδεῖν ἀξιοῖ. αὗται δὲ αἱ ἀπὸ δύο ἀρχέων ἐπιδέσεις, ὅταν τὸ μέσον ὂν ὅλου τοῦ ἐπιδέσμου κατὰ τοῦ πεπονθότος ἐρείσαντες ἰσόρροπον ἑκάτερον αὐτῶν τῶν μερῶν, ἐπὶ τὸν ἀντικείμενον ἄγωμεν τόπον· ὅσαι δ' οὖν τελευταὶ τῶν

φησιν, ἐπιδέης τὰ τοιαῦτα, κατὰ τὴν ὁμοιότητα τῆς ἀπὸ τοῦ D ἀρχῶν ἐπιδέσεως, ἑλίττειν τὸν ἐπίδεσμον, οὕτως ἄξεις ἐπὶ τὸ μόνιμον χωρίον, ὡς ἐνταῦθα τελευτήσῃ. παράδειγμα δὲ μονίμου χωρίου, τὸ μέσον τῆς κεφαλῆς ἐποιήσατο, ἀρκεσθεὶς τούτῳ, ἐπειδὴ κατὰ τὸ παρὸν, μέλλει μετ' ὀλίγον ἀκριβῶς ἅπαντα τὸν λόγον διέρχεσθαι. διδάσκων ὅπως δεῖ τὴν τελευτὴν τοῦ ἐπιδέσμου γίγνεσθαι, πρὸς τὴν ὅλην ἐπίδεσιν ἀμετακίνητον φυλάττεσθαι. τὸ οὖν, ἐφ' ὅπερ ὅμοιον, ἐπ' ἀμφοῖν ἀκουστέον τῆς ὅλης νομῆς τοῦ ἐπιδέσμου, καὶ τῆς τελευτῆς.

bus principiis deligationis ſimilitudinem faſcia circunvolvenda eſt, ſicque ad ſtabilem loci remoram adducenda, ut hic finiatur. Pro exemplo autem remorantis loci, medium capitis aſtrinxit, hocce contentus quum paulò poſt accuratè univerſam orationem habiturus ſit, docens qua parte faſciæ finem fieri oporteat, quò totam deligationem immutabilem tueatur. Cæterùm verba, *ad quod ſimile*, de utroque tum de tota faſciæ ſpira, tum de fine intelligenda ſunt.

C

Ἐπὶ τοῖς μὲν τῆς καμπῆς τόποις ὡς ἰγνύῃ τὰς ἥκιστα καὶ εὐσταλεῖς ἐπιδέσμους, ἐπὶ τοῖς δὲ περιτάσεως ὡς τῇ μύλῃ ἁπλοῦς τε καὶ πλατεῖς ἐπιβληθησομένους εἶναι. τί εὐσταλές, τί ἡ μύλη.

In flexionis locis, ut poplite, minimas & contractas faſcias; extenſionis verò ſimplices & latas injiciendas eſſe; quid contractum; quid rotula.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

ΤΑ δὲ κινεύμενα, οἷον ἄρθρα, ὅπη μὲν συγκάμπτεται, ὡς ἥκιστα καὶ εὐσταλέστατα περιβάλλειν, οἷον ἰγνύην, ὅπη δὲ περιτείνεται, ἁπλᾶ τε καὶ πλατέα, D οἷον ἡ μύλη.

HIPPOCRATIS TEXTUS XIV.

QVæ moventur velut articuli, quâ quidem parte inflectuntur quam minimis, & leviſſimis linteis *obvolvenda ſunt, veluti poples; quâ verò parte circuntenduntur, ſimplicibus & latis, veluti rotula.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐλάχιστα περιβάλλειν ὀθόνια, κατά τε τὴν ἰγνύαν, καὶ τὰ ταύτης παραπλήσια κελεύει, καὶ μάλιστα εὐσταλῆ. τὸ δὲ σημαίνει τὸ συνηγμένον εἰς ὀλίγον, τὸ δὲ ἀντικείμενον τῇ ἰγνύῃ μέρος, τὴν μύλην ἐναντίως ἐπιδεῖσθαι κελεύει. τὸ δὲ ἐναντίως ἐστὶν, ἅπασι τοῖς ἐναντίοις, καὶ μηδαμόθεν συνεσταλμένοις ὁπόσον ἐγχωρεῖ. παραπλησίως δὲ τῇ μὲν ἰγνύῃ ἅπαντα μόρια καθάπαξ E συμβαίνει τοῖς ἄρθροις· τῇ δὲ μύλῃ, κατὰ τὴν ἔκτασιν αὐτὴν γίνεσθαι. καλοῦσι τινες ἐπιγουνίδα τὴν μύλην ταύτην, ὥσπερ ἕτεροί τινες ἐπιγουνατίδα. κατὰ ταύτην μὲν οὖν, ἔφη πλατεῖαν χρῆ περιτάττεσθαι τὸν ἐπίδεσμον, ὡς ὅλην αὐτὴν περιλαμβάνειν. ὁ γὰρ μὴ περικείμενος οὕτως, ἢ πρὸς τὴν ἄνω χώραν ἀναχθήσεται ῥᾳδίως, ἢ πρὸς τὴν κάτω περισφαλεῖται ἐφ' ἑκάτερα, διὰ τὴν κυρτότητα τῆς μύλης. τῇ δὲ ἰγνύῃ συνεσταλμένον τὸν ἐπίδεσμον ἀξιοῖ περιβάλλειν. οὔτε γὰρ ὑποδέξασθαι δύναται τὸ εἰς πλάτος F ἐκτεταμένον, οὔτε φυλάξαι.

GALENI COMMENTARIUS.

MInima lintea & circa poplitem, & huic vicinas partes obvolvenda eſſe jubet, maximeque contracta. Contractum autem, in pauculum collectum ſignificat. Oppoſitam verò partem popliti, molam contrario modo devinciri vult. Contrario modo eſt, omnibus contrariis, & nulla ex parte, quantum conceditur, contractis. Vicinas autem popliti partes omnes illigari accidit articulis; rotulæ verò per extenſionem ipſi obtingere. Quidam vocant genu operculum, ipſam molam, quemadmodum alii nonnulli patellam & rotulam. Super hanc igitur, inquit, latam faſciam ita extendendam eſſe, ut ipſam univerſam complectatur. Nam quæ ita non circumiacet, aut ad ſuperiorem regionem, aut ad inferiorem facilè feretur: ad utramque enim partem undique labetur ob rotulæ gibbum. Popliti verò contractam faſciam cenſet injici; nam neque eam ſuſcipere, neque ſervare poteſt, quæ in latitudinem extenditur.

Ubi faſcia injicienda, comprehenſionis & ſuſpenſionis gratia; quid utriuſque vocabulo ſignificatur; quis utriuſque uſus; Quieſcentibus ac demiſſis locis faſciarum extrema admovenda eſſe. Quid hæc ſint. Quid λαπαρόν.

Ὅπη δεῖ ἐπιβάλλειν τὸν ἐπίδεσμον καταλήψεως καὶ ἀναλήψεως ἕνεκα. Τί τῷ ἑκατέρας ὀνόματι δηλοῦται, τίς ἑκατέρας χρεία. Ἐν τοῖς ἀτρεμοῦσι καὶ λαπαροῖς μέρεσι τὰ τῶν ἐπιδέσμων πέρατα ἐπιβάλλειν δεῖ. Τί ταῦτα. Τί τὸ λαπαρόν.

HIPPOCRATIS TEXTUS XV.

Injicere præterea oportet faſciam, *comprehenſionis quidem circa hæc jacentium gratia; ſuſpenſionis verò totius faſciæ in quieſcentibus ac demiſſioribus corporis partibus, ut ſupra, vel infra genu.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ * ιε΄.

B Προσεπιβάλλειν δὲ καταλήψιος μὲν τῶν περὶ ταῦτα ἕνεκα, ἀναλήψιος δὲ, τοῦ σύμπαντος ἐπιδέσμου, ἐν τοῖσιν ἀτρεμέουσι, καὶ λαπαρωτέροισι τοῦ σώματος, τὸ ἄνω καὶ τὸ κάτω τοῦ γούνατος.

GALENI COMMENTARIUS.

Eiuſmodi breviloquentiam laudare decet, ſi uno vocabulo quemadmodum & præſens dilucidè ſe prodit oratio. Sub *comprehenſionis* quidem nomine hæc declaratur oratio, qua diximus in articulorum deligationibus, earum finem tutò extrà articulationem, vinculo quodam inſuper addito, tuendam eſſe. Per *ſuſpenſionis* verò vocabulum, ut multa ſit nobis providentia, ne ad declivia loca deorſum fluat faſcia, neve ſurſum refluat ad gibba *aut acclivia*, quæ priùs ipſe *acuminata* vocitavit: Quum, inquit, *Probè tamen noſſe decet ad declivia & acuminata diffugere.* Atque ſanè dilucidum patuit iiſdem ipſius verbis præclarè à nobis propoſitum eſſe, quæ nunc pronunciantur iis eſſe continua, quæ in illo textu traduntur, quo edicebat, *Probè tamen noſſe decet* omnem faſciam *ad declivia & acuminata diffugere.* Quin & perquam conciſè idonea loca commemoravit, quibus faſciarum extrema admovenda ſunt, duobus ea complexus vocabulis, *quieſcentibus, ac demiſſis:* Quieſcunt *enim* quæcunque extra articulationem ſunt in oſſium quæ inter ſe committuntur altero, ut ad genu, vel in femore, vel tibia. Hæc enim loca demiſſiora ſunt. Ita nanque vocant quæ eminentibus contrario modo conſtituuntur, hoc eſt, depreſſa & demiſſa. Omne enim λαπαρὸν depreſſum eſt. λαπαρὸν igitur propriè vacuum ſignificat, ut & λαπάξαι exinanire. Nam quod Homero ſcribitur, Ἴλιον ἐξαλαπάξαι ἐϋναιόμενον πτολίεθρον, quod eſt devaſtare altæ benè conditæ mœnia Troiæ, urbem diripere & evacuare ſignificat. Et λαπαρὰ vocant eas corporis partes quæ inter ilium oſſa & nothas coſtas mediæ ſunt. Jam verò etiam quod omne depreſſum eſt aut ſubſidit, λαπαρὸν vocant, quia quod vacuum eſt, neceſſario depreſſum eſt, ſumpta ex eo tranſlatione quod communiter accidit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν τοιαύτην βραχυλογίαν ἐπαινεῖν προσήκει, εἰ δι' ἑνὸς ὀνόματος δηλοῦται σαφῶς ὁ λόγος, ὥσπερ καὶ νῦν. ὑπὸ μὲν τοῦ τῆς καταλήψεως ὀνόματος, ὁ λόγος οὗτος δηλοῦται, καθ' ὃν εἴπομεν αὖ, τῶν ἐν τοῖς C ἄρθροις ἐπιδέσεων, τὸ τέλος ἀσφαλῶς φυλάττεσθαι χρὴ, διά τινος ἐκ προσθέτου γινομένης ἐπιδέσεως, ἔξω τῆς διαρθρώσεως. ὑπὸ δὲ τῆς ἀναλήψεως, ἵνα πολλὴν ἔχωμεν πρόνοιαν, τοῦ μήτε καταρρεῖν εἰς τὰ κατάντη χωρία τὸν ἐπίδεσμον, μήτ' ἀναδέχειν εἴς τι τῶν κυρτῶν, ἅπερ ὀξέα κέκληκεν αὐτὸς ἔμπροσθεν, ἡνίκα ἔλεγεν, εὖ γε μὴν γινώσκειν, ὅτι ἐς τὰ κατάντη καὶ ὀξέα φεύγει. καὶ δῆλον δὴ γέγονεν ἐξ αὐτῶν τῶν ῥήσεων αὐτοῦ, καλῶς ὑφ' ἡμῶν εἰρῆσθαι συνεχῆ τὰ νῦν λεγόμενα τοῖς κατ' ἐκείνην τὴν ῥῆσιν λεγομένοις εἶναι, καθ' ἣν ἔλεγεν, εὖ γε μὴν γινώσκειν ὅτι D ἐς τὰ κατάντη καὶ ὀξέα φεύγει. καὶ μέντοι καὶ συντομώτατον τῶν ἐπιτηδείων χωρίων ἐμνημόνευσεν, ἐν οἷς χρὴ τὰ τέλη τῶν ἐπιδέσμων τίθεσθαι, δύο προσηγορίας παραλαβὼν αὐτά, τῇ τῶν ἀτρεμούντων, καὶ τῇ τῶν λαπαρῶν. ἡσυχάζει γὰρ ὅσα τῆς διαρθρώσεως ἐκτός ἐστι, κατὰ τὸ ἕτερον τῶν συναπτόντων ἀλλήλοις ὀστῶν, ὡς ἐπὶ τοῦ γόνατος, ἤτοι κατὰ τὸν μηρὸν, ἢ τὴν κνήμην. λαπαρώτερα γὰρ ταῦτά ἐστι τὰ χωρία. κέκληκε γὰρ οὕτως τὰ τοῖς ἐξέχουσι μορίοις ἐναντίως διακείμενα, τουτέστι τὰ κατεσταλμένα, καὶ ταπεινά. καὶ γὰρ τὸ λαπαρὸν E ἅπαν προσέσταλται. κυρίως μὲν οὖν ἡ λαπαρὸν φωνὴ σημαίνει τὸ κενὸν, ὥσπερ καὶ ἡ, λαπάξαι, τὸ κενῶσαι. καὶ γὰρ καὶ τὸ, Ἴλιον ἐξαλαπάξαι ἐϋναιόμενον πτολίεθρον, ἐκκενῶσαι τὴν πόλιν δηλοῖ, καὶ λαπαρὰ, τοῦ σώματος ἐκεῖνα τὰ μόρια καλοῦσιν, ὅσα μεταξὺ τῶν τε κατὰ τὰς λαγόνας ὀστῶν ἐστι, καὶ τῶν νόθων πλευρῶν. ἤδη μέντοι καὶ τὸ προσεσταλμένον ἅπαν, ὀνομάζουσι λαπαρὸν, ἐπειδὴ τὸ κενὸν ἐξ ἀνάγκης προσέσταλται, τὴν μεταφορὰν ἀπὸ κοινοῦ συμβεβηκότος ποιούμενοι.

Ὀ... ὅλην περιβολή, βουβῶνος δὲ, ἡ περὶ τὸν ἕτερον κενεῶνα, καὶ κνήμης, ἡ ὑπὲρ γαστροκνημίης. ὁκόσοισι B μὲν ἄνω ἡ φυγὴ, κάτωθεν ἡ ἀντίληψις· οἷσι δὲ κάτω, τοὐναντίον.

circum alterum ilium; Et tibiæ ſupra ſuram. Quibuſcunque ſurſum fuga faſciæ, *deorſum ſuſpenſio; quibus deorſum, contrarium* fit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σκοποὶ πάσης ἐπιδέσεως εἰσὶ πρῶτοι καὶ μέγιστοι, τῆς δι' ἑαυτὴν παραλαμβανομένης, οὐχ ὑπηρεσίας ἕνεκα τῶν ὑποκειμένων τῷ πάσχοντι μορίῳ, τὸ κατέχειν ἀκίνητον ὡς διεπλάσθη τὸ πεπονθὸς, ἀφλέγμαντόν τε φυλάττειν ἅπερ ἱκανῶς ἐν τῷ περὶ ἀγμῶν ἐδίδαξεν. C ἐπεὶ δὲ οὐ δύναται ταῦτα ποιεῖν ἡ ἐπίδεσις, ἄνευ τοῦ διαμένειν αὐτὴν, καὶ μὴ μετακινεῖσθαι πρὸς τὸ κάτω τοῦ σώματος, ἢ ἄνω, διὰ τοῦτο, τοῖς ἀπαθέσι μορίοις ἀναγκαζόμεθα περιβάλλειν τοὺς ἐπιδέσμους, ὅπως, ἔνθεν μὲν ἄνω ἀγαγεῖν ἐστιν εἰκὸς ὅλην τὴν ἐπίδεσιν, ἡ ἀντίληψις αὐτῆς ἕλκῃ ἐπὶ τὸ ταπεινότερον. ἐπ' ἐνίων δὲ μορίων, ἡ διὰ τῶν ἀντικειμένων ἀντίληψις ὠφελιμωτέρα, καθάπερ ἐπ' ὤμου, καὶ βουβῶνος. ἀκριβῶς εἰπεῖν ἐπ' ὤμου μὲν, οὐ περὶ τὸν ἕτερον ὦμον, ἀλλὰ τὴν μασχάλην. ἐπὶ βουβῶνος δὲ, περὶ τὸν κενεῶνα περιβάλλεσθαι δεῖ τὸν ἐπίδεσμον. D οὔτε γὰρ ὁ ὦμος, οὔτε ὁ γλουτὸς, ἀσφαλῶς φυλάττειν δύναται τὰς περιβολὰς, ἀλλ' ἡ μασχάλη, καὶ ὁ κενεών. ὀνομάζεται δὲ, ὡς ἔφην ἄρτι, κενεὼν, ὁ μεταξὺ τοῦ θώρακός τε καὶ τοῦ ἰσχίου μέσος τόπος ἀπὸ τοῦ κενεὸς εἶναι, τουτέστι περιεψαλμένος, οὕτως κληθείς. δῆλον δὲ ὅτι τὸ συμφωνεῖν, καὶ ἁρμόττειν, ὁμολογεῖν ἔφη. οἵ τε γὰρ ὁμολογοῦντες ἐν ἔργοις καλοῖς, οὐ μόνον οὐδὲν ἐναντίον πράττουσιν, ἢ λέγουσιν, ἀλλὰ καὶ συντελοῦσιν. ἀλλὰ τούτοις τά τε εἰρημένα χωρία συμπράττει τῷ νόμῳ τῆς ἐπιδέσεως. ὡσαύτως δὲ καὶ E τῆς κνήμης, εὐαπόρρυτον ἐχούσης τὴν ἐπίδεσιν τῆς γαστροκνημίας, ἡ ἄνω περιβολὴ χρήσιμος, κατ' ἐκείνας δηλονότι τὰς ἐπιδέσεις, αἷς ἀναγκαῖόν ἐστι τὸ κυρτὸν τῆς γαστροκνημίας περιλαμβάνεσθαι, ἐπ' αὐτὸ παρὰ τὰ σφυρὰ χωρίον τὸ μόνιμον τῆς ἐπιδέσεως. ἐξ αὐτοῦ ἔχει μεταξὺ δυοῖν ἐξοχῶν κοίλωμα, κάτω μὲν τῶν κυρτῶν περάτων, περόνης τε καὶ κνήμης, ἃ κακῶς ἔνιοι καλοῦσιν ἀστραγάλους· ἄνω δὲ, τῆς γαστροκνημίας αὐτῆς.

GALENI COMMENTARIUS.

SCopi totius deligationis quæ per ſe, non adminiſtrationis gratiâ, rerum affectæ parti ſubjectarum circunvolvitur, primi & maximi ſunt, partem affectam quemadmodum conformata fuit, immobilem continere, & ab inflammatione tutam ſervare; quæ in opere de fracturis abundè docuimus. Quia verò nequit hæc efficere deligatio, niſi ipſa commoretur, nec ad inferiores aut ſuperiores partes dimoveatur, propterea illæſis partibus faſcias injicere cogimur; prout quum ex altera parte tota deligatio ſurſum ducenda eſt, ipſius ſuſpenſio in demiſſiorem partem trahat. In nonnullis autem partibus ab oppoſitis utilior eſt ſuſpenſio, quemadmodum in humero & inguine. Abſolutè verò imperat in humero quidem, non ad alterum humerum, ſed axillam; in inguine verò ad alterum ilium circunvolvendam eſſe faſciam. Nam neque humerus, neque nates circuitum tutò ſervare queunt, ſicut axillæ, atque ile. Κενεὼν autem, ut paulò ante diximus, appellatur locus inter os thoracis & iſchii medius, quòd κενὸς ſit, *inanis & oſſibus vacuus*, hoc eſt depreſſus, ita vocatus. Conſtat autem quòd conſentire, & congruere ὁμολογεῖν *convenire* dixerit. Qui nanque probis in operibus conſentiunt, non modò nihil contrarium efficiunt, aut loquuntur, verumetiam ſuas conferunt operas. His etiam commemorata loca in faſciæ diſtributione aſtipulantur. Simili quoque ratione quum tibia facilè labentem ſuræ deligationem ſortiatur, huic qui ſurſum fertur circuitus conducit, in illa nimirum deligatione qua ſuræ devexum comprehendi neceſſe eſt. In conſimili ſecundum malleolos loco deligationis *jacet* remora quæ per ea continet quæ inter duas eminentias, nimirum devexas tum fibulæ, tum tibiæ extremitates poſita ſunt, quas malè nonnulli talos vocitant. Superior vero *locus* per ſuram ipſam idem præſtat.

Ubi remoræ non datur locus, qualis hîc deligatio aſtruenda ſit.

Ὅπη τῆς καταλήψεως τόπος οὐκ ἔστιν, ὁποίαν ἐν ταῦθα ἐπίδεσιν ποιεῖσθαι χρή.

HIPPOCRATIS TEXTUS XVII.

AT quibus non datur, quemadmodum in capite, his in maximè æquabili loco comprehenſiones facere, & minimè obliqua deligatione uti oportet, quò poſtrema firmiſſimè circumvoluta faſcia, *quæ maximè errabunda ſunt, contineat.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ.

Οἷσι δὲ μὴ ἔστι, οἷον ἡ κεφαλὴ, τουτέων ἐν τῷ ὁμαλωτάτῳ τὰς καταλήψιας ποιέεσθαι, καὶ ἥκιστα λοξῷ τῷ ἐπιδέσμῳ χρέεσθαι, ὡς τὸ μονιμώτατον ὕστατον περιβληθὲν, τὰ πλανωδέστατα κατέχῃ.

B

GALENI COMMENTARIUS.

QUibus partibus non datur *remoræ locus*, neque appoſita quædam pars ejuſmodi, qualem in tibia *eſſe* protulit, neque oppoſita pars hujus ſortis altera, ut in humero, & inguine, in his qualem oporteat deligationem ſtruere docet; nominatimque capitis mentionem faciens, jubet ſuper ipſas in maximè æquabili loco totius deligationis comprehenſionem facere, quod eſt ipſius finem neutram in partem inclinantem tueri, per quam directè finiendam vel ad frontem, vel ad medium totum capitis, ubi pars inſidet quæ bregma vocatur. Nam ubi ad mentum deducitur faſcia, ejus finis decenter ad medium caput reducitur citra inclinationem ſurſum porrigenda. Quum verò in orbem circunvolvitur ad frontem, ipſa quoque ſimiliter nullam in partem inclinatur. Nam quæ ita circumagitur, ad poſteriores partes feretur, occiput vocatum inium quod collum, & poſticam calvariæ devexitatem interjacet. Propereaque protulit poſtremam deligationum circunvolutionem minimè obliquam eſſe convenire, quia ante ipſam jam ſæpe neceſſario fiunt obliquæ, ut affectam diverſis in locis partem ipſius comprehendant. Verùm obliquas propter affectum factas circunvolutiones, quò poſtrema contineat, nulla ex parte obliquanda. Patet igitur & ſimul iſtas involutiones ejuſmodi ſecuritate immutabiles permanere. Quemadmodum ergo in capite, in ſuperiori parte genu quæ poſtrema deorſum fit circumvolutio accuratè citra inclinationem tuenda eſt: ſic certè & inguinis, & humeri deligationes, in quibus etiam oppoſitas partes ſimul devincire cogimur, poſtremæ circunvolutiones orbiculares citra inclinationem ſtruendæ ſunt; in ilibus quidem utriſque, ubi inguen ligare conſtituimus, *in utraque verò ala*, ubi humerum. His denique conſentaneâ eſt quæ in cubiti dearticulatione, *ſeu luxati cubiti inſtauratione datur deligatio.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἷς μορίοις οὐκ ἔστιν οὔτε παρακείμενόν τι τοιοῦτον μόριον, οἷον ἐπὶ κνήμης εἶπεν, οὔτε ἀντικείμενον τοιοῦτον ἕτερον μόριον, ὡς ἐπ' ὤμου, καὶ βουβῶνος, ἐπὶ τούτων ὁποίαν χρὴ ποιεῖσθαι τὴν ἐπίδεσιν διδάσκει, μνημονεύων ὀνομαστὶ τῆς κεφαλῆς, καὶ κελεύων ἐπ' αὐτοῦ, ἐν τῷ ὁμαλωτάτῳ τὰς καταλήψεις ποιεῖσθαι τῆς ὅλης ἐπιδέσεως,

C

ὅ ἐστι, τὴν τελευτὴν αὐτῆς ἀπαρέγκλιτον φυλάττειν, εὐθύτατα περατουμένην. ἤτοι γε ἐπὶ τὸ μέτωπον, ἢ τὸ μέσον ὅλον τῆς κεφαλῆς, ἔνθα τὸ καλούμενον βρέγμα. τῆς μὲν γὰρ ἐπ' ἀνθερεῶνα καταγομένης ἐπιδέσεως, ἡ τελευτὴ πρεπόντως ἂν ἐπὶ τὸ μέσον ἀνάγοιτο τῆς κεφαλῆς, ἀπαρεγκλίτως ἀνατεινομένη. τῆς δὲ κυκλοτερῶς περιβαλλομένης, ἐπὶ τὸ μέτωπον ὁμοίως καὶ αὐτὴ μηδὲν ἐγκεκλιμένη. περιαγομένης γὰρ οὕτως, ἐλευθήσεται καὶ τοῖς ὀπίσω μέρεσιν ἐπὶ τὸ καλούμενον ἰνίον, ὃ μεταξὺ τοῦ

D

τραχήλου καὶ τῆς ὀπίσω κυρτότητος τῆς ἐπὶ τοῦ κρανίου. διὰ τοῦτό τι εἶπε, τὴν ἐσχάτην περιβολὴν τῆς ἐπιδέσεων, ἥκιστα λοξὴν εἶναι προσήκειν, ὅτι τὰς πρὸ αὐτῆς ἤδη πολλάκις ἐξ ἀνάγκης γινομένας λοξὰς, ἕνεκα τοῦ περιλαμβάνειν τὸ πεπονθὸς, ἄλλοτε κατ' ἄλλο μέρος αὐτοῦ ὑπάρχον. ἀλλὰ τὰς τε διὰ τὸ πάθος λοξὰς γεγενημένας περιβολὰς, ἡ ὑστάτη κατέχῃ μηδαμόθεν λοξουμένη. δῆλον οὖν ὅτι τοιαύτη ἀσφαλείᾳ, κἀκεῖνα συνδεδεμένοισιν ἀμετακίνητα. ὡς οὖν ἐπὶ τῆς κεφαλῆς, κἀπὶ τοῦ

E

ἄνω τοῦ γόνατος, ἡ κάτω γινομένη ἐσχάτη περιβολὴ, ἀκριβῶς φυλάττεσθαι χρὴ τὸ ἀπαρέγκλιτον. ἐπὶ μέν τοι τῶν κατὰ βουβῶνα καὶ ὦμον ἐπιδέσεων, ἐν οἷς ἀναγκαζόμεθα καὶ τῶν ἀντικειμένων μορίων συγκαταλαμβάνειν, ἔσχαται περιβολαὶ κυκλοτερεῖς ἀπαρεγκλίτως γίνεσθαι δέονται. κατὰ τοὺς κενεῶνας μὲν ἀμφοτέρους, ἔνθεν τὸν βουβῶνα δεσμεῖν προαιρούμεθα, κατὰ δὲ τὸν ἕτερον, ἐφ' ᾧ τὸν ὦμον. ἀνάλογον δὲ τούτοις ἐστὶ τῆς κατὰ τὸν ἀγκῶνα διαρθρώσεως.

F

ἀναλήπτως ἔχῃ, ῥάμμασι τὰς ἀναλήψιας ποιέεσθαι, ἐκ καταβολῆς, ἢ ξυῤῥαφῆς. B

ſuſpenſio linteorum commode ſe habent, ſuſpenſiones filis per involutionem, aut ſuturam facere oportet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὃ μὲν λέγει τοιόνδε ἐστί. ἐν οἷς μέρεσιν, ἢ πάθεσιν, δύσκολόν ἐστιν αὐτοῖς τοῖς ὀθονίοις, τήν τε κατάληψιν τοῦ πέρατος τῆς ἐπιδέσεως, καὶ τὴν ἀνάληψιν ποιήσασθαι, ἐν τούτοις χρὴ, ῥάμμασιν, ἤτοι περιβαλλομένοις τῇ κατὰ κύκλον, ἢ συῤῥάπτουσι τὰ τῆς ἐπιδέσεως πέρατα, τὰς καταλήψιας ποιεῖσθαι. C ὃ δὲ ἄτοπον εἴη, μέρος τοῦ σώματος, ὀθονίοις μὲν δυσχερῆ τὴν κατάληψιν καὶ ἀνάληψιν ἔχειν, εὐπορωτέραν δὲ τὴν διὰ τῶν ῥαμμάτων, οὐκ ἐγὼ λέγειν ἔχω τοῖς ἐξηγηταῖς, εἰ μὴ τοί τινα μὴ φέροντα τὴν τοιαύτην ἐπίδεσιν. οἶδα δὲ τινὰ ἐφ' ὧν, εἰ καὶ βραχὺ κινηθῇ τὸ πεπονθὸς μόριον, ὀδύνη μεγίστη γίνεται, καθάπερ εἴ τις πρὸ πολλοῦ τις ἐκ καταπτώσεως οὕτως ἔπαθε τὰ κατὰ τὴν ῥάχιν, ὡς μηδὲ βραχὺ τὸν αὐτὸν ἐκείνης δύνασθαι φέρειν τὸ μέγεθος τῆς ὀδύνης. ἠναγκάσθησαν μὲν οὖν αὐτὸν τὸν μὲν χιτωνίσκον ἀφελεῖν, οὐκ D ἀποδύσαντες, ἀλλὰ διαῤῥήξαντες μὲν πρῶτον ἁπάσας τὰς ῥαφάς. μετὰ δὲ ταῦτα, παμπόλλοις τοῖς διακρατοῦσιν ὅλον τὸ σῶμα χρησάμενοι, προσμετεωρίσαι τὸν ἄνθρωπον, ἰσοῤῥόπως ἐπὶ καθέδρας πλατείας ἐκτεταμένον, ῥάκος ἐπιβεβλημένον, ἔχον ἐρίου πλάκα. ταῦτα μὲν οὖν ἐκελεύσαμεν, ἐπειδὴ ὁ κάμνων ὑπὸ τῶν διακρατούντων ὑπὸ τῆς στρωμνῆς ὑψώθη διὰ ταχέων ἐπιβαλεῖν μὲν ἐκεῖνο κατὰ τὸ πλάτος, ὑποβαλεῖν δὲ τῇ ῥάχει τοῦ μετεωρισθέντος. αὐτοὶ δὲ ἑτέραν ἐρίου πλάκα διαβεβρεγμένην ἔχοντες, ἐλαίῳ θερμῷ μετὰ τὴν ἀφαίρεσιν τοῦ χιτωνίσκου, E ταχέως περιβαλόντες τῇ ῥάχει, κατεκλίναμεν ἐπὶ τῆς ὑποκειμένης πλακὸς, ἅμα τῷ ῥάκει, καὶ οὕτως, πέρατα μὲν ἀνηγάγομεν ἐπὶ τὰ πρόσθια τοῦ σώματος τὰ πέρατα τοῦ διαβρόχου πλακὸς ἓν ἑκατέρωθεν, εἶτα ἐπ' αὐτὰ τὰ τοῦ ξηροῦ, καὶ μετ' ἐκεῖνα τὰ τοῦ ῥάκους, καὶ πρὸς ἄλληλα διὰ ῥαφῶν ἡνώσαμεν. εἰ μὴ διὰ ῥαφῶν, ἢ διὰ ῥαμμάτων μόνον βουληθείς τι ἐργάσασθαι τὴν ἀσφάλειαν τῆς ἐπιδέσεως, ἐπιτεινέτω αὐτὰ δὲ πρῶτα μὲν πάντων κάτωθεν τῷ μὲν ῥάκει οὕτως, οὐ γὰρ αὖ μετὰ τὴν ἐπίδεσιν. ὡσαύτως δὲ καὶ τῇ τῶν κατ' ἰσχίον μερῶν ἐνεργείᾳ μὲν, ὁπότε καὶ τὸ κατὰ τὸν μηρὸν F ἐπ' ἄλλου καὶ κατὰ βραχίονά γε ποτε καὶ τοῦ τραχήλου τὴν ὀπίσω χώραν.

GALENI COMMENTARIUS.

QUod enumerat, eſt hujuſmodi. Quibus in partibus, aut affectibus arduum eſt ipſis linteis extremæ deligationis & comprehenſionem, & ſuſpenſionem aſtrui; in his, filis quæ orbiculari *deligationi* circunvolvantur, vel quæ deligationis extremum conſuunt comprehenſiones efficiendæ ſunt. Quod autem abſurdum eſſet partem corporis, eam quæ linteis quidem fit, comprehenſionem & ſuſpenſionem difficilem habere, faciliorem verò, quæ filis, nihil ego, cum Interpretibus habeo dicendum, præterquam aliquas eſſe partes quæ talem minimè ferant deligationem. Verùm novi quoſdam, quibus etiamſi paululum affecta pars mota eſſet, dolor vehementiſſimus oboriebatur, quemadmodum ſi cui pridem ex lapſu ſpinæ partes ita ægrotent, ut ipſe ne momento doloris illius vehementiam ferre queat. Coacti ſunt itaque *Medici* tunicam illi detrahere, non exutis, ſed diruptis primùm ſuturis omnibus. Poſtea verò permultis qui totum corpus continerent quæſitis, hominem ſuſpendere ſuper cathedra lata æquabiliter porrectum, panniculo ſuper injecto, quod lanæ tantulum habeat. Hæc igitur imperavimus, poſtcaquam ægrotus à continentibus *miniſtris* è ſtrato erectus eſt, celeriter ſuper id in longitudinem imponere, erectique laborantis ſpinæ ſubjicere; Nos autem alterum lanæ hapſum oleo calido inebriatum conſequi, poſt tunicæ ablationem, ſpinæ quam primum admovimus, & ſuper ſtratum hapſum cum panniculo hominem collocavimus. Sicque prima quidem inebriati hapſi extrema, utrunque unum, ad priorem corporis partem adduximus; deinde ad ipſa ſicci hapſi, & poſt ea lintei extrema inter ſe ſuturis conjunximus. Quod ſiquis non ſuturis, ſed filis duntaxat deligationis tutelam efficere voluerit; eatenus ipſa omnium prima ſubter panniculum extendat. Non enim poſt deligationem, *id efficiendum eſt.* Huic quoque ſimilis operatio in iſchii partibus, interdum quoque in femore, aliàs & in brachio, interdum etiam in poſteriori cervicis regione ſuccedet.

De quatuor faſciarum qualitatibus ratione materiæ.

HIPPOCRATIS TEXTUS XIX.

F*Aſciæ mundæ* ſint, *leves, molles, tenues.*

GALENI COMMENTARIUS.

Materiam faſciarum hîc docet, mundis, levibus, mollibus, ac tenuibus *faſciis* uti jubens. *Mundis* quidem, ne morſus ex ſorde naſcatur; neve *ſordes* humorum corpus irrorantium ad cutim uſque permeare vim prohibeat. *Levibus*, ne locus affectus gravetur. Tenuibus, quòd hæ leviores & molliores ſint; quodque facile perfuſiones etiam tranſmittant. Mollibus, ne premant. At conſtat has ſingulas dotes conducere, ne pars affecta in phlegmonem incidat.

De circunvolutionis ratione quæ manibus exercetur.

HIPPOCRATIS TEXTUS XX.

C*Ircunvolvere ambabus ſimul manibus oportet, & utriſque ſeorſim exercere.*

GALENI COMMENTARIUS.

QUod ſuperiùs de omnibus Chirurgiæ operibus univerſè pronunciavit, ipſa volens exercere, & utriſque *ſeorſim*, & ambabus ſimul manibus efficere; id nunc de ſola circunvolutione ſcripſit. Nam ad operationis celeritatem quæ in doloribus maximi eſt momenti, hujuſmodi manuum exercitatio magis conducit. Quum duæ quidem manus ſimul faſciam bicipitem in deligationibus circunvolvant; altera verò ſola in cæteris; imò & in his quum utraque in parte alteram excipiat. Nam in faſciis quidem bicipitibus ambæ *manus* uno tempore peræquè operantur. Sibi nanque mutuò ſuccedunt; altera quidem præcipuam deligationis partem, faſciam circunvolvens, perficit; altera verò ad hujus miniſterium utiliter uſurpatur.

Symmetriam faſciarum ex partium devinciendarum latitudine & craſſitudine deprehendi.

HIPPOCRATIS TEXTUS XXI.

D*Ecenti verò uti faſciâ, ad partium latitudinem & craſſitudinem factâ conjecturâ.*

GALENI COMMENTARIUS.

AD partium devinciendarum latitudinem & craſſitudinem ratione habitâ, decentem ipſas deligationes faſciam comperire jubet. Quum autem deligatio rectè conſtruatur, per ea quæ priùs pronunciata ſunt, quibus docuit unde *ipſa* exordiri deceat, qua ratione faſcias parti affectæ circunvolvere, quaſque cum ipſa partes comprehendere, quâque finem conſti-

Περὶ τῶν ποιῶν, τῆς κατὰ τὴν ὕλην, ἐπιδεσμάτων ποιοτήτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ΄.

Ἐπιδέσματα καθαρὰ, κοῦφα, μαλθακὰ, λεπτά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B Περὶ τῆς ὕλης τῶν ἐπιδέσμων ἐνταῦθα διδάσκει, καθαροῖς, καὶ κούφοις, καὶ μαλθακοῖς, καὶ λεπτοῖς χρῆσθαι κελεύων. καθαροῖς μὲν, ὅπως μήτε δῆξις ἐκ τοῦ ῥύπου γίγνοιτο, μήτε διικνεῖσθαι πρὸς τὸν χρῶτα τῶν ἐπιβρεχομένων ὑγρῶν δύναμιν εἴργοιτο. κούφοις δὲ, ὡς μὴ βαρύνοιτο ὁ πεπονθὼς τόπος. λεπτοῖς δὲ, διότι, τε καὶ κουφότερα, καὶ μαλακώτερα ταῦτα, διότι, τε καὶ τὰς ἐπιβροχὰς ἑτοίμως διαπέμπειν. μαλθακοῖς δὲ, ὅπως μὴ θλίβοιντο. πρόδηλον δὲ ὅτι τούτων ἕκαστον, εἰς τὸ μὴ φλεγμῆναι τὸ πεπονθὸς μόριον συντελεῖ.

C Περὶ τοῦ ἐλίσσειν τρόπου, τοῦ κατὰ τὰς χεῖρας ἀσκουμένου.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ΄.

Ἐλίσσειν ἀμφοτέρῃσιν ἅμα, καὶ ἑκατέρῃσιν χωρὶς ἀσκέειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅπερ ἔμπροσθεν εἴρηκε καθόλου, περὶ τῶν εἰς χειρουργίαν πάντων ἔργων, ἀσκεῖν ἀξιῶν αὐτὰ δρᾷν ἑκατέρῃσί D τε καὶ ἀμφοτέρῃσιν ἅμα, τοῦτο νῦν ἐπὶ μόνου τοῦ ἐλίσσειν ἔγραψε. πρὸς γὰρ τὸ τάχος τῆς ἐνεργείας, ὅπερ ἐστὶ μέγιστον ἐπὶ τῶν ὀδυνωμένων, ἡ τοιαύτη τῶν χειρῶν ἄσκησις ὠφελιμωτέρα. τῶν δύο μὲν οὖν χειρῶν ἐλισσουσῶν ἅμα τὸν ἐπίδεσμον ἐν ταῖς ἀπὸ δυοῖν ἀρχῶν ἐπιδέσεσι, τῆς δὲ ἑτέρας μόνης ἐν ταῖς ἄλλαις, ἀλλὰ καὶ ἐν ταύταις ἑκατέρας ἐν μέρει διαδεχομένης τὴν ἑτέραν. ἐν μὲν γὰρ ταῖς ἀπὸ δυοῖν ἀρχῶν ἐπιδέσεσιν, ἀμφότεραι καθ' ἕνα καιρὸν ἐνεργοῦσιν ὁμοίως. διαδεχόμεναι γὰρ ἀλλήλας, ἡ μὲν ἑτέρα τὸ κυριώτατον μέρος τῆς ἐπιδέσεως ἐκτελεῖ περιελίσσουσα τὸν ἐπίδεσμον, ἡ δὲ ἑτέρα, χρήσιμος εἰς τὴν ταύτης ὑπηρεσίαν γίγνεται. E

Τὴν τῶν ἐπιδέσμων συμμετρίαν ἐκ τοῦ πάχους καὶ πλάτους τῶν ἐπιδουμένων λαμβάνεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα΄.

Τῇ πρεπούσῃ δὲ ἐς τὰ πλάτη, καὶ τὰ πάχη τῶν ὀθονίων τεκμηράμενον χρέεσθαι.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰς τὰ πλάτη καὶ τὰ πάχη τῶν ἐπιδουμένων μορίων ἀποβλέποντα, τὴν προσήκουσαν αὐτοῖς ἐπίδεσιν ἐξευρίσκειν κελεύει. γιγνομένης δὲ τῆς ἐπιδέσεως ὀρθῶς κατὰ τὰ προειρημένα, διότι, ὅθεν ἄρχεσθαι προσήκει, καὶ καθ' ὃν τινα τρόπον ἑλίττειν τὰ ὀθόνια κατὰ τὸ πεπονθὸς, ὅσα τε συγκαταλαμβάνειν αὐτῷ μόρια, καὶ τὴν τελευτὴν, ἐν ᾧ τίθε-

μῆκος. δῆλον ἐπὶ μὲν μικροῦ παιδίου, καὶ τῷ μήκει βραχέσι, καὶ τῷ πλάτει στενοῖς, εὔλογόν ἐστι χρῆσθαι τοῖς ἐπιδέσμοις· ἐπὶ δὲ μεγάλου νεανίσκου, καὶ μακροῖς καὶ πλατέσιν· ἀνάλογον δὲ κἀπὶ τῶν ἄλλων, ὅσα μεταξὺ τοῦ μεγάλου τε καὶ τοῦ μικροῦ σώματός ἐστι. εἰ μὲν γὰρ ἀκριβῶς ἀμφοτέρων ἐστὶ μέσον, καὶ πλάτει καὶ πάχει, τὸ ἐπιδούμενον μέρος, καὶ τὰς ὀθόνας μέσας τῷ τε πάχει καὶ τῷ πλάτει ποιήσομεν ἐκείνων τῶν ὀθονίων, οἷς ἐπὶ τοῦ μεγάλου καὶ τοῦ σμικροῦ σώματος ἐχρώμεθα. εἰ δ' ἐγγυτέρω θατέρου τῶν ἄκρων εἴη, κατ' ἐκεῖνο, καὶ τὸ ποσὸν αὐτῶν ὑπαλλάξομεν, αὐξάνοντες ἢ μειοῦντες.

B puero, exempli gratiâ, conſentaneum eſt faſcias uſurpandas eſſe longitudine breves, & latitudine anguſtas; in magno verò juvene, & longas & latas. In cæteris denique pro eorum ratione quæ magnum & parvum corpus interjacent. Si nanque pars devincienda inter utrumque tùm latitudine, tum craſſitudine medium planè ſortiatur, faſcias quoque medias & craſſitudine & latitudine inter ea lintea parabimus, quibus in magno & parvo corpore uſi ſumus. Verùm ſi extremorum alteri propius fuerit, in eo ipſarum modum augentes & imminuentes C variabimus.

Αἵτινες τῶν ὀθονίων, ἢ τῶν ἐπιδέσμων κεφαλαὶ καὶ τὰ πέρατα· εἰ κεφαλὰς σκληρὰς εἶναι πρέπει. αἵτινες ὁμαλαί, καὶ εὐκρινέες.

An ſint linteorum aut faſciarum capita & extrema, an hæc dura eſſe deceat, quæ æqualia, & diſtincta ſint.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

Ἐλίξιος κεφαλαὶ σκληραί, ὁμαλαί, εὐκρινέες.

HIPPOCRATIS TEXTUS XXII.

Circumvolutionis capita, dura, æqualia, diſtincta ſint.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐφεξῆς ἀμφοτέροις ὑπάρχει τοῖς ἐπιδέσμοις, πρὶν περιβαλεῖσθαι τῷ τοῦ κάμνοντος σώματι, τῆς ἐξ αὐτῶν ἐπιδέσεως γιγνομένης περὶ τὸν πεπονθότα τόπον, ἀλλὰ αἱ κεφαλαὶ τῶν ἐπιδέσμων, αἵτινες ἂν ὦσιν, ἀμφοτέρων εἰσὶ κοιναί. ἐάν τε γὰρ ἀρχαὶ τῶν ἐπιδέσμων, ἐάν τε πέρατα, κεφαλὰς νοηθῶσιν εἰρῆσθαι νῦν, ἐάν τε ἀμφότερα, καὶ πρὸς τούτοις ἔτι κατὰ τὸ πλάτος αὐτῶν πέρατα, ταῦτα πάντα κοινὰ ταῖς ἑλίξεσι τῶν ἐπιδέσμων ἀμφοτέραις ἐστί, ἅς τε αὐτοὶ ἀμφοτέρας καταμίγας ἴσχουσιν, ἅς τε τῷ ἐπιβάλλεσθαι τῷ σώματι λαμβάνουσιν, ὥστε τοῦτο μέν, εἰ καὶ διαπεφώνηται τοῖς ἐξηγησαμένοις τὸ βιβλίον, οὐ χαλεπὸν εἰπεῖν. καὶ γὰρ ἐπὶ τῶν εἱλιγμένων ἀληθὴς ὁ λόγος ἐστί, καὶ τῶν περιβεβλημένων τῷ σώματι. καὶ μέντοι καὶ πάντα τὰ πέρατα ἀκούομεν, οὐχ ὡς ἔνιοι μὲν ᾠήθησαν τὰ κατὰ μῆκος, ἔνιοι δὲ τὰ κατὰ πλάτος, ἀλλὰ τὸ περὶ μόνων μὲν ἐξηγησάμενοι τῶν ἐκτὸς ἐπιδέσμων, εἰρῆσθαι. τὸ δὲ σφιγγόμενον, τῆς ἑλίξεως ὑπ' αὐτοῦ δηλοῦσθαι νομίζοντες. ὅτι μὲν οὖν ἐσφίγχθαι χρὴ τὸν ἐπίδεσμον ἔξω, πρὶν ἐπιβάλλεσθαι τῷ σώματι, πρόδηλον. εὐληπτότερος γὰρ οὕτως ἔσται, διά τε καὶ λεπτότερος, λεπτοτέρας τε τὰς περιβολὰς ἔχων, διὰ τὸ τεταμένον ἐρηρεῖσθαι, σφιγχθῆναι γὰρ ἄλλως οὐ δύναται. τὸ δὲ τὰς κεφαλὰς αὐτοῦ μόνας δεῖν ἐσφίγχθαι, περιφανῶς ψευδές, οὐ γὰρ ἐκείνας μόνον, ἀλλ' ὅλον ἐσφίγχθαι τὸν ἐπίδεσμον. ὡς οὖν ἐν ἀπορίαις ἅ γέ μοι δοκεῖ, ἤδη φράσω. κεφαλὰς μὲν ἀκουστέον ἅπαντα τὰ πέρατα τοῦ ἐπι-

GALENI COMMENTARIUS.

Spira priuſquam laboranti corpori circunvoluta ſit, duabus ſubſtat faſciis, quum ex ipſis circum locum affectum ſtruitur deligatio. Verùm faſciarum capita quæcunque ſint, utriſque ſunt communia. Sive etiam faſciarum principia, ſive extrema capita nunc dici intelligantur, ſive utraque, his prættereà etiamnum adde *porrectas* in ipſarum latitudinem oras, hæc E omnia utriſque faſciarum ſpiris communia ſunt, & quas utraſque glomeratas ipſæ continent, quaſque corpori injectas ſuſcipiunt. Quocirca id quidem, etiamſi libri Interpretes in controverſiam adduxerint, explicare non arduum eſt: Etenim de glomeratis, ac de corpori circunvolutis vera eſt oratio. Quin etiam omnia extrema faſciarum intelligimus, non ut nonnulli quidem cenſuerunt, ea quæ in longitudinem, nonnulli verò ea quæ in latitudinem *porriguntur*. Verùm *illa* de ſolis externis faſciis dicta eſſe expoſuerunt, hæc quæ coarctantur, de ſpira ab ipſo Hippocrate prædicari putarunt. Con-F ſtat igitur faſciam, priuſquàm corpori injecta ſit, coarctandam eſſe (ſic enim faciliùs comprehendetur) quia tenuior, & tenuiores habet circunvolutiones, propterea extenſione diſtenditur; conſtringi nanque aliter non poteſt. Quod autem ſola ipſius capita conſtringenda ſint, planè falſum eſt: Non enim hæc ſolùm, ſed tota faſcia coarctanda eſt. Quare in rebus ambiguis quæ mea ſit ſententia jam proferam. Capita quidem omnia, faſciæ extrema intelligenda ſunt,

...ene dura exiſtimandum eſt, proindéque obſcuritatem pronunciatum habuiſſe. Supra nanque *faſcias mundas, leves, & molles*, præfatus, quâ ratione nunc eas duras pronunciat? Arbitror autem hoc *dura* vocabulo uſum fuiſſe congruenter rei quæ declaratur. Nam plerunque in linteorum extremis quæ quatuor ſunt, duo quidem in longitudinem, duo verò in latitudinem reliqua, vel ſolùm ſtamen comperitur, quum ipſum trama ſimul ad extremum uſque non ſequitur, vel trama ſola ſine ſtamine. Præterea verò aut alterū eorum quæ commemorata ſunt, extremo molle incumbit, aut cuidam parti incumbit, alteram verò tranſcendit. Hujuſmodi linteorum ſpiræ capita aliis capitibus molliora ſunt, in quibus ad extremum uſque ſtamen tramæ adæquatur, & horum mollitiei contrariam eſſe arbitror decenter glomeratarum, ut protuli, duritiem. Satius autem erat pronunciaſſe, *non molles*, quemadmodum ſuperiùs de nodo pronunciavit, *non magnum*. Nam quæ inter incommoderata ſunt media, prout retuli, utrancunque incommoderationem negatione declarare conſueverunt. Speciem igitur capitum quæ dura pronunciata ſunt quiſque probabiliſſimam acceperit, tum quòd nihil aliud ne mediocriter probabile dicendum habeat, tum quòd pronunciatus error circum lintea in alio nullo opere ab ipſo explicatus fuerit. Æquale verò ſignificari vult quod in toto citra diſcrimen ſimile eſt. Id fit quum linteorum pars nulla durior aut mollior eſt, aut nulla latior aut anguſtior, & tibi nulla pars quicquam quod deſit, aut corroſum ſit, ſortiatur. Atque *id* maximè velut in texturis viſum eſt. Diſtincta verò fiunt quum peræquè in omnibus partibus extenſa ſunt lintea, neque aliquâ parte porrecta aut implicata; altera verò duplicata aut involuta accipiemus.

...ώσας δὲ ὁ ... σκληρὸν, ... το ἀσάφειαν ἐσχηκέναι τὸν λόγον. ἔμπροσθεν γὰρ εἰπὼν ἐπιδέσματα καθαρὰ, κοῦφα, μαλθακὰ, πῶς ἂν νῦν αὖθις ἔλεγεν αὐτὰ σκληρά; κεχρῆσθαι δὲ νομίζω τῇ τῶν σκληρῶν προσηγορίᾳ, πρεπόντως τῷ δηλουμένῳ πράγματι. πολλάκις γὰρ ἐπὶ τοῖς πέρασι τῶν ὀθονίων τέτταρσιν οὖσιν, δύο μὲν κατὰ τὸ μῆκος, ἑτέροις δὲ δύο κατὰ τὸ πλάτος, ἤτοι μόνος ὁ στήμων εὑρίσκεται, μὴ συμπαρακολουθούσης αὐτῷ πρὸς τὸ πέρας τῆς κρόκης, ἢ κρόκη μόνη χωρὶς τοῦ στήμονος. B ἔστι δὲ ἤτοι χαλαρὸν ἐγκεῖσθαι τῷ πέρατι τῶν εἰρημένων, τὸ ἕτερον, ἢ κατὰ μέν τι μέρος ἐγκεῖσθαι, κατ' ἄλλο δ' ὑπερεκπίπτειν. τῶν οὖν τοιούτων ὀθονίων, αἱ κεφαλαὶ τῆς ἑλίξεως μαλακώτεραι τῶν ἑτέρων εἰσὶ κεφαλῶν, ἐν αἷς ἐξισοῦται μέχρι τοῦ πέρατος ὁ στήμων τῇ κρόκῃ, καὶ τῇ τούτων μαλακότητι, τοὐναντίον οἶμαι κατὰ τῶν προσηκόντως, εἰλημμένων μὲν, ὡς ἔφη, σκληρῶν. βέλτιον δ' ἂν εἰρηκέναι, μὴ μαλακὴ καθάπερ ἔμπροσθεν περὶ τοῦ ἅμματος ἔφη, μὴ μέγα. τὰ γὰρ ἐν τῷ μέσῳ τῶν ἀμετριῶν, ὡς ἔφην, εἰώθασι δηλοῦν ἀποφάσκοντες C ὁποτέραν οὖν ἀμετρίαν. τὸ μὲν οὖν εἶδος σκληρῶν τῶν κεφαλῶν εἰρημένων, ὅπως ἄν τις ἀκούσειεν πιθανώτατον τῷ γε μηδὲν ἔχων ἄλλο, μηδὲ μετρίως πιθανὸν εἰπεῖν, καὶ τῷ τὴν εἰρημένην ἁμαρτίαν ἐν τοῖς ὀθονίοις ἐν ἄλλῳ λόγῳ μηδενὶ δεδηλῶσθαι πρὸς αὐτοῦ. τὸ δὲ ὁμαλὲς δηλοῦσθαι μὲν τὸ κατὰ πᾶν ἀπαραλλάκτως ὅμοιον. γίνεται δὲ τοῦτο, μήτε σκληροτέρας ἢ πλατυτέρας ἐν αὐτοῖς τινὸς οὔσης, μήτε μαλακωτέρας, ἢ στενοτέρας, ἢ λεῖπόν τι καὶ διαβεβρωμένον ἐχούσης. ἔοικε δὲ καὶ πάνυ καθάπερ ἐπὶ τῶν ὑφασμάτων. γίνεται δὲ τὸ εὐκρινὲς, ἐπὶ τῶν D τεταμένων ὁμοίως ἐν ἅπασι τοῖς μέρεσι. καὶ κατά τι μὲν οὐ πεπυσμένων, ἢ πεπαρμένων, κατά τι δ' ἐνδεδιπλωμένων, ἢ ἐπειλιγμένων ἀκουσόμεθα.

An prolapſura topica, cataplaſmata, medicamenta echecolla, lineamenta, laqueos, faſcias, cruſtas, oſſium ſcidia & ſquamulas, partes affectas, membranea & nervoſa corpora, citò aut paulatim prolabi deceat.

Πότερον τὰ μέλλοντα ἀποπίπτειν τὰ τοπικὰ καταπλάσματα, φάρμακα ἐχέκολλα, μοτοὺς, βρόχους, ἐπιδέσμους, ἐσχάρας, ἀποσχίδας ὀστῶν καὶ λεπίδας, τὰ πεπονθότα μόρια, τινὰ ὑμενώδη καὶ νευρώδη σώματα ταχέως, ἢ κατὰ χρόνον ἀποπίπτειν. E

TEXTUS HIPPOCRATIS XXIII.

PRolapſura ſanè, quum citò procidunt, deteriora ſunt, ſed hæc ita, ut neque premant, neque procidant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ′.

TΑ δὲ δὴ μέλλοντα ἀποπίπτειν, χείρω ταχέως ἀποπιπτόντων, τὰ δὲ, ὡς μήτε πιέζειν, μήτε ἀποπίπτειν.

GALENI COMMENTARIUS.

INcondita quidem oratio omnino eſt, quomodocunque quis dictionem ἀποπιπτόντων *quum procidunt*, acceperit. Nam ſive pro Atticorum conſuetudine pronunciatam eſſe auguremur, qui caſum genitivum participii pluralem pro tertia pluralis Imperativi perſona uſurpant, huic modo ſimili *Equi ad Dolichum acceſſerunt;* ſive in genitivo caſu à recto, *prolapſi*, ſolœciſmum audierimus. Si nanque nos in priori ſignificato edoceamur, talis futura eſt oratio, *Prolapſura quum citò procidunt, deteriora;* niſi ma-

ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑ.

ΣΟλοικος μὲν ἡ ἑρμηνεία πάντως ἐστὶ, ὅπως ἄν τις ἀκούσῃ τῆς λέξεως. τὸ γὰρ ἀποπιπτόντων, ἐάν τε κατὰ F τὴν τῶν Ἀττικῶν συνήθειαν εἰρῆσθαι νομίζωμεν, τῇ πτώσει γενικῇ τῆς μετοχῆς πληθυντικῆς χρωμένων ἀντὶ τοῦ προστακτικοῦ πληθυντικοῦ προσώπου τρίτου, ὁμοίως τῷ, Ἵπποι δ' ἐς Δόλιχον προσιόντων, ἐάν τε κατὰ τὴν γενικὴν πτῶσιν, ἀπ' εὐθείας τῆς ἀποπίπτοντες, σολοικισμόν. γίνεται γὰρ ἡ λέξις, κατὰ μὲν τὸ πρότερον σημαινόμενον ἀκουόντων ἡμῶν, τοιάδε, τὰ μέλλοντα ἀποπίπτειν, κακίω ταχέως ἀποπιπτέτωσαν. εἰ μὴ βού-

 H

αὐτοὶ περὶ γράμματος ἑνὸς ἢ δυοῖν ἀφαίρεσιν, ἢ πρόσθεσιν, ἢ ὑπάλλαξιν ἁμαρτόντες, οἷα πολλὰ συγγράφουσι. τὰ δὲ ὑπὸ τοῦ πρώτου βιβλιογράφου, διὰ τὸ, τινὰ μὲν ἀσαφέσι γράμμασι γεγραφότος αὐτὰ τοῦ συνθέτου, οὐ χεῖρον τὰ σαφῶς, ἀλλὰ στοχασάμενον ὀρθῶς οὐδαμῶς ἁμαρτάνειν. τινὰ δὲ τοῦ χάρτου κοπέντος, ἢ κατά τινα ἄλλην περίστασιν ἀπολουμένου τοῦ γράμματος, ἢ συγχυθέντος· ἴσως δέ τινων καὶ κατὰ τὸν ὀνομασθέντα μεταγραμματισμὸν ἁμαρτηθέντων ἔκ τινων μεταβαλλόντων ἐκ τῆς παλαιᾶς γραφῆς, εἰς τὴν ὕστερον γεγραμμένην πρὸς τοῦ παλαιοῦ, πλῆθος ἁμαρτημάτων, ἐκ τούτων ἁπάντων ἐν πολλοῖς τῶν ἀντιγράφων ἠθροίσθη. Περὶ μὲν δὴ τούτων, καὶ ἅπαξ ἀκούσαντα μεμνῆσθαι προσήκει. μακρὸν γὰρ ἂν εἴη καθ' ἕκαστον τῶν ἁμαρτημάτων λέγειν τὰ αὐτά. συγχωρήσαντες δὲ τὴν ἀναμάρτητον λέξιν εἶναι τοιάνδε, τὰ μέλλοντα ἀποπίπτειν χείρω ταχέως ἀποπεσόντα, ζητήσωμεν ἐπὶ τίνων εἴρηται. πότερον ἐπὶ μορίων τινῶν τοῦ σώματος, ἀποπίπτειν μελλόντων, ἢ τῶν ἐπιδέσμων, ἢ τῶν ἐπιτιθεμένων τοῖς πεπονθόσι μέρεσιν ἕνεκα τῆς ἰάσεως, ἅπερ ἐστὶ καταπλάσματα, καὶ φάρμακα, μοτοὶ, καὶ βρόχοι. παρὰ γὰρ τὰ τρία γένη ταῦτα, τοιοῦτον οὐδὲν φαίνεται δυνάμενον ἀποπίπτειν τῶν πασχόντων σωμάτων. καὶ μέντοι καὶ λέλεκται τοῖς ἐξηγησαμένοις τὸ βιβλίον ἕκαστον αὐτῶν, οὐ μόνον τὰ τρία. καίτοι γε εἴπερ ἕκαστον ἔδοξεν εἶναί τινι πιθανὸν, ἐνεδέχετο καὶ πάντα δόξαι. ἐμοὶ δὲ, μοτοὶ μὲν, ἢ μόνοι πολλάκις ἐπιτεθέντες, ὡς ἐπὶ τῶν αἱμορραγιῶν, ἢ καὶ φαρμάκοις τισὶ πεφυραθέντες, ἢ ἔξωθεν αὐτοῖς ἀντὶ χρίματος ἐπιβληθέντες, οὐκ ἀλόγως ἀκούεσθαι δοκοῦσιν ἐν τῇ προκειμένῃ ῥήσει. προσήκει γὰρ αὐτοὺς ἀποπίπτειν μὲν πάντως, οὐ μὴν ἀποπίπτειν ταχέως, ὥσπερ οὐδὲ τοὺς βρόχους, ἀλλ' ὅταν ἀκριβῶς ἐκπυήσαντος τοῦ μορίου, σὰρξ ἐπιτραφῇ τε, καὶ περιτραφῇ τοῖς αἱμορραγοῦσιν ἀγγείοις. ὡσαύτως δὲ καὶ τὰς ἀπὸ τῶν καυτηρίων, ἢ φαρμάκων καυστικῶν γενομένας ἐσχάρας, οὐ χρὴ ταχέως ἀποπίπτειν, ἀλλὰ μετὰ πολλὰ φάρμακα, τὰ μὲν ὑγρὰ σηπεδονώδεσιν ἐγχεόμενα, τὰ δὲ ἐπιπλάσματα ξηρὰ, τὰ δὲ κατὰ σπληνικῶν, ἢ ὑδερικῶν ἐπιτιθέμενα, μεγάλως ὀνίνησιν, ὅταν μὴ ταχέως ἀποπίπτῃ. καὶ κατὰ ἄλλων δὲ μορίων καὶ διαθέσεων ἐπιπλάσματα φάρμακα, τῶν ἐχεκόλλων ὀνομαζομένων, ὀνίνησι μεγάλως, χρονίζοντα· καὶ γὰρ ἐπὶ καταγμάτων, καὶ μεγάλων ὀλισθημάτων συνεχῶς γινομένων, ἔτι δὲ ποδαγρικῶν, ἰσχιαδικῶν τε, καὶ νεφριτικῶν, καὶ πάντων ἀρθριτικῶν, κεφαλαίας τε, καὶ ἄλλων οὐκ ὀλίγων ἐπειράθημεν ὠφελησάντων φαρμάκων, εἰ μὴ ταχέως ἀποπέσοι. τούτων δὲ αὐτῶν, ὅσα μὲν ἐχέκολλα καλεῖται, διὰ τὸ δυσαπολύτως κεκολλῆσθαι, καὶ τοῦ χρώματος ἔχεσθαι,

aut additione, aut immutatione ... ſit, quales multos conſcribunt. Partim verò ſecundus Bibliographus, quòd quædam obſcuris literis author ipſe ſcriptis mandaverit, non minùs obſcurè, imò nullatenus rectè conjiciens aberravit. Partim chartâ obtruncatâ, aut literâ labefactatâ, aut alio quodam ſiniſtro caſu obliteratâ; fortaſſis autem quòd nonnulli in appellata literarum tranſpoſitione peccaverint, aliique quòd ex priſca ſcriptura in poſteram ſcripturam à veteri *diverſam* commutationem fecerint; ex his omnibus fit ut errorum multitudo multis in exemplaribus accumulata ſit. C Qui profectò de his & ſemel diſſerere audiverit, eum meminiſſe decet: In ſingulis enim erroribus eadem repetere longum foret. Concedentes autem incorruptum textum eſſe hujuſmodi (*prolapſura ſanè quum citò procidunt, deteriora ſunt*) inquiremus de quibus hæc proferantur, utrùm de quibuſdam corporis partibus, an de faſciis, aut topicis quæ partibus affectis ad curationem admoventur, D cujus ſortis ſunt cataplaſmata, medicamenta, linamenta, & laquei. Nam præter hæc tria genera, hujuſmodi nullum conſpicitur quod ab affectis corporibus excidere valeat. Atque etiam ab hujus libri Interpretibus eorum unumquodque explicatum eſt, non ſola tria; quanquam ſi cui ſingula probabilia eſſe apparuerint, omnia quoque videri poterunt. At verò mihi linamenta quidem vel ſola ſæpe, ut ad ſanguinis profluvium impoſita, vel etiam medicamentis quibuſdam imbuta, E vel extrinſecus ipſis ad remoram admota, non præter rationem hoc in textu percipi videntur. Conducit enim ea prorſus decidere, non tamen citò prolabi, quemadmodum neque laqueos; ſed quum partis ſuppuratione peracta, caro producta fuerit, & circa venas ſanguinem fundentes increverit. Atque eodem modo cruſtas à cauteriis aut medicamentis inurentibus inductas citò cadere non oportet; ſed multis pòſt admotis medicamentis, quæ partim liquida, putreſcentibus partibus, effunduntur; F partim arida, quæ lienoſis, aut hydropicis impoſita magnoperè proſunt, quum citò non prolabuntur. Quæ cæteris quoque partibus & affectibus imponuntur medicamenta ex eorum genere quæ glutinoſa echecolla nominantur, ſi diu immorentur, admodum juvant. Etenim ad fracturas, & armorum luxationes, quæ multoties oboriuntur, præterea podagricos, iſchiadicos, nephriticos, & omnes arthriticos *cruciatus*, cephalæas quoque, & cæteros non paucos *affectus* medicamenta contuliſſe experti ſumus, niſi celeriùs deciderint. Ex his autem ipſis quæcunque glutinantia vocantur, quòd ſolutu difficilè agglutinata ſint, & corpori adhæreſcant,

deligationem deſiderant. Quædam verò niſi faſciis contineantur, decidunt; de quibus ipſi nunc eſt oratio. Dicit itaque, *ſed hæc ita ut neque premant, neque procidant*; ac ſi quoque ita pronunciaverit. Quæcunque verò medicamenta citò procidere non confert, hæc ita vincienda ſunt, ut à deligatione pars affecta non oneretur; ſed firmè contineatur, quod peræque valet ac non decidere. Quod igitur ad ea ſpectat *Medicamenta*, quæ foris admoventur, id ſatis explanavit oratio. De partibus autem corporis deinceps perſpiciamus, num etſi his verum eſt, *quæcunque omnino prolapſura ſunt celeriter prolabi non oporteat.* Nonnulli ſiquidem hanc orationem falſam exiſtimant putreſcentibus partibus decepti, quas celeriter excidere convenit. Id autem ſanè quod pronunciatur, per ſe verum eſt, non tamen illi repugnat. Differt enim multopere quod prolapſurum eſt, ab eo quod excidere oportet. Sæpe namque oſſium ſchidia & ſquamulæ tempore decidunt. Atque præſtat ipſa à natura impulſa paulatim *dato* tempore, quàm medicamentis excitata, aut diſſoluta inſtrumentis, excidere. Nam quæcunque violentiâ confertim divelluntur, fiſtuloſas cavitates efficiunt. Quæcunque verò aut callo quodam, aut carne ſubereſcente prolapſura prolapſionem deſiderant, quamprimum plena conſpiciuntur, & cicatrice celeriter obducuntur, ipſis admoto exiccante & adſtringente medicamento. At nervoſa quædam & membranoſa corpora ſæpius excidunt; citra quidem periculum majori tempore ſuppurantia; vehementioribus verò medicamentis, ſive acribus coacta, aut inſtrumento aliquo, aut noſtris digitis avulſa reliquarum partium condolentias, & inflammationes, febres, deliria, & convulſiones invehunt. Jam verò ad reliquum, tertiumque devenimus genus eorum quæ prolabi diximus, quæ ſunt, ut nonnullis placuit, faſciæ. Has igitur quum laxæ & prolapſuræ ſunt, omnino decidere proferunt, quas longiori tempore prolapſionem habere magis conducit. Verùm hoc falſum eſt: Præſtat enim malè involutas affectis partibus *faſcias* non tempore, ſed quamceleriter excidere. Neque verò ipſæ quoad exciderint expectandæ ſunt; ſed ipſi quamprimùm ſolutâ deligatione, rurſum *alia* deligatio conſtruenda eſt. Unde eorum qui ſic explicaverint, nonnulli ſatiùs eſſe concedunt laxatas faſcias celeriter excidere. Quod autem ita pronunciatur, mutilum eſt, niſi ad rem eandem *referatur*, & quiddam aliud ſimul intelligatur, ut univerſa oratio ſit hujuſmodi. *Prolapſura quum diutiùs ſubjacent, deteriora ſunt celeriter prolabentibus.* Hoc autem conceſſo, *excidere*, de aliis *faſciis* enunciari non creditur. Quis enim in ſponte prolapſuris tanto tempore expectat quum celeriter ſolvere & concinnè devincire queat? Alii verò in contrariam ſententiam abducti, veram quidem orationem protulerunt, ſed violenter dictionem explicarunt. Quomodo nanque violentum non eſt ſic accipere? *At prolapſura deteriora quidem ſunt non prolabentibus.* Præſtiterit autem ipſis celeriter excidere: quò priore orationis parte in unam ſententiam coërcita: *prolapſura deteriora ſunt.* Rurſus autem ab altero principio orſi legamus: *quum celeriter prolabuntur*, quod eſt, *citò excidunt.* Si verò

A ἐνδέσμιας ἐπιδέσεως χρήζει. ἵνα δέ, εἰ μὴ χρήζοιτο πρὸς τὴν ἐπιδέσμων, ἀποπίπτοι, περὶ ὧν νῦν ὁ λόγος ἐστὶν αὐτῷ. Φησὶν οὖν, τὰ δέ, ὡς μήτε πιέζειν, μήτε ἀποπίπτειν, ὡς εἰ καὶ οὕτως εἰρήκει· ὅσα δὲ μὴ συμφέρει φάρμακα ταχέως ἀποπίπτειν, ταῦτα ἐπιδεῖν οὕτως, ὡς πιέζεσθαι μὲν ὑπὸ τῆς ἐπιδέσεως τὸ πεπονθὸς μόριον, ἀσφαλῶς δὲ κρατεῖσθαι, τὸ μὴ ἀποπίπτειν, ἴσον δυνάμενον. Τὸ μὲν οὖν τῶν ἔξωθεν ἐπιτιθεμένων, αὐτάρκως ὁ λόγος ἐξήγηται. περὶ δὲ τῶν μορίων τοῦ σώματος ἐφεξῆς ἴδωμεν, εἰ κἀπὶ τούτοις ἀληθές ἐστιν, ὅσα μέλλει πάντως ἀποπίπτειν, ταῦτα χρὴ μήτε ταχέως ἀποπίπτειν. B ἔνιοι γὰρ οἴονται ψευδῆ τὸν λόγον τοῦτον, ὑπὸ τῶν σηπομένων ἐξαπατώμενοι μορίων, ἃ διὰ ταχέων ἐκκόπτεσθαι προσήκει. τοῦτο μὲν ἀληθές ἐστιν, αὐτὸ καθ' ἑαυτὸ λεγόμενον, οὐ μὴν ἐκείνῳ γε μάχεται. διαφέρει γὰρ πάμπολυ τοῦ μέλλειν, τὸ δεῖσθαι τοῦ ἐκκοφθῆναι αὐτό. πολλάκις γὰρ ἀποφάδες ὀστῶν, καὶ λεπίδες ἀποπίπτουσιν ἐν τῷ χρόνῳ, καὶ βέλτιον αὐτοῖς ἐστιν ὑπὸ τῆς φύσεως ὠθουμένοις κατὰ βραχὺ τὴν ἔκπτωσιν ἴσχειν ἐν χρόνῳ, οὐ διὰ φαρμάκων ἐρεθισθεῖσιν, ἢ δι' ὀργάνων ἐκλυθεῖσιν. C ὅσα γὰρ ὑπὸ βίας ἀθρόως ἀποσπᾶται, συριγγώδεις ἐργάζεται κοιλότητας. ὅσα δὲ ὑπὸ τύλης ἤτοι πωρώδους τινὸς, ἢ σαρκὸς, ἐκπεσόντων, τῆς ἐκπτώσεως δεόμενα, εὐθέως φαίνεται πλήρη, καὶ διὰ ταχέων ἐπουλοῦται, προσαχθέντος αὐτοῖς, μετρίως ξηραίνοντος καὶ στύφοντος φαρμάκου. καὶ νευρώδη δέ τινα, καὶ ὑμενώδη σώματα, πολλάκις ἐκπίπτει, διασαπέντα μὲν ἀκινδύνως ἐν χρόνῳ πλείονι κατὰ βραχύ, βιασθέντα δὲ ὑπὸ φαρμάκων βιαίων, ἤτοι δριμέων, ἢ δι' ὀργάνου τινὸς, ἢ διὰ τῶν ἡμετέρων δακτύλων ἀποσπασθέντα, συμπαθείας ἐπάγεται τῶν ὑπολειπομένων μορίων, καὶ φλεγμονὰς, καὶ πυρετοὺς, καὶ παραφροσύνας, καὶ σπασμούς. D ἐπὶ δὲ λοιπὸν μὲν οὖν ἤδη καὶ τρίτον ἀφικόμεθα γένος τῶν λεγομένων ἀποπίπτειν, ὅπερ ἐστὶν, ὡς ἐνόμισάν τινες, οἱ ἐπίδεσμοι. τούτους οὖν φασιν ὅταν ὦσι χαλαροὶ, καὶ μέλλωσι πάντως ἀποπίπτειν, ἄμεινον ἐν πλείονι χρόνῳ τὴν ἀπόπτωσιν ἴσχειν, ἀλλ' ἔστι τοῦτο ψευδές. ἄμεινον οὐ κατὰ χρόνον ἀποπίπτειν κακῶς περιβεβλημένα τοῖς πεπονθόσι μορίοις, ἀλλ' ὅτι τάχιστα. μᾶλλον δὲ, οὐδὲ ἀναμένειν ἀποπεσεῖν αὐτὰ προσήκει, ἀλλ' αὐτὸν ἐν τάχει λύσαντα τὴν ἐπίδεσιν αὖθις ἐπιδῆσαι συμμέτρως, ὅθεν ἔνιοι τῶν οὕτως ἐξηγησαμένων, E ὁμολογοῦσι μὲν ἄμεινον ταχέως ἀποπεσεῖν τοὺς χαλαροὺς ἐπιδέσμους. ἐλλιπὲς δὲ καὶ οὕτως ἐστὶ τὸ λεγόμενον, εἰ μὴ πρὸς αὐτῷ, καὶ ἄλλο τι συνυπακούσειεν, ὥστε γενέσθαι τὴν ὅλην ῥῆσιν τοιάνδε. τὰ μέλλοντα ἀποπίπτειν, κακίω τῶν ταχέως ἀποπιπτόντων, τὰ χρόνῳ πλείονι συγκείμενα. συγχωρηθέντος δὲ καὶ τούτου, τὸ ἀποπίπτειν οὐ πιθανὸν ἐπὶ τῶν ἄλλων ἐπιδέσμων εἰρῆσθαι. Τίς γὰρ ἀναμένει χρόνον τοσοῦτον ἐν μέλλουσιν ἀποπίπτειν αὐτομάτοις, δυνάμενος ἐν τάχει λῦσαι καὶ ἐπιδῆσαι καλῶς; ἕτεροι δὲ, ἐπὶ τοὐναντίον ἐκτραπέντες, F ἀληθῆ μὲν εἶπον λόγον, ἐξηγήσαντο δὲ βιαίως τὴν λέξιν. πῶς γὰρ οὐδὲ βίαιόν ἐστιν οὕτως ἀκοῦσαι; Τὰ δὲ μέλλοντα ἀποπίπτειν κακίω μέν ἐστι τῶν μὴ ἀποπιπτόντων. ἄμεινον δ' αὐτοῖς ταχέως ἀποπεσεῖν, ἵνα περιγράψαντες ἐν μιᾷ διανοίᾳ τὸ πρότερον μέρος τῆς ῥήσεως ἄχρι τοῦ, τὰ μέλλοντα ἀποπίπτειν κακίω. πάλιν δὲ ἀφ' ἑτέρας ἀρχῆς ἀναγνῶμεν, τὸ, διὰ ταχέων ἀποπεσόντων, ὅπερ ἐστὶ, ταχέως ἀποπεσέτω. βιαίως δέ,

Τὰ τῆς ἐπιδέσιος καὶ ὑποδέσιος, καὶ τῆς ἀμφοτέρης ἔργα, καὶ αἱ δυνάμεις, καὶ ἀποτελέσματα, ἃ καὶ τίνα ἀποδεσμίδες ὦσι. B

Deligationis & ſubligationis & utriuſque opera, facultates, & effectus, & quæ ſint hypodeſmides.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ'.

ὯΝ δὲ ἔχεται ἐπίδεσις, ἢ ὑπόδεσις, ἢ ἀμφότερα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΡοσϋπακοῦσαι δεῖ, ταῦτα δέ ἐστιν, εἶτα ἑξῆς ἀναγινώσκειν, ὑπόδεσις μὲν αἰτίη ἀφεστεῶτα προσστεῖλαι, καὶ τὰ ἄλλα τὰ τούτων ἐφεξῆς. κέχρηται δὲ τῷ, ἔχεται, ῥήματι, σημαίνων δι᾽ αὐτοῦ τὸ, οἷον, ἐφίεται καὶ ἀντιποιεῖται, καὶ στοχάζεται. ἅπερ αὖ ἅπαντα δυνάμει ταὐτὸν δηλοῖ, τὸ, τίνες αἱ δυνάμεις εἰσὶ τῆς ἐπιδέσιος, καὶ τίνα τὰ ἔργα. λέγω δὲ ἔργα νῦν, οὐ τὰς ἐνεργείας, ἀλλὰ τὰ ἀποτελέσματα. καθάπερ οἰκοδόμου μὲν ἔργον ἡ οἰκία, τέκτονος δὲ σκιμπόδιον, ὑφάντου δὲ ἱμάτιον. ἐπὶ δὲ τῆς ἐπιδέσεως καὶ μάλιστα τῆς καταγματικῆς, οἱ μὲν πρὸ τῶν σπληνῶν ἐπίδεσμοι περιλαμβανόμενοι δύο, ἕτεροι δὲ μετὰ τοὺς σπλῆνας. ἴδιον οὖν ὄνομα κατὰ τῶν προτέρων δυοῖν Ἱπποκράτης ἔθετο, τὰς ὑποδεσμίδας, αὐτήν τε τὴν ὑπ᾽ αὐτῶν γιγνομένην ἐπίδεσιν, ὑπόδεσιν ἐκάλεσεν. ἐφεξῆς ἀκούσωμεν αὐτοῦ λέγοντος, ὅσα δύναται ποιεῖν, ἤτοι ἰδίως ὑπόδεσις ὀνομαζομένη, καὶ κοινῶς ἐπίδεσις. ἔδει μὲν δὴ κατὰ τὴν προτέραν ῥῆσιν, εἰρῆσθαι, τίνων ἕνεκεν, ἡ ἐπίδεσις ὑπὸ τῶν ἰατρῶν γίγνεται, καθάπερ ἐν ἀρχῇ διῄρηται. τὰ μὲν αὐτῆς ἰᾶσθαι λέγων, τὰ δὲ τοῖς ἰωμένοις ὑπηρετεῖν. καὶ ταῦτα πῶς γιγνομένη, τῶν εἰρημένων ἕκαστον ἰᾶται· πρὸς γὰρ τὸν σκοπὸν τῆς ἰάσεως ἀποβλέποντες, ἐξευρήσομεν τὴν προσήκουσαν ἐπίδεσιν· αὐτὸν δὲ τὸν σκοπόν, ἐνδείξεται τὸ θεραπευόμενον πάθος. οὐ μὴν ὁ Ἱπποκράτης οὕτως ἔγραψεν, ἀλλὰ περὶ τῆς ἐπιδέσεως, ὁποίαν χρὴ γίνεσθαι, διελθὼν ἄχρι νῦν, ἐπί τε τὰ ἔργα καὶ τὴν δύναμιν αὐτῆς ἧκεν.

HIPPOCRATIS TEXTUS XXIV.

QVæ *ſpectat deligatio*, *aut ſubligatio*, *aut utraque*, hæc ſunt.

GALENI COMMENTARIUS.

HÆc ſunt, ſubaudire decet, poſtea deinceps legere, Subligatio quidem cauſa eſt, quâ quæ abſceſſerunt, adducantur, & quæ cætera ſequuntur; Uſus autem eſt verbo ἔχεται *ſpectat*, quo ſignificat, quaſi appetit, occupat, intendit. Quæ rurſus omnia idem facultate declarant, quæ nimirum ſint deligationis vires, & quæ opera. Voco autem nunc opera, non operas, ſed effectus; quemadmodum domus ædificatoris opus, fabri lectus, textoris veſtimentum. Itaque in deligatione ac præſertim catagmatica (*ad fracturas*) ante ſplenia faſciæ duæ obvolvuntur, aliæ vero poſt *injecta* ſplenia. Proprium quidem nomen primis duabus impoſuit Hippocrates, quas hypodeſmidas *ſubfaſciolas*, ipſam vero quæ ſub ipſis ſtruitur deligationem vocitavit. Audiamus deinceps ipſum dicentem quæ præſtare queat ſive propriè ſubligatio, ſive communiter deligatio nominata. Decebat profectò priore textu explicare quas ob res à Medicis deligatio ſtruatur, quomodo per initia partitus eſt, quum alias quidem mederi aſſerat, alias vero medentibus inſervire. Tum has ob cauſas qua via conſtruenda deligatio prædictorum unicuique medebitur. Ad ſanationis ſiquidem ſcopum reſpicientes, decentem deligationem inveniemus: Ipſum autem ſcopum curandus affectus indicabit; Non tamen ita ſcripſit Hippocrates, verùm quum de deligatione qualem conſtruere oporteat huc uſque diſſeruit, ad ipſius opera & facultates acceſſit.

A

Subligationis effectus. Quid abſceſſa, quid expaſſa, quid unitas, & contactus. Quibus affectibus utraque conveniat, & opituletur: Qui ſint deligationis ſcopi. Oſſis fracti curatio. Medicos per vitioſas deligationes contraria ſcopis efficere.

Τὰ τῆς ὑποδέσεως ἀποτελέσματα. τί ἀφεστῶτα. τί ἐκπεπταμένα. τί ἕνωσις, καὶ ψαῦσις. τίσι τοῖς παθήμασιν ἀμφότερα διαφέρει καὶ ὠφελεῖ. τίνες εἰσὶ τῆς ἐπιδέσεως σκοποί. ἡ τοῦ ὀστοῦ κατεαγότος ἴασις. τοὺς ἰατροὺς διὰ τῶν μοχθηρῶν ἐπιδέσεων τὰ τοῖς σκοποῖς ἐναντία ἐργάζεσθαι.

HIPPOCRATIS TEXTUS XXV.

SVbligatio quidem cauſa eſt ut aut quæ abſceſſerunt adducantur, aut expaſſa coarctentur, aut contracta diducantur, aut perverſa dirigantur, aut contraria.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε΄.

B ΥΠόδεσις μὲν αἰτίη, ὥστε ἢ ἀφεστεῶτα προσστεῖλαι, ἢ ἐκπεπταμένα συστεῖλαι, ἢ ξυνεσταλμένα διαστεῖλαι, ἢ διεστραμμένα διορθῶσαι, ἢ τἀναντία.

GALENI COMMENTARIUS.

QUæ abſceſſerunt omnia hic vocat, quæ corpore ſecundum naturam ſe habente quibuſdam aliis partibus uniebantur, aut ipſas contingebant. Eo verò qui præter naturam eſt habitu, non amplius unitatem & contactum tuetur. Unitas quidem omnibus fracturis, ulceribus, fiſſuris, & contuſionibus contraria opitulatur: contactus vero abſceſſibus, ſinibus inflationibus, & tumoribus. Expaſſa verò appellitat, quæ plurimam inter ſe diſtantiam ſortiuntur. Id autem duobus modis contingit, aut ipſis totis, aut labris ſolis *deductis*. Porro curationis ſcopi ſunt abſceſſa adducere, *expaſſa* coarctare, perverſa dirigere, quod pronunciatis omnibus commune eſt; quum inſtaurare ac dirigere Græci dicant quaſcunque partes quocunque modo ejectas ad moderatum ſtatum reducimus. Hi ſanè ſunt deligationis ſcopi; Ipſorum autem ſcoporum vis non hæc ſola, verumetiam interdum contraria efficit. Illa quidem, quum inſtaurat; contraria verò, quum delinquit. Jure igitur in orationis extremo protulit, *aut contraria*. Propoſitum erat enim ipſi quod efficere valeat ſubligatio, pronunciare, non de ſola optima diſſerere. In principio ſanè hujus orationis; *quæ ſpectat deligatio, aut ſubligatio, aut utraque*, de omni deligatione, non de optima ſolùm orationem habuit. Si quis tamen de optima ſola deligatione hic orationem eſſe velit, in ejus extremo additio hanc ſententiam conſequetur. Quemadmodum in habitu præter naturam, alia abſceſſa, alia expaſſa, alia perverſa ſunt: Eodem modo alii affectus contrarii oboriuntur; Nam ſano exiſtente corpore commoderate ſe habente, omnis pravus affectus in commoderationis jactura procreatur. Ergo ſi quæcunque naturalem ſtructuram ſortita cum quibuſdam cojerint; aut quædam contigerint, quum vel unitatem, vel contactum perdiderint, ipſa ægrotare, & contra naturam ſe habere ſimiliter dixerimus. Quæ verò neque coaleſcebant, neque ſe contingebant, quò etiam in unum coeant & ſeſe contingant, eadem ægrotare concitaverint. Quare hæc directionis contraria ſunt. Contrarium verò ſcopis indicabitur. Verum quædam cum ratione pugnare videbuntur ceu perverſis oppoſita, quæ directa vocantur. Quapropter oportebit (quantum prædicta oratione colligitur) & hæc pervertere quod non amplius idoneæ deligationis, ſed alienæ opus exiſtit. Si quis memi-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΦεστῶτα πάντα καλεῖ νῦν, ὅσα κατὰ φύσιν μὲν ἔχοντος σώματος, ἡνωτό τισι μορίοις ἑτέροις, ἢ ἐπέψαυεν αὐτῶν. ἐν δὲ τῷ παρὰ φύσιν ἔχειν, οὐκέτι φυλάττει τὴν ἕνωσιν καὶ τὴν ψαῦσιν. ἕνωσις μὲν γὰρ ἅπασι τοῖς κατάγμασιν, ἕλκεσί τε καὶ ῥήγμασι, καὶ θλάσμασι διαφέρει. C ψαῦσις δὲ, ἐν ἀποστήμασι, καὶ κόλποις, ἐμφυσήμασί τε, καὶ οἰδήμασιν. ἐκπεπταμένα δὲ καλεῖ, τὰ πλείστην διάστασιν ἀπ' ἀλλήλων ἔχοντα. γίνεται δὲ αὐτὸ κατὰ διττὸν τρόπον, ἤτοι δι' ὅλων αὐτῶν, ἢ κατὰ χείλη μόνα. οἱ γε μὴν σκοποὶ τῆς ἰάσεως, τὰ μὲν ἀφεστῶτα προσστεῖλαι, τὰ δὲ ἐκπεπταμένα συστεῖλαι, τὰ δὲ διεστραμμένα, διορθῶσαι, κοινὸν ἁπάντων ἐστὶ τῶν εἰρημένων, ἐπανορθοῦσθαι, καὶ διορθοῦσθαι τῶν Ἑλλήνων λεγόντων, ὅσαπερ ἂν ἐκβεβλημένα καθ' ὃν δήποτε τρόπον εἰς τὸ μέτριον ἐπανάγομεν καθιστᾶσιν. οἱ μὲν δὴ σκοποὶ τῆς D ἐπιδέσεως, οὗτοί εἰσιν. ἡ δύναμις δὲ αὐτῶν, οὐ τούτων μόνων ἐστὶ ποιητικὴ τῶν σκοπῶν, ἀλλὰ καὶ τῶν ἐναντίων ἐνίοτε, κατορθουμένης μὲν τούτων, ἁμαρτανούσης δὲ τῶν ἐναντίων. εἰκότως οὖν ἐπὶ τελευτῇ τῆς ῥήσεως εἶπεν, ἢ τἀναντία. προὔκειτο γὰρ αὐτῷ, τί δύναται ποιεῖν ὑπόδεσις, εἰπεῖν, οὐ περὶ μόνης τῆς ἀγαθῆς διελθεῖν. ἐν ἀρχῇ γέ τοι τῆς ῥήσεως, ἐφ' ὧν δὲ ἔχεται ἡ ἐπίδεσις, ἢ ὑπόδεσις, ἢ ἀμφότερα, περὶ πάσης ἐπιδέσεως, οὐ περὶ τῆς ἀρίστης μόνον τὸν λόγον ποιούμενος. εἰ δὲ καὶ περὶ τῆς ἀγαθῆς μόνης ἐπιδέσεως, ἐνταῦθά τις αὐτὸν βούλοιτο εἶναι E τὸν λόγον, ἡ κατὰ τὴν τελευτὴν προσθήκη, τόνδε τὸν νοῦν ἕξει· ὡς ἐν τῷ παρὰ φύσιν ἔχειν, τὰ μέν ἐστιν ἀφεστῶτα, τὰ δὲ ἐκπεπταμένα, τὰ δὲ διεστραμμένα· κατὰ τὸν αὐτὸν τρόπον ἕτερα πάθη τούτοις ἐστὶν ἐναντία. τοῦ γὰρ ὑγιαίνοντος σώματος ἔχοντος συμμέτρως, ἅπαν πάθος ἐν τῷ διαφθείρεσθαι τὴν συμμετρίαν γίνεται. εἴπερ οὖν ὅσα τὴν κατὰ φύσιν ἔχοντα κατασκευὴν, ἡνωτό τισιν, ἢ ἔψαυσεν, ὅταν ἤτοι τὴν ἕνωσιν ἢ τὴν ψαῦσιν ἀπολέσῃ, πεπονθέναι τε καὶ παρὰ φύσιν ἔχειν αὐτὰ φαμὲν ὡσαύτως. F ὅσα δὲ μήθ' ἥνωτο, μήτ' ἔψαυσεν, ἵνα αὖ ἑνωθῇ τε καὶ ψαύσῃ νοσεῖν αὐτὰ ποιήσειεν. ἐναντία οὖν ταῦτα τῆς ἐπανορθώσεως. ἐπιλυτέον δὲ ἔοικε τοῖς σκοποῖς, ἀλλ' ὡς δόξῃ τινὰ μάχεσθαι τῷ λόγῳ τὰ τοῖς διεστραμμένοις ἀντικείμενα, καλούμενα δὲ εὐθέα. διόπερ ἀναγκαῖον, ὅσον ἐπὶ τῷ προειρημένῳ λόγῳ, καὶ ταῦτα διαστρέφειν, ὅπερ οὐκέτι τῆς ἀγαθῆς ἐπιδέσεως ἔργον, ἀλλὰ τῆς ἡμαρ-

πλώσας, εἶτα διατείνας ἰσχυρῶς, πρῶτον μὲν κατέαξεν, ὡς ἐξ ἀρχῆς ἦν κατεαγός· ἑξῆς δὲ, ἐν τῷ κατὰ φύσιν σχήματι διέπλασε, καὶ μετὰ ταῦτα ἐπέτρεψε τῇ φύσει πωρῶσαι τὸ καταγὸς ἐν τούτῳ τῷ σχήματι. ὥστε ἀληθές ἐστι τὸ, μὴ μόνον ἀγνοοῦντας τοὺς ἰατροὺς, διὰ τὴν μοχθηρὰν ἐπίδεσιν τἀναντία τῶν εἰρημένων ἀγαθῶν ἐργάζεσθαι περὶ τοὺς κάμνοντας, ἀλλὰ καὶ τοὺς ἀρίστους, ἐξεπίτηδες, ὅσα μὲν παρὰ φύσιν ἐνδεδίπλωται, πρὸς τοὐναντίον ἀπάγοντας ἐκτείνειν, ὅσα δὲ συμπέφυκε, διαλύειν τούτων τὴν σύμφυσιν. εἴδομεν οὖν ἐνίων τινὰ ἑλκώσει καὶ δακτύλους συμφυέντας, καὶ χείλη, καὶ βλέφαρα. σκοποὶ μὲν οὗτοι τῆς τῶν εἰρημένων παθῶν ἰάσεως. ἑκάστου δ' αὐτῶν τὴν οἰκείαν ἐπίδεσιν ἑξῆς διδάσκει, πρότερον εἰπὼν περὶ τῶν ὀθονίων ὁποῖα χρὴ παρασκευάζεσθαι διὰ τῆς ἐχομένης λέξεως.

vehementer extenſum primò quidem perfregit, ut ab initio fractum erat; poſtea verò in naturali figura conformavit; tum demum fractum os hac in figura calleſcere naturæ commiſit. Quare verum eſt non ſolùm imprudentes Medicos per vitioſas deligationes probis enarratis, contraria ægrotantibus efficere, verumetiam ſapientiſſimos conſulto; quæ præter naturam duplicatas in contrarium adducentes ipſi advertunt; quæ verò coaluerunt, eorum coalitum diſſolvunt. Vidimus enim nonnullorum exulceratione etiam digitos coaleſcere, & labra, & palpebras. Hi ſanè ſunt dictorum affectuum curationis ſcopi. Propriam autem horum ſingulorum deligationem ſeriè docet, atque in primis de faſciis quales parari oporteat præſenti oratione pronunciat.

Αἱ τῶν ἐπιδέσμων ποιότητες παραδίδονται, ὅτι μὲν ὀθόνια εἶναι δεῖ κοῦφα, λεπτὰ, μαλθακὰ, καθαρὰ, πλατέα, ἄνευ συῤῥαφῶν, ἄνευ ἐξεστιῶν, καὶ ὑγιέα, καὶ σύμμετρα, μὴ ξηρὰ, ἀλλ' ἔγχυμα.

Faſciarum qualitates traduntur. Quod faſcias eſſe oporteat leves, tenues, molles, mundas, latas, ſine ſuturis, ſine extantiis, validas, commoderatas, non aridas, ſed madidas.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ'.

Παρασκευάζειν δὲ ὀθόνια κοῦφα, λεπτὰ, μαλθακὰ, καθαρὰ, πλατέα, μὴ ἔχοντα συῤῥαφὰς, μηδ' ἐξεστίας, καὶ ὑγιέα, ὥστε τανύειν φέρειν, καὶ ὀλίγῳ κρέσσω, μὴ ξηρὰ, ἀλλ' ἔγχυμα χυμῷ ᾧ ἕκαστα σύμφορα.

HIPPOCRATIS TEXTUS XXVI.

Iam verò faſciæ parandæ ſunt, leves, tenues, molles, mundæ, latæ, nullas ſuturas, nullas extantias habentes, atque ita validæ ut extenſionem ferant, pauloque fortiores, non aridæ, ſed liquore madentes, quo quæque inebriari conſueverunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηκεν οὖν πρόσθεν ἤδη περὶ τῶν ὀθονίων ἐλλιπέστερον, ᾧ καὶ δῆλον ὡς οὐδὲν ἠκρίβωται τότε πρὸς ἔκδοσιν, ἀλλ' οὐδ' ὑπὸ υἱῶν. ὅτι μετὰ τὸν Ἱπποκράτους θάνατον ἐδοξάσθη οὐδεὶς, οὐδὲ κἂν βραχυλογίᾳ κατὰ σύγγραμμά τι περὶ τῶν αὐτῶν εἰπεῖν· ἀλλ' ἤ τι τὰ νῦν εἰρημένα περιεῖλεν αὖ, ἢ τὰ πρόσθεν. ἔμπροσθεν μὲν γὰρ οὕτως ἔγραψεν, ἐπιδέσματα καθαρὰ, κοῦφα, λεπτὰ, μαλθακά. ἔθηκε δὲ νῦν τότε πλατέα δεῖν ὑπάρχειν αὐτὰ, καὶ μὴ ἔχοντα συῤῥαφὰς μηδὲ ἐξεστίας, ὑγιέα τε, μὴ μόνον ἄχρι τοῦ ῥαγῆναι ταθέντα βιαιότερον, ἀλλὰ καὶ περαιτέρω, τουτέστιν εὔρωστα ἔχειν καὶ ἰσχυρὰ, χάριν τῆς ἀσφαλεστέρας κατασχέσεως. ἀλλὰ καὶ τὸ μήτε συῤῥαφὰς ἔχειν ἀνωμάλως περιπίπτοντα, μήτε τὰς καλουμένας ἐξεστίας, αἵτινες ἐν τοῖς ὑφαινομένοις συμβαίνουσιν, ἐνίοτε μὲν ἐξεπίτηδες, ἐνίοτε δὲ ἀκουσίως γίγνονται προμήκεις ἐξοχαὶ, ποτὲ μὲν αὐτῆς τῆς κρόκης, ἔστι δὲ ὅτε καὶ τῆς πορφύρας, ἀλλὰ καὶ κατὰ τὰς καλουμένας παρυφὰς ἐχούσαις, τοῦτο προσέχουσι διὰ παντὸς αἱ

GALENI COMMENTARIUS.

Iam verò de faſciis, minime integra pronunciavit, quo etiam patet tum *hunc librum* nequaquam ab Hippocrate, imò neque ab *ejus* filiis ad editionem accuratè digeſtum fuiſſe; quòd poſt Hippocratis obitum nemo, ne etiam brevi oratione aliquo in opere de iis differere viſus ſit. Verùm aut quo nunc, aut qua ante pronunciata ſunt amputavit. Etenim antea ita ſcripſit, *faſciæ mundæ, leves, tenues, molles.* Nunc & eodem tempore conſtituit ipſas latas eſſe oportere, nullas ſuturas, nullas extantias habentes; neque ſolùm huc uſque validas, ut violentiùs extenſæ rumpantur, verumetiam ampliùs, hoc eſt, ſolidæ & robuſtæ ſint ſecurioris comprehenſionis gratiâ. At verò imperat neque ſuturas inæqualiter procumbentes ſortiri, neque vocatas extantias iis quæ ordiuntur texturis accidunt, interdum de induſtria, interdum inconſultò oblongæ extant eminentiæ, modò ex ipſa trama, modò etiam ex purpura. Sed & in attextis veſtibus, quas παρυφὰς vocitant, conſultæ id ſemper elaborant

ſpectat quæ oſcitanter explicantur. Si quis enim prout ad anguſtias appulerit, meminerit improbare cum iis conferens quæ ulterius quàm deceat, latiores ſunt. Si verò ad commoderatas, quod à commoderato ad utraſque tum additione, tum detractione aberrat, id omne vitioſum eſt. At de tenuium, levium, mollium, & mundarum uſu, ſuperius dictum eſt. Quod pronunciat *non aridæ, ſed liquore madentes, quò quæque inebriari conſueverunt*, id quoque de faſciis pronunciatur. Nec ratio ſententiæ abdita eſt. Cenſet enim nunquam ipſas *aridas* ac duras ulla in deligatione promoveri, ſed madentes, humore inebriatas, quò ſinguli qui curantur affectus, connutriantur, hoc eſt, amicè foveantur. Etenim cerato liquido ſimplici, & picato, & vino nigro auſtero perfundi tum in opere de fracturis, tum de articulis ipſe imperavit. Aridæ verò *faſciæ*, præterquam quod eam quæ à perfuſione manat utilitatem non ſortiantur, partes etiamnum quibus injectæ ſunt, incendentes, earum calorem augent: proindeque ex proximis locis ad partem affectam humores attrahunt. Quod autem ad tumorum procreationem malum ſit maximum, id patet omnibus.

ἐστίν. εἰ μὲν γὰρ ὡς πρὸς τὰ στενὰ προσβάλλοιεν, μεμνήσθω τις αὐτὰ πρὸς τὰ περαιτέρω τι προσήκοντος πεπλατυσμένα παραβάλλων, ἐλέγχειν. εἰ δὲ πρὸς τὰ σύμμετρα, μοχθηρὸν ἁπλῶς ἐστὶ τὸ τοῦ συμμέτρου παραλλάττον ἐφ' ἑκάτερα, κατά τε πρόσθεσιν, καὶ ἀφαίρεσιν. περὶ δὲ τῶν λεπτῶν, καὶ κούφων καὶ μαλθακῶν, καὶ καθαρῶν τῆς χρείας, ἔμπροσθεν εἴρηται. τὸ δὲ μὴ ξηρά, ἀλλ' ἔγχυμα χυμῷ ᾧ ἕκαστα σύντροφα, λέλεκται μέντοι καὶ αὐτὸ περὶ B τῶν ὀθονίων. ὁ λογισμὸς δὲ τῆς συμβουλῆς, οὐκ ἄδηλος. ἀξιοῖ δὲ αὐτά, μηδέποτε παραλαμβάνεσθαι σκληρὰ κατὰ μηδεμίαν ἐπίδεσιν, ἀλλ' ἔγχυμα, δεδευμένα χυμῷ, ᾧ αἱ ἕκαστα τῶν θεραπευομένων παθῶν ᾖ σύντροφα, τουτέστιν οἰκεῖα. καὶ γὰρ κηρωτῇ ὑγρᾷ τῇ ἁπλῇ, καὶ τῇ πιττηρᾷ, καὶ οἴνῳ μέλανι αὐστηρῷ, κατά τε τὸ περὶ ἀγμῶν, καὶ τὸ περὶ ἄρθρων, αὐτὸς κελεύει διαβρέχειν. ξηρὰ δέ, πρὸς τὸ τὴν ἀπὸ τῆς ἐπιβροχῆς ὠφέλειαν οὐκ ἔχειν, ἔτι καὶ πυροῦντα τὰ μόρια, καθ' ἃ ἐπιβέβληνται, τὴν θερμασίαν ἐν αὐτοῖς αὐξάνουσι. διὰ τοῦτο, καὶ τὴν ἐκ τῶν C πλησιαζόντων χωρίων ὑγρότητα πρὸς τὸ πεπονθὸς ἐπισπῶνται. τοῦτο δὲ ὅτι μέγιστον κακόν ἐστιν εἰς τὴν τῶν ὄγκων γένεσιν, εὔδηλον παντί.

Quæ in partium inflammationibus, abſceſſibus, ſinibus, & ulceribus hic explicatis ac definitis, faſciæ, & unde, quâ, quò, & quando injiciendæ.

Αἵτινες ἐν ταῖς τῶν μορίων φλεγμοναῖς, καὶ τοῖς ἀποστήμασι, καὶ κόλποις, καὶ ἕλκεσι, τοῖς ἐνταῦθα ἐξηγηθεῖσι, καὶ διωρισμένοις, ἐπιδέσεις, καὶ ὅθεν, καὶ ᾗ, καὶ ποῖ, καὶ πότε ἐπιβάλλονται.

HIPPOCRATIS TEXTUS XXVII.

Quæ certè ita abſceſſerunt, ut ſublimia ſedem attingant, non tamen comprimant. Ex ſana verò parte exordiendum, & ad ulcus finiendum, ut quod ſubeſt, effundatur, aliud autem non colligatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ.

D Ἀφεστεῶτα μὲν, ὥστε τὰ μετέωρα τῆς ἕδρης ψαύειν μὲν, πιέζειν δὲ μή. ἄρχεσθαι δὲ ἐκ τοῦ ὑγιέος, τελευτᾶν δὲ πρὸς τὸ ἕλκος, ὡς τὸ μὲν ὑπεὸν ἐξαθέλγηται, ἕτερον δὲ μὴ ἐπισυλλέγηται.

GALENI COMMENTARIUS.

Sive fracti oſſis partes præter naturam, ſivè unitate dirupta, aut ingenti illato vulnere, ab invicem ſeceſſerint, ipſæ quoad ſeſe contingant, in unum ducendæ ſunt, neque tamen ſe invicem premant. Etenim partes ita conſtitutæ tum dolore, tum inflammatione obſidebuntur. Ipſi verò nunc de iis qui ventriculi vocantur, potiſſimum eſt oratio, tanquam exempli gratia. Id enim in ſcriptis ſequentibus dilucidè declaravit. At huc uſque *ut ſublimia ſedem attingant, non autem premant*, communis oratio eſt eorum, & ad cætera omnia refertur; quorum contactus, aut unitas ſoluta ſit. Quæ verò hunc *textum*, ſubſequuntur naturâ, *ex ſana verò parte exordiendum, & ad ulcus finiendum*; hæc de tumoribus apertiſſimè pronunciata ſunt. Ab his enim ſaniem evacuari oportet, nullum verò ad partem humorem conglutinationis tempore affluere. Hoc autem continget nobis faciendum ſinu ad expreſſionem uſque comprimentibus; Et paulatim deligationem ad uſque ſinus os ſolventibus; ipſumque apertum in declivi figura ſervantibus. Quum itaque mundos ſinus fecerimus, eos

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Ἐάν τε ὀστοῦ κατεαγότος τὰ μόρια διέστηκε παρὰ φύσιν ἀπ' ἀλλήλων, ἐάν τε συμφύσεως ἀπορραγείσης, ἢ τραύματος μεγάλου, γενομένου συνάγειν αὐτὰ δεῖ μέχρι τοῦ ψαύειν μὲν οὐ μὴν, καὶ θλίβειν ἄλληλα. καὶ γὰρ ὀδυνήσεται, καὶ φλεγμανεῖ τὰ οὕτως ἐπιτεθέντα μόρια. μάλιστα δὲ ἐπὶ τῶν καλουμένων κοιλιῶν ὁ λόγος αὐτῷ γίγνεται νῦν, ὡς ἐπὶ παραδείγματος. ἐδήλωσε γὰρ τοῦτο σαφῶς αὐτός, ἐν τοῖς ἐφεξῆς γεγραμμένοις. μέχρι μὲν οὖν τούτου, ὥστε τὰ μετέωρα τῆς ἕδρας ψαύειν μὲν, πιέζειν δὲ μή, κοινὸς ὁ λόγος αὐτῷ, καὶ πρὸς τἄλλα πάντα ἐστίν, ὅσα τῆς φυσικῆς ψαύσεως, ἢ συμφύσεως ἐλύθη. τὰ δὲ ἐφεξῆς τάδε, κατὰ φύσιν, F ἄρχεσθαι ἐκ τοῦ ὑγιέος, τελευτᾶν πρὸς τὸ ἕλκος, ἐπὶ τῶν ὄγκων εἴρηται προδηλότατα. τούτοις γὰρ χρὴ τοὺς μὲν ἰχῶρας ἐκκενοῦσθαι, μηδένα δὲ ἐπιρρεῖν τῷ μορίῳ χυμόν, ἐν τῷ τῆς κολλήσεως χρόνῳ. γενήσεται δὲ τοῦτο πιεζόντων μὲν ἡμῶν τὸν πυθμένα τοῦ κόλπου, μέχρι τοῦ θλίβειν, ἐκλυόντων δὲ κατὰ βραχὺ τὴν ἐπίδεσιν, ἄχρι τοῦ στόματος αὐτοῦ. τοῦτο δὲ ἀνεῳγμένον φυλαττόντων ἐν τῷ σχήματι καταρρόπῳ. κόλπους μὲν οὖν ὅταν καθαροὺς ποιήσωμεν, καὶ

ἐπὶ παραδείγματος, ἐφ' ὧν, τὴν ἐπιδέσεων τὴν συμμετρίαν ἐδήλωσε σαφῶς, εἰπὼν τὰ μετέωρα, τουτέστι τὰ ἀφεστῶτα ψαύειν μὲν τῆς ἕδρας, μὴ πιέζειν δὲ, καλέσας ἕδραν δηλονότι, τὸ ὑποβεβλημένον, τῷ ἀφεστῶτι σώματι. καθόλου δὲ συναφθῆναί τι καὶ ἑδρασθῆναι τὸ προσαγόμενον αὐτῷ. πρὶν μὲν γὰρ τοῦ ψαῦσαι, τὴν ἀρχὴν οὐκ ἂν ἑνωθείη τὸ μέρος ἕτερον ἑτέρῳ, ψαυσάντων δὲ ἀθλίπτως, ἡ ἕνωσις γίνεται. πρόδηλον δὲ ὅτι τοὺς δεομένους κολλήσεως κόλπους, οὐχ ἁπλῶς δεῖ τις ἐπιδεῖν οὕτως συμβουλεύει. χρὴ γὰρ ἀφλεγμάντους πρότερον αὐτοὺς ποιῆσαι, καὶ μετὰ ταῦτα καθαρούς, ἢ ξηρούς. εἰ δὲ καὶ σάρκες ἐκτετηκυῖαι τύχοιεν, ἀναθρέψαι πρότερον ἐκείνας. οὕτως οὖν οὐδὲ τὰ ῥήγματα, καὶ θλάσματα τοῦ γένους τῶν ἑλκῶν τε ἅμα καὶ κόλπων ὄντα, διὰ τῆς εἰρημένης ἐπιδέσεως εὐθὺς ἅμα τῷ γενέσθαι θεραπεύομεν, ἀλλ' ὅταν ἀφλέγμαντα καὶ ξηρὰ γένηται πρότερον, ἀμφοτέρων αὐτῶν ἔχειν φημὶ συνεχείας λύσιν ἐν σαρκώδει μορίῳ γεγενημένην, μετὰ τοῦ παρεγχεῖσθαί τι τοῦ αἵματος εἰς τὴν μεταξὺ χώραν, ὅπερ ἐστὶ κοινὸν ἀποστήματός τε καὶ κόλπου. ἄχρι μὲν οὖν ἀδιαστόματον ᾖ πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν τὸ οὕτω διακείμενον μόριον, ἀφίστασθαι μὲν γὰρ αὐτὸ λέγεται, τὸ δὲ κατ' αὐτὸ πάθος, ἀπόστημα καλεῖται. στομωθέντος δὲ αὐτοῦ κατά τι μέρος, ὡς ἐκκριθῆναι τὸ περιεχόμενον ὑγρὸν, οὐκέτι ἀποστήματος πάθος, ἀλλ' ἤδη κόλπος ὀνομάζεται. τὰ τοιαῦτα οὖν ἅπαντα πάθη, δεῖται μὲν ἀεὶ τῆς ἐπιδέσεως, οὐ μὴν ὁμοίας γε ἀεί. τῆς μὲν γὰρ φλεγμονῆς ἐν αὐτοῖς ὑπαρχούσης, οὐδ' ἐπιδέσεώς ἐστι χρεία κατὰ πρῶτον λόγον, ὥσπερ οὐδὲ τῶν ἐμπυημάτων. κόλπου δὲ ἤδη γεγονημένου μὲν αὐτοῦ τε σεσαρκωμένου, μετριωτάτης ἐπιδέσεώς ἐστι χρεία, οὐ ψαυούσης τῆς ἕδρας τὰ ἀφεστῶτα. χρὴ γὰρ ἐνιέναι διὰ τοῦ στομίου φάρμακα καθαίροντα, καὶ ἀναστομοῦντα. κολλήσεως δὲ χρήζοντος, ὃ νῦν εἴρηκεν Ἱπποκράτης, ἐπίδεσις οἰκεία. ταῦτα ἀναγκαίως ἔγραψα, μή τις παρακούσας οἰηθῇ πάντας κόλπους οὕτως ἐπιδεῖν ἀξιοῦν τὸν Ἱπποκράτην. δέδεικται γὰρ ὡς οὐ πάντας, ἀλλ' ὅσοι μηδὲν ἔχουσιν ἅμα αὐτοῖς πάθημα, μήτ' οὖν φλεγμονὴν, μήτε σαρκὸς ἔκσηψιν, μήτε ῥύπον, μήτε χυμὸν ἐν αὐτοῖς συνεστῶτα, μονοειδεῖς αὐτοὶ καθ' ἑαυτοὺς ἐπιδέχονται μόνην τὴν ἑαυτῶν θεραπείαν. εἴρηται δέ μοι περὶ τῶν τοιούτων διωρισμένα ἱκανῶς ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν.

B in quibus deligationum commoderationem perſpicuè demonſtravit, quum effatur: *Sublimia*, hoc eſt, *abſceſſa ſedem quidem attingere, non tamen comprimere oportet*, ſedem videlicet id profeſſus quod abſceſſo corpori ſubjectum eſt. Denique quod ipſi admovetur, id tum adhærere, tum inſidere debet. Enimvero niſi priùs per initia partem pars altera contigerit, nequaquam unitatem inierit. Quæ ſi quidem non preſsè ſeſe contigerint, eorum redditur unitas. Conſtat autem neminem ſimpliciter conſulere ſinûs conglutinationem poſtulantes, ita devinciri.
C Eos enim priùs oportet ab inflammatione immunes, deinde mundos, aut ſiccos reddere: tum demum ſi quas carnes tabuiſſe contigerit, illas priùs reficere. Ita ſanè neque fiſſa, neque contuſa, quæ generis ſunt ulcerum, ſimulque ſinuum, proditâ deligatione ſtatim ab ortu curantur, ſed cùm inflammatione vacant & ſicca priùs exiſtunt. Utriſque ipſis ineſſe dico continui ſolutionem quæ carnoſæ parti oboritur, cum quadam ſanguinis in mediam ejus regionem affuſione, quod abſceſſui, tum ſinui eſt commune. Atenim quæ pars ita afficitur, quo-
D uſque in externa ſuperficie aperta ſit, abſcedere ipſa dicitur, tumque per ſe affectus, abſceſſus vocatur. Verùm ipſo parte aliquâ ſic aperto, ut contentus humor excernatur, affectus non ampliùs abſceſſus, ſed jam ſinus nominatur. Itaque hujuſmodi omnes affectus perpetuò quidem deligationes petunt, non tamen perpetuò ſimiles. Quandoquidem ipſis ſuperveniente inflammatione, neque deligatione opus eſt ex prima ratione, quemadmodum neque quum adſunt ſuppurationes. Quum autem ſinus ipſe jam factus eſt, increvitque caro, commode-
E ratâ admodum deligatione opus eſt, ſede abſceſsâ non contingente. Nam per oſculum medicamenta purgantia & aperientia immittenda ſunt. Quum denique conglutinatione opus eſt, quod nunc Hippocrates denunciat, propria ſtruitur deligatio. Hæc autem neceſſariò ſcripſit, ne quis ſubauſcultans arbitraretur velle Hippocratem ſinus omnes ita deligare. Demonſtratum enim eſt, non omnes, ſed qui nullum unà cum ipſis affectum, neque inflammationem, neque carnis putrefactionem, neque ſordem, neque humorem in ipſis concretum
F ſortiuntur; *quoniam* uniformes ipſi per ſe ſolam ſuiipſorum curationem admittant. De hujuſmodi rebus definitis abundè in libris methodi medendi dictum eſt.

De rectis

De rectis, & obliquis figuris, deligationibus, & ſinibus. Quid ſinus rectus, quid obliquus. Quatuor refert ſinus quos figuræ commutatione ſanavit. Cuique ſinui propriam tum figuram, tum faſciationem inveniendam eſſe. Deligationis conſtrictionem, aut deceſſionem vitandam. Quid ſuſpenſionem, quid poſituram vocet Galenus.

TEXTUS HIPPOCRATIS XXVIII.

B *Recta quidem in rectum deliganda ſunt; obliqua verò, obliquè, in figura doloris experte, in qua neque conſtrictio, neque deceſſio futura ſit. Ex qua quum ad ſuſpenſionem, aut poſituram ſit tranſitus, non tranſmutent; ſed ſimilis hæc ſortiantur muſculos, venas, nervos, oſſa, belle compoſita, belle contenta, belleque ſuſpenſa.*

GALENI COMMENTARIUS.

C Non affectas corporis partes per recta & obliqua nunc pronunciat; ſed abſceſſus, de quibus adducto ex ipſis unius ſinûs exemplo doctrinam efficit. Is enim aut omnino rectus eſt, aut obliquus, ad latitudinem partis in qua procreatur, relatus. At ex me rectum percipe declivem, obliquum verò qui talis non extat. Rectum autem ſinum appellavit, cujus oſculum inferioribus partibus, fundum verò ſuperioribus ineſt. Obliquum vocitat cujus os ad latera deflectitur. Oboriuntur etiam omnino ſinus contrario ſitu poſiti, qui fundum infernè, oſculum ſupernè ſortiuntur. Nos verò ipſi, ipſos jam dividimus ſecundum fundum effluvii ſaniei D cauſa. Quod ſi oſculum in inferioribus corporis partibus non planè prævenerit; ſed in obliquis extiterit, idonea partis figura invenienda eſt, commodusq; deligationis modus, quo ejus ſanies excernatur. Tãta enim eſt in talibus figuræ facultas, ut nos multoties quod oſculũ ſupernè eſſe videbatur, figurâ ſubmutatâ, infernè *procedere* fecerimus. Itaque femur cui ſinus inerat, oſculum quidem inguini vicinum, fundum verò propè genu habens ſanavimus, cum tali figura, ut genu E inguine ſublimius eſſet; idque facilè ac citra dolorem ceſſit, molli pulvino popliti ſuppoſito. Ita verò & ſuræ ſinus, quibus orificium popliti propinquum erat, ſanavimus, extremum pedem poplite ſublimiorem collocantes. Præterea cubitum ſinu affectum mitellâ ſuſpendentes, ſimili modo ſæpenumero curavimus, ſummâ manu cubito altiore poſitâ. Ita quoque cubiti flexu affecto, ut ipſum ſinus à partibus quidem ſuperioribus brachium, ab inferioribus verò cubitum obſideat, maximè idonea eſt quæ nunc F figura pronunciata eſt, in qua cubiti flexus utroque oſſe humilior collocatur, cubiti inquam & brachii. Atque hîc duabus utimur faſciis, quæ ambæ ad flexus cubiti oſculum finiuntur; exordiuntur verò ab affectionibus; ſi ſinus planè rectus ſit, deligationem efficies non propendentem, peræquè ac ſi fractum membrum devincias, quod rectum debeat contineri. Si verò ad latus propendeat, tua deligatio ſinûs propenſionem ſectetur, talemque figuram imite-

Περὶ ὀρθῶν καὶ λοξῶν σχημάτων, καὶ ἐπιδέσμων, καὶ κόλπων. τί ὁ κόλπος ὀρθὸς, καὶ τί λοξός; τοὺς τέσσαρας κόλπους ἀναφέρει, οὓς τῇ σχηματισμοῦ καταλλαγῇ ἰάσατο. ὅτι τὸ ἐπιτήδειον τῷ ἑκάστῳ κόλπῳ σχῆμα ἐξευρίσκειν χρὴ, καὶ τὴν ἐπίδεσιν, καὶ τὴν τῆς ἐπιδέσεως ἀπόσφιγξιν, καὶ τὴν ἀπόστασιν φυλάττεσθαι. τί ἀνάληψιν, καὶ τὴν θέσιν καλεῖ ὁ Γαληνός.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη΄.

B Ἐπιδεῖν τὰ μὲν ὀρθὰ, ἐς ὀρθὸν, τὰ δὲ λοξὰ, λοξῶς, ἐν σχήματι ἀπόνῳ, ἐν ᾧ μήτε ἀπόσφιγξις, μήτε ἀπόστασις ἔσται. ἐξ οὗ, ὅταν μεταλλάσσῃ ἐς ἀνάληψιν ἢ θέσιν, οὐ μεταλλάξουσιν, ἀλλ' ὅμοια ταῦτα ἕξουσι, μύας, φλέβας, νεῦρα, ὀστέα, εὔθετα, εὔσχετα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Οὐ τὰ πεπονθότα μόρια τοῦ σώματος, ὀρθὰ, καὶ λοξὰ λέγει νῦν, ἀλλὰ τὰ ἀποστήματα, περὶ ὧν ποιεῖται τὴν διδασκαλίαν ἐπὶ παραδείγματος ἐξ αὐτῶν ἑνὸς, τοῦ κόλπου. πάντως γὰρ οὗτος, ἤτοι γε ὀρθός ἐστι, ἢ λοξὸς πρὸς τὸ μῆκος ἐν ᾧ γέγονε. ὀρθὸν μὲν οὖν ἄκουέ μου, τὸν κατάντη, λοξὸν δὲ, τὸν μὴ τοιοῦτον. ὀνόμασε δὲ ὀρθὸν κόλπον, οὗ τὸ μὲν στόμιον ἐν τοῖς κάτω μέρεσιν ἐστιν, ὁ δὲ πυθμὴν, ἐν τοῖς ἄνω· λοξὸν δὲ, οὗ πρὸς τὸ πλάγιον ἐκκλίνεται. γίγνονται δὲ δηλονότι καὶ τούτοις ἐναντίως διακείμενοι κόλποι· κάτωθεν μὲν ἔχοντες πυθμένα, τὸ στόμιον δὲ ἄνωθεν. ἀλλ' ἡμεῖς αὐτοὶ, τούτους ἄρτι διαιροῦμεν κατὰ τὸν πυθμένα, τῆς ἐκροῆς τῶν ἰχώρων ἕνεκεν. εἰ δὲ D φθάνοι τὸ στόμιον, οὐκ ἀκριβῶς ἐν τοῖς κάτω μέρεσι τοῦ σώματος, ἀλλ' ἐν τοῖς πλαγίοις ὑπάρχον, ἐξευρίσκειν ἐπιτήδειον, δεῖ σχῆμα τοῦ μορίου χρὴ καὶ τρόπον ἐπιδέσεως, ἐκκρίνεσθαι τοὺς ἰχῶρας αὐτοῦ. τοσαύτη γὰρ ἐν τοῖς τοιούτοις ἐστὶν ἡ δύναμις τοῦ σχήματος, ὥσθ' ἡμεῖς πολλάκις, τὸ δοκοῦν ἄνωθεν εἶναι στόμιον, ἐποιησάμεθα κάτωθεν, ὑπαλλάξαντες τὸ σχῆμα. μηρὸν οὖν ἐν αὐτῷ κόλπον ἔχοντα, τὸ στόμιον μὲν ἔχοντα πλησίον βουβῶνος, τὸν πυθμένα δὲ ἐγγὺς τοῦ γόνατος, ἰασάμεθα μετὰ σχήματος E οὕτως, ὡς ὑψηλότερον εἶναι τὸ γόνυ τοῦ βουβῶνος. ἐγένετο δὲ τοῦτο ῥᾳδίως τε, καὶ ἀνωδύνως, ὑπαυχένιον μαλακοῦ κατὰ τὴν ἰγνύαν ὑποτιθέντες. οὕτω δὲ καὶ κατὰ γαστροκνημίαν κόλπους ἰασάμεθα, τὸ στόμιον ἔχοντας τῆς ἰγνύας πλησίον, ὑψηλότερον ἄκρον τὸν πόδα τῆς ἰγνύας κατατιθέμενοι. καὶ πῆχυν δ' ἀναβαλόντες ταινίᾳ κατὰ τὸν ὅμοιον τρόπον, ὡς ὑψηλοτέραν εἶναι, καὶ ἄκραν τὴν χεῖρα ἀγκῶνος, ἰασάμεθα πολλάκις ἔχοντα κόλπον. ἀγκῶνος δὲ πεπονθότος οὕτως, ὡς ἐπιλῆφθαι τὸν ἀμφ' αὐτὸν κόλπον, ἐκ μὲν τῶν ἄνω μερῶν, τοῦ βραχίονος, ἐκ δὲ τῶν κάτω, τοῦ πήχεος. ἐπι-F τηδειότατον σχῆμα τὸ νῦν εἰρημένον ἐστὶ, ἐν ᾧ ταπεινότερον ἑκατέρου τῶν ὀστῶν ἀγκὼν γίνεται. λέγω δὲ ἑκατέρου πήχεος καὶ βραχίονος. καὶ δύο γε ἐπιδέσμοις ἐνταῦθα χρώμεθα, τελευτῶσι μὲν ἀμφοτέροις ἐπὶ τὸ κατ' ἀγκῶνα στόμιον, ἀρχομένοις δὲ ἀπὸ τῶν παθῶν, ἐὰν μὲν ἀκριβῶς ὀρθὸς ὁ κόλπος ᾖ, τὴν ἐπίδεσιν ἀπαρέγκλιτον ποιήσεις. καθάπερ εἰ καὶ κατεαγὸς ἐπιδεῖς τὸ κῶλον, ἀποδεῖς τε ὁμοίως ἔχειν. ἐὰν δὲ ἐγκεκλιμένος ἐστὶ πρὸς τὸ πλάγιον, ἡ ἐπίδεσίς σου τὴν ἔγκλισιν τοῦ κόλπου μιμείσθω, καὶ τὸ σχῆμα μιμείσθω τοῦ-

σφίγξιν εἶπεν ὁ Ἱπποκράτης, ἐπὶ δὲ τῶν κεχαλασμένων, τὴν ἀπόστασιν, ἐν σχήματι τοιούτῳ τὴν οἰκείαν τοῦ κόλπου κελεύων ἐπίδεσιν ποιεῖν ἡμᾶς, ἐν ᾧ μήτε ἀπόστασις, μήτε ἀπόσφιγξίς ἐστι, κατὰ τὴν ἀπόστασιν ἀναγκαζομένων πάσχοντα μεταβάλλειν. ἐὰν γὰρ ἁπλῶς ἐν τῷ τῆς ἐπιδέσεως χρόνῳ μόνῳ φροντίσωμεν τῶν λοξῶν κόλπων, ἐπιδέσει λοξῇ καταπαλλέσθω ἐν σχήματι μὴ δυναμένῳ φυλαχθῆναι κατὰ τὴν ἀπόθεσιν, ἢ κατὰ τὴν ἀνάληψιν ἐν τῇ καταλλαγῇ. Τὰ μέν τινα τῶν ἐπιδεδεμένων μορίων, ἀποσφιγχθήσεται. τὰ δὲ χαλασθήσεται. ὀνομαστὶ δὲ αὐτὸς ἐδήλωσε τὰ τὴν θέσιν ἐν αὐτοῖς σχηματισμοῖς ὑπαλλάττοντα μόρια, μύας εἰπὼν, καὶ φλέβας, καὶ νεῦρα, καὶ ὀστᾶ. ταῦτα γάρ ἐστι, τὰ τὸν ὄγκον τοῦ σώματος ἐργαζόμενα, φλέβας ἀκουόντων ἡμῶν κατὰ τὸ παλαιὸν ἔθος, οὐ μόνον ταύτας τὰς νῦν ὀνομαζομένας, ἀλλὰ καὶ τὰς ἀρτηρίας. οὗτος μὲν οὖν ὁ νοῦς ὅλης τῆς ῥήσεώς ἐστιν. αἱ δὲ κατὰ μέρος ἐν αὐτῇ λέξεις οὐ πάνυ μὲν ἀσαφεῖς εἰσιν, ἄμεινον δὲ αὐτὰς ἴσως ἐξηγήσασθαι διὰ βραχέων. Ἀνάληψιν μὲν ἐπὶ χειρὸς ὀνομάζει, τὴν μετὰ τὴν ἐπίδεσιν ἀπόθεσιν αὐτῆς, ἐν πλατείᾳ ταινίᾳ περιλαμβανούσῃ πάντα τὸν πῆχυν, θέσιν δὲ, τὴν ἐπὶ τοῦ σκέλους. εὔδηλον δὲ ὅτι καὶ ἡ ἀνάληψις ὑποπέπτωκε τῷ γένει τῷ τῆς θέσεως σημαινομένῳ, καὶ τῷ νῦν ἐπὶ τῷ τέλει τῆς ῥήσεως. εὔθετα μὲν ὀνόμασε τὰ καλῶς ἀποτιθέμενα, εὔαρτα δὲ τὰ καλῶς ἀναλαμβανόμενα. τὸ μὲν πρότερον ὄνομα, κατὰ τῶν σκελῶν, τὸ δὲ δεύτερον, κατὰ τῶν χειρῶν ἐπιφέρων.

ciis *constrictionem* pronunciavit Hippocrates ἀπόσφιγξιν, in iis quæ laxantur, *deceſſionem* ἀπόστασιν, ac in tali figura propriam ſinui deligationem nos conſtruere imperat, in qua neque deceſſio, neque conſtrictio ſit, quum deceſſione partes affectæ ſitum figuratum immutare cogantur. Si nanque ſimpliciter ſolo deligationis tempore, obliquorum ſinuum curam habituri ſumus, obliqua deligatio admoveatur, quam repoſitio aut ſuſpenſio commutatione tueri non poteſt. Quæ partes devinciuntur, earum quædam conſtringendæ ſunt, quædam laxandæ. Quæ partes ſitum in ipſis figuris permutant, eas ipſe nominatim prodidit, muſculos vocans, venas, nervos, & oſſa. Hæ nanque ſunt, quæ corporis molem efficiunt. Nos autem quum venas dicimus, pro veterum conſuetudine, non eas duntaxat, quas nunc nominamus, verumetiam arterias intelligimus. Mens igitur orationis hæc eſt, cujus ſingula verba non admodum obſcura ſunt. Fortaſſis tamen opportunius fuiſſet ea paucis explicare. Suſpenſionem brachii nominat ipſius à deligatione repoſitionem in lata mitella quæ totum cubitum excipit; poſituram verò cruris. Liquidò quoque conſtat ſuſpenſionem ſub eo comprehendi genere, quod poſituram ſignificat, quodque nunc in orationis fine conſcribit. Bellè quidem poſita nuncupavit, quæ concinnè reponuntur, belle verò contenta, quæ concinnè ſuſpenduntur, primum vocabulum ad crura; alterum ad brachia referens.

Τὸ τοῖς ἀναλαμβανομένοις καὶ τοῖς κειμένοις μορίοις πεπονθόσι σχῆμα ἄπονόν τε καὶ κατὰ φύσιν προσήκειν· τὸ ἑκάτερον ταὐτὸν εἶναι. Εἰ αὖθι, ἢ μετὰ ἀποφάσεως ἡ δὲ ῥῆσις γραφομένη, ὧν δὲ ἀποστῇ, τἀναντία, ἢ ὧν δὲ μὴ ἀποστῇ τἀναντία, ὁ Γαληνὸς ἐξηγεῖται καὶ τῇ παραβολῇ τινων παθῶν, μάλιστα δὲ τῶν ἀποστημάτων, καὶ κόλπων, τῶν τὴν θεραπείαν αἰτούντων, καὶ τῇ Ἀσκληπιάδου, ῥήσει.

Suſpenſis aut poſitis partibus affectis, figuram doloris expertem, & ſecundùm naturam convenire utrumque eſſe. An cum, aut ſine negatione hæc verba proferenda ſunt, in quibus abſceſſerint, aut non abſceſſerint, contrarias explicat Galenus, tum comparatione quorumdam affectuum, ac præcipuè abſceſſuum & ſinuum qui contrariam curationem poſtulant, tum Aſclepiadis textu.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

ΑΝαλελῆφθαι δὲ, ἢ κεῖσθαι ἐν σχήματι ἀπόνῳ τῷ κατὰ φύσιν. Ὧν δὲ, ἂν ἀποστῇ τἀναντία.

HIPPOCRATIS TEXTUS XXIX.

SVſpenſa verò, aut poſita eſſe decet in figura non lædente, quæ ſecundùm naturam ſint. In quibus autem abſceſſerint, contraria.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥκ ἄλλο μέν τι τὸ ἄπονόν ἐστιν, ἄλλο δὲ τὸ κατὰ φύσιν, ἀλλ' ἓν καὶ τὸ αὐτὸ συμβέβηκεν ἀμφοτέροις κατὰ φύσιν τε εἶναι καὶ ἄπονα. τί ἐστι τοῦτο, λέλεκται μὲν καὶ ἐν τῷ περὶ ἀγμῶν ἱκανῶς ὑπ' αὐτοῦ. δηλώσεται δὲ καὶ νῦν ἐπὶ προσήκοντι τῷ βιβλίῳ. Ὧν δὲ ἂν ἀποστῇ τἀναντία. τινὲς

GALENI COMMENTARIUS.

NOn aliud ſanè doloris expers, & aliud quod ſecundùm naturam eſt; ſed unum & idem utrique, & ſecundum naturam exiſtenti, & doloris experti contigit. Ea de re quidem in opere de fractutis abunde dictum eſt. Nunc verò hoc in decenti libro explicabitur. *In quibus autem deceſſerint, contraria.* Quidam

gatione, aſſeruntque in quibus non deceſſerit eorum quæ enunciata ſunt aliquid deligationis eſſatu dignum, in quibus deceſſerit contrarium. At *deligationis ratio* prædicta fuit, à ſana quidem parte ipſum exordiri, ſuper ulcus verò deſinere qui coarctationem diſſolvat. Contrarius incipiet ab ulceratis ac fractis partibus, supernè ad inferiorem regionem deligationem remittens. Qui verò abſque negatione conſcriptum textum explicant, Hippocratem hortari cenſent, ut quem quæ præter naturam ſuccincta ſunt, aut etiam commiſſa, decedere volumus, ſuperiorem deligationis rationem immutemus. Imò ſanè ubi concinnè juncta diducere deſideramus, quocunque modo non decenter concurrerint, contraria, *vinciendi* ratione nobis opus eſſe, perſpicuum eſt. Quin etiam in permultis magnis vulneribus, in quibus cute conglutinata, fundum minimè conglutinatum manſerit, aut labra in ſe invicem intus duplicata in unum coierint: In fracturis quoque, quòd hæ à quibus fracti oſſis extrema ad fundum diducta ſunt, cutis labris ſint conſimiles, ubi quæ adjuncta ſunt, quò decedant oportere, id & patet omnibus; necnon etiam quia, quod enarratum eſt, illis accidit oſſibus, quæ & interiores in ſe cavitates, aut inſignes cavernas obtinent; ipſaque per ſe cognoſcimus, & eadem ita utilia, ut quæ vitioſè producta nunc aliquis arguerit, quòd cũ propoſita oratione nullum concentum habeant. Nam in ea ſcriptum eſt, *in quibus autem deceſſerint contraria*. At non idem hac oratione *(in quibus autem deceſſerint)* atque illa *(à quibus verò ut decedant)* dat operã. Oportebat igitur ipſos, quemadmodũ priores negationem præpoſuiſſe verbo *deceſſerint*, ſicq; orationem propriæ ſententiæ cõſentaneam reddidiſſent; eoſdẽque ipſam ſcriptã pro arbitrio expoſuiſſe; ſcripta enim, ut nunc ſcripta eſt, alienam explanationem confecerunt. Non igitur in propoſita oratione te ea docet quæ abſcedere volumus. De his enim deinceps dicturus eſt. Verùm de iis quæ abſcedunt, nondum perfectè abſceſſerunt, vel etiam de iis quæ perfectè abſceſſerunt, nondum tamen in ſinum jam mutata ſunt. Hæc namque primùm curationem poſtulant quæ dolorem ſedet, & quod in pus commutatur, maturet. Deinde verò quum ſuppuraverint, apertionem quà excludantur. Tum deinceps ſiquid inflammationis partibus excretum humorem continentibus ſuperſit, id eximatur; & poſtea, ut protuli, & ſiccare, & carnem procreare decet; moxque ita conglutinare, ipſo ſinu ſolo relicto, nulloque pravo affectu ipſi juncto. Neque enim phlegmone, neque ſordes, neque humor ſuperfluus adeſt, neque carnium penuria. Ergo nihil mirum eſt, ſi conſules in iis quæ abſceſſerint contraria moliri. Nam quicunque non oſcitanter in artis operibus verſatus eſt, novit in iis qui maturuiſſe queunt abſceſſibus damnoſum eſſe, nihil quicquam humoris purulenti noxium excerni. Etenim ſatius & expeditius eſt intùs ipſi manenti prodeſſe reliquum; neque omnino deligationem pro morbi ratione pars affecta poſtulat. Ad id enim adhibetur deligatio, non quòd ipſa curare queat, ſed ut curantibus inſerviat. Differt ergo abſceſſuum curatio à cunctis ſinuum *curationibus*. Nam in illis quidem

φασὶν τὴν μὴ, ἢ φασὶν ὧν μὴ ἀποστῇ τι τῶν προειρημένων κατὰ λόγον τῆς ἐπιδέσεως, ὧν δ᾽ αὖ ἀποστῇ, τὸ ἐναντίον. τοίνυν ὁ προειρημένος ἦν, ἄρχεσθαι μὲν ἀπὸ τοῦ ὑγιοῦς, τελευτᾷν δὲ ἐπὶ τὸ ἐκλύοντα τὴν πίεσιν. ὁ ἐναντίος ἄρξεται μὲν ἀπὸ τῶν ἡλκωμένων, καὶ κατεαγότων, ἀναδοθήσεται δὲ πρὸς τὴν κάτω χώραν, ἐκλύων τὴν ἐπίδεσιν. ὅσοι δὲ ἄνευ τῆς ἀποφάσεως γεγραμμένην τὴν λέξιν ἐξηγοῦνται, φασὶ κελεύειν αὐτὸν, ὧν
B δ᾽ αὖ ἀποστῆναι προεσταλμένα βουλόμεθα παρὰ φύσιν, ἢ καὶ συμβεβηκότα, τὸν εἰρημένον τρόπον τῆς ἐπιδέσεως ὑπαλλάττειν. καὶ ὅτι μὲν ὅσων τὰ καλῶς συμπεφυκότα διαστῆσαι βουλόμεθα, καθ᾽ ὁντιναοῦν τρόπον ἀλλήλοις συνεληλυθότα, μὴ προσηκόντως, ἐναντίου τρόπου δεόμεθα, πρόδηλόν ἐστι. καὶ μέντοι μὲν ἐπὶ πολλὰ τῶν μεγάλων τραυμάτων, ἐφ᾽ ὧν τὸ βάθος ἀκόλλητον ἔμεινε, τοῦ δέρματος κολληθέντος, ἢ συνῆλθεν ἀλλήλοις ἐνδιπλούμενα τὰ χείλη. καταγμάτων δ᾽ ὅτι τοῦτ᾽ ἀφ᾽ ὧν ἐκλίθη πρὸς τὸ βάθος τὰ πέρατα τοῦ κατεα-
C γότος, ἀνάλογον τοῖς ἐπὶ τοῦ δέρματος χείλεσιν, ἀποστῆναι δεῖται τὰ συνεληλυθότα, καὶ τοῦτο πρόδηλον παντί. καὶ μέντοι καὶ ὅτι κατ᾽ ἐκεῖνα τῶν ὀστῶν συμβαίνει τὸ εἰρημένον, ὅσα καὶ ἐν τούτοις κοιλότητας ἐντὸς ἑαυτῶν, ἢ σηραγγας ἀξιολόγους ἔχει, καὶ γιγνώσκομεν αὐτὰ καθ᾽ ἑαυτά, χρήσιμα ταῦτα, ὡς δὲ κακῶς εἰρημένα νῦν μέμψαιτ᾽ ἄν τις. τῇ γὰρ προκειμένῃ λέξει, συμφωνίαν οὐδεμίαν ἔχει. γέγραπται γὰρ ἐν αὐτῇ, ὧν δὲ αὖ ἀποστῇ τὰ ἐναντία. οὐ ταὐτὸν δὲ σημαίνεται πρὸς τῆς, ὧν δ᾽ αὖ ἀποστῇ, καὶ πρὸς τῆς, ὧν δὲ ἀποστῆσαι θέλει, λέξεως. ἐχρῆν οὖν αὐτοὺς, ὥσπερ οἱ
D πρότεροι, τὴν ἀπόφασιν προσθέντες τοῦ ἀποστῆσαι, τὴν λέξιν ὁμολογοῦσαν εἰργάσαντο τῇ σφετέρᾳ δόξῃ, οὕτως αὐτοὺς μεταγράψαντες αὐτὴν ἐξηγήσασθαι καθὼς βούλονται. γεγραμμένης δ᾽ ὡς νῦν γέγραπται, τὴν ἐξήγησιν ἀλλοτρίαν ἐποιήσαντο. μὴ τοίνυν ἐν τῇ προκειμένῃ λέξει σε περὶ ὧν ἀποστῆσαι βουλόμεθα διδάσκει, ἐρεῖ γὰρ περὶ τούτων ἐφεξῆς. ἀλλὰ περὶ τῶν ἀφισταμένων, οὐδέπω ἀφεστώτων τέλεως, ἢ καὶ τελέως μὲν ἀφεστώτων, οὐ μὴν εἰς κόλπον γε μεθεστώτων ἤδη. δεῖται γὰρ ταῦτα, πρώτης μὲν τῆς ἀνωδύνου, καὶ πεπαινούσης τὸ διαπυΐσκον ἀγωγῆς. ἐπεὶ δ᾽
E αὖ ἐκπυήσῃ, στομώσεως εἰς ἔκκρισιν, εἶτ᾽ ἐφεξῆς, εἴ τι φλεγμονῆς ἐν τοῖς περιέχουσι τὸ ἐκκριθὲν ὑγρὸν ὑπολείπεται, αὐτὸ ἐξιάσασθαι, καὶ μετὰ ταῦθ᾽, ὡς ἔφην, ἀποξηρᾶναί τε, καὶ σαρκῶσαι, κᾆπειθ᾽ οὕτως κολλῆσαι καταλειφθέντος αὐτοῦ μόνου τοῦ κόλπου, μηδενὸς ἐζευγμένου παθήματος αὐτῷ. μήτ᾽ οὖν φλεγμονῆς, μήτε ῥύπου, μήτε ὑγρότητος περιττῆς, μήτ᾽ ἐνδείας σαρκῶν. οὐδὲν οὖν θαυμαστὸν, εἰ τἀναντία συμβουλεύει πράττειν ἐπὶ τῶν ἀφισταμένων. ὅστις γὰρ ὡμίληκε μὴ κατὰ τὸ πάρεργον τοῖς ἔργοις τῆς τέχνης, οἶδεν ἐπὶ τῶν πεφθῆναι δυναμένων ἀποστάσεων,
F οὐκ ἐκκρίνεσθαί τι τοῦ διαπυΐσκοντος χυμοῦ ἀσύμφορον. ἄμεινόν τε γὰρ θᾶττον ἔνδον αὐτῷ μένοντι συμβάλλειν τὸ λοιπὸν, οὐδ᾽ ὅλως ἐπιδέσεως χρῄζει τὸ τοιοῦτον, ὅσον ἐπὶ τῷ πάθει. παραλαμβάνεται γὰρ ἐπ᾽ αὐτῷ ἐπίδεσις, οὐχ ὡς αὐτὴ δυναμένη θεραπεύειν, ἀλλ᾽ ὡς τοῖς θεραπευομένοις ὑπηρετοῦσα. διαφέρει τοίνυν ἡ τῶν ἀφεστώτων θεραπεία, τῆς τῶν κόλπων ὅλων· τῶν γειτνιώντων μὲν γὰρ,

δὲ ἄλλως τοῖς ἰωμένοις ὑπηρετοῦσαν, ὑπ' αὐτοῦ τὴν ἐπίδεσιν παραλαμβάνομεν. Ἀσκληπιάδης δὲ, ἐπὶ τῆς ἐπιδέσεως ἀκούων τοῦτον, ὧν δ' ἂν ἀποστῇ τὰ ἐναντία, τὴν ὅλην διάγνωσιν εἶναι βούλεται. ἂν δ' ἐπιδῇς ἐν σχήματι ἐν ᾧ μήτε ἀποτριγξις, μήτε ἀπόστασις ἔσται, τοῦτο δή ἐστιν ἅπαν κατὰ φύσιν. ἐφ' ὧν δ' ἂν ἡ ἐπίδεσις ἀποστῇ, ἐπὶ τούτων τἀναντία πρᾶττε, τουτέστιν ἐν τῷ ἐναντίῳ σχήματι τὴν ἐπίδεσιν ποιοῦ. Καὶ γράφει κατὰ λέξιν οὕτως. ἐν ᾧ σχήματι τοῦ μέρους ἐπιτεθέντος σχήματος ἐπίδεσμος ἀποστῇ, τῷ ἐναντίῳ τούτῳ σχήματι τὴν ἐπίδεσιν ποιοῦ. εἶτα ἐκτεταμένου τοῦ ἀγκῶνος, ἐπειδὰν ὁ βραχίων καταδεθῇ, ὁ ἐπίδεσμος οὐ μένει, ἀλλ' ἀφίσταται, τοὐναντίον σχῆμα τῇ ἐκτάσει κατασκευάσας. ἐπίδει, τουτέστι, κάμψας τὸν ἀγκῶνα, ἐπίδει πάλιν. ἐπεὶ κατὰ φύσιν μὲν σχῆμα τοῖς σκέλεσίν ἐστι τὸ ἐκτεταμένον, ἐὰν καὶ κεκαμμένων τῶν σκελῶν ἐπιδήσας, ἐκτεῖναι κελεύσῃς, μεταβαινόντων τῶν μυῶν εἰς ἄλλους τόπους, ὁ ἐπίδεσμος ἀποστήσεται ἀπ' ἐκείνων, ἀφ' ὧν μύες ἀπεχώρησαν, τὸ ἐναντίον σχῆμα τοῦ κεκαμμένου ποιήσας, ἐπίδει, τουτέστι, ὁ ἐκτείνας τὰ σκέλη ἀποδεῖν, ὥσπερ καὶ κεῖσθαι μέλλει σχήματι. καὶ ταῦτα μέν σοι κατὰ τοῦ Ἀσκληπιάδου, ἐμοὶ δὲ καιρὸς ἤδη μεταβαίνειν ἐφ' ἑτέραν ῥῆσιν.

curantibus inſervientem ſub iis deligationem promovemus. B. Aſclepiades autem quum hæc *verba, in quibus contraria abſceſſerint* explicat, de deligatione univerſam intelligentiam eſſe vult. Quod ſi in figura devincias, in qua neque coarctatio, neque deceſſio fuerit, hoc totum ſecundùm naturam eſt. In quibus verò deligatio deceſſerit, in his contraria effice, hoc eſt, in contraria figura deligationem conſtrue; Atque ſic ad verbum ſcribit. *Quacumque in figura, faſcia figuræ partis impoſita deceſſerit, contraria huic figura deligationem aſtrue. Exemplo; quum exporrecto cubito brachium devinctum ſit, faſcia non commoretur, ſed abſcedat, contrariam porrectioni figuram extrue.* C *Alioqui, hoc eſt, inflexo cubito ipſum rurſus devincto. Quoniam verò ſecundum naturam porrecta figura cruribus eſt, etiamſi inflexis cruribus devinctis ipſa porrigere juſſerit, quum muſculi alios in locos emigrent, faſcia tamen ab illis abſcedet, à quibus muſculi receſſerunt, quum contrariam inflexo cruri figuram feceris; quandoquidem, hoc eſt, quum crura porrexeris, devincienda ſunt. Quod opus & in figura collocandum, ac immemorandum eſt.* Atque hæc ex textu Aſclepiadis prodita ſunt. Jam vero mihi ad alterum textum emigrandi datur occaſio.

D

Τὰ μὲν ἐκπεπταμένα μόρια, καὶ ἀφεστῶτα τῇ παραπλησίᾳ σχεδὸν ἐπιδέσει, συστολῇ, προσαγωγῇ, ἀφίξει, προσθήκῃ, καὶ τῇ συμψαύσει εἶναι θεραπευτέα· ἀλλὰ τὴν προηγεῖσθαι φλεγμονῆς θεραπείαν, καὶ τὴν κατακολουθῆσαι τῶν ἐκπεπταμένων μορίων αἰτίαν καὶ ὅθεν ἀρκτέον τὸν τόπον, καὶ τῶν ἑλκῶν, καὶ τῶν κόλπων ἐπίδεσιν.

Expaſſas partes & abſceſſas conſimili propè deligatione, adductione, acceſſu, & contractu curandas eſſe, ſed procedere inflammationis curationem, & ſequi expaſſarum partium inſtaurationem. Quid expaſſa vocet Galenus. Quæ ſunt expaſſarum partium cauſæ, & unde exordienda ſit earum ut & ulcerum, & ſinuum deligatio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λʹ.

ὯΝ δ' ἂν ἐκπεπταμένα συστεῖλαι, τὰ μὲν ἄλλα τὰ αὐτὰ, ἐκ πολλοῦ δέ τινος δεῖ τὴν συναγωγὴν, καὶ ἐκ προσαγωγῆς τὴν πίεξιν τὸ πρῶτον ἥκιστα, ἔπειτα ἐπὶ μᾶλλον, ὅρος τοῦ μάλιστα, τὸ συμψαύειν.

HIPPOCRATIS TEXTUS XXX.

E

AT in quibus expaſſa contrahere oportet, in cæteris quidem eodem modo. Ex longo verò quodam intervallo contractio, & ex acceſſu ducto compreſſio facienda, primò minimùm, poſtea magis. Terminus operationis *mutuus potiſſimùm contactus.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ἈΝαμνησθῶμεν εἰπεῖν κεφαλαίων ἐξεπίτηδες ὡς γέγραπται κατὰ τὴν λέξιν, ἧς ἀρχή. ἐπίδεσις μὲν αἰτίη, ὥστε τὰ ἀφεστεῶτα προστεῖλαι. ἄχρι δεῦρο λελεγμένων αὐτοῦ μνημονεύσομεν. οὕτως γὰρ ὑπακουσόμεθα καὶ τὸ λείπειν ἐν τῇ προκειμένῃ ῥήσει δοκοῦντος, ὥστε καὶ προστεθέντος αὐτοῦ τὴν λέξιν τοιάνδε. ὧν δ' ἂν ἐκπεπταμένα συστεῖλαι δέῃ, τὰ μὲν ἄλλα τὰ πράξομεν. ἐκ πολλοῦ δὲ τὴν προσαγωγὴν ποιησόμεθα, καὶ τἄλλα ὅσα τούτων ἐφεξῆς

GALENI COMMENTARIUS.

F

QUæ pronunciavit *Hippocrates*, tum eorum ſummaria conſultò recordemur, quod orationi occurrant, cujus eſt exordium. *Deligatio quidem cauſa eſt, ut quæ abſceſſerunt, adducantur:* tum eorum quæ hactenus ab ipſo prolata eſſe ſumus memores. Sic enim ſubaudiemus, tùm quod propoſitæ orationi deeſſe videtur, tùm ut eo addito hæcce ſententia eliciatur. *At in quibus expaſſa contrahere oporteat, in cæteris eadem agemus. Ex longo intervallo acceſſum promovebimus;* & quæ cætera hujuſmodi

ligendum eſt, quæ quum ulteriùs quàm deceat, ab invicem diſcedant, utrôque labro etiam ſeparata ſunt; quod in vulneribus fieri conſpicitur, vehementer interdum obortâ inflammatione. Quum enim carnis diviſio magnam ſubeat altitudinem inciſo transverſo muſculo; deinde neque conglutinatio, neque unio producta ſit; ſed ingens ſuccedat phlegmone, quâ tenſa *cutis* utrinque continuum id labrum attrahat, ab utraque parte expaſſa dabitur. Talem verò ideam ſortiuntur labra inflammata, & palpebræ, & præputium, atque etiam capitis cutis, quum à quibuſdam læſa ad terebrationem opportunè accedit phlegmone, expaſſorum formam repræſentant. Idque plerunque accidit potiſſimum, ſi cute læſa ſpatium, quod in medio eſt, linamentis impleamus. Ita verò & in transverſa muſculorum ſectione quum ad profundum uſque procedit, interdum rem agimus, aut ob ſanguinis eruptionem, linteis concerptis inditis, quæ linamenta nominamus, aut quod cutim coaleſcere quidem metuamus, aut contractas muſculi partes utrinque non conglutinari. Hujuſmodi ſanè affectus omnes aliam curationem poſtulant quæ phlegmonæ medeatur. Verùm nunc ipſi propoſitum non eſt univerſas morborum curationes ſcriptis prodere, ſed eam quæ propriè chirurgia vocatur. Expaſſorum igitur deligatio non alia, ſed eadem quæ abſcedentium eſt. Nam à ſanis partibus exorditur, & paulatim ad cutem venit manifeſto laborantem ulcere. Sed in eo diſſidet, quòd in expaſſis longiori principio, quàm in abſcedentibus exorditur, quodque compreſſionem ad expaſſas uſque partes intendat. Ergo in ſinibus deligationem ab eorum fundo incœpiſſe, & quæ in expaſſis ſtruitur, ipſam ab iis tanquam radice principium ſumere conſentaneum eſt. Verùm procul ab humidis partibus cutim ad ulcus paulatim adducere, nec in ulceribus deligationem contrahere, ſed ſenſim intendere primam circunvolutionem, & cutis circuitione compreſſionem efficere. Poſtea verò *magis* vocabulum nonnulli de una operatione explicant, nonnulli verò de pluribus. De una quidem operatione ſi primum vocabulum accipiamus, deligationis principium ſignificabitur; ſi verò de pluribus, primam deligationem univerſam, primum vocabulum declarabit. Sed utrunque verum eſt, aliàs in aliis affectibus non genere, ſed magnitudine diſcrepantibus. Leniorem ſiquidem *labrorum* everſionem, etiam unicâ deligatione ad eum qui ſecundum naturam eſt ſtatum ducere contendimus; vehementiorem verò non prima deligatione coercemus. Tunc enim temporis inflammationis curationem præcedere oportet, non expaſſarum partium inſtaurationem. In orationis autem fine eam ob rem addidit, *terminus potiſſimum contactus*. Quandoquidem *Medicus* quæ inter ſe compacta ſunt, ea magis in unum cogere poteſt, quàm ut ſe ſolum contingant. Sed ita mutuo coacta colliduntur, dolorem concitant, & inflammationem augent. Ergo expaſſa inter ſe quoad ſe contingant adducenda ſunt, ſed non ultra id. At hæc oratio duobus modis ſcribitur. In quibuſdam codicibus *terminus maximè*, hancque ſcripturam

[illegible] τὰ μετὰ τὸ διεστάναι πλέον ἢ προσῆκεν, ἀλλήλων ἐκπεπταμένα κατὰ τῆς σαρκὸς ἑκάτερον χείλος, ὡς ἐπὶ τρωμάτων ἔστιν ἰδεῖν γινόμενον, ἐνίοτε φλεγμαινόντων σφοδρῶς. ὅταν γὰρ ἡ διαίρεσις τῆς σαρκὸς ἄχρι πολλοῦ γένηται βάθους, ἐγκαρσίου τοῦ μυὸς τμηθέντος, εἶτ᾽ ἡ μὲν κόλλησις καὶ σύμφυσις μὴ τυχθῇ, φλεγμονὴ δὲ ἐπιγένηται μεγάλη, δι᾽ ἣν τὸ δέρμα τεινόμενον ἑκατέρωσε τὸ συνεχὲς αὐτοῦ χεῖλος ἐπισπάσηται, κατ᾽ ἀμφότερα μέρη τὸ ἐκπεπταμένον
B γίνεται. τοιαύτην δὲ ἰδέαν ἴσχει καὶ χείλη φλεγμαίνοντα, καὶ βλέφαρα, καὶ πόσθη, καὶ μέντοι καὶ πιεσθέντων τινῶν τὸ τῆς κεφαλῆς δέρμα, πρὸς ἀνάτρησιν ἐπιτηδείως γινομένη φλεγμονὴ, τὴν τῶν ἐκπεπταμένων ἰδέαν εἰργάσατο. καὶ μάλιστά γε τοῦτο συμβαίνει πολλάκις, εἰ πιέσαντες τὸ δέρμα, τὴν ἐν τῷ μέσῳ τῶν χειλῶν χώραν, μοτοῖς πληρώσαιμεν. οὕτω δὲ κἀπὶ τῆς ἐγκαρσίας τομῆς τῶν μυῶν, ἄχρι βάθους γινομένης, ἐνίοτε πράττομεν, ἢ δι᾽ αἱμορραγίας ἐνθέντες ὀθόνας πλατείας, ἃς ὀνομάζουσι μοτοὺς, καὶ τῷ δεδιέναι συμ-
C φῦσαι μὲν τὸ δέρμα, τὰ δὲ ἀπεσπασμένα μόρια τοῦ μυὸς, ἑκατέρως μὴ κολληθῆναι. τὰ τοιαῦτα οὖν πάθη πάντα, δεῖται μὲν καὶ τῆς ἄλλης θεραπείας τῆς ἰωμένης τὴν φλεγμονὴν, ἀλλ᾽ οὐ πρόκειται νῦν ἅπασαν αὐτῷ παθῶν ἁπάσας γράφειν θεραπείας, ἀλλὰ τὰς χειρουργίας ἰδίως ὀνομαζομένας. Ἡ τοίνυν τῶν ἐκπεπταμένων ἐπίδεσις, τὰ μὲν ἄλλα ἔχει τὰ αὐτὰ τῶν ἀφεστώτων. Ἄρχεται γὰρ ἐκ τῶν ὑγιῶν, καὶ κατ᾽ ὀλίγον ἥκει πρὸς τὸ φανερὰν ἕλκωσιν ἔχον δέρμα. διαφέρει δὲ, ἐν τῷ πόρ-
D ρωθεν ἄρχεσθαι μᾶλλον τῆς τῶν ἀφεστώτων, ἀποτείνειν τε τὴν πίεσιν, ἄχρι τῶν ἐκπεπταμένων μορίων, ἐπὶ γοῦν τῶν κόλπων ἐπίδεσιν ἐκ τοῦ πυθμένος αὐτῶν ἤρξω. τὴν δὲ τῶν ἐκπεπταμένων ἐκ τῆς οἷον ῥίζης αὐτῶν ἄρχεσθαι προσῆκον. ἀλλὰ πόρρωθεν ἐκ τῶν ὑγιῶν ἐπάγειν τὸ δέρμα κατὰ βραχὺ πρὸς τὴν ἕλκωσιν, οὐ καλύπτοντα τὴν ἐπίδεσιν τῶν ἑλκῶν, ἀλλ᾽ ἐπιτείνοντα κατὰ βραχὺ τὴν πρώτην ἑαυτῶν περιέλιξιν, ἐκ περιόδου τοῦ δέρματος πίεσιν ποιεῖσθαι. μετὰ ταῦτα δὲ, ἐπὶ μᾶλλον. ἔνιοι μὲν ἐπὶ μιᾶς ἐνεργείας ἤκουσαν, ἔνιοι δὲ ἐπὶ πλειό-
E νων. ἐπὶ μιᾶς μὲν οὖν εἰ ἀκούοιμεν τοῦ πρώτου ὀνόματος, ἡ τῆς ἐπιδέσεως ἀρχὴ δηλωθήσεται. ἐὰν δὲ ἐπὶ πλειόνων, τὴν πρώτην ἐπίδεσιν ὅλην δηλώσει τὸ πρῶτον ὄνομα. ἀληθὲς δέ ἐστιν ἑκάτερον, ἄλλοτε ἐπ᾽ ἄλλης διαθέσεως, οὐκ εἴδει διαφερουσῶν, ἀλλὰ μεγέθει. τὴν μὲν γὰρ ἐπιεικεστέραν ἐκστροφὴν, καὶ διὰ μιᾶς ἐπιδέσεως εἰς τὸ κατὰ φύσιν ἄγειν πειρώμεθα, τὴν μείζονα δὲ, οὐ βιαζόμεθα κατὰ τὴν πρώτην ἐπίδεσιν. ἐπικρατεῖν γὰρ ἐν τῷ τότε καιρῷ χρὴ τῆς φλεγμονῆς θεραπείαν, οὐ τὴν ἐκ τῶν ἐκπεπταμένων ἐπανόρθωσιν. ἐπὶ δὲ τῷ
F τέλει τοῦ λόγου διὰ τοῦτο προσέθηκεν, ὅρον οὐ μάλιστα, τὸ ξυμψαύειν. ἐπεὶ δὲ δύναταί τις ἐπὶ πλέον ἀλλήλοις τὰ συνεστῶτα συνάγειν, ἢ ὥστε ψαῦσαι μόνον· ἀλλὰ τὰ οὕτως συναχθέντα θλᾶται ἀνάλληλα, καὶ ὀδύνην ἐργάζεται, καὶ τὰς φλεγμονὰς αὐτῶν αὐξηθήσεται. χρὴ τοίνυν ἄχρι τοῦ ψαῦσαι, συνάγειν ἀλλήλοις τὰ ἐκπεπταμένα, οὐ προσωτέρω δὲ τούτου. γέγραπται δὲ διχῶς ἡ λέξις ἥδε, κατά τινα μὲν τῶν γραφῶν ὅρον τὸ μάλιστα, καὶ ταύτην γε

Ὧν δὲ συνεσταλμένα διαστεῖλαι, σὺν μὲν φλεγμονῇ τοὐναντίον, αἰεὶ δὲ ταύτῃς, παρασκευῇ μὲν τοιαύτῃ, ἐπιδέσει δὲ, ἐναντίῃ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ συνεσταλμένα, τοῖς ἐκπεπταμένοις ἐναντίως διάκειται. τῶν μὲν γὰρ ἐκπεπταμένων, τὰ χείλη πλεῖστον ἀλλήλοις κεχώρισται πρὸς τοὺς ἐναντίους τόπους, ὥστε τὸ ἕτερον ἐπὶ τὸ δεξιὸν ἀποκεχωρηκὸς εἶναι, τὸ λοιπὸν ἐπὶ τὴν ἐναντίαν C χώραν μεθίστασθαι. τούτοις δὴ ἔμπαλιν τὰ συνεσταλμένα προσπελήλυθεν ἀλλήλοις οὕτως, ὡς ἤτοι τὸ ἕτερον ἐπικεῖσθαι θατέρῳ, ἢ μόνον διπλοῦσθαί πως ἑκάτερον, ἢ περιεσφίγχθαι, καθάπερ τὰ εἱλισσόμενα. καὶ συμβαίνει ἐνίοτε διὰ τὴν φλεγμονὴν καὶ τοῦτο γίγνεσθαι παραπλησίως τῷ ἐναντίῳ παθήματι, καθ' ὃ πλεῖστον ἀλλήλων ἀπῆχθαι πρὸς τὰ ἐναντία τὰ τῶν ἐκπεπταμένων σωμάτων μόρια. θαυμαστὸν δὲ οὐδὲν ἐν πάθει τῆς φλεγμονῆς ἐναντίῳ τούτων εἶναι συμπτωμάτων γέννησιν. οὐ γὰρ ἐν τοῖς μέρεσι μεγάλως φλεγμαίνουσι τῶν ἐκπεπταμένων τε, καὶ συνεσταλμένων μορίων, ἀμφότερα γίγνεσθαι πέφυκεν. D ἐπὶ γοῦν τῶν ὀφθαλμῶν ἐναργῶς ὁρᾶται, τοῦ μὲν περὶ τοῖς βλεφάροις ἔξωθεν δέρματος, μεγάλως φλεγμήναντος, καὶ μέχρι πλείονος, ὡς ἐπιλαμβάνειν τι καὶ τοῦ πλησιάζοντος χωρίου, γιγνόμενον ἐπὶ τῆς φλεγμονῆς, ἐκτρέπεσθαι τὸ βλέφαρον. ὅταν δὲ μετρίως μὲν ἔχῃ τὸ δέρμα, φλεγμονήν· εἰ δὲ μεγάλως ὁ ἔνδον ὑμὴν ὁ μέχρι τῆς ἴρεως ἐκτεταμένος ἐκλείπηται, τότε συμβαίνει τὸ βλέφαρον εἴσω. κἀπειδὰν ἀμφοτέροις αὐτοῖς τοῦτο συμβεβήκῃ, φίμωσις ὀνομάζεται τὸ πάθος, οὐ δυναμένου διοῖξαι τοῦ κάμνοντος οὕτω τὸν ὀφθαλμόν. ὁ δὴ αὐτὸς E τρόπος τοῦ παθήματος, ἐνίοτε καὶ περὶ τὰ χείλη γίγνεται, καὶ πόσθην, καὶ ἕδραν, καὶ ἥγε αἰτία καὶ τούτων ἡ αὐτή. τὰ μὲν γὰρ ἔξωθεν αὐτῶν μέρη φλεγμήναντα σφοδρῶς, ἐκτρέπεται· συμβαίνει δὲ τὰ αὐτὰ παθήματα, καὶ περὶ τὰ τῶν γυναικῶν αἰδοῖα. Ἀνάλογον δὲ τούτοις συμβαίνει γίγνεσθαι καὶ περὶ τὰ τραύματα, καὶ περὶ πάντα ὁπωσοῦν ἡλκωμένα. τῶν μὲν γὰρ ἔξωθεν μερῶν φλεγμαινόντων, ἐκτρέπεται τὰ χείλη τῶν ἑλκῶν, καταπίπτοντα πρὸς τὴν ἔσω χώραν. ἄτροφα δὲ εἶναι καὶ λεπτὰ τηνικαῦτα ἀναγκαῖόν ἐστι F τὰ αὐτὰ χείλη, καὶ πλαδαρά. πρὸς οὓς ἄρα γε· πῶς γὰρ ἂν ἄλλως, εἰ μή τις ὑπάρχῃ, πρὸς τὴν ἔσω χώραν ἑτοίμως καταφέροιτο; αὐτῶν δὲ ἔνδον μερῶν ἡ ἔνδεια, καὶ δι' ἀτροφίαν φθινώδη, καὶ διὰ χειρουργίας ἀμέτρως ἐκκόψασαν τὴν ὑποκειμένην σάρκα, καὶ διὰ σηπεδόνα διαφθείρασαν αὐτὰ συμβαίνει. τὰς μὲν οὖν τοιαύτας διαθέσεις, ἐπίδεσις ὠφελεῖ προσηκόντως γιγνομένη· τὰς δὲ διὰ φλεγμονήν, κατὰ μὲν

Quorum contracta diducenda ſunt cum inflammatione contraria ratione, citra hanc eodem apparatu, & contraria deligatione utendum eſt.

GALENI COMMENTARIUS.

Contracta expaſſis contrariâ ratione ſtatuuntur. Expaſſorum ſiquidem labra plurimùm inter ſe in contrarias ſedes recedunt; itaut alterum in dextram decedat, reliquum in ſiniſtram regionem demigret. His autem verſa vice, contracta ita inter ſe congrediuntur, ut vel alterum alteri incumbat, vel ſolùm alterutrum quodammodo duplicetur, vel ut quæ involuta ſunt, implicentur. Et accidit interdum ob inflammationem etiam id fieri contrario affectui conſimile, in quo partes expaſſorum ab invicem diductæ plurimum in contrarias ſedes recedunt. Nihil mirum eſt inflammationem ut contrarium affectum horum aut ſimilium accidentium procreationem eſſe. Non enim in partibus vehementer inflammatis ambo evenire conſueverunt, & expaſſa & contracta eſſe corpora. In oculis enim externarum palpebrarum cutis vehementi obſidetur inflammatione, eoque exceſſu, ut proximum ſpatium occupare queat, palpebræ everſionem ob inflammationem edi manifeſtè conſpicitur. Quum autem mediocriter, inflammatione quidem afficicitur cutis; ſi vehementer interior tunica ad iridem uſque porrecta relinquitur, tunc concidit introrſum palpebra. Quumque ambabus palpebris hic affectus accidit, præcluſio ſeu phimoſis appellatur morbus quum ita laborans oculum aperire nequiret. Hoc ipſum genus morbi nonnunquam labra, præputium, & ſedem obſidet, eorumque eadem cauſa eſt. Quum enim externæ eorum partes vehementi inflammatione laborant, evertuntur. Eædem quoque affectiones pudendis muliebribus accidunt. His par & vulneribus, & omnibus quomodocunque ulceratis oboriri contingit. Externis ſiquidem partibus inflammatis, ulcerum labra evertuntur, in interiorem regionem recidentia; atque tunc ipſa labra tabeſcere, extenuari, ac flacceſcere neceſſum eſt. Ad quos *hæc oratio?* Nonne vera eſt? Quomodo nanque aliter fieret, niſi quis ſupponat labra in interiorem regionem promptè deferri? At ipſarum partium interiorum inopia, ob atrophiam tabidam, per Chirurgiam ſubjectas carnes plus ſatis excidendas, & putredinem eas partes corrumpentem, accidit. Ergo hujuſmodi affectibus deligatio decenter conſtructa prodeſt; quos tamen ob inflammationem per ſe

xatur. Sed quia medicamentis inflammationi medentibus ſubſervit, propterea neceſſaria proditur. Quamobrem pronunciavit Hippocrates contractas partes cum inflammatione diducere juvat, nobis contraria facientibus, quod eſt, deligationem vitantibus. Quoniam non niſi propter magnam neceſſitatem ad *topica* quædam inflammatis partibus ſuperinjecta, ut à quibus ſperamus hæc citra deligationem immorari poſſe, nullo modo faſciam ut aliquod ſuper propoſitum topicum contingat, injicimus; ipſam ex tenuiſſimis & leviſſimis linteis conſtruimus; & circuitibus, quantum fieri poteſt, pauciſſimis, vel etiam unico ſolo utimur. Id ipſum autem multos Medicos latuit qui externis partibus inflammatis, qua tumor eſſet, ſuper cataplaſmata craſſa impoſuerunt; duros & graves panniculos, multas lanas, & faſciarum multitudinem, quæ per ſe omnia maximè ſunt adverſa inflammationibus, quæ ab onerantibus oblæduntur. Jam verò contracta ſi citra inflammationem ſint, in iis faſciarum præparationem eandem ac priorem eſſe imperat; deligationem verò expaſſorum deligationi contrariam. Hanc ſiquidem, ducto faſciarum procul ab ſanis partibus principio, reducta verò circuitu ad expaſſas partes *faſcia*, & adaucta paulatim compreſſione conſtruximus. Illam contractarum partium deligationem ab affecto loco incipientes, & circumagimus, & ad eam quæ juxta locum eſt, cutim reducimus. Addendum hic quod ab Hippocrate prætermiſſum eſt. Non enim univerſam eorum quos memorat affectuum curationem ſcribere conſtituit, ſed ſolam manu operantem. Ego verò ut integra ſit oratio, reſiduum addam. Quum quid horum quæ contracta ſunt, diduxerimus, ſubjectum locum in quem labra deciderunt implere linamentis oportet, vel decenti medicamento, quouſque circunſtanti cuti æquata ſint contracta corpora; moxque dictam deligationem conſtruere.

... οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ βλάπτει βαρύνουσα. διότι δὲ τοῖς ἰωμένοις τὴν φλεγμονὴν φαρμάκοις ὑπηρετεῖ, διὰ τοῦτ᾽ ἀναγκαία γίνεται. Κατὰ τοῦτο δὲ καὶ ὁ Ἱπποκράτης εἶπε τὰ συνεσταλμένα μόρια, σὺν μὲν φλεγμονῇ, τἀναντία πραττόντων ἡμῶν, ὀνίνησιν, ὅπερ ἐστὶ φεύγοντας ἐπίδεσιν. ὅτι μὴ διὰ μεγάλην ἀνάγκην, ἕνεκα τοῦ κατέχειν τινὰ τῶν ἐπικειμένων τοῖς φλεγμαίνουσι μορίοις, ὡς ὑφ᾽ ὧν γε ἐλπίζομεν ἐπιμεῖναι ταῦτα δύνασθαι, χωρὶς ἐπιδέσεως, οὐδ᾽ ὅλως ἐπίδεσμον ὥστε κρατῆσαι τι τῶν ἐπικειμένων προσφέρομεν, αὐτὸν ἐκ λεπτοτάτων τε B καὶ κουφοτάτων ὀθονίων ποιούμεθα, καθόσον οἷόν τε περιβολαῖς ἐλαχίσταις, εἰ καὶ μόνῃ μιᾷ. τοῦτο δὲ αὐτὸ, τοὺς πολλοὺς ἰατροὺς ἔλαθεν, ἐπιθέντας ἔξωθεν ἐπ᾽ οἰδοῦσι τοῖς φλεγμαίνουσι, καταπλάσματά τε παχέα, καὶ ῥάκη σκληρὰ, καὶ βαρέα καὶ ἔρια πολλὰ, καὶ πλῆθος ἐπιδέσμων, ἅπερ πάντα καθ᾽ ἑαυτὸν ἐναντιώτατα ταῖς φλεγμοναῖς ἐστι, μεγάλως ὑπὸ τῶν φλεγμαινόντων βλαπτομέναις. Ἐὰν μέντοι χωρὶς φλεγμονῆς τὰ συνεσταλμένα γίνηται, τὴν μὲν τῶν ὀθονίων παρασκευὴν τὴν αὐτὴν τῇ ἔμπροσθεν εἶναι C κελεύει, τὴν δὲ ἐπίδεσιν, ἐναντίαν τῇ τῶν ἐκπεπταμένων. εἴπερ ἐπ᾽ ἐκείνων ἐποιησάμεθα τὴν ἀρχὴν τῶν ἐπιδέσμων, ἀγαγόμενοι πόρρωθεν ἀπὸ τῶν ὑγιῶν, ἐπιφέροντες δὲ ἐκ περιτροπῆς τοῖς ἐκπεπταμένοις αὐτοῖς, καὶ κατὰ βραχὺ τὴν πίεσιν αὐξάνοντες, τὴν τῶν συνεσταλμένων, ἀπὸ τοῦ πεπονθότος ἀρχόμενοι, περιτρέπομέν τε καὶ ἀπάγομεν ἐπὶ τὴν πέριξ χώραν τὸ δέρμα. προσθεῖναι χρὴ ἐνταῦθά τι παραλελειμμένον ὑφ᾽ Ἱπποκράτους. οὐ γὰρ προὔκειτο, πᾶσαν αὐτῷ τῶν παθῶν ὧν μνημονεύει D θεραπείαν γράφειν, ἀλλὰ μόνην τὴν χειρουργίαν. ἐγὼ δὲ, ἵνα τέλειος ὁ λόγος ᾖ, προσθήσω τὸ εἰπὼν ὅταν τι τῶν, ὡς εἴρηται, συνεσταλμένων ἐκτρέπωμεν, ἀναπληρῶσαι χρὴ τὴν ὑποκειμένην χώραν, εἰς ἣν καταπέπτωκε τὰ χείλη μοτοῖς, ἢ φαρμάκῳ τῷ προσήκοντι, μέχρις ἂν ἰσόπεδα γίνηται τῷ πέριξ δέρματι τὰ συνεσταλμένα σώματα, κἄπειτα ὑπὸ τὴν εἰρημένην ἐπίδεσιν ποιεῖσθαι.

Finis Sectionis ſecundæ, Libri & Commentarii ſecundi.

Τὸ δευτέρου τοῦ Βιβλίου τμήματος καὶ δευτέρου ὑπομνήματος τέλος.

ΤΟ ΚΑΤ' ΙΗΤΡΕΙΟΝ ΒΙΒΛΙΟΝ,

ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟ

ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ.

HIPPOCRATIS

DE MEDICI OFFICINA LIBER:

ET GALENI IN EUM

COMMENTARIUS TERTIUS.

Η ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΕ ΚΑΙ ΥΠΟΜΝΗΜΑΤΟΣ ΥΠΟΘΕΣΙΣ.

Τὴν ἐξηγηθεῖσαν τοῖς προτέροις ὑπομνήμασιν ἐπιδέσεων χρῆσιν εἶναι Ἱπποκράτης, ἐπιδείκνυσιν ὁ Γαληνός. Ἀλλὰ μὲν ἐν τῷ περὶ καταγμάτων, καὶ τὸ περὶ ἄρθρων πλείονα.

LIBRI ET COMMENTARII ARGVMENTVM.

Explicatarum ſuperioribus Commentariis deligationum uſum pronunciat Hippocrates, demonſtrat Galenus, ſed in Libris de Fracturis, & Articulis ampliorem.

Τί διαστροφή· τετραπλάσιον γίνεσθαι τὴν διαστροφὴν, τὴν ἐπὶ τὰ ἔκτος, καὶ τὰ ἔνδον, τὴν ἄνω καὶ κάτω. τὸν κοινὸν σκοπὸν τῆς θεραπείας ἐνδείξαι τὰ βοηθήματα· διεστραμμένα διορθῶσαι. ἀπολελυθότα ἐπαγαγεῖν ταῖς ἐπιδέσεσι, καὶ προσκολλάσεσι, καὶ ἀναλαμβανούσαις, καὶ κατατεθεῖσιν ὧν ἡ χρῆσις, καὶ ὠφέλεια διασαφηνίζεται· περὶ τῆς ῥινὸς, καὶ πήχεος, καὶ τῶν σκελῶν διαστροφῶν. Τὸ ὑπόμνημα πρῶτον εἰς τοῦτο βιβλίον γεγράφθαι, περὶ τῶν φυσικῶν κριτηρίων· δεύτερον δὲ περὶ τῶν τὴν χειρουργίαν συμπληρούντων· τρίτον δὲ περὶ ἐπιδέσεως.

A Quid perverſio. Quadruplicem fieri perverſionem, internam, externam; ſuperiorem, inferiorem. Communem curationis ſcopum, auxilia indicaturum. Perverſa dirigenda; ſeparata, adducenda devincientibus, agglutinantibus, ſuſpendentibus, poſituris, quorum uſus ac utilitas explicatur. De naſi & cubiti, & cruris perverſionibus. Commentarium primum hunc in librum agere de naturalibus judiciis; ſecundum de iis quæ artem Chirurgicam explent; tertium de deligatione.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. α'.

Διεστραμμένα δὲ διορθῶσαι· τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά. δεῖ τὰ μὲν ἀπολελυθότα ἐπαγαγεῖν ἀποδέσει, προσκολλήσει, ἀναλήψει, τὰ δὲ ἐναντία, ἐναντίως.

B

HIPPOCRATIS TEXTUS I.

Perverſa dirigenda ſunt, cætera iiſdem modis. Quæ deceſſerunt, ea ſubligatione, agglutinatione, ſuſpenſione adducenda. Contraria contrario modo.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αἱ διαστροφαὶ γίνονται, ποτὲ μὲν ἀποχωροῦντός τινος ἐκ τῆς ἰδίας ἕδρας ἐπὶ τὰ ἐκτὸς τοῦ

GALENI COMMENTARIUS.

Perverſiones oboriuntur, quum quid interdum è propria ſede in externas corporis partes

[illegible], quemadmodum in naſo. Siquidem in exteriorem regionem, aut oſſium ipſius, aut alarum pars ſecedat, ab exteriori parte fit perverſio; ſi verò in interiorem meatum procedat, in hunc naſus diſtorquetur. Palam eſt his in omnibus communem curationis ſcopum auxilia indicaturum. At communis fuit ſcopus omnibus *Contraria contrariorum eſſe remedia.* Quapropter nunc etiam quæ deceſſerunt, tum per alia præſidia (de quibus diſſerere propoſitum non eſt) tum præcipuè per faſcias adducenda ſunt. Ipſe verò docuit faſciarum injiciendarum locos ad hæc utiles. Deligationem quidem, ut etiam antea ſcripſit, & ad ea quæ abſceſſerunt, & quæ expaſſa, & quæ contracta ſunt, utilem; agglutinationem verò, ut in libro de Articulis, ad naſum & maxillam; ſuſpenſionem autem, ut in libro de Fracturis, ubi protulit: *Nam ſi os utrunque, aut inferius ſolùm fractum ſit, devinctus verò mitellâ quadam manum exceptam ac appenſam habeat, & ampliſſima faſcia pars fracturam contineat: hinc verò & inde manus ſuſpenſa ſit; huic neceſſe eſt comperiri os alterum ad partem ſuperiorem perverſum ſortienti. Si verò ita fractis oſſibus ſummam manum in mitella etiam ad cubiti flexum uſque contineat, reliqua verò pars cubiti ſuſpenſa non ſit, ipſe ad inferiorem partem os perverſum habere comperietur. Oportet igitur in mitella molli latitudinem ſortita, maximam cubiti partem, & manus juncturam æqualiter ſuſpendi.* Hæc igitur oratio vitioſam docet ſuſpenſionem quæ perverſionem efficit, & perverſorum curationem indicat. Agedum, alicui deorſum cubitus pervertatur: hunc ipſi ſuppoſitâ deorſum anguſtâ faſciâ ſuſpendemus; ſi verò in ſuperiora perverſus fuerit, revocantem in inferiora ſuſpenſionem promovebimus, quâ partes juncturæ, & flexuræ vicinas mitella complectitur. Quod autem interjectum eſt, inſtabile, quemadmodum etiam ſi carpo in ſuperiora perverſio contigerit, ad inferiora revocantem deligationem adducemus, quæ cubiti partes complectatur, & quod carpo vicinum eſt extremum, inſtabile relinquimus. Ad hæc autem & in ea quæ ad cubiti flexum in ſuperiora fit perverſione, eam quæ ſolùm hunc inſtabilem relinquat, ſuſpenſionem adducemus, quæ eadem è loco perverſo deorſum revocet. Verùm in paucis multa contraham, ſi quædam nondum perverſa pervertant, eadem, contrario modo perverſa dirigunt. His verò conſimile per tibiam, & femur in univerſi cruris poſituris pervertitur, ac dirigitur. Quod enim in manu ſuſpenſio, id in crure poſitura *efficit*; atque ſuſpenſionis nomine, etiam poſitura ſubaudienda eſt. Quod autem in textûs fine pronunciatum eſt, *contraria contrario modo,* id de prædictis deligationibus explicari poteſt; prædictis ſiquidem affectibus aſſore contraria, pronunciare ipſum *interpretamur*, quæ contrario modo devinciuntur, ea inſtaurari, hoc eſt iis quæ præter naturam directa ſunt, abſcedentibus. Sed priùs prodita, mihi de his dicta ſunt in libro de Medicatrina. Prima omnium ſcripta eſt oratio de naturalibus judiciis, quibus univerſi homines & ad artium omnium tractationem, & ad totius vitæ adminiſtrationem utuntur: ne-

δον τοῦ σώματος, οἷον ἐπὶ τῆς ῥινός. ἐὰν μὲν εἰς τὴν ἐκτὸς χώραν, ἤτοι τῶν ὀστῶν αὐτῆς, ἢ καὶ τῶν πτερυγίων ἀποχωρῇ τι, διαστροφὴ γίνεται πρὸς τοὐκτός. ἐὰν δὲ εἰς τὸν ἔνδον πόρον ἀφίκηται, διαστρέφεται πρὸς τοῦτον ἡ ῥίς. ἀνάλογον δὲ, κἀπὶ τῶν ἄλλων μορίων διαστροφαὶ γίνονται, δηλονότι κἀπὶ τούτων ὁ κοινὸς ἅπασι σκοπὸς τῆς θεραπείας ἐνδείξεται τὰ βοηθήματα. κοινὸς δὲ πᾶσιν ἦν σκοπὸς, τἀναντία τῶν ἐναντίων ἰάματα, ὥστε
B καὶ νῦν τὰ μὲν ἀπεληλυθότα προσακτέον ἐστὶ, καὶ δι' ἄλλων μὲν τῶν βοηθημάτων, ὑπὲρ ὧν οὐ πρόκειται λέγειν, ἀτὰρ οὖν καὶ δι' ἐπιδέσμων. αὐτὸς δὲ εἶπε τοὺς τῶν ἐπιδέσμων τόπους εἰς ταῦτα χρησίμους. ἐπίδεσιν μὲν, ὡς καὶ πρόσθεν αὐτὸς ἔγραψεν, ἐπί τε τῶν ἀφεστώτων, καὶ ἐκπεπταμένων, καὶ συνεληλυθότων, ἀνακόλλησιν δὲ, ὡς ἐν τῷ περὶ ἄρθρων, ἐπὶ ῥινὸς καὶ γένυος, ἀνάληψιν δὲ ὡς ἐν τῷ περὶ καταγμάτων, ἔνθα φησίν. ἢν γὰρ τὰ μὲν ὀστέα ἄμφω καταγῇ, ἢ τὸ κάτω μοῦνον, ὁ δὲ ἐπιδεδεμένος ἐν ταινίῃ τινὶ τὴν χεῖρα ἔχῃ ἀνειλημμένην. τυγχάνῃ δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα,
C ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπῃωρημένη, τοῦτον ἀνάγκη τὸ ἐπάνω ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω μέρος. ἢν δὲ κατεαγότων τῶν ὀστέων οὕτως ἄκρην τὴν χεῖρα ἐν τῇ ταινίῃ ἔχῃ, καὶ περὶ τὸν ἀγκῶνα, ὁ δὲ ἄλλος πῆχυς μὴ μετέωρος εἴη, οὗτος εὑρεθήσεται τὸ ὀστέον εἰς τὸ κάτω μέρος διεστραμμένον ἔχων. χρὴ οὖν ἐν τῇ ταινίῃ πλατέῃ ἐούσῃ, μαλθακῇ, τὸ πλεῖστον τοῦ πήχεος, καὶ τὸν καρπὸν τῆς χειρὸς ὁμαλῶς αἰωρέεσθαι. Ἡ ῥῆσις οὖν αὕτη μοχθηρὰν ἀνάληψιν, ἥτις διαστροφὴν ἐργάζεται διδάσκουσα, καὶ τὴν
D τῶν διεστραμμένων ἴασιν ἐνδείκνυται. Φέρε γὰρ τινὶ διεστράφθαι πρὸς τὸ κάτω τὸν πῆχυν, ἀναληψόμεθα τοῦτο ὑποθέντες αὐτῷ πρὸς τὸ κάτω, ταινίαν στενήν. εἰ δὲ πρὸς τὰ ἄνω διεστραμμένος εἴη, τὴν πρὸς τὰ κάτω διαστρέφουσαν ἀνάληψιν παραληψόμεθα, καθ' ἣν τὰ μὲν πρὸς τῷ καρπῷ, καὶ τῷ ἀγκῶνι μόρια, ταινία ἔχει, τὸ δὲ μεταξὺ ἀστήρικτόν ἐστι, ὥσπερ γε καὶ εἰ ἐν τῷ καρπῷ διαστροφὴ γένοιτο πρὸς τὰ ἄνω, τὴν ἐπὶ τὰ κάτω διαστρέφουσαν ἐπίδεσιν προσάξομεν, ἥτις σφίγγουσα τὰ πρὸς ἀγκῶνα, τὸ πρὸς τῷ καρπῷ πέρας ἀστήρικτον ἀπολείπει. κατὰ ταῦτα δὲ, καὶ περὶ
E τῆς πρὸς ἀγκῶνα διαστροφῆς πρὸς τὸ ἄνω, τὸ ἀνέδρασον μόνον τοῦτο καταλιποῦσαν ἀνάληψιν προσάξομεν, ἥτις τούτῳ διεστραμμένῳ αὐτὸ διαστρέφει εἰς τὰ κάτω. συνελόντι δὲ εἰπεῖν, εἴ τινα μήπω διεστραμμένα διαστρέφουσιν, αὐτὰ τὰ πρὸς τὸν ἐναντίον τρόπον διεστραμμένα κατευθύνουσι. ἀνάλογον δὲ τούτοις ἀμφότερα διαστρέφεταί τε καὶ κατορθοῦται κατὰ κνήμην, καὶ μηρὸν ἐν τῇ ὅλου τοῦ σκέλους θέσει. ὅπερ γὰρ ἐπὶ χειρὸς ἀνάληψις, τοῦτο θέσις ἐπὶ σκέλους, καὶ χρὴ προσυπακούσαι τῷ τῆς ἀναλήψεως ὀνόματι, καὶ τὴν θέσιν. τὸ δὲ ἐπὶ τῷ
F τέλει τῆς ῥήσεως εἰρημένον, τὰ δὲ ἐναντία, ἐναντίως, ἐγχωρεῖ καὶ περὶ τῶν εἰρημένων ἐπιδέσεων λέγεσθαι. τὰ γὰρ ἐναντία γενήσεται τοῖς εἰρημένοις πάθεσι, λέγειν αὐτὸν ἐναντίως ἐπιδούμενα κατορθοῦσθαι, τουτέστι τοῖς μὲν ἀφεστῶσι τὰ παρὰ φύσιν ἐξευθυσμένα. λέλεκται δέ μοι τὰ περὶ τούτων ἱκανώτερον ἐν τῷ κατ' ἰητρεῖον βιβλίῳ. πρῶτος μὲν ἁπάντων γέγραπται λόγος ὁ περὶ τῶν φυσικῶν κριτηρίων, οἷς χρώμεθα πάντες ἄνθρωποι, τά τε κατὰ τὰς τέχνας ἁπάσας διοικοῦσι, καὶ σύμπαντα τὸν βίον. ἔχρηζε γὰρ,

αὐτῇ τοῦ πάθους, ἐν δὲ τῷ νῦν ἡμῖν εἰρημένῳ λόγῳ περὶ καταγμάτων ποιεῖ τὴν διδασκαλίαν, ὑποπεπτωκότων πάθει B γενικῷ, τῇ λύσει τῆς συνεχείας. οὕτως γὰρ ἐγὼ προσαγορεύειν εἴωθα τοῦτο τὸ γένος τοῦ πάθους. ὁ δὲ Ἱπποκράτης ἀφιστῶντα καλεῖ τὰ σώματα τὰ οὕτω πεπονθότα, ὥστε καὶ τὸ πάθος αὐτῶν ἀπόστασις εἰκότως ὀνομασθήσεται, καὶ γενήσεται ἕν τι εἶδος τοῦ γένους τῶν παθῶν, ὃ καλοῦσιν ἰδίως ἀπόστασίν τε, καὶ ἀπόστημα. ταῦτα μὲν οὖν αὐτὰ τὰ νῦν εἰρημένα χάριν ἀναμνήσεως ὧν ἔμπροσθεν ἐξηγησάμην, εἴρηταί μοι. καιρὸς δὲ ἤδη τῆς ἐφεξῆς ἄρξασθαι.

nem tum à partis affectæ natura, tum ab ipſius affectu ſumentibus. In præſenti oratione, quæ nobis de fracturis enunciata eſt, doctrinam eorum aſtruit, quæ generali affectui continuitatis ſolutioni ſubjacent. Sic enim ego ſolitus ſum hoc morbi genus appellare. Quæ verò corpora ſic affecta ſunt, abſcedentia vocat Hippocrates. Quare & eorum affectus abſceſſus meritò nominabitur; fietque una quædam generis morborum ſpecies, quam propriè abſceſſum & apoſtema vocitant. Hæc igitur ipſa nunc commemorationis eorum gratiâ, quæ ſuperiùs explicaveram, à me ſcriptis prodita ſunt. C Jam verò deinceps datur exordiendi tempus.

Περὶ σπληνίων τῶν τῇ ἐπιδέσει ἴσων ὄντων. ταῦτα μὲν τῷ πλάτει τριῶν ἢ τεττάρων δακτύλων εἶναι· τῷ δὲ πάχει ἢ τρίπτυχα, ἢ τετράπτυχα· τῷ δὲ πλήθει τῷ κώλῳ ἐπιδουμένῳ, καὶ τῷ τοῦ κατάγματος μεγέθει σύμφωνα. ἅπερ σπλήνια τῶν κλεισὶ κατεαγείαις πρέπουσι.

De ſpleniis; quæ deligationi æqualia ſint longitudine; latitudine trium aut quatuor digitorum; craſſitudine triplicia, aut quadruplicia eſſe jubet; multitudine deligando membro, & fracturæ magnitudini conſona. Quę ſplenia fractas claviculas deceant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

ΣΠληνῶν μήκεα, πλατέα, παχέα, πλήθεα. μῆκος ὅσον ἡ ἐπίδεσις, πλάτος τριῶν, ἢ τεσσάρων δακτύλων. πάχος, τριπτύχοις ἢ τετραπτύχοις. πλῆθος, κυκλέουσι μὴ ὑπερβάλλειν, μηδὲ ἐλλείπειν. D

HIPPOCRATIS TEXTUS II.

SPleniorũ longitudinem, latitudinem, craſſitudinem, multitudinem. Longitudo, quãta eſt deligatio. Latitudo trium, aut quatuor digitorum. Craſſitudo triplica, aut quadruplica. Multitudo dum circundant, neque exuperet, neque deficiat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τῷ περὶ τῶν καταγμάτων λόγῳ τῷ νῦν αὐτοῖς προκειμένῳ, πρῶτον μέμνηται τῶν προκειμένων σπληνῶν καλουμένων, κελεύων αὐτοὺς εἶναι τῷ μήκει μὲν ἴσους τῇ ἐπιδέσει, καὶ περιλαμβάνεσθαι δι' ἐκείνης, ἕνεκα τοῦ στηρίζειν, καὶ κατέχειν αὐτὴν ἀκίνητον. τῷ δὲ πλάτει τριῶν ἢ τεττάρων δακτύλων, τῶν τοῦ αὐτοῦ τοῦ ἐπιδουμένου δηλονότι, τῷ πάχει δὲ, E ἢ τριπτύχους, ἢ τετραπτύχους. ἔνθα μὲν ἀσφαλεστέρας φρουρᾶς ἡ ἐπίδεσις δεῖται τετραπτύχους, ἔνθα δὲ οὐ τοιαύτης, ἀρκούμενος ἡγούμενος καὶ τοῖς τριπτύχοις. εὔδηλον δ' ὅτι τὰ συντετριμμένα μᾶλλον ὀστᾶ, πλείονος ἀσφαλείας δεῖται. τὸ δὲ πλῆθος τῶν σπληνῶν, τοσοῦτόν φησιν εἶναι χρῆναι, ὡς ἐν κύκλῳ περιληφθῆναι τὸ ἐπιδούμενον κῶλον. οὐ γὰρ δὴ τοῖς τῆς κλειδὸς, ἢ πλευρᾶς κατάγμασι περιλαμβάνειν ἐν κύκλῳ δυνατὸν, ἀλλ' ἐπ' ἐνίων, τὸ μέγεθος τοῦ κατάγματος F ἐνδείξεταί σοι τὸν ἀριθμὸν τῶν σπληνῶν. ἐπὶ τῆς κλειδὸς εἰώθαμεν ὡς τὸ πολὺ χρῆσθαι τρισὶ τετραπτύχοις σπληνίοις· τοῖς δύο μὲν τοῖς πρώτοις εἰς ὁμοιότητα τοῦ χ γράμματος ἐπιβάλλοντες, ὡς κατ' αὐτοῦ τοῦ συντετριμμένου τὸ μέσον ἑκατέρου καθ' ὃ συμβάλλουσιν ἀλλήλοις ἐπικεῖσθαι. τρίτον δὲ αὐτοῖς καὶ ἔξωθεν ἐπιθέντες, κατὰ τὸ τοῦ σώματος μῆκος ἐκτεταμένον, αὐτοῖς γε τοῖς ὑποκειμένοις σφίγγοντα, καὶ τὸ κατεαγὸς μέρος τῆς κλειδὸς πιλοῦντα.

GALENI COMMENTARIUS.

IN libro de fracturis, qui nunc idem proſtat; primùm eorum meminit, quæ appoſita ſplenia vocantur, ipſa quidem jubens eſſe deligationi æqualia longitudine, ac per illam excipi; ut ipſam fulciant, & immobilem retineant. Latitudine verò ſint trium aut quatuor digitorum hominis ejus nimirum qui deligatur. Craſſitudine autem aut triplicia aut quadruplicia; Ubi quidem firmiori fulcimento deligatio indiget, quadruplicia; ubi verò tali non opus eſt, triplicia ſatis eſſe auguratur. Liquidò conſtat oſſa magis comminuta ampliorem ſtabilitatem deſiderare. Spleniorum, inquit, multitudinem tantam eſſe oportet, ut quod deligatur, membrum in orbem amplectatur. Non enim ſanè claviculæ, aut coſtæ fracturas in orbem amplecti datur. Verùm in nonnullis fracturæ magnitudo ſpleniorum numerum indicabit. In clavicula tribus ſpleniis quadruplicatis uti plerunque conſuevimus, duo quidem prima ad x literæ ſimilitudinem injicientes, ut ſuper oſſe comminuto, amborum medium quà inter ſe copulantur, quibuſdam incumbat. Tertio denique ipſis & extrinſecus impoſito, id in corporis longitudinem porrectum ipſa ſubjecta aſtringit, & fractam claviculæ partem coarctat.

ſpleniorum hic uſum, ejuſque conſequendi viam non Hippocrates, ſed Galenus docet, qui duplicem eſſe dicit uſum, faſciarum retentionem, & expletionem.

Τὴν ἐνταῦθα σπληνῶν χρείαν, καὶ ταύτης τευξομένης ὁδὸν οὐχ Ἱπποκράτης ἀλλὰ μὲν ὁ Γαληνὸς διδάσκει, ὃ διττὴν εἶναι λέγων χρείαν, τὴν κράτησιν τῶν ὑποδεσμίδων τε καὶ ἀποπλήρωσιν.

HIPPOCRATIS TEXTUS III.

AT quibus ad directionem adhibentur, *longitudinem, in orbem convolutione, latitudinem, & craſſitudinem defectu conje-* B *ctare ſic oportet, ut non confertim compleamus.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γʹ.

ΟΙσι δὲ ἐς ἐξόρθωσιν μῆκος κυκλεῦνται πλάτος, καὶ πάχος τῷ ἐνδεῖν τεκμαίρεσθαι, μὴ ἀθρόα πληρεῦνται.

GALENI COMMENTARIUS.

MIror primùm quidem quomodo ſpleniorum uſum non docuerit; deinde viam, quâ quis ipſum conſequatur. Enimverò is uſus duplex exiſtit, tum faſciarum priùs injectarum retentio, his ipſis expletio, quas & acuminatas, & extenuatas ipſe vocare conſuevit, quales ſunt cubiti propè carpum, & tibiæ propè pedem C partes. In his enim imperat in orbem ſplenia complecti, ut poſt exteriorum faſciarum injectionem par eſſet craſſitudini deligatio. Quum ergo duo ſint admotionis ſpleniorum uſus, tum retentio, tum expletio, quam ipſe directionem appellat, hortatur ipſe tantâ eſſe longitudine, ut quod deligatur corpus complecti in orbem poſſint; craſſitudine verò, & latitudine partium nimirum indigentia. Longitudine quidem ſi altiora fuerint quàm ut partem in orbem amplectantur, alterum ipſorum extremum alteri D ſuperpoſitum illius membri partem *aliis* utrinque *partibus* eminentiorem objicere neceſſe eſt: itaut inæqualis extet deligatio, propterea que laxior. Sin breviora fuerint, quàm eorum extrema ſe mutuò tangant, interpoſitum quoddam inane ſpatium relinquunt; ac proinde inæqualiter iterum contrario modo deligatio reddetur. Ut enim in longioribus gibbum aliquem & eminentiam: ſic & in his brevioribus & defectum quendam, & cavitatem cepiſſe ſpatium neceſſarium erit. At horum ſpleniorum applicationem non ſemel univerſam, ſed ſenſim conſtrui imperat. Tenuiora ſiquidem craſſi- E tudine, ſuperiora injici oportebit; craſſiora verò inferiora. Si affatim unum injeceris, tibi erit eo in ſpatio deligatio, qualis membro ab exordio extitit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΘΑυμάζω πῶς οὐκ εἶπε πρῶτον μὲν τὴν χρείαν τῶν σπληνῶν, εἶθ' ὅπως ἄν τις αὐτῶν τύχοι. χρεία μὲν γὰρ αὕτη διττὴ, κράτησίς τε τῶν ὑποδεσμίδων, ἀναπλήρωσίς τε κατὰ τὰς κοιλότητας τῶν μορίων, ἃ καλεῖν αὐτὸς εἴωθεν ἀπόξυ τε καὶ ἀπόξηρα, καθάπερ ἐστὶ, πήχεος μὲν πρὸς καρπῷ, κνήμης δὲ, πρὸς ποδί. περιβάλλειν γὰρ ἐν τούτοις ἀξιοῖ κυκλοτερῶς τοὺς σπλῆνας, ὡς μετὰ τὴν ἐπιβολὴν τῶν ἔξωθεν ἐπιδέσμων, ἴσην εἶναι τῷ πάχει τὴν ἐπίδεσιν. οὔσης οὖν δυοῖν χρειῶν τῆς ἐπιθέσεως τῶν σπληνῶν, κρατήσεώς τε, καὶ ἀναπληρώσεως, ἣν αὐτὸς ὀνόμασεν ἐξόρθωσιν, ἀξιοῖ αὐτοὺς εἶναι, τῷ μὲν μήκει τηλικούτους, ὡς ἐν κύκλῳ περιλαμβάνειν τὸ ἐπιδούμενον σῶμα, τῷ πάχει δὲ, καὶ τῷ πλάτει, κατὰ τὴν ἔνδειαν τῶν μορίων δηλονότι. τῷ μήκει μὲν ἐὰν μακροὶ γενηθῶσι, κυκλοτερῶς περιβάλλειν τὸ μόριον, ἀναγκαῖόν ἐστι τὸ ἕτερον αὐτῶν πέρας ἐπὶ θατέρου τιθὲν, ὑψηλότερον ἀποφῆναι τὸ μέρος ἐκείνου τοῦ κώλου τῶν ἑκατέρωθεν, ὥς τε ἀνώμαλον εἶναι τὴν ἐπίδεσιν, καὶ διὰ τοῦτο, χαλαράν. ἐὰν δὲ βραχύτεροι γενηθέντες, ἢ ὥστε ψαύειν ἀλλήλων τὰ πέρατα αὐτῶν, μεταξύ τινα χώραν ἀπολείπωσι κενήν. ἀνωμάλως πάλιν αὖ ἔσται κατὰ τὸ ἐναντίον τρόπον ἡ ἐπίδεσις· ὡς γὰρ ἐπὶ τῶν μακροτέρων κυρτότητά τινα καὶ ἐξοχὴν, οὕτως ἐπὶ τούτων, ἔνδειάν τέ τινα καὶ κοιλότητα λαβεῖν ἀναγκαῖον ἔσται τὸ χωρίον. τὴν περιβολὴν δὲ τούτων τῶν σπληνῶν, οὐκ εἰς ἅπαξ ἀθρόαν, ἀλλὰ κατὰ βραχὺ κελεύει ποιεῖσθαι. λεπτομερεῖς μὲν γὰρ τῷ πάχει τοὺς ἀνωτέρους τεθειμένους εἶναι δεήσει, παχυτέρους δὲ τοὺς κατωτέρους. ἐὰν ἀθρόως ἕνα περιβάλλῃς, ἔσται σοι σχῆμα τῆς κατ' αὐτὸ τὸ χωρίον ἐπιδέσεως, οἷον ἐξ ἀρχῆς ὑπῆρχε τοῦ κώλου.

Quæ, & quot ſint ſubligationes, & earum uſus.

Αἵ τινες, καὶ ὁπόσαι ὑποδεσμίδες, καὶ αἱ τῶν χρεῖαι.

HIPPOCRATIS TEXTUS IV.

EX linteis prævinctæ faſciæ duæ ſunt; prima à parte leſa in ſuperiores; ſecun- F *da à parte leſa in inferiores deſinit.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δʹ.

ΤΩν δὲ ὀθονίων ὑποδεσμίδες εἰσὶ δύο, τῇ πρώτῃ, ἐκ τοῦ σίνεος εἰς τὰ ἄνω, τῇ δὲ δευτέρῃ, ἐκ τοῦ σίνεος εἰς τὰ κάτω τελευτῶσιν.

GALENI COMMENTARIUS.

SUpra quoque à me proditum eſt, ſubligationes ipſum nominare, quæ ante ſpleniorum faſcias omnium primæ affecto corpori injiciuntur. In primo de fracturis libro ſcriptus eſt utriuſque impoſitionis uſus. Prior quidem

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΛΕλεκταί μοι καὶ πρόσθεν, ὑποδεσμίδας ὀνομάζειν αὐτὸν, τοὺς πρὸ τῶν σπληνῶν ἐπιδέσμους, ἃ πάντων πρώτους ἐπιβαλλομένους τῷ πεπονθότι σώματι. γέγραπται δὲ ἐν τῷ περὶ ἀγμῶν, τῆς ἑκατέρας περιθέσεως ἡ χρεία. ὁ μὲν γὰρ πρότερος

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. ε΄.

Κατὰ δὲ σίνος πιέζειν μάλιστα, ἥκιστα δὲ τὰ ἄκρα, τὰ δὲ ἄλλα κατὰ λόγον. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τούτων ὁ λογισμὸς, ἐν τοῖς περὶ ἀγμῶν εἴρηται. καθόλου γὰρ ἐπὶ πάσης ἐπιδέσεως, ἔνθα μὲν ἐσφίγγεται μᾶλλον ἡ ὑποκειμένη σάρξ, ἐκθλίβεται τὸ περιεχόμενον ὑγρὸν ἐν αὐτῇ πρὸς τὰ πέριξ, ἔνθα δὲ ἧττον, ἐνταῦθα δέχεται τὸ μεταρρέον ἐκ τῶν μᾶλλον C θλιφθέντων.

Τρία τὰ τὴν ἐπίδεσιν τὸ πολὺ ὑγιέος μερίου περιβάλλουσαν ἕπεσθαι ἀγαθά.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ΄.

Ἡ δὲ ἐπίδεσις, πολὺ τοῦ ὑγιέος προσλαμβανέτω.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. D

Καὶ ταύτης τῆς συμβουλῆς ὁ λογισμὸς δῆλος. ἐν γὰρ τῷ πολὺ τοῦ ὑγιοῦς ἐπιλαμβάνειν τὴν ἐπίδεσιν, ἥ τε κράτησις ἀσφαλεστέρα τοῦ διαπεπλασμένου γίνεται, καὶ μᾶλλον ἐκθλίβονται τοῦ πεπονθότος ἰχῶρες εἰς τὰ πλησιάζοντα, καὶ ἐκ τῶν ἄνωθεν ἐπιρροὴ κωλύεται μᾶλλον.

Ὁ τῶν ὑποδεσμίδων, καὶ ἐπιδέσμων διορισμός. τὸ προσῆκον τῶν ἐπιδέσμων πλῆθος, καὶ μῆκος, καὶ πλάτος. τὸ πλῆθος ἦ, ὡς κρατεῖν ἀσφαλῶς τὸ διαπεπλασμένον ὀστοῦν E μήτε θλίβειν, μήτε βαρύνειν. οὗτοι τῶν ἐπιδέσμων σκοποὶ δύο εἰσί. τίς ἡ περίρρεψις, καὶ ἡ ἐκθήλυνσις ἐπιδέσμων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ΄.

Ἐπιδέσμων δὲ πλῆθος, μῆκος, πλάτος. πλῆθος μὲν, μὴ ἐλλείπεσθαι τοῦ σίνεος, μηδὲ ναρθήξιν ἐπέρεισιν εἶναι, μηδὲ ἄχθος, μηδὲ περίρρεψιν, μηδὲ ἐκθήλυνσιν ἐπιδέσμου. F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἱ δὲ ἄλλοι σχεδὸν ἅπαντες, οὐ διωρίσαντο ἐπιδέσμους ὑποδεσμίδων. ὁ δὲ Ἱπποκράτης, τοὺς μὲν αὐτῷ τῷ σώματι περιβεβλημένους ἐπιδέσμους, ὑποδεσμίδας ὀνομάζει, τοὺς δὲ τοῖς σπληνίοις ἔξωθεν ἐπιδουμένους, ἐπιδέσμους. Τούτων οὖν ἡλίκον εἶναι χρὴ τὸ πλῆθος, καὶ τὸ μῆκος, καὶ τὸ πλάτος, ἐν τῇδε τῇ ῥήσει διέρχεται. πλῆθος

HIPPOCRATIS TEXTUS V.

Ad læſas partes comprimere maximè; extremas minimè; cæteras pro ratione oportet.

GALENI COMMENTARIUS.

Horum etiam ratio in commentariis de fracturis explicata eſt. In univerſum enim in omni deligatione, ubi ſubjecta caro magis aſtringitur, humor in eâ contentus, ad proximas partes propellitur; ubi minùs hic excipitur, quod ab iis procedit, quæ vehementiùs comprimuntur.

Tria deligationem integræ partis multùm obvolventem ſequi commoda.

HIPPOCRATIS TEXTUS VI.

Deligatio verò multum integræ partis obvolvat.

GALENI COMMENTARIUS.

Ratio quoque hujus conſilii manifeſta. Nam quod integræ partis multum amplectatur deligatio, & conformati oſſis retentio ſecurior fit, & affectæ partis ſanies in proximas partes valentiùs exprimitur, & à ſuperioribus defluxus magis prohibetur.

Inter ſuppoſitas & ſuperpoſitas faſcias differentia. Quæ deceat faſciarum multitudo, latitudo, longitudo. Multitudo ſit quæ os conformatum tutò contineat; nec premat, nec oneret, hæc duo faſciarum ſcopi ſunt. Quæ ſit propenſio, quæ effœminatio.

HIPPOCRATIS TEXTUS VII.

Faſciarum autem multitudinem, longitudinem, latitudinem metiri decet. *Multitudinem à læſione non ſuperari, neque ferulis compreſſioné eſſe, neque onus, neque propenſionem, neque effœminationem faſciæ.*

GALENI COMMENTARIUS.

Alii ferè omnes faſcias à ſubfaſciis non diſtinxerunt. Hippocrates verò injectas *priùs* ipſi corpori faſcias ſubfaſcias ὑποδεσμίδας nominat, faſcias verò ἐπιδέσμους, quæ ſplenиis foris ſuperinjiciuntur. Harum igitur quanta eſſe debeat multitudo, & longitudo, & latitudo, hoc in textu emetitur. Multitudinem

ciatum à læſione non evinci, hoc eſt, quod ſi non evincant faſciæ, contrarium ipſis accidet, & evinci & ſuperari à læſione, hoc eſt à læſa parte. Nam ſi ipſis accidat evincere, quod immobilem conformationem tueatur, ſi ipſa *conformatio* aliquantulum mota fuerit, faſcias quiſpiam ſuperari jure protulerit. Hic textus, *neque ferulis compreſſionem eſſe*, talis erit, ſi pauciores quam deceat faſcias eſſe contigerit, articulorum compreſſio, quæ violentia eſt, & appreſſus extabit læſionem protenſurus. Quod ſi tot faſcias conſtruas, ut ægrotantem oneres, ita quoque in commoderatione peccaveris. Obſervato igitur utroque faſciarum ſcopo, multitudinem conjice. Faſciarum ſcopi duo ſunt, ut ipſæ neque premant, neque onerent, imo *neque propenſionem ipſis eſſe* faſciarum multitudine pronunciavit. Propenſio vero à propendente in alterutram partem vel dextram vel ſiniſtram totâ deligatione, nominatur. Id ipſum quod propendet multitudinis faſciarum incommoderatione contingit. Effœminationem autem (vocabulum ab ipſo pronunciatum) nonnulli quidem de partibus interpretati ſunt, in quibus affectus tanquam partium quæ imbecilles & molles ob injectarum extrinſecus faſciarum multitudinem evaſuræ ſunt. Nonnulli vero de ipſa deligatione, quæ tanquam invalida redditur. Concidit enim impoſitarum ferularum retentio ob ſubinjectorum linteorum multitudinem.

διαπεπλασμένον ὁρῶμεν. τὸ γὰρ μὴ ἡττᾶσθαι τοῦ σίνεος, τουτέστιν ὡς ἄν τι μὴ κρατῶσιν οἱ ἐπίδεσμοι, τοὐναντίον αὐτοῖς συμβήσεται, νικᾶσθαί τε καὶ ἡττᾶσθαι τοῦ σίνεος, τουτέστι τοῦ βεβλαμμένου μέρους. εἰ γὰρ τὸ νικᾶν ἦ αὐτοῖς, ἐν τῷ φυλάττειν ἀκίνητον τὴν διάπλασιν, ἐὰν αὐτὴ κινηθῇ κατά τι, προσηκόντως ἄν τις αὐτοὺς ἡττᾶσθαι φαίη. τὸ μηδὲ νάρθηξιν ἔρεισιν εἶναι, τοιόνδε ἐστίν, ἐὰν ὀλιγώτεροι τοῦ δέοντος οἱ ἐπίδεσμοι τύχωσιν ὄντες, ἔρεισις τῶν ἄρθρων, ὅπερ ἐστὶ βία, καὶ θλίψις ἔσται σίνος
B ἐνέχουσα. καὶ μέντοι καὶ τοσούτους αὐτοὺς ποιήσεις, ὡς βαρύνειν τὸν ἀσθενοῦντα, καὶ οὕτως ἁμαρτήσεις τοῦ συμμέτρου. φυλαττόμενος οὖν ἑκάτερον τῶν σκοπῶν, τοῦ πλήθους στόχασαι. τῶν ἐπιδέσμων οἱ σκοποὶ δύο εἰσί, τὸ μήτε θλίβειν, μήτε βαρύνειν. ἀλλὰ μηδὲ περιρρεπεῖς εἶναί φησι περὶ τῷ πλήθει τῶν ἐπιδέσμων. ἡ δὲ περίρρεψις ἀπὸ τοῦ περιρρέπειν ἐπὶ θάτερον μέρος, ἤτοι τὸ δεξιὸν, ἢ τὸ ἀριστερὸν ὅλην τὴν ἐπίδεσιν ὀνομάζεται. τοῦτο δὲ αὐτὸ τὸ περιρρέπον, ἀμετρίᾳ τοῦ πλήθους αὐτῶν γίνεται. τὴν δὲ ἐκθήλυνσιν, εἴρηται γὰρ αὐτῷ, οἱ μέν τινες ἐπὶ τῶν μο-
C ρίων ἤκουσαν, ἐν οἷς τὸ σίνος, ὡς ἀσθενῶν καὶ μαλακῶν ἐσομένων διὰ τὸ πλῆθος ἐπιβεβλημένων ἔξωθεν ὀθονίων. ἔνιοι δὲ, ἐπὶ τῆς ἐπιδέσεως αὐτῆς, ὡς ἀτόνου γινομένης. ἐκλύεται γὰρ καὶ ἡ τῶν ἐπιτιθεμένων ναρθήκων κράτησις, ὑπὸ τοῦ πλήθους τῶν ὑποβεβλημένων ὀθονίων.

Idonea faſciarum ſeu deligationis menſura docetur, longitudinis & latitudinis à fracturæ magnitudine ſumenda.

D Τὸ ἐπιτήδειον τῶν ἐπιδέσμων ἢ τῆς ἐπιδέσεως μέτρον διδάσκεται μήκους τε καὶ πλάτους ἀπὸ τοῦ κατάγματος μεγέθους λαμβανόμενον.

HIPPOCRATIS TEXTUS VIII.

Longitudo autem & latitudo trium aut quatuor, aut quinque, aut ſex; cubitorũ quidem longitudo; digitorũ verò latitudo ſit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

Μῆκος δὲ καὶ πλάτος τριῶν, ἢ τεττάρων, ἢ πέντε, ἢ ἕξ. πηχέων μὲν, μῆκος, δακτύλων δὲ, πλάτος.

GALENI COMMENTARIUS.

Tot digitorum & cubitorum *laborantis* videlicet devinciendi propriorum deligationem imperat; neque verò terminum ipſius longitudinis & latitudinis unum ſolùm ſtatuit, propterea quod nulla deligationis longitudo in omnibus eſt æqualis, ſed pro fracturæ magnitudine faſciarum immutari multitudinem, longitudinem & latitudinem decernit. Hac in univerſa oratione deligationis poſtremum eſt, quam in libro de fracturis conſtrui eo tempore conſulit, quô pars affecta prorſus inflammatione ſoluta ad ferulas porrigitur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Τῶν ἰδίων τοῦ ἐπιδουμένου δακτύλων καὶ πηχέων δηλονότι, τοσούτων ἀξιοῖ τὴν ἐπίδεσιν εἶναι. τὸν δὲ ὅρον αὐτὸν τοῦ μήκους, καὶ τοῦ πλάτους, οὐχ ἕνα μόνον ἐποίησε, διὰ τὸ μηδὲν τῆς ἐπιδέσεως ἴσον ἐν ἅπασι γίνεσθαι τὸ μῆκος, ἀλλὰ κατὰ τὸ τοῦ κατάγματος μέγεθος ὑπαλλάττεσθαι, διαλλάξει πλήθη, καὶ μήκη, καὶ πλάτη τῶν ὀθονίων. ἐν ἅπαντι τούτῳ τῷ λόγῳ, ἡ τελευταία ἐπίδεσίς ἐστιν, ἣν μὲν ἐν τῷ περὶ ἀγμῶν βιβλίῳ, κατ' ἐκεῖνον ἀξιοῖ τὸν χρόνον γίνεσθαι, καθ' ὃν ἀφλεγμαντότατον τὸ πεπονθὸς, ἐς νάρθηκας ἐμβάλλεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοσαυτάκις ἀξιοῖ τὸ ἐπίδερμα περιβάλλειν τοῖς ἐπιδέσμοις, ὁποσάκις αὖ αὐτῶν ἐκείνων ἕκαστός ἐστι περιβεβλημένος. τὸ δὲ ὡς μὴ πιέζειν, περὶ τοῦ μέτρου τῆς σφίγξεως αὐτῶν διδάσκει. μέχρι γὰρ τοσούτου ἐσφίγχθαι χρὴ κατὰ τὸ τῶν ἐπιδέσμων ἐπίδερμα, μέχρις αὖ ἐπιμένῃ μὲν ἀσφαλῶς, μηδέπω δὲ πιέζῃ. Τί οὖν ἄμεινον, ἢ συνάπτειν ἀλλήλοις τὰ μέρη τῆς ῥήσεως, ὡς εἶναι τὴν λέξιν τοιαύτην. ἐπιδέρματος περιβολὰς τοσαύτας ποιητέον ἐστὶ, ὡς μὴ πιέζειν, ὡς τῶν πάνυ πολλῶν πιεζουσῶν. ἄμεινον δὲ ἐστὶ ἴσως αὐτὶ τοῦ τοσαῦτα, τοιαῦτα, τὸ τρίτον γράμμα ἀπὸ τῆς ἀρχῆς σ μεταστρέψας ι. τῇ γὰρ ποιότητι μᾶλλον αἱ περιβολαὶ τοῦ ἐπιδέρματος ἔχουσι τὸ σύμμετρον τῆς ἐπιδέσεως, οὐ τῇ ποσότητι. C

GALENI COMMENTARIUS.

B Stabilimenti faſcias circunvolvere toties imperat, quoties earum unaquæque circumierit. Illud autem, *ut ne premant*, de aſtrictionis ipſarum modo planum facit. Eatenus enim ſtabilimentum ſuper faſcias coarctari oportet, quatenus tutò immorentur, ſed non premant. Quid igitur præſtantius quàm textûs partes inter ſe conjungere, ut talis prodeat oratio, *Stabilimenti circumvolutiones facienda ſunt, ut ne premant,* quòd premant quamplurimæ. Præſtat fortaſſis pro τοσαῦτα *tot* legere τοιαῦτα *talia*, tertia litera σ à principio in ι commutata. Nam qualitate C magis, quàm quantitate ſtabilimenti circunvolutiones deligationis commoderationem continent.

Μαλθακὰ, μὴ παχέα τοῖς μορίοις πεπονθόσι παραληπτέα, ὥστε μὴ πιέζειν.

Mollia, non craſſa læſis partibus non adhibenda eſſe, ne premant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι.

Μαλθακὰ δὲ, μὴ παχέα.

TEXTUS HIPPOCRATIS X.

M*ollia, non craſſa.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. D

Πάντα ταῦτα δηλονότι κελεύει μαλθακὰ, μὴ παχέα παραλαμβάνεσθαι φυλαττόμενον, ὥσπερ ἐπὶ τῶν ὀθονίων ἔμπροσθεν εἴπομεν, οὕτω κἀνταῦθα, τὴν θλίψιν τῶν ὑποκειμένων σωμάτων.

GALENI COMMENTARIVS.

HÆc omnia videlicet præcipit mollia non craſſa adhiberi, cavens quemadmodum ſupra de linteis diximus, ita & hic ſubjectorum corporum compreſſionem.

Τὴν μέτρησιν τῶν ὀθονίων ἀπὸ μορίου πεπονθότος παραληπτέον εἶναι.

Dimenſionem linteorum à parte affecta petendam eſſe.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια΄ E

Ταῦτα πάντα ὡς ἐπὶ μήκει, καὶ πλάτει, καὶ πάχει τοῦ παθόντος.

HIPPOCRATIS TEXTUS XI.

H*Æc omnia pro longitudine, & latitudine, & craſſitudine partis affectæ.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηται πρόσθεν ἤδη τοῦτο, ἐπ᾽ ἄλλης ὕλης πραγμάτων, ὁμοίας τῇ νῦν. καὶ μεμνῆσθαι χρὴ παρὰ πάντα τὸν λόγον, ὡς ὅσα αὖ ἤτοι περὶ μήκους, ἢ πλάτους, ἢ πάχους, ἢ ἀριθμοῦ τῶν ὀθονίων, λέγεται, ἀναφορὰν ἔχειν πρὸς τοῦ πεπονθότος μορίου μῆκος, καὶ πλάτος, καὶ πάχος. F

GALENI COMMENTARIUS.

ID antea jam dictum eſt in alia rerum materia præſenti conſimili. Meminiſſe etiam oportet quicquid longitudine, vel latitudine, vel craſſitudine, vel numero linteorum dicatur, ad affectæ partis longitudinem, latitudinem, & craſſitudinem relationem habere. F

De ferularum ſtructura, menſura, qualitatibus, & uſu. Ferulas eſſe deligationis fulcimenta. Quid læve, quid aſperum; quid æquale, & inæquale. Cur ferulæ in extremis ſimæ, cur deligationibus minores eſſe debeant.

HIPPOCRATIS TEXTUS XII.

Ferulæ autem ſint leves, æquales, in extremis ſimæ, hinc & illinc paulò minores deligatione, craſſiſsimæ quà extat fractura.

GALENI COMMENTARIUS.

QUemadmodum ſplenia, ſic ferulæ deligationis ſtabilimenta, & fulcimenta ſunt: Verùm ſplenia quidem hypodeſmidum, ferulæ verò internarum omnium; ita ut quatuor ſint univerſa, quorum ſingula proprium uſum præſtant. Imprimis enim interiores hypodeſmides conformatum os continent, & affectam partem inflammari prohibent; deinde ſplenia ipſa ne dilabantur; poſtea ferulas ſtabiliunt, quas Hippocrates & leves, & æquales eſſe præcipit. At lævi aſperum, & æquali inæquale contrarium eſt. Atque quod aſperum eſt, omnino inæquale exiſtit; non tamen quod inæquale neceſſariò eſt aſperum; quemadmodum nec via inæqualis, propalam & aſpera eſt; Nam inæqualis tum eſſe tum appellari poteſt, aſperos aſcenſus & deſcenſus ſortita: proindeque ferulas leves quidem eſſe oportet, non tamen etiam æquales. Hæ ſiquidem ſi quadantenus in tranſverſas partes perverſæ ſint, aut in ſuperiorem vel inferiorem locum æquales utique non erunt, iis non erit æqualitas, ſed levitas fortaſſis eſſe poterit. At fracturæ conducit neque aſperas, neque perverſas eſſe ferulas: Nam utroque modo comprimunt. Supra modum verò perverſæ deligationes ſimul per ſe quoque pervertunt. Hac autem perverſa, fracta quoque pars ſimul pervertitur; Simas autem in extremis ferulas eſſe conſulit. Poteſt id ſimum nomen ſignificare ferulas paulatim in inferiori parte deraſas. Nam quæ ad finem uſque æquali ſunt craſſitudine, æqualem ibi deligationem cæteris omnibus partibus efficiunt, quod effici non oportet. Conſulit enim in medio arctiùs deligatione aſtringi, indeque versùs extrema laxari, illa verò omnibus laxiora eſſe. Verùm & ipſas longitudine minores eſſe deligatione jubet, ut poſt deligationem cutim minimè tangant, quæ quod humores faſciis expreſſos excipiat, ſæpius tumet. Sed craſſiores ipſas fracturæ ferulas ineſſe conſulit; quandoquidem hic locus ſub ipſis potiſſimùm deligationem deſiderat.

Περὶ τῆς ναρθήκων κατασκευῆς, καὶ μέτρου, καὶ τῆς ποιοτήτων, καὶ τῆς χρείας. Νάρθηκας εἶναι τῆς ἐπιδέσεως στηρίγματα. τί λεῖον, καὶ τραχύ· τί ὁμαλὸν, καὶ ἀνώμαλον. Διὰ τί νάρθηκες κατ' ἄκρα σιμοί. Διὰ τί τοὺς τῆς ἐπιδέσεως μικροτέρους εἶναι χρὴ νάρθηκας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

Νάρθηκες δὲ λεῖοι, ὁμαλοὶ, σιμοὶ, κατ' ἄκρα σμικρῷ
B μείους ἔνθεν καὶ ἔνθεν τῆς ἐπιδέσεως. παχύτατοι δὲ ᾗ ἐξέρρικται τὸ κάτηγμα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΙ νάρθηκες, ὡς οἱ σπλῆνες, ἐρείσματα καὶ στηρίγματα τῆς ἐπιδέσεώς εἰσιν, ἀλλ' οἱ μὲν σπλῆνες, τῶν ὑποδεσμίδων, οἱ δὲ νάρθηκες, ἁπάντων τῶν ἔνδον, ὡς εἶναι τέτταρα μὲν τὰ σύμπαντα, χρείαν ἰδίαν ἕκαστον παρέχον. ἔνδον μὲν γὰρ ὑποδεσμίδας πρῶτον, τό, τε διαπεπλασμένον ὀστοῦν κρατούσας, καὶ κωλυούσας φλεγμαίνειν τὸ
C πεπονθός. ἐπ' αὐταῖς δὲ τοὺς σπλῆνας, ὡς μὴ περιρρέοιεν, εἶτα τοὺς νάρθηκας, στηρίζοντας, οὓς εἶναι Ἱπποκράτης ἀξιοῖ λείους τε εἶναι καὶ ὁμαλούς. ἀντίκειται δὲ τῷ μὲν λείῳ, τὸ τραχύ, τῷ δὲ ὁμαλῷ, τὸ ἀνώμαλον. καὶ τὸ μὲν τραχύ, πάντως ἐστὶν ἀνώμαλον, οὐ μὴν τό γε ἀνώμαλον ἐξ ἀνάγκης τραχύ, καθάπερ οὐδὲ ὁδὸς ἀνώμαλος, εὐθέως ἐστὶ καὶ τραχεῖα. δύναται γὰρ ἀναβάσεις τε, καὶ καταβάσεις ἔχουσα μὴ τραχείας, ἀνώμαλος εἶναί τε, καὶ λέγεσθαι. καὶ τοίνυν καὶ τοὺς νάρθηκας ἐγχωρεῖ, λείους μὲν εἶναι, μὴ μέντοι καὶ ὁμαλούς. ἐὰν γὰρ ὦσι, εἴς τι τῶν πλαγίων μερῶν διεστραμ-
D μένοι τύχωσιν ὄντες, ἢ πρὸς τὸν ἄνω τόπον, ἢ τὸν κάτω, τὸ μὲν ὁμαλὸν οὐχ ἕξουσι, τὸ λεῖον δὲ ἔχει ἴσως εἶναί τι. συμφέρει δὲ τῷ κατάγματι, μήτε τραχεῖς εἶναι, μήτε διεστραμμένους τοὺς νάρθηκας, ἑκατέρως μὲν γὰρ θλίψουσιν. ἐκ περιττοῦ δὲ, οἱ διεστραμμένοι συνδιαστρέψουσιν ἑαυτοῖς τὴν ἐπίδεσιν. ταύτης δὲ διαστρεφομένης, καὶ τὸ κατεαγὸς μέρος συνδιαστρέφεται. Σιμοὺς δὲ κατ' ἄκρα τοὺς νάρθηκας εἶναι συμβουλεύει. δύναται δὲ αὐτὸ τό, σιμὸν, ὄνομα, νῦν σημαίνειν τοὺς ἀπεξεσμένους ἠρέμα κατὰ τὴν κάτω χώραν. οἱ γὰρ
E ἰσοπαχεῖς ἄχρι τοῦ πέρατος, ἴσην ἐνταῦθα τὴν ἐπίδεσιν ἐργάζονται πάντη τοῖς ἄλλοις μέρεσι τῆς ἐπιδέσεως, ὅπερ οὐ χρὴ γίνεσθαι. βούλεται γὰρ ἐν μὲν τῷ μέσῳ, τὴν ἐπίδεσιν ἐσφίγχθαι μᾶλλον, ἐκλελύσθαι δὲ ἐντεῦθεν ἄχρι τῶν περάτων. ἐκεῖνα δὲ, ἁπάντων ἐκλελύσθαι μᾶλλον, ἀλλὰ καὶ μικροτέρους αὐτοὺς κατὰ τὸ μῆκος εἶναι κελεύει τῆς ἐπιδέσεως, ὅπως μὴ ψαύσωσί ποτε τοῦ μετὰ τὴν ἐπίδεσιν δέρματος, ἐξοιδουμένου πολλάκις, ἐκ τοῦ δέχεσθαι τοὺς ἐπὶ τῇ ἐπιδέσει ἐκθλιβομένους χυμούς. ἀλλὰ κατ' αὐτὸ τὸ κά-
F ταγμα παχυτέρους εἶναι συμβουλεύει τοὺς νάρθηκας, ἐπειδὴ τὸ χωρίον τοῦτο μάλιστα τῆς ὑπ' αὐτοῦ ἐπιδέσεως δεῖται.

Φυλάττεσθαι κελεύει, κατὰ τὰς ἐξοχὰς τῶν ὀστῶν τιθέναι τοὺς νάρθηκας. ἔστι δὲ τοῦτο κατὰ δύο τρόπους, ἢ μηδ' ὅλως ἡμῶν τιθέντων αὐτοὺς κατ' ἐκεῖνα τὰ μέρη τῆς ἐπιδέσεως, ἢ βραχυτέρους ἐπιτιθέντων, ὡς μὴ προσήκεσθαι πρὸς τὸ κυρτὸν, ἀλλὰ πρὸς τὸ καταπαύσασθαι, πρὶν ἐκείνου ψαῦσαι, καὶ βέλτιόν τι προσέχειν οὕτως, αἰνίσσεται δὲ τὸ μὲν μηδ' ὅλως θεῖναι νάρθηκας, φυλάξασθαι τὴν βλάβην τῇ θέσει γίγνεσθαι. τὸ δὲ, ἀφελεῖν τοῦ μήκους τῇ βραχύτητι, C δυνάμει τοῦτο λέγων, ἢ τὸ μὴ θεῖναι νάρθηκας, φυλάξασθαι ψαῦσαι τὰ προέχοντα μέρη, ἢ τὸ μικροτέρους θεῖναι.

Περὶ παρερμάτων, οἷς τινες τοὺς σπλῆνας ἀκούουσι, οὓς ἑρμάζειν, μὴ πιέζειν χρή.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

Παρέρμασι δὲ ἑρμάζειν, μὴ πιέζειν τὸ πρῶτον. D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐμνημόνευσε παρερμάτων καὶ κατ' ἄλλον λόγον ὀλίγον ἔμπροσθεν, ἐφεξῆς τῶν ἐπιδέσμων, οὐ μὴν προσέθηκέ γε ῥητῶς ἐκείνοις αὐτὰ περιβάλλειν, ἀλλ' ἡ τῆς τάξεως ἀκολουθία τοῦτο ἡμῖν ἐνεδείκνυτο. νυνὶ μέντοι φησὶν, ἑρμάζειν δεῖν, ὅπερ ἐστὶν ἑδράζειν τε, καὶ στηρίζειν αὐτὰ, οὐ πιέζειν, καὶ τοῦτο ποιεῖν κατὰ τὴν πρώτην ἐπίδεσιν, ὡς ταῖς ἐφεξῆς ἡμέραις ἐρωτώμενος ὁ κάμνων, ἢ μηδ' ὅλως E αἰσθάνεσθαι θλίψεως, δυναμένων ἡμῶν ἐπισφίγξαι τοὺς νάρθηκας τοῖς παρέρμασιν. ἔνιοι δὲ οὐκ ἐπὶ τῇ τελευτῇ τῆς προκειμένης ῥήσεως ἔγραψαν τὸ, πρῶτον, ἀλλ' ἐν ἀρχῇ τῆς ἐφεξῆς, ἵνα ᾖ τοιάδε, τὸ πρῶτον κηρωτῇ μαλθακῇ, λείῃ, καθαρῇ ἑλίσσειν, τῆς καλουμένης ὑπὸ τῶν γραμματικῶν δοτικῆς πτώσεως ἄμεινόν ἐστιν ἀκούειν τοῦ, τῇ, κηρωτῇ, καὶ τοῦ, μαλθακῇ, καὶ τοῦ, λείῃ, τὸν λόγον ποιεῖσθαι τοιόνδε, ἑλίσσοντα τὸν ἐπίδεσμον ἀμφὶ τὸ κάταγμα σὺν αὐτῷ πρώτως.

Cavere jubet oſſium eminentiis apponi ferulas. Id autem duplici fit ratione, vel nobis nullo modo ferulas ſecundum dictas deligationis partes admoventibus, vel breviores imponentibus, quàm ad eminentiam accedant, imò quæ deſinunt priuſquam illam attingant. Atque præſtantius eſt quiddam ſic agere. Recenſuit autem imponenti ferulas cavendum eſſe, ne ulla prorſus læſio poſiturâ oboriatur, & brevitate, longitudini pars detrahatur. Hoc potentia pronunciat, aut caveat ferulas poſiturâ partem eminentem tangere, aut illud, breviores imponere.

De ſtabilimentis, quibus ſplenia quidem intelligunt, quæ fulcire non comprimere oportet.

HIPPOCRATIS TEXTUS XIV.

Stabilimentis deligationem *fulcire, non comprimere primum* oportet.

GALENI COMMENTARIUS.

Stabilimentorum faſcias ſubſequentium memoriam etiam aliâ oratione paulò antè prodidit; non tamen dictis illis addidit ea injicienda eſſe, ſed ordinis ſeries nobis hoc demonſtravit. Nunc autem pronunciat, *fulcire oportet*, quod & firmare, ac ſtabilire, non comprimere, hocque in prima deligatione moliri; ita ut æger ſequentibus diebus rogatus *reſpondeat* ferè nullam prorſus compreſſionem ſentire, quum poſſimus nos ferulas ſtabilimentis coarctare. Nonnulli verò in propoſiti textûs fine non ſcripsêre *primùm*, ſed in ſequentis initio, ut ſit hujuſmodi, *primò ceratum molle, leve, & purum involve*. Satius autem fuit ablativum caſum à Grammaticis vocatum accipere, cerato molli, levi, & puro, talemque orationem conſtruere. Primò circa partem fractam cum ipſo faſciam involvere oportet.

faſcias cerato molli, lævi, & puro illinendas eſſe in ſingulis circumvolutionibus, quo ipſæ humectantur magis quàm perfuſione.

HIPPOCRATIS TEXTUS XV.

C*Erato molli, & lævi, & puro* utendum.

GALENI COMMENTARIUS.

NOn enim ſolùm faſciis ipſis aridis injectis affectæ partis cutim cerato perungendam eſſe vult, ſed etiam in ſingulis faſciæ circumvolutionibus adeſſe, qui faſciam cerato illinat. Nam ſi ſolam cutim cerato illinas, & circuitus aridos admoveas, eo præſidio partem affectam privabis, quod brevi per ceratum erat conſequutura; quum linteum ipſum quod humectat ceratum eſſe velit, nam perfuſionis vicè eo utitur; quum perfuſio idem implere queat. Verùm per ceratum id tutiùs præſtabitur, ac potiſſimum ubi Medicus ægrotanti ſemper aſſidere non poteſt, neque miniſtrum laborioſum ſedulè curam gerere. At ceratum non molle duntaxat, verumetiam purum eſſe conſulit, hoc eſt, nihil quicquam in ſe continere, inferreque tripolis, & ſordium, nihilque terrenæ, arenoſæque, aut alterius, præter ceram, ſubſtantiæ. Id autem quamprimum etiam læve erit, niſi propter eas quæ vocitant incerationes, læve latiùs, quàm purum pateat. Scriptum autem eſt non ſolùm læve λεία, ſed etiam λείη per alteram ſyllabam, ſi quis literam prope ſyllabam η proferat; atque ſic ſcribere volunt quicunque puritatis ſignificatione læve contineri arbitrantur. Ipſum autem læve arido contrarium à denire aſſerunt; non tamen illud eſſe.

Ad fracturarum curationem aquæ perfuſione Medicos uti. De aquæ uſu; cujus qualitatis & quantitatis ſymmetria Medenti ſervanda eſt. Temperamenti aquæ manum Medici eſſe judicem, & ægrotantis ſenſum. Multas ac diverſas eſſe aquæ facultates, & affectus.

HIPPOCRATIS TEXTUS XVI.

A*Quæ calor, & copia* ſpectanda ſunt. *Calor quidem ſupra manum Medici ferri poſſit; copia verò, ubi laxandum, & attenuandum, maxima; ubi verò carne implendum, & emolliendum moderata, optima eſt.*

GALENI COMMENTARIUS.

AD fracturarum curationem etiam de aqua neceſſaria eſt oratio. In fracturarum igitur ſolutionibus omnes Medici fracturas aqua calida perfundunt, nimirum ex ea ſubſidium palam experti. Verùm & in hujus uſu error eſt *duplex*, unus quidem in qualitate; alter verò in quantitate, quum vel calidiore, vel frigidiore quàm deceat, aqua utitur Medicus. In quantitate, quum aut longiori, aut minori tempore

Τοὺς ἐπιδέσμους κηρωτῇ μαλθακῇ, καὶ λείῃ, καὶ καθαρῇ ἐπαλείφεσθαι καθ' ἑκάστην ἐπίδεσιν, ἢ αὐτοὺς μᾶλλον ὑγραίνονται, ἢ τῇ ἐπιβροχῇ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

ΚΗρωτῇ μαλθακῇ, καὶ λείῃ, καὶ καθαρῇ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B ΟΥ' γὰρ ἤδη μόνον τὸ δέρμα τοῦ πάσχοντος ἐπαλείφεσθαι βούλεται τῇ κηρωτῇ, ξηρῶν αὐτῷ ἐπιβαλλομένων τῶν ἐπιδέσμων, ἀλλὰ καθ' ἑκάστην ἐπιδέσμου περιέλιξιν ἀκολουθεῖν ἐπιχειρούμενον αὐτὸν τῇ κηρωτῇ. εἰ γὰρ μόνην περιαλείψας ἐγχειρίσαις τοῖς κατὰ τοῦ δέρματος, ἐπιβάλλειν ξηρὰς, ἀποστερήσεις τὸ πεπονθὸς μόριον ἐν τάχει, τῆς γενομένης αὐτῷ βοηθείας ἐκ τῆς κηρωτῆς. ἀναγκαιότερον μὲν ὁποίαν αὐτὴν ὑγραίνουσαν, ἀναχρησθὲν γὰρ, αἰρομένων ἐκ τούτου τὸ δέρμα τῆς κηρωτῆς, διότι μὲν εἶναι μαλθακὴν ἠξίου, πρόδηλον. εἰ τι γὰρ ἐπιβροχῆς ἄντι γένηται, δυναμένης μὲν ἐπιβροχῆς αὐξάνειν, ἀλλὰ διὰ
C τῆς κηρωτῆς ἀσφαλέστερον ἐσόμενον τοῦτο, καὶ μάλιστα ἐφ' ὧν οὐ παρέστι τὸν ἰατρὸν παραμένειν τῷ κάμνοντι δυνατὸν, ὅτε τὸν ὑπηρέτην ἐστὶν ἐπιμεμεληκέναι φιλόπονον. εἶναι δὲ τὴν κηρωτὴν, οὐ μαλθακὴν μόνον, ἀλλὰ καὶ καθαρὰν ἀξιοῖ, τουτέστι, μηδὲν ἐμπεριεχόμενον ἔχειν ἐν ἑαυτῇ, μήτε περιπόλεως, μήτε ῥύπου, μήτε γεώδους, ἢ ψαμμώδους οὐσίας, ἢ ἄλλης τινὸς, παρὰ τὸν κηρόν. εἴη δ' ἂν εὐθέως, ἡ τοιαύτη καὶ λεία, πλὴν, ἢ διὰ τὰς ὀνομαζομένας ἐγκηρώσεις ἐπὶ πλέον, ἢ τὸ καθαρὰς νοοῖτο. γέγραπται δὲ, οὐ λείη μόνον, ἀλλὰ καὶ λείη τῆς δευτέρας συλλαβῆς, ἤν τις γράμμα παρὰ τὸ η συλλαβῆς, καὶ μᾶλλον
D οὕτως ἀξιοῦσι γράφειν, ὅσοι περιέχεσθαι νομίζουσιν ἐν τῇ τῆς καθαρότητος ἐννοίᾳ, τὴν λείαν. αὐτὴν δὲ τὴν λείαν ἀντιδιῃρεῖσθαι φασὶ τῇ τῆς ξηρᾶς, τὴν γὰρ ἐκείνην οὐκ εἶναι.

Τοὺς ἰατροὺς εἰς τὴν τῶν καταγμάτων ἴασιν τῷ ὕδατι χρῆσθαι. περὶ τῆς τοῦ ὕδατος χρείας. ἧς τῆς ποιότητος καὶ πλήθους συμμετρία θεραπεύοντι σκεπτέα. Κριτήριον εἶναι εὐκρασίας τοῦ ὕδατος χεῖρα τοῦ ἰατροῦ, καὶ τοῦ κάμνοντος αἴσθησιν. τὰς πολλὰς καὶ τὰς διαφόρους
E εἶναι ὕδατος δυνάμεις, καὶ ἐνεργείας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

ΥΔατος θερμότης, πλῆθος. θερμότης μὲν κατὰ τῆς ἑαυτοῦ χειρὸς καταχεῖν, πλῆθος δὲ, χαλάσαι μὲν, καὶ ἰσχναῖναι, τὸ πλεῖστον ἄριστον· σαρκῶσαι δὲ, καὶ ἁπαλῦναι, τὸ μέτριον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ ὁ περὶ τοῦ ὕδατος λόγος, ἀναγκαῖός ἐστιν εἰς τὴν τῶν καταγμάτων ἴασιν. ἐν γοῦν ταῖς ἐπιλύσεσιν, ὕδατος θερμοῦ καταντλοῦσιν ἅπαντες ἰατροὶ τὰ κατάγματα, δηλονότι τῆς ἐξ αὐτοῦ βοηθείας ἐναργῶς πεπειραμένοι. διαμαρτία δέ ἐστι κἀν τῇ τούτου χρήσει. μία μὲν κατὰ τὸ ποιὸν, ἑτέρα δὲ κατὰ τὸ ποσὸν αὐτοῦ· κατὰ μὲν τὸ ποιὸν, ἤτοι θερμοτέρῳ τοῦ προσήκοντος, ἢ ψυχροτέρῳ

διανοσῇ ποιῆσαι, πότερον ψυχρότερον, ἢ θερμότερον αὐτῷ φαίνεται τοῦ συμμέτρου· καὶ οὕτως, θερμὸν, ἢ ψυχρὸν ὀλίγον ἐπιχέας, εὔκρατον ὡς πρὸς τὸ παρὸν, ποιήσεις. κριτήριον οὖν ἐστι τῆς εὐκρασίας τοῦ ὕδατος, ἡ ἡμετέρα χεὶρ, ἢ πρῶτον μὲν μετέξει· ἡ δὲ αὐτοῦ τοῦ κάμνοντος αἴσθησις, ὃ κυριώτατόν τε, καὶ πλειστότατόν ἐστι, καὶ πρῶτον δυνάμει κριτήριον εὐκρασίας. τὸ δὲ ποσὸν τῆς χρήσεως αὐτοῦ, διορισμοὺς ἔχει κοινοὺς πρὸς ἀνάτριψίν τε, καὶ πᾶν ὅσον θερμαίνει βοηθήματα. ταῦτα γὰρ ἐγχειρούμενα, οὐ μόνον πέφυκεν ἐπισπᾶσθαι ἐπὶ τὸ θερμαινόμενον μόριον ἐκ τῶν πέριξ τόπων, ἀλλὰ καὶ διαφορεῖν· ἀλλὰ καὶ διὰ τοῦτο, τἀναντία φαίνεται ποιοῦν τὸ θερμὸν ὕδωρ, παρά τε τὸ θερμὸν ἔχειν τὸ σῶμα, καὶ τὸ ἐπὶ πλέον καὶ ἔλαττον χρῆσθαι. ἐὰν μὲν γὰρ κενὸν εἴη τὸ σύμπαν σῶμα, διαφορεῖ πλέον, ἢ ἐπισπᾶται. ἐὰν δὲ πληθωρικὸν, ἔμπαλιν ἐπισπᾶται πολὺ μᾶλλον, ἢ διαφορεῖ. καὶ τοίνυν ὀλίγῳ μὲν χρόνῳ προσαχθὲν ἐπλήρωσε μᾶλλον, ἢ ἐκένωσε. εἰ δὲ πλείονι καταντλοίη χρόνῳ, διαφορεῖ μᾶλλον ἢ πληροῖ. κατὰ λόγον οὖν ἔφη χαλᾶν μὲν καὶ ἰσχναίνειν, τὸ πλεῖστον, ἀπαλύνειν δὲ καὶ σαρκοῦν, τὸ μέτριον. τὸ μὲν οὖν ἰσχναίνεσθαι, τοῖς κενουμένοις ἄντικρυς ἕπεται, τὸ δὲ χαλᾶσθαι, τοῖς τεταμένοις οὐκ ἄντικρυς, ἀλλὰ διὰ μέσων ἑτέρων. ὅσα μὲν γὰρ τῷ πεπληρῶσθαι τέταται, καθάπερ τὰ φλεγμαίνοντα πάντα, τῷ κενοῦσθαι χαλᾶται. ὅσα δὲ τῷ πεπῆχθαι διὰ ψύξιν, τῷ θερμαίνεσθαι. τὰ δὲ διὰ ξηρότητα τεταμένα, δι' ὑγρότητα χαλᾶται. ἐπὶ τοίνυν τοῖς εἰρημένοις ε. δύναται ποιεῖν τὸ θερμὸν ὕδωρ, ὅταν ἐπὶ πλέον ὁμιλήσῃ τῷ σώματι, καλῶς εἶπε χαλᾶν αὐτά. μὴ θαύμαζε δὲ, εἰ κενοῦν τε ἅμα τὰς περιττὰς ὑγρότητας ἔφαμεν δύνασθαι τὸ θερμὸν ὕδωρ, καὶ ὑγραίνειν τὰ στερεὰ σώματα· δέδεικται γὰρ ἐν ἑτέροις τῶν λόγων ἑκάτερον ἀληθές. τὸ μὲν οὖν θερμὸν ὕδωρ, ταῦτα δύναται· τὸ δὲ ὀλίγον, οὐχ ἁπλῶς εἰπεῖν ἐγχωρεῖ, τί δύναται ποιεῖν· ἐὰν μὲν ἤτοι δὶς ἢ τρὶς καταχέας τις, ἢ πυριάσας διὰ σπόγγων ἀρκεσθῇ, παντάπασιν ἡ τοιαύτη χρῆσις ἄπρακτός ἐστι. ἐὰν δὲ, ὡς αὐτὸς ἔφη, μετρίως τις αὐτῷ χρήσηται, σαρκώσει τε, καὶ μαλακὰ ποιήσει τὰ δεόμενα τούτου. ἄκουε δέ μου προστιθέντος τῷ λόγῳ τὰ δεόμενα· ἔνια γὰρ σώματα τοιαύτη χρῆσις ὕδατος, οὔτε ἀπαλύνειν, οὔτε σαρκοῦν δύναται. τῷ γοῦν ἀσάρκῳ τε ἅμα καὶ πληθωρικῷ σώματι, μετρία κατάχυσις ὕδατος θερμοῦ, πληρώσει περιττῆς ὑγρότητος τὸ θερμανθὲν μόριον. ἐὰν δὲ ἄτροφόν τε καὶ μὴ πληθωρικὸν ᾖ, σαρκώσει τε ἅμα, καὶ μαλακὸν ἐργάσεται. σαρκοῦται γὰρ ταῦτα τῶν μὲν μορίων αὐτῶν, οἷς μέλλει προσφύεσθαί τε καὶ περιφύεσθαι σάρξ, εὐκράτως ἐχόντων κατὰ θερμότητά τε καὶ ψυχρότητα. τοῦ δὲ ἐπιρρέοντος αἵματος, ὑγιεινοῦ μὲν ὄντος, κατὰ τὴν ποιότητα, συμμέτρου δὲ κατὰ τὴν ποσότητα. ταῦτα δὲ ἀμφότερα, διὰ τῆς μετρίας

videatur quàm commoderatio poſtulet, neque affuſæ calidæ aut frigidæ modico, temperatam aquam prout ægrotanti congruat, efficies. Itaque judex temperamenti aquæ noſtra manus eſt, quæ primum quidem illud conſequetur; deinde verò ipſius laborantis ſenſus, quod & præcipuum, & perfectiſſimum primumque probi temperamenti ſignum decretorium eſt. Quantus autem ſit *aquæ* uſus, diſtinctiones habet communes, & ad frictionem, & omnia quæcunque calefaciunt auxilia. C Hæc enim admota non ſolùm ad partem calefactam è proximis locis evocare conſueverunt, verumetiam diſcutere. Proptereaque aqua qualitate calida percipitur, quia tum corporis modum, tum diuturniorem & breviorem uſum ſortitur. Si nanque vacuum univerſum corpus extiterit, plus diſcutit, quàm evocet. Rursùm verò contrà ſi repletum, magis attrahit, quàm diſcutiat. Proindeque pauco tempore admota magis implet, quàm evacuet. Si vero longiori tempore injecta fuerit, diſcutit magis, quàm impleat. D Ratione igitur pronunciavit, *copia, ubi laxandum fuerit, & attenuandum, maxima; ubi verò molliendum, & carne implendum, moderata optima.* Quæ vacuantur, ea planè attenuari ſequitur, non tamen ea planè laxari quæ extenſa ſunt, ſed per altera media. Quæcunque enim plenitudine tenduntur, cujuſmodi ſunt omnia quæ inflammatione obſidentur, evacuatione laxantur; quæ verò concretione ex frigore, calefactione, quæ denique ſiccitate tenſa ſunt, humiditate. E Ad hæc pronunciata, quintum poteſt calidam aquam efficere, quum uberiùs corpori infunditur, proindeque ea laxare probè docuit. Ne verò mireris, ſi dixerimus aquam calidam ſupervacaneas humiditates evacuare, ſimulque ſolida corpora humectare: Nam aliis in libris utrumque verum eſſe demonſtratum eſt; His igitur aqua calida pollet facultatibus. Pauca quid præſtare poſſit, proferre ſimpliciter non licet. Si quis enim aut bis aut ter cum ſpongiis perfuſiones aut fotus admoviſſe contentus ſit, hujuſmodi uſus omnino eſt irritus. F Sed ſi (ut ipſe loquitur) moderata quis aquæ perfuſione utatur, carnem procreabit, molliaque reddet quæ hoc præſidium poſtulant. Quorſum verò hanc orationem adjecerim, *quæ hoc præſidium poſtulant*, ex me percipe. Nonnulla ſiquidem corpora talis aquæ uſus neque emollire, neque carne implere poteſt. Nam & macilento, & ſimul repleto corpori moderata aquæ calidæ perfuſio ſupervacaneo humore partem calefactam implebit: Si verò & emaciatum, & minime plenum ſit, carnem procreabit, & ſimul molle conficiet. Nam carnis procreatio fit iis in partibus, quibus caro adnaſci & increſcere futura eſt, quum inter calorem & frigus

confluit. Hæc ambo moderata aquæ commoderatè calidæ perfuſione oboriuntur. Quandoquidem ſanguinem ad eam quæ perfunditur partem attrahit, & temperatam in ea præcedentem carnem efficit, ſi frigida priùs erat calefaciendo, ſi calida refrigerando. Hæc nanque calorem ad exteriora evocat, præterea utili humore madefacit, ob idque refrigerat, quemadmodum aquæ fluviales, & balnea. Hæc etenim eos calefaciunt qui itinere incedentes B intereunt, etiamſi vehementer refrigeratos eſſe contigerit, exuſtos verò non lædunt. Videntur enim temperatis aquis acceptis delectari, minus à balneo ſitientes. Ita igitur & aquæ calidæ affuſio, ſi moderatè aſſumatur, carne explet, quapropter & molliorem efficit partem. Mollis enim eſt caro recens compacta ſanguine nuper concreto, generationē ſortita nuper coactis caſeis cōſimilē.

De perfuſionis aquæ calidæ modo, vel moderatione, quæ carnem generat, & emollit.

C HIPPOCRATIS TEXTUS XVII.

MOderatio verò in perfuſione ſit, dum pars adhuc attollitur, priuſquam concidat, finire oportet. Primùm enim attollitur, poſtea attenuatur.

GALENI COMMENTARIUS.

MOdus perfuſionis aquæ calidæ carnem procreantis & emollientis omnino eſt D ut ceſſet, priuſquam perfuſa pars concidere incipiat. Imprimis enim attollitur, hoc eſt, in tumorem naturali majorem aſſurgit, tùm quia contentus in eo ſanguis funditur, tùm quia à ſuperjacentibus partibus eò influit; poſt hæc extenuatur, magnā portione *ſanguinis* tam ſupernè delapſi, quam circunfuſi diſcuſsā.

De idonea partium prominentium poſitura; cur mollis, æqualis, ſurſum porrecta, & quæ hanc ſequantur commoda; & quæ duram, E inæqualem deorſum tendentem incommoda.

HIPPOCRATIS TEXTUS XVIII.

POſitura ſit mollis, æquabilis, ſurſum tendens, eminentibus corporis partibus, velut calcaneo, & coxâ, ut neque retorqueantur, neque pervertantur.

GALENI COMMENTARIUS.

F HAnc orationem nonnulli quidem unicam univerſam legunt; nonnulli verò bipartito dividentes, utramque ipſius partem ſeorſum explicant. Prior itaque pars ita circunſcripta eſt, ut unam perfectam habere queat ſententiam: Nam partium poſitura, ſi & generatim intelligatur, & ſuſpenſio comprehendatur, ut manus, ſi etiam ſpeciatim, ut ſolius cruris, optima ſemper mollis eſt, & æquabilis, & ſurſum tendens. *Mollis* quidem, ne laborans ex

πρὸς τὸ καταντλούμενον ἕλκει μόριον, εὔκρατόν τε ἐργάζεσθαι τὴν ἐν αὐτῷ προϋπάρχουσαν σάρκα, θερμαῖνον μὲν ἢ κατεψυγμένον εἰ πρόσθεν εἴη θερμόν, ἢ καταψύχον. διαφορεῖ γὰρ καὶ ταῦτα πρὸς τὸ ἐκτὸς τὴν θερμότητα, προσέτι τε τέγγειν ὑγρότητα χρηστήν, καὶ κατὰ τοῦτο ἐμψύχει, καθ' ὅν περ τρόπον, καὶ τὰ διὰ τῶν ποτίμων ὕδατα, καὶ λουτρά. καὶ γὰρ ταῦτα τοὺς νεκροὺς ἥκοντας ἐκθερμαίνει, κἂν σφόδρα κατεψυγμένοι τύχωσιν ὄντες, τοὺς ἐκκεκαυμένους οὐ βλάπτει. φαίνονται γοῦν ἡδόμενοι τοῖς εὐκράτοις δεξαμεναῖς ἀδιψότεροι γενόμενοι μετὰ λουτρόν. οὕτως οὖν καὶ ἡ τοῦ θερμοῦ κατάχυσις ὕδατος, εἰ μετρίως παραληφθείη, σαρκοῖ, διὰ τοῦτο καὶ μαλακώτερον ἐργάζεται τὸ μόριον. ἁπαλὴ γάρ ἐστιν ἡ νεοπαγὴς σὰρξ αἵματος ἄρτι πεπηγότος, ὁμοίως τοῖς νεοπαγέσι τυροῖς γένεσιν ἐσχηκυίας.

Περὶ καταχύσεως ὕδατος θερμοῦ, μετρίου, τῆς σαρκούσης, καὶ μαλθασσούσης.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ'.

ΜΕτρον δὲ ἐν τῇ καταχύσει, ἔτι μετεωριζομένην, δεῖ, πρὶν συμπίπτειν παύεσθαι. τὸ μὲν γὰρ πρῶτον αἴρεται, ἔπειτα δὲ ἰσχναίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑταχύσεως ὕδατος θερμοῦ τὸ μέτριόν ἐστι παύεσθαι, πρὶν ἄρξασθαι συμπίπτειν τὸ καταντλούμενον μέρος. ἐξαίρεται γὰρ τὸ πρῶτον, ὅπερ ἐστὶν εἰς ὄγκον μείζονα τοῦ κατὰ φύσιν αὐξάνεται, διά τε τὸ χεῖσθαι τὸ περιεχόμενον αἷμα κατ' αὐτό, καὶ διὰ τὴν ἐκ τῶν ὑπερκειμένων ἐπιρροήν, μετὰ ταῦτα δὲ ἰσχναίνεται, διαφορηθέντος μέρους πολλοῦ, τοῦ τε ἐπιρρυέντος ἄνωθεν, καὶ τοῦ περιχυθέντος.

Περὶ τῆς συμφερούσης τῶν μορίων ἐξεχόντων θέσεως κατὰ τὸ ἡ μαλθακή, ὁμαλή, ἀνάρροπος, καὶ ἅτινα ταύτῃ ἕπονται ἀγαθά. καὶ ἅτινα τῇ σκληρᾷ, καὶ ἀνωμάλῳ, καταρρόπῳ τὰ κακά.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

ΘΕσις δὲ μαλθακή, ὁμαλή, ἀνάρροπος, τοῖσιν ἐξέχουσι τοῦ σώματος, οἷον πτέρνῃ, καὶ ἰσχίῳ, ὡς μήτε ἀνακλᾶσθαι, μήτε ἐκτρέπεσθαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑύτην τὴν ῥῆσιν, ἔνιοι μὲν ὡς μίαν ὅλην ἀναγινώσκουσιν, ἔνιοι δὲ δίχα τέμνοντες, ἑκάτερον αὐτῆς τὸ μέρος ἐξηγοῦνται καθ' ἑαυτό. τὸ μὲν οὖν πρότερον μέρος οὕτως περιγέγραπται, μίαν ἔχειν δυνάμενον αὐτοτελῆ διάνοιαν. ἡ γάρ τοι θέσις τῶν μορίων ἐάν τε γενικῶς ἀκούηται, περιλαμβανομένης καὶ τῆς ἀναλήψεως, ὡς ἐπὶ τῆς χειρός, ἐάν τε εἰδικῶς, ὡς ἐπὶ μόνου τοῦ σκέλους, ἀρίστη ἀεὶ ἡ μαλθακή τε γινομένη, καὶ ὁμαλή, καὶ ἀνάρροπος. μαλθακὴ μέν, ὅπως μὴ

bere, quod per duos dies continuos confertim non conficeretur. Atque eâ re apud eos qui ſic explicant nemo librum quàm anno legit celerius, aut duobus annis. Atque jam cum in Libros de Fracturis & de Articulis Commentarios ſtruxerimus, hîc ſola commemoratio neceſſaria eſt. Si quis verò illis in libris legerit quàm celerrimè percurrens quod nunc à nobis proponitur, ad ulteriora proceſſerit à nobis expertis doctus fuſas diſciplinas perfectos artifices efficere, non quæ per compendia traduntur. Nos tamen ejuſmodi *doctrina* etiam inutiles eſſe profitemur, quæ nonnullam univerſæ ſpeculationis collectionem paucis complectuntur.

ρησις, τὸ αὐτὸ ἀφόρμημα ἔχοντας παραγράφειν, ὅπερ οὐδὲ ἐν ταῖς δύο ἡμέραις συνεχέσιν ἀθρόως ἂν γένοιτο. καὶ διὰ τοῦτο παρὰ τοῖς οὕτως ἐξηγουμένοις, οὐδεὶς ἀναγινώσκει βιβλίον, ἢ ἐνιαυτοῦ θᾶττον, ἢ δυοῖν. καὶ ἤδη γεγονότων εἰς τὸ περὶ ἀγμῶν, καὶ τὸ περὶ ἄρθρων ὑπομνημάτων, ὑπομνήσεως μόνης ἐνταῦθα δεῖ. εἰ δέ τις οὕτως ἐπ' ἐκείνων τῶν βιβλίων ἀνέγνω, διαδραμὼν ὅτι τάχιστα τοῦτο τὸ νῦν ἡμῖν προκείμενον, ἐπέκεινα προβῇ τοῦ πρὸς ἡμῶν τοῦ B πεπειραμένου μαθὼν ὡς διεξοδικαὶ διδασκαλίαι, τεχνίτας ἐργάζονται τελείως, οὐχ αἱ κατ' ἐπιτομὴν γινόμεναι. οὐ μὴν ἀχρήστους γε, καὶ τὰς τοιαύτας εἶναί φημι, σύλληψίν τινα διὰ βραχέων τῆς ὅλης θεωρίας περιεχομένας.

De canali; ejus uſus, utilitas, læſiones. Ubi, quando, & quouſque ſubjiciendus, morbo priùs & læſionibus conſideratis. ἢ pro οὐκ poni.

Περὶ σωλῆνος· ἡ τούτου χρεία, ὠφέλεια, βλάβαι· οὗ, ὅτε, καὶ ἕως οὗ ὁ σωλὴν ὑποθησόμενος, τοῦ παθήματος, καὶ τῶν βλαβῶν πρόσθεν περιεσκεμμένων· ἢ ἀντὶ οὐκ τίθεσθαι.

C

TEXTUS HIPPOCRATIS XIX.

Canalis toti cruri potiùs quàm dimidio admovendus eſt. Ad affectionem autem ſpectandum, & ad cætera quæcunque manifeſtè lædunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. ιθ'.

Σωλῆνα παντὶ τῷ σκέλει, ἢ ἡμίσει, ἐς τὸ πάθος δεῖ βλέπειν, καὶ τ' ἄλλα ὅσα βλάπτει δῆλα.

GALENI COMMENTARIUS.

Hiſce verbis eloquitur, ut qui libros de fracturis & articulis legerint, in quibus *illud manifeſtum*, cuilibet conſpicuum eſſe pronuntiat. D Quædam enim hoc modo toti *hominum* generi manifeſta ſunt, quò etiam ante hunc textum pronunciata. Etenim omnes fractum membrum molliter & æquabiliter eſſe collocandum intelligunt. Non tamen præſcivere canalem prout collocatur, lædere. De ipſo in illo textu ſcripſit, cujus initium in libro de fracturis *ita legitur. Nam de canalibus qui fractis cruribus ſubjiciuntur, quid conſulam animi pendeo.* Quamobrem autem jure ſic dubius recenſet: Ac rurſus eodem libro E in altero textu, cujus exordium eſt. *Si quis profecto ipſi femori canalem ſubjecerit.* Atque multis interjectis, circa orationis finem pronuntiat. *Aut igitur canalis totus adhibendus eſt, aut non ſubjiciendus.* Hæc ſententia decrevit canalis uſum neceſſarium non eſſe. Si quis tamen eo uti voluerit, inguine tenus, non aduſque genu univerſo cruri ſubjiciendum eſſe. Ex illis igitur manifeſtum eſt nobis, & quod nunc proponitur, jure ipſum per ſe patet. Quantum enim in dictione ἢ valoris eſt, & vocem accipere tanquam F disjunctivam enuntiari conjunctionem oportet; ſed illam pro negatione poſitam eſſe novimus. Vult enim univerſo cruri ita nos canalem citra læſionem ſubjicere, quomodo Homerus cecinit,

Tutari populum nobis, non perdere mens eſt.

& Thucydides,

Glacies verò affluebat.

ubi pro οὐκ ἢ poſuit. Spectandum autem eſſe docet etiam morbum, cujus gratiâ canalis admoveatur, & quæcunque lædere ſolent. Mor-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὡς ἀνεγνωκόσι τὸ περὶ ἀγμῶν καὶ ἄρθρων διαλέγεται, κατὰ τοὺς τοιούτους λόγους, ἐν οἷς τὸ δῆλον, ἰδιώτῃ δῆλον εἶναι λέγει. τινὰ μὲν ἐστι οὕτω δῆλα παντὶ τῷ γένει ἔχοντα καθάπερ καὶ τὰ πρὸ ταύτης ῥήσεως εἰρημένα. καὶ γὰρ μαλθακῶς, καὶ ὁμαλῶς δεῖν κεῖσθαι τὸ κατεαγὸς, ἅπαντες νοοῦσιν, οὐ μὴν ὅτι βλάπτεται σωλῆνας τίθεσθαι, μὴ πεπειρακηκότες, περὶ αὐτοῦ κατ' ἐκείνην ἔγραψε τὴν ῥῆσιν, ἧς ἡ ἀρχὴ ἐν τῷ περὶ ἀγμῶν. περὶ γὰρ τῶν σωλήνων τῶν ὑποτιθεμένων εἰς τὰ σκέλεα τὰ κατεαγότα, ἀπορέω ὅτι συμβουλεύσω. καὶ διότι γε εὐλόγως ἀπορεῖ, διεξέρχεται, καὶ πάλιν ἐν ταυτῷ βιβλίῳ καθ' ἑτέραν ῥῆσιν, ἧς ἡ ἀρχὴ, σωλῆνα δὲ, ἢν μέν τις ὑπ' αὐτὸν τὸν μηρὸν ὑποθείη, καὶ διελθὼν πολλὰ, κατὰ τὴν τελευτὴν τῆς ῥήσεως ἔφη. εἰ οὖν διαμπερὲς εἴη, ποιητέος ὁ σωλὴν, ἢ οὐ ποιητέος. ὁ δὲ λόγος οὗτος βούλεται, μήτε ἀναγκαίαν χρείαν εἶναι τοῦ σωλῆνος· εἰ μέν τις βούλοιτο χρῆσθαι, μέχρι τοῦ βουβῶνος ὑποτιθέναι ἅπαντι τῷ σκέλει, μὴ μέχρι τοῦ γόνατος. ἐξ ἐκείνων οὖν ἐγένετο δῆλον ἡμῖν καὶ τὸ νῦν εἰρημένον, οὐκ ὂν αὐτὸ καθ' ἑαυτὸ δῆλον. ὅσον γὰρ ἐπὶ τῇ λέξει, τὸ ἢ, δυνατὸν καὶ ἀκοῦσαι τὴν φωνὴν, ὡς διαζευκτικὸν εἰρῆσθαι σύνδεσμον. ἀλλ' ἐκεῖνον ἐνοήσαμεν ὅτι ἀντὶ ἀποφάσεως αὐτὴν τετάχθαι. βούλεται γὰρ ἅπαντι τῷ σκέλει οὕτως ἡμᾶς τὸν σωλῆνα χωρὶς βλάβης ὑποβάλλεσθαι, καθάπερ Ὅμηρος ἔφη,

Βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι.

ὁ Θουκυδίδης δὲ,

Κρύσταλλός τε γὰρ ἐπηρίου.

σκοπεῖσθαι δέ φησι χρῆναι, καὶ τὸ πάθος, οὗ χάριν ὁ σωλὴν προσλαμβάνεται, καὶ ὅσα βλάπτειν πέφυκε. τὸ αὐτὸ

γόνατος ὁ σωλὴν γινόμενος, ὅτι κωλύει κινεῖσθαι τὸ σκέλος, ἐπηρής τέ ἐστι, καὶ θλίβει πολλάκις. ἀποβλέποντα δέ σε πρός τε τὸ πάθος, οὗ χάριν ὁ σωλὴν παραλαμβάνεται, καὶ πρὸς τὰς βλάβας ἃς ἐργάζεσθαι, ποτὲ μὲν αἱρεῖσθαι τὸν σωλῆνα κελεύει, ποτὲ δὲ οὔ. ἐὰν μὲν γὰρ αἱ ἐξ αὐτοῦ βλάβαι μείζους ὦσι τῆς ὠφελείας, φευκτέος ὁ σωλήν. ἐὰν δὲ ὑπερβάλλῃ ἡ ὠφέλεια, παντὶ τῷ σκέλει, μὴ μέχρι τοῦ γόνατος. B

prohibeat, moleſtus eſt, & ſæpius comprimit. Qui verò tùm ad morbum intueris, cujus gratiâ canalis admovetur, tùm ad eas quas excitat læſiones, te interdum canalem uſurpare hortatur, interdum minimè. Nam ſi ex eo obortæ læſiones, ipsâ utilitate majores fuerint, canalis vitandus eſt; ſi verò noxam exuperet utilitas, toti cruri non aduſque genu dumtaxat, adhibendus eſt.

Περὶ τῶν πέντε τῆς χειρουργίας καιρῶν φυλακτῶν, τοῦ κάμνοντος παρέξεως, διατάσεως, ἀναπλάσεως, ἀποθέσεως, καὶ ἀναλήψεως τῶν πεπονθότων μορίων. C

De quinque operationis temporibus obſervandis, deditionis ægri; diſtentionis, conformationis, poſituræ, & ſuſpenſionis partium affectarum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κʹ.

HIPPOCRATIS TEXTUS XX.

Παρέξις δὲ, καὶ διάτασις, καὶ ἀνάπλασις, καὶ τὰ ἄλλα κατὰ φύσιν.

Editio ac diſtentio, & conformatio, & quæ cætera ſecundùm naturam ſint.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

GALENI COMMENTARIUS.

D

Ὅτι παρέξις, ὅταν ὁ κάμνων ἑαυτὸν παρέχῃ τῷ ἰατρῷ θεραπευθησόμενον, εἴρηται πρόσθεν. ἐν τούτῳ δὴ τῷ καιρῷ πρῶτον, ἡνίκα μὲν σημειοῦται τὸ γεγονὸς αὐτῷ πάθος ὁ ἰατρὸς, εἶτα παρασκευάζεσθαι πρὸς τὴν θεραπείαν. ἐν σχήματι πάντως εἶναί τινι χρὴ τὸ πεπονθὸς μέρος, καὶ τοῦτο σχῆμα κατὰ φύσιν εἶναι τοῦ μέρους εὔλογον. ὑπὸ γὰρ τοῦ παρὰ φύσιν, οὐκ ἂν γένοιτο βλάβη μικρά. μετὰ τὴν παρέξιν ἤτοι διατείνειν μόνον, ὅταν οὕτως ᾖ μικρὸν ὡς κρατήσεως μόνης χρῄζειν ἐν τοῖς ὑπερκειμένοις. εὔδηλον οὖν, ὅτι καὶ κατὰ τοῦτον τὸν καιρὸν ἄμεινόν ἐστι τῷ E κάμνοντι, καὶ τὸ κατὰ φύσιν σχῆμα φυλάττειν. εἶθ' ἑξῆς ἐστὶν ὁ τῆς διαπλάσεως καιρὸς, ἐν ᾧ καὶ αὐτὸ φυλάττεσθαι προσήκει ταυτὸ σχῆμα· καὶ μετὰ τοῦτον τῆς ἀποθέσεως ἢ ἀναλήψεως, οὓς ἀμφοτέρους ὀνόμασι μὲν οὐκ εἶπεν, ἐδήλωσε δὲ διὰ τοῦ φάναι, καὶ τὰ ἄλλα.

Editionem eſſe, quum æger ſeipſum Medico curandum exhibet, antea dictum eſt. Primum ſanè hocce tempore Medicus obortum ipſum affectum agnoſcit, deinde ad curationem accingitur. At formâ quâdam partem affectam figurari oportet, hancque formam ſecundùm naturam partis, eſſe rationi conſentaneam. Nam ab ea quæ præter naturam eſt *forma*, nequaquam parva læſio contingeret. A deditione quidem partem ſolam intendere oportet, quum ita ſit demiſſa, ut ſolam ſui retentionem in ſuperioribus partibus deſideret. Conſtat igitur & hoc tempore ſatius eſſe laboranti, eam quæ ſecundùm naturam eſt formam tueri. Huic ſuccedit conformationis tempus, in quo etiam hanc ipſam formam ſervari conducit. Denique ſubſequitur depoſitionis, & ſuſpenſionis tempus, quas ambas nominatim non commemoravit, ſed his verbis, *& quæ cætera*, ſignificavit.

Quæ ſit natura, quæ operibus ineſt; & quæ certa ſint indicia. Quid per ex quieſcente, ex communi, & ex conſuetudine intelligendum. Figuram angularem communem eſſe, & quæ ſit. Quid rectus, quid acutus, quid obtuſus & communis angulus, & angulata figura. Figurarum ſcopi. Medius inter pronum & ſupinum habitus. Articulationis ſtructuras, extenſionis circumſcriptiones diſſimiles, nec medium commune De conſuetudinis vocibus & indicationum imperitia.

HIPPOCRATIS TEXTUS XXI.

Natura verò ineſt operibus; operis actione quid velit conjectandum eſt. Ad hæc autem ex quieſcente, ex communi, ex conſuetudine. Ex quieſcente quidem ac remiſſo rectitudines ſpectandæ ſunt, velut in manus figura. Ex communi, extenſio & inflexio, veluti figura cubiti cum brachio angularis proxima. Ex conſuetudine, quòd non alias figuras facilius ferre queant, veluti crura extenſionem. Ab ea namque figura plurimum tempus facillimè conſequerentur quæ ipſam non immutant.

COMMENTARIUS GALENI.

Quandoquidem ſuperiori textu loquutionis, *ſecundùm naturam*, mentionem fecit, merito nunc quæ ſit ipſa natura, & quæ certa hujus indicia explanat; atque pronuntiat, *Natura verò ineſt operibus; operis actione quid velit conjectandum eſt.* Ac ſi ita dixerit; quæ ſecundùm naturam eſt figura, in actionibus ſcopus ipſarum eſt, & uſus, ob quem agunt. *Ad hæc autem*, hoc eſt, ad ea quæ nunc ſunt propoſita deditionem, diſtenſionem, conformationem, & poſituram laborantis tanquam nullam actionem affecta parte obeuntis. Alios ſcribit inventionis figuræ ſecundùm naturam ſcopos, quos ipſe deinceps percurrit, *Ex quieſcente, ex communi, ex conſuetudine. Ex quieſcente* quidem dicit, quum nihil prorſus agit; ſed otiatur: unde rectitudines colligi denuntiat, ſicut in manu docuit, os cubiti volens ſubjici, os radii ſuperjacere. *Ex communi*, interjectam inflexionis, & extenſionis ſummæ figuram, quam prope angularem figuram cubiti cum brachio eſſe profert, vocatque angularem figuram, quæ ad rectum ſit angulum, hoc eſt, ut quæ cubiti os cum brachii oſſe rectum efformet angulum. Quum autem omnia vetuſta exemplaria, *prope*, additum contineant, & qui librum explanarunt hanc ſcripturam agnoſcant, duobus modis quod dicitur vitioſum eſt, ſi quis angularem figuram ad acutum angulum acceperit, quum nimirum acutus angulus nominetur, qui recto minor ſit. Nam ubi recta linea ſupra rectam lineam erecta, angulos deinceps inter ſe æquales efficit, uterque æqualium angulorum rectus eſt. Sed qui recto minor eſt acutus vocatur; quemadmodum qui major, obtuſus. Ac proinde rectus angulus ſecundùm magnitudinem eſt, qui magis & minus non ſortitur. Ampliſſima ſanè eſt numero multitudo angulorum, tum acutorum, tum obtu-

Τίς ἡ φύσις ἐν ἔργοις, καὶ τινὰ τὰ γνωρίσματα. τί ἐκ τοῦ ἐλιννύοντος, ἐκ τοῦ κοινοῦ, καὶ ἐκ τοῦ ἔθεος ἐπισκεπτέον. τὸ σχῆμα ἐγγώνιον κοινὸν εἶναι, καὶ τίς ἐστι. Τί ἡ ὀξεῖα, τί ἀμβλεῖα, καὶ κοινὴ γωνία, καὶ ἐγγώνιον σχῆμα. οἱ τῶν σχημάτων σκοποί. τὸ μέσον τοῦ ὑπτίου καὶ πρηνοῦς σχῆμα. τὰς διαρθρώσεως κατασκευὰς, οὐχ ὁμοίας, καὶ τοὺς τῆς ἐκτάσεως ὅρους μὴ ὁμοίους, μήτε τὸ μέσον κοινόν. περὶ

B τοὺς τῶν ἐθῶν, καὶ τῶν ἐνδείξεων δυνάμεως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. κα'.

Φύσις δὲ, ἐν μὲν ἔργοις, τοῦ ἔργου τῇ πρήξει, ὃ βούλεται τεκμαρτέον. ἐς δὲ ταῦτα, ἐκ τοῦ ἐλιννύοντος, ἐκ τοῦ κοινοῦ, ἐκ τοῦ ἔθεος. ἐκ μὲν τοῦ ἐλιννύοντος, καὶ ἀφειμένου, τὰς ἰθυωρίας σκέπτεσθαι, οἷον τὸ τῆς χειρός. ἐκ δὲ τοῦ κοινοῦ, ἔκτασιν, σύγκαμψιν, οἷον τὸ ἐγγὺς τοῦ ἐγγωνίου πήχεος, πρὸς βραχίονα.

C ἐκ δὲ τοῦ ἔθεος, ὅτι οὐκ ἄλλα σχήματα φέρειν δυνατώτερον, οἷον σκέλεα ἔκτασιν. ἀπὸ τούτου γὰρ ῥῆιστα πλεῖστον χρόνον ἔχει ἂν μὴ μεταλλάσσοντα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπεὶ διὰ τῆς προτέρας ῥήσεως, τοῦ κατὰ φύσιν ἐμνημόνευσεν, εἰκότως νῦν ἐξηγεῖται, τίς ἡ φύσις ἐστὶν αὐτὴ, καὶ τίνα τὰ γνωρίσματα ταύτης, καί φησι· φύσις δὲ, ἐν μὲν ἔργοις, τοῦ ἔργου τῇ πρήξει, ὃ βούλεται τεκμαρτέον, ὡς εἰ καὶ οὕτως εἶπε, κατὰ φύσιν μὲν σχῆμα, κατὰ μὲν τὰς ἐνεργείας ὁ σκοπὸς αὐτῶν, καὶ ἡ χρεία

D δι' ἣν ἐνεργοῦνται. ἐς δὲ ταῦτα, τουτέστι τὰ νῦν εἰρημένα, τὴν πρῆξιν, καὶ διάτασιν, ἀνάπλασίν τε, καὶ θέσιν, ὡς ἂν οὐδεμίαν ἐνέργειαν ἐνεργοῦντος διὰ τοῦ πεπονθότος μορίου, τοῦ κάμνοντος. ἑτέρους σκοποὺς τοῦ κατὰ φύσιν σχήματος εὑρέσεως, οὓς ἐφεξῆς αὐτὸς διέρχεται γράψας, ἐκ τοῦ ἐλιννύοντος, ἐκ τοῦ κοινοῦ, ἐκ τοῦ ἔθεος. ἐλιννύοντος μὲν λέγων, τοῦ μηδὲν ὅλως ἐνεργοῦντος, ἀλλ' ἡσυχάζοντος. ἐξ οὗ φησὶ τὰς ἰθυωρίας λαμβάνεσθαι, καθάπερ ἐπὶ τῆς χειρὸς ἐδίδαξεν, ὑποκεῖσθαι μὲν ἀξιῶν τὸ τοῦ πήχεος ὀστοῦν, ἐπικεῖσθαι δὲ τὸ τῆς κερκίδος· ἐκ δὲ

E τοῦ κοινοῦ τὸ μεταξὺ σχῆμα κάμψεώς τε καὶ ἐκτάσεως ἄκρας, ὅπερ ἐγγὺς εἶναί φησι τοῦ ἐγγωνίου σχήματος πήχεος πρὸς βραχίονα, καὶ καλεῖσθαί φασιν ἐγγώνιον σχῆμα τὸ κατ' ὀρθὴν γωνίαν, τουτέστιν ἵνα τὸ τοῦ πήχεος ὀστοῦν πρὸς τὸ τοῦ βραχίονος, ὀρθὴν ἐργάζηται γωνίαν. Πάντων δὲ τῶν παλαιῶν ἀντιγράφων προσκείμενον ἐχόντων, τὸ ἐγγὺς, εἰδότων δὲ καὶ τῶν ἐξηγησαμένων τὸ σύγγραμμα, ταύτην τὴν γραφὴν, κατὰ δύο τρόπους μοχθηρὸν γίνεται τὸ λεγόμενον,

F ἐάν τις ἐγγώνιον ἀκούῃ σχῆμα κατ' ὀξεῖαν γωνίαν, ὀξείας δηλονότι γωνίας ὀνομαζομένης, ἥτις ἂν ἐλάττων ᾖ τῆς ὀρθῆς. ὅταν μὲν εὐθεῖα ἐπ' εὐθείας σταθεῖσα, τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστι. ἡ δὲ τῆς ὀρθῆς ἐλάττων, ὀξεῖα καλεῖται, καθάπερ ἡ μείζων, ἀμβλεῖα. καὶ τοίνυν ἡ μὲν ὀρθὴ γωνία, κατὰ μέγεθός ἐστι, οὐκ ἔχουσα τὸ μᾶλλόν τε, καὶ ἧττον. ἀπείλητον δὲ ἀριθμῷ τὸ πλῆθός ἐστι, τῶν ὀξειῶν τε, καὶ ἀμ-

B

Οὕτω τοίνυν ἐπὶ τὴν ὀρθὴν γωνίαν ἑρμηνεῦσαι βουληθέντα, λέγειν ἐγγὺς εἶναι τῆς ὀξείας. ἡγεῖται μὲν γὰρ ἡ τῆς ὀρθῆς νόησις, ἕπεται δὲ ἡ τῆς ὀξείας, ἔτι ἡ μὲν ὀρθὴ μία, καθάπερ εἶπον, ἄπειροι δὲ κατὰ πλῆθος αἱ ὀξεῖαι. τὸ μὲν οὖν ἐγγὺς εἶναι τῆς ὀρθῆς, ὀξεῖάν τινα γωνίαν εἰκότως ἄν τις εἴποι. παμπόλλων γὰρ οὐσῶν αὐτῶν, ταύτην νοήσομεν ἐγγὺς εἶναι τῆς ὀρθῆς, ἣ τῆς ὀρθῆς ἂν ἀπολείπηται βραχὺ, καὶ μὴ πάνυ τὴν συμβολὴν τῶν ἐργαζομένων αὐτὴν εὐθειῶν ἐσφιγμένην ἔχει. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τῶν ἀμβλειῶν παμπόλλων οὐσῶν, ἐκείνας νοήσομεν ἐγγὺς εἶναι τῆς ὀρθῆς, ὅσαι τὴν συμβολὴν τῶν ἐργαζομένων αὐτὰς εὐθειῶν, ἔχουσι μετρίως ἀμβλεῖαν, ἐγγὺς δὲ τῆς ὀξείας εἶναί τινα γωνίαν, ἀπερινόητον μὲν, οὐκ οὔσης μιᾶς τῆς ὀξείας γωνίας ἣ ἐγγώνιον ἔχει σχῆμα καὶ προσέτι διὰ τὸ μὴ ἐγγώνια διὰ τῶν δυοῖν γγ μήτε εὐγώνια, διὰ τῆς ευ συλλαβῆς κεκλῆσθαι σχήματα, πρὸς μηδενὸς τῶν Ἑλλήνων, ἕνα γωνίαν ὀξεῖαν ἔχει. τὰ μέντοι τὴν ὀρθὴν ἔχοντα γωνίαν εὐγώνια, διὰ τῆς ευ διφθόγγου, καὶ ἐγγώνια διὰ τῶν δυοῖν γραμμάτων καλοῦσι· μή τι οὖν ἀναγκαῖόν ἐστιν ἀκούειν ἐγγώνιον, τοῦ κατ' ὀρθὴν γωνίαν συγκειμένου σχήματος, ὅπερ γίγνεσθαι πέφυκεν, ὅταν ὀρθὴν γωνίαν ὁ πῆχυς ἐργάζηται πρὸς βραχίονα. ζητεῖν δὲ διὰ τί προσέθηκεν Ἱπποκράτης τὸ ἐγγύς· ὥσπερ οὖν εἰώθαμεν λέγειν πολλάκις, ἐρῶ καὶ νῦν· ἀσαφεῖς λέξεις ἐπιστημονικὴν μὲν οὐκ ἔχουσιν ἐξήγησιν. ἐὰν δὲ τὸ πιθανὸν μετὰ τοῦ καὶ τὸ προλεγόμενον ἀληθὲς εἶναι, καὶ μὴ μάχεσθαι τῇ γνώμῃ τοῦ συγγράμματος τοῦ συγγραφέως, ἀποδέχεσθαι χρή. τούτου τοίνυν ἐχόμενος τοῦ σκοποῦ, πειράσομαι τὴν ἐγγὺς φωνὴν ἐξηγήσασθαι. λέγω δὲ, τὸ μὲν ἐγγώνιον σχῆμα, τὸ μᾶλλόν τε καὶ ἧττον οὐκ ἔχειν, ἓν γάρ ἐστιν. ἡμᾶς δὲ μάλιστα μὲν οὐ δύνασθαι τοιοῦτον σχῆμα τῆς χειρὸς ἐργάζεσθαι, καθ' ὃ διαβεβαιώσαιτο ἄν τις ἀπαρεγκλίτως ὀρθὴν εἶναι γωνίαν, τὴν τῶν ὀστῶν συμβολῆς, ἀρκεῖν ἡμῖν, εἰ μὴ πόρρω τούτου σχηματίσαιμεν. ἔπειτα δὲ, οὐδὲ βούλεται τοιοῦτον σχῆμα τῆς ὅλης χειρὸς εἶναι. ἐπιδείξω γὰρ αὐτῆς τὸ κατὰ φύσιν σχῆμα, πλησίον μὲν τῆς ὀρθῆς γωνίας, ἀποκεχωρηκὸς δὲ βραχὺ πρὸς τὴν ἀμβλεῖαν, ὅπερ ἐστὶ πρὸς τὴν ἔκτασιν ῥέπον. ἡ δὲ ἀπόδειξίς μοι τοῦ λόγου γενήσεται, δι' ὧν καὶ αὐτὸς ὁ Ἱπποκράτης ἔγραψεν. ἐκ γὰρ τοῦ ἐλινύοντος ἔφη, καὶ τοῦ ἔθους εὑρίσκειν ἡμᾶς τὰ κατὰ φύσιν σχήματα. ταῦτα δὲ ἄμφω συντεθέντα σκοπὸν ἕνα ποιεῖ σύνθετον, ὡς εἰ καὶ οὕτως τις εἴποι, ἐν οἷς ἀργοῦντες εἰθίσμεθα σχήμασιν ἕκαστον τοῦ σώματος

Quicunque ergo rectum angulum explicare voluerit, prope acutum eſſe dicere non poteſt. Præcedit enim recti intelligentia, ſequitur verò acuti, quòd (ut enuntiavi) rectus ſit unus, acuti verò numero infiniti. Acutum ergo aliquem angulum prope rectum eſſe quiſquam merito dixerit. Quum enim plurimi ſint anguli, illum eſſe prope rectum intelligemus qui a recto paululùm diſcedit; neque admodum concurſum rectarum linearum angulum ipſum conſtruentium ſubacuantem habet. Eodem C verò modo ex quamplurimis quoque qui dantur angulis, eos intelligemus prope rectum eſſe quicunque linearum rectarum rectos angulos conſtruentium concurſum modicè obtuſum continent. At prope acutum eſſe aliquem angulum incomprehenſibile quidem eſt, tùm quòd angulus non ſit unus qui angulatam figuram ſortitur, tùm præterea quòd *angulatas* ἐγγωνίας per duplex γγ, aut *directas* εὐγωνίας per ευ ſyllabam figuras Græcorum nemo vocaverit, angulum acutum non habet. Sed quæ rectum angulum ſortiuntur figuræ, eas εὐγωνίας per ευ diphthongum, & ἐγγωνίας per γγ duas literas vocitant. An igitur neceſſe eſt ἐγγώνιον angulatam D accipere figuram, quæ ad rectum angulum conſtituitur, quæque fieri conſuevit, quum rectum angulum cubitus cum humero efficit? Quærere verò cur Hippocrates, *prope*, addidit? Quemadmodum igitur ſæpiùs loqui conſuevimus, etiam nunc reſpondebimus. *Obſcura quidem orationes effectricem ſcientiæ explanationem non habent.* Sed ſi quid probabile ſit, ſimulque verum ſit quod prædicatur, neque authoris libri ſententiæ repugnet, accipiendum eſt. Huic igitur ſcopo E incumbens experiar hanc vocem, *prope*, explicare. Dico verò angulatam, quum una ſit, figuram & magis & minus non ſuſcipere; Nos autem potiſſimum quidem non poſſe hujuſmodi manus figuram conſtruere, quâ quis affirmaverit citra propenſionem ullam, rectum oſſium commiſſuræ dari angulum, ſed ſatis nobis eſſe, ſi non procul ab eo figuram formaverimus. Quandoquidem non decernit talem eſſe univerſæ manus figuram. Demonſtrabo ſiquidem F ipſius quæ ſecundùm naturam eſt figuram, recto angulo proximam eſſe, ſed paululum ad obtuſum decedere; quod eſt ad extenſionem propendere. Demonſtratio verò propoſiti mihi ab iis præceptis oborietur, quæ ipſe etiam ſcriptis tradidit Hippocrates. Nam ex quieſcente, dixit, & conſuetudine, profitetur nos eas quæ ſecundùm naturam ſunt figuras invenire. Hæc ambo conjuncta ſcopum unum compoſitum efficiunt, ac ſi quis ita dixerit: Quibus in figuris quum otiamur, ſingulas corporis partes habere conſuevimus,

ſcopum indolentiam eſſe. Hac ſane prætermiſſa doloribus laborantium neminem alia in figura plurimâ temporis viciſſitudine partem affectam collocaſſe manifeſtum eſt. Itaque ſi homines ottari conſideraveris, plerunque manus inter ſummam extenſionem, & extremam flexionem non planè medias comperies, ſed quæ ad extenſionem propendeant. Illud autem accidit in altera figurarum oppoſitione. Quum enim omnes homines defeſſi ſunt, ſeſe expandunt, & habitum doloris maximè vacuum eligunt ad quem medium inter planè ſupinum, & ſummè pronum accedunt, ad pronum tamen paululum declinare coguntur. Quum igitur vellet Hippocrates hæc explicare, nec haberet quo ſermonem extenderet, *prope*, addidit. Cæterum figurarum manus omnium quæ doloris maximè vacua eſſe nunc à me pronunciatur, ipſam accuratè norunt etiam quicunque hujuſmodi artis operum periti ſunt, ſi hanc orationem perceperint, iique *potiſſimum* quod per ſe veritatem agnoſcant. Obſtringi verò eum oportet qui quemcunque librum explicat, & authoris ſententiam, & rei propoſitæ veritatem tueri, in quibus dubia eſt propter obſcuritatem authoris ſententia. Quod verum eſt, id tueri oportet; ſic enim & diſcentibus oborietur utilitas. Hunc igitur ſcopum in omnibus explicationibus ſervare nitimur. Nonnulli explanatores etiamſi velint ipſum aſſequi, nequeunt, ut qui operum artis ſint expertes, & ad ſophiſticam peritiam deflectant, quique verbo tenùs Medici vocantur, evaſerint, ob quos etiam qui ratione probè utuntur, eos vulgus habet ſuſpectos. Hæc profectò meminiſſe neceſſe eſt, etiamſi paucies in orationem cadant. Jam verò emigrandi tempus eſt *nobis* ad propoſitæ orationis tenorem *acceſſuris*. Quemadmodum inter ſupinum & pronum habitus minimè dolorem excitat, cui plurimo vitæ tempore pœnè omnes conſueti ſunt: ita etiam hîc ad extenſionis crurum figuram accedit. In hac enim plurimum tempus crura immutabilia continere poſſumus. Quod autem etiam neceſſarium non ſit in alterum *habitum* minùs doloris vacuum *membrum* immutare, cum propriâ demonſtrationis causâ, in commentariis de muſculis demonſtravimus, id non demonſtrationem, ſed commemorationem deſiderat, quemadmodum & illud quod celeriter ad eundem habitum rurſum revertamur. At cauſam aperire neceſſe non eſt, quum longiorem orationem poſtulet. Satius enim eſt ſervatâ Hippocratis ad unguem ſententiâ, pro cauſæ explicatione, aliud quicquam utilius proferre, quod juvenibus conferat, quæ cauſa à nobis libro de motu muſculorum conſcripta eſt. Nam in humeri cum cubito articulatione ſecundùm naturam eſt habitus inter excedentium extremorum utrumque medius, ultra quem neque manum extendere, neque magis etiamnum flectere poſſumus. Atque apparet, contingitque oſſibus carne nudatis, aut cubiti cavitate, quam duæ cornices circumſcribunt. Completa verò eſt etiam modo quodam cardinato humeri ambitu, quem medii condyli complectuntur. In extremis extenſionibus poſterior cubiti cornix, poſteriorem humeri ca-

σχημάτων ἐστὶν, ἡ ἀνωδυνία. ταύτην οὖν εὔδηλον ὡς
οὐδέτις τῶν ἀλγούντων ὑπερβὰς, ἐν ἄλλῳ ἂν σχήματι
τὸ πλεῖστον μέρος τοῦ χρόνου σχηματίσαι τὸ μόριον. ἐὰν
οὖν ἐπισκέψῃ τοὺς ἀλγοῦντας ἀνθρώπους, εὑρήσεις ὡς
ἐπὶ τὸ πολὺ τὰς χεῖρας καταπεθειμένας, οὐκ ἀκριβῶς
μέσας ἐκτάσεως ἄκρας, καὶ κάμψεως ἐσχάτης, ἀλλ'
ἐπὶ τὴν ἔκτασιν ῥεπούσας. τὸ δὲ αὐτὸ συμβέβηκε, καὶ
B κατὰ τὴν ἑτέραν ἀντίθεσιν τῶν σχημάτων. ἐν γὰρ τῷ κεκμη-
κέναι ἀναπίπτεσθαι μάλιστα ἑλόμενοι οἱ πάντες ἄνθρωποι
τὸ ἀνωδυνώτατον σχῆμα, πρὸς μὲν τὸ μέσον ἔρχονται τοῦ-
τε ἀκριβῶς ὑπτίου, καὶ πρηνοῦς ἐσχάτως, ἐκκλίνουσι δὲ
βία βραχὺ πρὸς τὸ πρηνές. ὁ μὲν οὖν Ἱπποκράτης
ταῦτα δηλῶσαι βουλόμενος, προσέθηκε τὸ, ἐγγὺς, οὐκ
ἔχων διατείνεσθαι. τὸ μέν τοι τῶν σχημάτων τῆς χειρὸς
ἁπάντων ἀνωδυνώτατον εἶναι τὸ νῦν ὑπ' ἐμοῦ λεγόμε-
νον, ἀκριβῶς οἴδασιν καὶ ὅσοι τρίβωνές εἰσι τῶν τοιούτων
ἔργων τῆς τέχνης ἀκούσαντες τὸν λόγον τοῦτον, οἱ δὲ, ὅτι
C γνωρίζουσι τὴν κατ' αὐτὸν ἀλήθειαν. ἐπιχειρεῖσθαι δὲ δεῖ τὸν
ἐξηγούμενον ὁποιονοῦν σύγγραμμα, τηρεῖν τῆς συγγραφέως
γνώμης, καὶ τῆς τοῦ λεγομένου πράγματος ἀληθείας. ἐν
οἷς οὖν ἄδηλόν ἐστι διὰ τὴν ἀσάφειαν ἡ τοῦ συγγραφέως
γνώμη. τὸ δὲ ἀληθὲς χρὴ φυλάττειν, οὕτως γὰρ καὶ τοὺς
μανθάνοντας ὠφελεῖσθαι συμβήσεται. τοῦτον οὖν τὸν σκοπὸν
ἐν ἁπάσαις ταῖς ἐξηγήσεσι πειρῶμαι φυλάττειν. ἔνιοι δὲ τῶν
ἐξηγητῶν οὐδ' ἂν ἐθελήσωσι, τυχεῖν αὐτοῦ δύνανται,
τῶν μὲν ἔργων τῆς τέχνης ἀπείρως ἔχοντες· ἐπὶ δὲ τὸ
D σοφιστικὸν εἶδος ἐκτετραμμένοι, καὶ ὀνομασθέντες οἱ καλούμε-
νοι λογικοὶ ἰατροὶ, δι' οὓς καὶ οἱ καλῶς χρώμενοι τῷ λόγῳ
παρὰ τοῖς ἰδιώταις ὑποπτεύονται. τούτων μὲν δὴ χρὴ
μεμνῆσθαι, κἂν ὀλιγάκις λέγωνται, μεταβαίνειν δὲ ἤδη
καιρὸς ἐπὶ τὰ συνεχῆ τῆς προκειμένης ῥήσεως· ὥσ-
περ τοῦ ὑπτίου καὶ πρηνοῦς ἀνωδυνώτατόν ἐστι,
καθ' ὃ πλείστῳ χρόνῳ τοῦ βίου συνειθισμένοι σχεδὸν
ἅπαντές εἰσι· προσχωρεῖ δὲ, καὶ τοῦτο τῷ τῆς ἐκτά-
σεως· ἐν τούτῳ γὰρ τῷ σχήματι πλεῖστον χρόνον ἴσχειν
δυνάμεθα τὰ σκέλη μὴ μεταβάλλοντες. ὅτι δὲ καὶ ἀναγ-
καῖόν ἐστι μὴ μεταλλάττειν εἰς ἕτερον ἧττον ἀνώδυνον, ἐν
E τοῖς περὶ μυῶν ὑπομνήμασι δέδεικται, μετὰ τῆς οἰκείας
αἰτίας μεταβαλεῖν, οὐκ ἀποδείξεως, ἀλλ' ἀναμνήσεως
χρῄζει, καθάπερ γε καὶ ὅτι διὰ ταχέων ἐπανερχόμεθα
πάλιν ἐπ' αὐτό. τὴν δ' αἰτίαν οὐκ ἀναγκαῖον λέγεσθαι,
μακροτέρου λόγου δεομένην. ἄμεινον γὰρ ἀντὶ τοῦ τὴν αἰ-
τίαν εἰπεῖν, ἕτερόν τι χρησιμώτερον, τοὺς νέους ὠφελῆσαι,
μετὰ τοῦ φυλάττειν ἀκριβῶς τὴν Ἱπποκράτους γνώμην,
καταλελεγμένην πρὸς ἡμῶν ἐν ταῖς περὶ μυῶν κινήσε-
σιν. ἐν γοῦν τῇ τοῦ βραχίονος πρὸς τὸν πῆχυν διαρθρώ-
F σει, τὸ κατὰ φύσιν ἐστὶ σχῆμα μέσον τῶν ὑπερβολικῶν ἑκα-
τέρου, καθ' ὃ μήτε ἐκτεῖναι, μήτε κάμψαι μᾶλλον ἔτι
δυνάμεθα, καὶ φαίνεταί γε τοῦτο χωρίον τῆς σαρκὸς τῶν ὀστῶν
γυμνουμένων, ἡ τοῦ πήχεος βαθμὸς, ἣν ὁρίζουσιν αἱ δύο
κορῶναι. πεπληρωμένη δὲ, καὶ ὡς ὑπὸ τῆς γιγγλυμοει-
δοῦς τοῦ βραχίονος περιφερείας, ἣν οἱ μέσοι περιλαμβά-
νουσι κόνδυλοι. κατὰ δὲ τὰς ἐσχάτας ἐκτάσεις, ἡ ὄπισθεν
κορώνη τοῦ πήχεος, εἰς τὴν ὀπίσω βαθμίδα τοῦ βραχίονος

πλάτει νοεῖσθαί σοι χρὴ τὸ μέσον τοῦτο, καλεῖ δὲ ὁ Ἱπποκράτης αὐτὸ κοινόν. ἀλλ' ὥσπερ ἀδύνατόν ἐστι, κατὰ τὸ ἀκριβέστατον ἐν μέσῳ σχήματι καθιστάναι τὴν χεῖρα, καθ' ὃ μηδὲ βελόνης πάχος ἐλεῖν, ἢ προστεθῆναι δυνατόν ἐστιν, οὕτως οὐ χρὴ μέσου τοῦδε πόρρω σχηματίζειν τὴν χεῖρα. κατὰ τοῦτο γὰρ ὁ τεχνικὸς στοχασμὸς, τοῦ μὴ τεχνικοῦ διαφέρει, τοῦ μὲν τεχνικοῦ πλησίον ἀφικνουμένου τῆς ἀκριβοῦς συμμετρίας, τοῦ δὲ ἰδιώτου πλεῖστον ὅσον ἐνίοτε σφαλλομένου. δύναιτο ἂν οὖν καὶ κατὰ τοῦτο ὁ Ἱπποκράτης συμβουλεύειν, τὸ ἐγγὺς τοῦ ἐγγωνίου σχήματος φυλάττειν, ἐγγώνιον μὲν καλῶν τὸ κατ' ὀρθὴν γωνίαν, ἀξιῶν δὲ στοχαζομένους ἡμᾶς αὐτοῦ, μὴ πόρρω τῆς ἀκριβοῦς ἀφικνεῖσθαι συμμετρίας. ὃ δὲ ἔφην ἐγὼ διδάξειν τοὺς νέους, χρησιμώτατον ἐς τὰ παρόντα, καὶ δὴ φράσω, μεγίστην ἐν πᾶσι τοῖς κατ' ἰατρικὴν δύναμιν ἔχειν τὸ ἔθος, ὡς ἐπίκτητον αὐτὸ φύσιν ὑπὸ τῶν μεγίστων ἰατρῶν ὀνομάζεσθαι. φαίνεται δὲ καὶ Ἱπποκράτης ἐν τοῖς ἀναγκαιοτάτοις σκοποῖς ἀεὶ τιθέμενος αὐτὸ, καὶ δύναμιν ἐνδείξεως ἀπονέμων δευτέραν, ἐπὶ προτέρας δηλονότι τῆς κατὰ φύσιν ὑπειλῆφθαι εἶναι τοῦ κατ' αὐτὴν ἀκριβῶς ἰδίου σχήματος, ὡς ἐπὶ πάντων τῶν καμνόντων ποιεῖσθαι, ἀλλ' ὑπαλλάττειν ἐφ' ἑκάστου τοῖς ἔθεσιν· ὁ μὲν οἰκείως. ἐνίους μὲν ἑωρῶν δι' ὅλης ἡμέρας καθημένους, ὅσοι τέχνας ἑδραίας ἔχουσι, ἐνίους δὲ ἑστῶτας, ἢ βαδίζοντας· εὔλογον οὖν ἔδοξέ μοι μᾶλλον ἐκτεταμένον σχηματίζειν τὸ σκέλος, ἐφ' ὧν εἴθισται πλείστῳ χρόνῳ τοῦτ' ἔχειν τὸ σχῆμα, καθάπερ τοὐναντίον ἧττον ἐκτεταμένον, ἐφ' ὧν δι' ὅλης ἡμέρας κέκλιται, καὶ τῇ πείρᾳ μεταβασανίσας, αὐτὸ τοιοῦτον εὗρον ὑπάρχειν, ὁποῖον καὶ ἤλπισα. καὶ περὶ τῆς χειρὸς, κατὰ τὸν αὐτὸν λόγον δεῖ μὲν ἐγγὺς τοῦ ἐγγωνίου σχήματος χρῆναι σχηματίζειν αὐτὰς, ἀλλὰ εἰς τὸ μᾶλλόν τε καὶ ἧττον, ἐκ τῶν ἐθῶν λαμβάνειν τὴν ἔνδειξιν. ἐπεὶ δὲ καὶ διὰ τῆς πείρας ἁπάσας τὰς λογικὰς οἱ ἄνθρωποι ἐπινοίας κρίνουσιν, ἐμαρτυρήθη τὸ πρᾶγμα, βεβαίαν ἤδη τὴν πρόγνωσιν ἔχον, οὐδὲ τοῦτο ἐφθόνησα τῆς εὑρέσεως. ὑπὸ πάντων οὖν τῶν φίλων βασανισθὲν τὸ θεώρημα, βέβαιον ἤδη γέγονε χρησιμώτατον εἰς τὰ τοιαῦτα, καὶ τὸν Ἱπποκράτην τοίνυν εἴπομεν ὑπαλλάττειν μὲν ἀξιοῦν τὸ ἀκριβὲς ἐγγώνιον σχῆμα, τῇ διαφορᾷ τῶν ἐθῶν, τὴν ἀλλαγὴν δὲ βραχεῖαν ποιεῖσθαι, τουτέστιν ἐγγὺς τοῦ ἐγγωνίου σχήματος.

& flexionis habitum ſecundum naturam eſſe B dicimus, non planè ad unguem, ſed in latitudine medium hoc tibi intelligendum eſt, quod commune vocat Hippocrates. Verùm quemadmodum impoſſibile eſt in medio habitu manum exquiſitiſſimè collocare, cui aciculæ craſſitudinem demere aut addere nequeas: ſic manus ab hoc medio non procul figuranda eſt. Quamobrem artificioſa conjectura ab artis experte differt, quod artificioſa ad exquiſitam commoderationem propè accedat, idiotæ verò quamplurimum nonnunquam oberret. Poſſet itaque Hippocrates hujus rei gratiâ decernere C figuram propè angularem ſervandam eſſe, angularem vocans quæ ad rectum eſt angulum; ut qui nos ipſam conjecturis non procul ab exquiſita commoderatione conſequuturos eſſe cenſeat. Ego verò, quod protuli, me juvenes docturum maximæ utilitatis, profectò expoſiturus ſum, conſuetudinem nimirum ad omnia in Medicina ita maximam facultatem habere, ut ipſa à præſtantiſſimis Medicis natura aſcititia nominata ſit. Atque videtur Hippocrates ſemper ipſam inter ſcopos maximè neceſſarios ſtatuere, & ipſi ſecundum indicationis imperium tribuere, idque priori videlicet *indicationis* à natura petitæ *imperio* inferius eſſe, & per D ſe habitus formam, nempe in omnibus ægrotis introducere, imò pro cujuſque conſuetudinibus penitus variare. Nonnullos quidem amicè viſi totum diem ſedentes, qui artes ſedentarias profitentur, quoſdam verò ſtantes, aut ambulantes; quare meritò cenſui ego magis iis extenſum crus figurandum eſſe, qui plurimo tempore hanc tenere figuram conſueverunt; quemadmodum *contra* minùs extenſum quibus univerſum diem crus diſcubuit. Atque experimento re comprobatâ, hanc ipſam comperi, E qualem ſperavi. De manibus quoque eâdem ratione dicendum eſt, prope angularem figuram ipſas formandas eſſe, ſed ad angulum obtuſiorem, vel acutiorem ex conſuetudinibus ſumendam indicationem. Quia verò omnia rationis inventa homines experimento dijudicant, proptereà quæ res teſtimonio comprobata eſt, jam certam prænotionem habet, hæc inventa minimè negantem. Itaque hoc præceptum ab amicis omnibus exploratum jam conſtans ad hæc in uſum jam receptum eſt. Ergo Hippocratem diximus voluiſſe quoque habitum angulatum pro conſuetudinum differentiis immutare, mutationem verò exiguam, hoc eſt, prope angulatam formam conſtituere.

[illegible] error interpretationis rerum multarum paucis comprehenſæ; Quatuor eſſe operationis tempora. Quid & unde habitus; & quid intelligitur per bene poſita, & bene figurata.

HIPPOCRATIS TEXTUS XXII.

At in mutatione ex diſtenſione ad habitum, aut poſituram, hæc ſe habent ſimilia, muſculi, venæ, nervi, oſſa, aut maximè bene poſita, & bene figurata.

COMMENTARIUS GALENI.

Hæc ſuperiùs etiam pronunciata ſunt; ſi quis autem ea prorſus detraxerit, doctrina non læderur. Accidit enim in hujuſmodi libris, qui rerum multarum interpretationem brevi oratione continent, aliter atque aliter interdum Authorem res ipſas ſcribere, ſe ſpectantem quibus dictionibus ipſe magis ſit uſurus; poſteà librarium earum nonnullas in marginibus, nonnullas etiam in fronte ſcriptas comperiſſe, & universas in libri fundo conſcripſiſſe, quo potiſſimùm ordine meritò impoſitas eſſe ipſe cenſuerit. Quod igitur in propoſita oratione declaratur, id ejuſmodi eſt. Plura diximus eſſe curando *ægro* tempora. Primum *acceſſionis* quo ad Medicum accedit qui aliqua in figura partem affectam prorſus habet. Alterum deinde *deditionis* quo ſeſe Medicis exhibet, quis ipſi affectus acciderit, & quâ præparatione ad curationem opus fuerit cognituris. Tertium deinceps *præparationis* eorum eſt tempus. Huic ſuccedit *porrectionis*, à quo mox in fracturis quidem *conformationis* tempus eſt; in luxationibus verò repoſitionis; poſt hoc, illud deligationis. Poſtremum denique omnium *ſuſpenſionis* quidem in manu, *depoſitionis* verò *remorantis* in crure, & in dorſi & capitis regionibus tempus exiſtit. Ἕξιν *habitum* itaque pronuntiavit in propoſito παρὰ τὸ ἔχειν *à verbo habere*, quòd eo poſt deligationem tempore partium devinciendarum ſtatum contineat. Huic è regione poſituram oppoſuit partium depoſitarum, quæ tres numerantur, crura, caput, & tota ſpina. Quare hic habitum noſtrum mente percipiemus, quemadmodum in cæteris; qualis in claviculis, manibus, lateribus, & ſcapulis, utriſque malis, & ſi qua pars ſit hujuſmodi. Decernit enim in enarratarum partium mutatione nonnullas rectè jacere, quæ *nimirum* poſituras ſubire queunt; eas perbelle continendas eſſe. Quæ partes collocatæ ſunt, eas bellè poſitas nominavit, bene verò figuratas, alias. Cæteræ namque pro dictorum temporum ratione diverſæ ſunt. Cæterùm communis in omnibus unus & idem eſt naturalis partium ſtatus, ad quem eum inſpicere jubet qui integro tempore factam deligationem diutiùs ſervandam conjicit. Si namque aliam figurâ deligationem ſtruxerimus, in aliam quoque poſtremo tempore muſculorum, nervorum & venarum poſitura mutabitur, *neque* etiam erunt *bene diſpoſita, neque bene conformata.*

[illegible] σφάλμα τῆς ἑρμηνείας πολλῶν πραγμάτων διὰ βραχείας λέξεως περιειλημμένης. τέσσαρας εἶναι τοὺς χειρουργίας χρόνους. τί, καὶ ὅθεν ἕξις. καὶ τί κατὰ τὰ εὔθετα, καὶ εὔσχετα ἐνοεῖται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

Ἐν δὲ τῇ μεταλλαγῇ ἐκ διατάσιος, ὅμοια ταῦτα ἔχουσιν, εἰς ἕξιν, ἢ θέσιν, μύες, βλέβες, νεῦρα,
B ὀστέα, ἢ μάλιστα εὔθετα, καὶ εὔσχετα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ταῦτα καὶ πρόσθεν εἴρηται, κἂν παντελῶς αὐτὰ περιέλοι τις, οὐδὲν ἡ διδασκαλία βλαβήσεται. συμβαίνει δὲ ἐν τοῖς τοιούτοις βιβλίοις, ὅσα πολλῶν πραγμάτων ἑρμηνείαν ἔχει διὰ βραχείας λέξεως, ἄλλως καὶ ἄλλως ἐνίοτε τὸν συγγραφέα τὰ αὐτὰ πράγματα γράφειν, ἑαυτὸν σκοπούμενον ᾗ τινι λέξει χρήσηται μᾶλλον, εἶθ' εὑρόντα τὸν βι-
C βλιογράφον, ἐνίας μὲν αὐτῶν ἐν τοῖς μετώποις γεγραμμένας, ἐνίας δὲ κατὰ τοῦ μετώπου πάσας ἔγραψε περὶ ἐδάφει τοῦ συγγράμματος, ἐν ᾗ κάλλιστα τάξει δόξουσιν εὐλόγως ἐγκεῖσθαι. τὸ γοῦν κατὰ τὴν προκειμένην λέξιν δηλούμενον, ἐστὶ τοιοῦτον. πλείονας ἔφην εἶναι καιροὺς τῶν θεραπευομένων· πρῶτον ἐν ᾧ παραγίνεται πρὸς τὸν ἰατρὸν, ἐν τινὶ σχήματι τὸ πεπονθὸς μέρος ἔχων. εἶθ' ἑξῆς ἄλλον, ἐν ᾧ κατασκευάζεται τοῖς ἰατροῖς ἑαυτὸν παρέχει γνωσομένοις τί τὸ συμβεβηκὸς αὐτῷ πάθημά ἐστι, καὶ τίνος δεῖται παρασκευῆς εἰς θεραπείαν. εἶθ' ἑξῆς, ὁ τῆς τούτων πα-
D ρασκευῆς χρόνος, καὶ μετ' αὐτὸν, ὁ τῆς διατάσεως, εἶτα μετὰ τοῦτον, ἐπὶ μὲν τῶν καταγμάτων, ὁ τῆς διαπλάσεως, ἐπὶ δὲ τῶν ἐξαρθρημάτων, ὁ τῆς ἐμβολῆς, εἶθ' ὁ τῆς ἐπιδέσεως μετὰ τοῦτον. ὕστατος δὲ πάντων ὁ τῆς ἀναλήψεως μὲν ἐπὶ χειρὸς, ἀποθέσεως δὲ ἐπὶ σκέλους, καὶ τῶν κατὰ νῶτα καὶ κεφαλὴν χωρίων. ἕξιν οὖν εἴρηκεν ἐν τῇ προκειμένῃ λέξει, παρὰ τὸ ἔχειν τὴν ἐν τῷ μετὰ τὴν ἐπίδεσιν καιρῷ κατάστασιν τῶν ἐπιδεδεμένων. ἀντιδιῄρηκε δὲ αὐτῇ τὴν θέσιν ἀποτιθε-
E μένων, ἢ τριῶν γενομένων, ἅπερ ἐστὶ τὰ σκέλη, καὶ ἡ κεφαλὴ, καὶ ἡ σύμπασα ῥάχις, ὡς τὴν ἕξιν ἡμῶν ἀκουσόμεθα ὡς ἐπὶ τῶν ἄλλων, οἷον ἐπί τε κλειδῶν, καὶ χειρῶν, καὶ πλευρῶν, ἀκρωμίου τε, καὶ ὠμοπλάτης, καὶ γνάθου ἑκατέρας, καὶ εἴ τι ἄλλο τοιοῦτον. βούλεται γὰρ ἐν τῇ μεταβολῇ τῶν εἰρημένων χωρίων τὰ πεπονθότα μόρια, τὰ μὲν κεῖσθαι καλῶς, καὶ ὅσα δύναταί γε θεῖναι, τὰ δὲ ἔχεσθαι καλῶς, ἃ μὴ δύναται τεθῆναι. εὔθετα μὲν ὀνόματι τέθεικε, εὔσχετα δὲ τὰ ἄλλα. τὰ μὲν γὰρ ἄλλα, κατὰ τοὺς εἰρημένους
F αὐτοῖς ἐστὶν ἕτερα. κοινὸν δὲ ἐν πᾶσιν ἓν ταυτόν ἐστι, τὸ κατὰ φύσιν σχῆμα τοῦ μέρους· ἀποβλέπειν οὖν εἰς τοῦτό γε κελεύει, στοχαζόμενον, τοῦ τε τελευταίου καιροῦ τῆς γεγονυίας ἐπιδέσεως φυλαχθησομένης ἐν χρόνῳ πλείονι. ἐὰν οὖν ἐν ἄλλῳ σχήματι τὴν ἐπίδεσιν ποιησάμενοι, μεταβάλλωμεν εἰς ἄλλο, κατὰ τὸν ὕστατον καιρὸν ἡ θέσις ὑπαλλαχθήσεται τῶν μυῶν, καὶ τῶν νεύρων, καὶ τῶν φλεβῶν, καὶ οὔτε εὔθετα, οὔτε εὔσχετα ἔσται, τουτέστιν οὔτε καλῶς ἀποκείμενα, οὔτε καλῶς ἀνειλημμένα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B

Ἡ διάτασις, φησὶ, μάλιστα γίνεται κατ' ἐκεῖνα τὰ μόρια, καθ' ἃ μέγιστα καὶ παχύτατά εἰσι τὰ ὀστᾶ, καὶ τὰ περὶ αὐτὰ σώματα, τουτέστιν, οἱ μύες. οὗτοι γάρ εἰσιν οἱ μάλιστα κατατείνεσθαι δεόμενοι, διότι καὶ μάλιστα ἀνασπᾶσθαι πεφύκασιν ἐπὶ τὰς ἑαυτῶν κεφαλάς. ἔστι δὲ τοιοῦτον μόριον ὁ μηρὸς, εἶθ' ἑξῆς βραχίων, καὶ κνήμη, καὶ μετ' αὐτὸν ὁ πῆχυς, εἶτα τὰ κατ' ἄκρας χεῖρας καὶ πόδας, ἐξαιρουμένων ἐν τῷ παρόντι τῶν κατὰ ῥάχιν. ἀλλὰ καὶ ὅπου, φησὶν, ἀμφότερα τὰ ὀστᾶ πέπονθεν, ἀλλὰ μᾶλλον χρὴ διατείνειν ὡς ἐπὶ πήχεος, καὶ κερκίδος. ἥκιστα δὲ, C τουτέστιν ἐλάχιστα, καὶ μετριώτατα ὄντα ἄνω, καθάπερ ἐπὶ χειρὸς ἡ κερκίς. ἅπαντα δὲ ταῦτα, ὡς ἔφην ἐν τῷ περὶ ἀγμῶν ἐξείργασται.

GALENI COMMENTARIUS.

Diſtenſio, inquit, maximè fit illis in partibus, quibus maxima & craſſiſſima oſſa ſunt, & quæ ipſa ambiunt corpora, hoc eſt, muſculi. Hi namque ſunt, qui maximè diſtendi deſiderant, quod & maximè ad ſua capita contrahi naturâ conſueverint. Hujuſmodi verò pars femur eſt, deinde brachium, & tibia, poſteà cubitus, poſtremò quæ partes ſummæ manui & pedi connectuntur, exceptis hîc in ſpina poſitis. Quinetiam quum pronunciat, ubi oſſa affecta ſunt, ea ſanè magis diſtendere oportet, qualis eſt cubitus & radius. Quum verò, *minimè*, id eſt, leviſſimè & moderatiſſimè; *ubi ſuperius*, quemadmodum in manu radius. At hæc omnia in opere de fracturis luculenter explicavimus.

Τὰς διατάσεις μᾶλλον τοῦ μετρίου βλαβερὰς εἶναι, ἥκιστα μὲν τοῖς παιδίοις, καὶ εὐνούχοις, καὶ γυναιξὶ, καὶ ὑγροσάρκοις, καὶ μαλακοσάρκοις σώμασι· μᾶλλον δὲ σκληροῖς, καὶ ξηροῖς.

Vehementiores diſtenſiones noxias eſſe, minùs pueris, eunuchis, fœminis, & humidâ, mollique carne donatis corporibus; magis duris, & aridis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ΄.

D

Μᾶλλον δὲ τοῦ μετρίου βλάβη, πλὴν παιδίων, ἔχειν ἀνάντη σμικρόν.

HIPPOCRATIS TEXTUS XXIV.

Diſtentio *moderato magis facta, noxia; pueris exceptis. Partes paulum acclives habere.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Παιδίων μὲν ἧττον τοῦ συμμέτρου γινομένη διάτασις, ἐάν τε ἐπὶ καταγμάτων, ἐάν τε ἐπὶ ἐξαρθρημάτων μόνην ἀποτυχίαν φέρῃ· διαπλάσεως μὲν, ἐπὶ τῶν καταγμάτων, ἐμβολῆς δὲ, ἐπὶ τῶν ἐξαρθρημάτων. οὐ μὴν ἀλλ' ἣν E ἔτι βλάβην ἰδίαν ἔχῃ, καθ' ἃ ἡ μᾶλλον αὐτὴ ὀδύνας μὲν ἐνεργουμένη, φλεγμονὰς δὲ ἐξ ὑστέρου, καὶ πυρετοὺς, καὶ σπασμοὺς, ἐνίοτε καὶ παραλύσεις ἐπιφέρει, καθάπερ Ἐρασίστρατος ἑωρακέναι φησὶν ἐπὶ τοῦ κατ' ὦμον ἄρθρου διαταθέντος ἐπὶ πλέον. ἧττον δὲ οἱ παῖδες τῶν ἄλλων, ἐπὶ τῇ πλεονασθείσῃ τάσει βλάπτονται, διὰ τὴν ὑγρότητα καὶ μαλακότητα τῶν σωμάτων. ὡς γὰρ ἱμάντες οἱ μὲν ὑγροὶ καὶ μαλακοὶ τῶν σωμάτων, ἀλύπως ἐπὶ πλέον ἐκτείνονται, ῥήγνυνται δὲ οἱ σκληροὶ, καὶ ξηροί· κατὰ τὸν αὐτὸν τρόπον καὶ οἱ μύες, καὶ τὰ νεῦρα, τὰ μὲν ὑγρὰ, καὶ μαλακὰ ῥᾳδίως F ὑπακούοντα ταῖς τάσεσιν, οὔτε ὀδυνῶνται σφοδρῶς, οὔτε ἀπορρήγνυνται. τὰ δὲ σκληρὰ, καὶ ξηρὰ, διὰ τὸ μὴ δύνασθαι χωρὶς μεγάλης βίας ἐκταθῆναι, σφοδρὰς ὀδύνας ἐπιφέρει, οὐ μόνον κατὰ τὰς ὑπερβαλλούσας τάσεις, ἀλλὰ καὶ κατὰ συμμέτρους. ἐν αὐτῷ δὲ τούτῳ, καὶ σπῶνται, καὶ ἀπορρήγνυνται μυῶν, καὶ νεύρων ἶνες. οὐκοῦν τούτων τι

GALENI COMMENTARIUS.

In pueris quidem minùs commoderato diſtentio fit, ſive in fracturis, ſive in luxationibus ſola repulſam ferat, conformationis quidem in fracturis, repoſitionis verò in luxationibus. Verùm hæc etiamſi læſionem propriam non habeant, in quibus tamen vehementiores ipſa dolores excitat, inflammationes deinceps & febres, & convulſiones, nonnunquam & paralyſes adfert, quemadmodum Eraſiſtratus in humeri articulo vehementiùs extenſo ſe vidiſſe narrat; ſed minùs pueri, quàm cæteri vehementiori extenſione tum ob corporum humiditatem, tum mollitiem oblæduntur. Ut enim lora humentia quidem, & mollia corporibus citra moleſtiam ampliùs extendantur, dura verò & arida pertrumpuntur: eodem modo & muſculi & nervi quum madent, & molles ſunt, facilè tenſionibus obſequuntur, neque vehementer dolent, neque obrumpuntur. Duri verò & aridi, quod citra magnam violentiam extendi nequeant, magnos dolores perferunt, non ſolùm in iis quæ modum excedunt tenſionibus, ſed etiam in commoderatis. At in hoc ipſo caſu muſculorum & nervorum fibræ convelluntur, abrumpunturque. Non horum quicquam pue-

tiones, & paralyſes. Ipſe igitur de pueris verba feciť; ſed hæc ad Eunuchos, & fœminas, & ad eos qui naturâ, aut conſuetudine madent, & molli carne ſunt: Nam hujuſmodi corporum temperamenta & facilè tenſioni obſequuntur, & nulla hinc & inde noxa immoderatiùs extenſos ſubſequi conſuevit. At quibuſcunque naturâ vel conſuetudine corpus induruit, vix tenſioni cedunt, atque propterea etiam eos minùs à Medicis extendi ipſe pronunciat Magnas ſiquidem læſiones ab immoderatioribus tenſionibus ſubeunt. *Partes paulùm acclives habere decet.* Atque hæc oratio præcedentibus duplici de cauſa ſimiliter pronuntiatur. Prima ob ſecuritatem, *ſecunda* & ne paululum doleant. Contraria namque ob dolorem lædunt.

μοι, καὶ παραλύτης. αὐτὸς μὲν οὖν ἐπὶ παιδίων ἐποιήσατο τὸν λόγον. ἡμᾶς δὲ δεῖ μεταφέρειν αὐτὸν οὖν ἐπὶ εὐνούχους τε, καὶ γυναῖκας, καὶ τοὺς ἐκ φύσεως, ἢ ἔθους, ὑγροὺς, καὶ μαλακοσάρκους· αἱ τοιαῦται γὰρ κράσεις τῶν σωμάτων, καὶ ὑπακούουσί τε τῇ τάσει ῥαδίως, οὐδεμία τε βλάβη μεγάλη δι᾽ αὐτὸ τοῦτο, κἂν πλεοναχθῶσιν, ἀκολουθεῖν αὐταῖς εἴωθεν. ὅσοι δὲ δι᾽ ἔθος, ἢ φύσιν, ἐσκληρυμμένον τὸ σῶμα, μόγις μὲν ὑπακούουσι τῇ τάσει, καὶ διὰ τοῦτο καὶ ἧττον αὐτοὺς κατατείνεσθαι πρὸς τῶν ἰατρῶν αὐτὸς ἔφη· μεγάλας δὲ τὰς βλάβας ἴσχουσιν ἐπὶ ταῖς ἀμετροτέραις τάσεσιν. ἔχειν αἱ αὐτὶ σμικρὸν, καὶ τοῦτο, ὁμοίως τοῖς περὶ τούτου διὰ διττὰς αἰτίας εἴρηται, πρῶτον δι᾽ ἀσφάλειαν, καὶ ἕνεκα δὲ τοῦ μὴ πονεῖν τὰ μικρά. τὰ γὰρ ἐναντία, διὰ τὴν ὀδύνην βλαβερά. B

Partem affectam ſuam in ſedem reſtitutam alteri æquivocæ, conjugatæ, ſimili, & ſanæ conferendam eſſe. Quid hic per homonymum & ſynonymum intelligitur, quid conjugatum, ſimile, & ſanum. C

Τὸ σῶμα πεπονθὸς διαρθρούμενον ἑτέρῳ ὁμωνύμῳ, καὶ ὁμοζύγῳ, καὶ ὁμοίῳ, καὶ ὑγιεῖ παραβάλλειν δεῖ. Τί ἐνταῦθα διὰ τοῦ ὁμωνύμου, καὶ συνωνύμου νοεῖται· τί δὲ ὁμόζυγον, τί ὅμοιον, καὶ τί ὑγιές.

HIPPOCRATIS TEXTUS XXV.

Articulationis exemplum æquivocum, conjugatum, ſimile, ſanum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κέ.

Διαρθρώσιος παράδειγμα, τὸ ὁμώνυμον, τὸ ὁμόζυγον, τὸ ὅμοιον, τὸ ὑγιές.

COMMENTARIUS GALENI.

Non æquivocum, ſed univocum dixiſſe melius fuit. Qui namque ſunt ejuſdem nominis, eos non æquivocos appellavit: Homo ſiquidem homini univocus exiſtit, Hippocrates Hippocrati, & canis terreſtris terreſtri, quemadmodum marinus marino Quæcunque igitur nomina ſpeciem unam in multis ſingularibus ſignificant, de iis univocè ſpecies prædicatur; quæcunque verò de *ſpecie* differentibus prædicantur, mos nobis eſt dicendi, æquivocè prædicari. Quæ ſpeciei ſubjiciuntur, & quæ à ſubjectis ſignificantur æquivoca nominat. *Num* igitur manus manui comparata, eandem ſpeciem habens tanquam æquivoca eſſe diceretur? Hæc autem de vocabulis controverſia quibuſdam non magna æſtimatione digna videtur. Quæ ſequuntur magni in arte Medica momenti ſunt; te namque hortantur, quum affecta corpora ſuam in ſedem reſtitueris, exemplo uti æquivoco, conjugato, ſimili & ſano: æquivoco quidem, ubi brachium cum brachio confertur, cum cubito cubitus, femur cum femore, tibia cum tibia. Conjugato verò, in uno eodemque homine, non in aliis *hominibus*; quod præceptum etiam in libro de articulis declaravit his verbis, *non alienos articulos conſpicere.* Conjugato autem adjecit ſimile; poteſt enim conjugatum quidem eſſe quod confertur, non tamen ſimile. Alterum ſiquidem brachium multoties aliquo affectu tabuit, aut crus valgum, varumve accidit; ideóque rurſus *ſanum* attulit, ne vi verbi quinto prætermiſſa omnino nihil quicquam nos perfectè perciperemus. Conjugatum enim ſanum prorſus eſt; ſi ſimile, aut *ſimili* proximum, aut utrumque *membrum* eodem modo affectum eſſe contigerit. Hoc autem in aliis *hominibus*, ſed illud deſiderabimus ſimiliter *verbo* ſanum adjun-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ ὁμώνυμον, ἀλλὰ συνώνυμον εἰρῆσθαι βέλτιον ἦν· εἴγε τοὺς ὄντας ὁμωνύμους, ὁ μὲν προσείρηκεν, ἄνθρωπος δ᾽ ἀνθρώπῳ συνώνυμός ἐστι, καὶ D Ἱπποκράτης Ἱπποκράτει, καὶ κύων χερσαῖος, τῷ χερσαίῳ, καθάπερ ὁ θαλάττιος, τῷ θαλαττίῳ. ὅσα μὲν οὖν τῶν ὀνομάτων ἓν εἶδος, ἐν πολλοῖς τῶν κατὰ μέρος σημαίνει, συνωνύμως ἐπ᾽ αὐτῶν λέγεται. ὅσα δὲ ἐπὶ διαφερόντων κατηγορεῖται, ταῦτα ἔθος ἡμῖν ἐστι λέγειν, ὁμωνύμως κατηγορεῖσθαι. τὰ δὲ ὑποκείμενα, καὶ δηλούμενα πρὸς αὐτῶν, ὁμώνυμα ὑπάρχει. καὶ ἡ χεὶρ οὖν τῇ χειρὶ ταὐτὸν εἶδος ἔχουσα, ὡς ὁμώνυμον εἶναι λέγοιτο. τοῦτο μὲν τὸ ὀνοματίζειν, ὡσὶν, οὐ μεγάλης ἄξιον σπουδῆς· τὰ E δ᾽ ἐφεξῆς, εἰς αὐτὴν τὴν τέχνην διαφέρει· κελεύει γάρ σε διαρθροῦντα τὰ πεπονθότα σώματα, παραδείγματι χρῆσθαι τῷ ὁμωνύμῳ, καὶ ὁμοζύγῳ, καὶ ὁμοίῳ, καὶ ὑγιεῖ. ὁμωνύμῳ, ἐν τῷ παραβάλλειν βραχίονι βραχίονα, καὶ πήχει πῆχυν, καὶ μηρὸν μηρῷ, καὶ κνήμην κνήμῃ. ὁμοζύγῳ δὲ, καθ᾽ ἕνα τὸν αὐτὸν ἄνθρωπον, οὐκ ἄλλον· ὅπερ κἀν τῷ περὶ ἄρθρων ἐδήλωσεν, εἰπὼν, μὴ τὰ ἀλλότρια ἄρθρα καθορᾶν. προστίθησι δὲ τῷ ὁμοζύγῳ τὸ ὅμοιον· ἐνδέχεται γὰρ ὁμό- F ζυγον μὲν εἶναι τὸ παραβαλλόμενον, οὐ μὴν ὅμοιόν γε. πολλάκις γὰρ ὁ ἕτερος βραχίων ἐξέτηκε κατά τινα διάθεσιν, ἢ ἀπόστασιν ἔσχεν, ἢ βλαισὸν τὸ σκέλος, ἢ ῥαιβὸν ἐγένετο, διὸ καὶ πάλιν ἐπήνεγκε τὸ ὑγιές, οὐκ ὀκνήσας τελέως τῇ δυνάμει εἰπεῖν αὐτὸ, ἕνεκα τοῦ μηδὲν ἡμᾶς παρακρούσασθαι. τὸ γὰρ ὁμόζυγον, ὑγιὲς παντώς ἐστιν, αὖ ὅμοιον, ἢ πλησίον, ἢ ἀμφότερα φθάνει κατ᾽ αὐτὸν τρόπον πεπονθέναι. τοῦτο δ᾽ ἐπ᾽ ἄλλων, ἀλλὰ τοῦτο δεησόμεθα τὸ, ὁμοίως προσθεῖναι, τὸ ὑγιές.

τὴν δὲ μαλακὴν μαλακῶσαι, ἀραιῶσαι, καὶ λῦσαι· τὴν δὲ πολλὴν διαφορῆσαι, καὶ μινυθῆσαι· τὴν δὲ ὀλίγην μηδὲν ποιῆσαι· τὴν δὲ μετρίαν παχῦναι. τὴν ἀνάτριψιν πλεονάκις, ἢ τὴν τρῖψιν νῦν σπάνιον ὀνομάζεσθαι. B

rarefacere, ſolvere; multam diſcutere, extenuare; paucam nihil efficere; moderatam carne implere. Frictionem frequentius ἀνάτριψιν, quàm τρῖψιν dici.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ'.

Ἀνάτριψις δύναται λῦσαι, δῆσαι, σαρκῶσαι, μινυθῆσαι. ἡ σκληρὴ δῆσαι, ἡ μαλακὴ λῦσαι, ἡ πολλὴ μινυθῆσαι, ἡ μετρίη παχῦναι.

HIPPOCRATIS TEXTUS XXIV.

C *Frictio poteſt ſolvere, ligare, carne implere, minuere. Dura ligare, mollis ſolvere, multa minuere, moderata carne implere.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δῆσαι μὲν, λέγει τὸ, πυκνῶσαι, λῦσαι δὲ, τὸ ἀραιῶσαι, καὶ μαλακῦναι, μινυθῆσαι δὲ, τὸ ἰσχνῶσαι. τὴν μὲν οὖν σκληρὰν τρῖψιν εἰκὸς δήπου, καὶ τὴν τριβομένην σάρκα παραπλησίαν ἑαυτῇ ποιεῖν, ἐν τῷ πιλεῖν τε καὶ θλίβειν αὐτήν. οὕτως δὲ καὶ τὴν μαλακὴν τρῖψιν, ὁμοίαν ἑαυτῇ καὶ τὴν σάρκα κατασκευάζειν, ὡς ἂν τῇ σκληρᾷ τἀναντία δρῶσαν. D τὴν δὲ πολλὴν διαφορεῖσθαι ἐπὶ πλέον ἰσχναίνειν εὔλογον. ἀναθρέψειν δὲ καὶ σαρκοῦν οὐχ ἁπλῶς τὴν ἀντικειμένην τῇ πολλῇ τὴν ὀλίγην, ἀλλὰ τὴν μετρίαν, ὅπερ εἶπε καὶ πρόσθεν ἐπὶ τῆς τοῦ θερμοῦ ὕδατος χρήσεως. ἡ γὰρ παντελῶς ὀλίγη τρῖψις, ὁμοίως τῇ βραχείᾳ καταχύσει τοῦ ὕδατος, οὐδὲν αἰσθητὸν ἐργάζεται. μέχρι τοσούτου τοίνυν χρὴ τρίβειν ἕνεκα σαρκώσεως, ἄχρι περ ἂν ἐκφανῇ τὰ αὐτὰ γνωρίσματα, τοῖς ἐπὶ τῆς μετρίας καταχύσεως εἰρημένοις ἐν τῇ λέξει, καθ' ἣν φησιν ἔτι μετεωριζομένου, δεῖ, πρὶν συμπίπτειν παύεσθαι. E τὸ μὲν γὰρ πρῶτον αἴρεται, ἔπειτα δὲ ἰσχναίνεται. ὅτι δ' οὐδὲν λείπει περὶ τὸ ἔργον τῆς ἀνατρίψεως, ἐν τῷ δευτέρῳ τῶν ὑγιεινῶν ἀποδέδεικταί μοι. γιγνώσκειν μέντοι χρὴ καὶ τοῦτο, τοῖς πολλοῖς ἀγνοούμενον, ὡς οὐ τὴν ἐκ τῶν κάτω μερῶν ἄνω γιγνομένην τρῖψιν ὀνομάζουσιν οἱ Ἕλληνες, ἀλλ' ἅπασαν ἁπλῶς τὴν ἐπιτελουμένην, καὶ σπάνιόν γέ ἐστι τὸ τῆς τρίψεως ὄνομα παρ' αὐτοῖς εὑρεῖν. ἀνάτριψιν γὰρ ἔθος ἐστὶν αὐτοῖς ὀνομάζειν, ὃ νῦν ἡμῖν τρῖψιν καλοῦμεν.

GALENI COMMENTARIVS.

Ligare, quidem, exponit denſare; ſolvere verò, rarefacere, & mollire; minuere denique extenuare. Duram ſiquidem frictionem profectò conſentaneum eſt frictam carnem ſibi ipſi conſimilem efficere, dum ipſam dênſat, & atterit; ita verò & mollem frictionem ſibi ipſi ſimilem carnem conſtituere, ac ſi duræ contraria præſtet. Multam autem quòd ulterius diſcutiat, extenuare rationi conſonum eſt. Paucam autem multæ oppoſitam, non planè corpus reficere, neque carne implere; ſed moderatam, quod ſuperiùs quoque docuit in textu de aquæ calentis uſu. Nam omnino pauca frictio peræquè ac brevis aquæ perfuſio, quod ſenſum feriat, nihil efficit. Tandiu igitur carnis procreandæ gratiâ fricandum eſt, quoad certa ipſa indicia portenderint, quæ de moderata perfuſione prodita fuerunt in textu, ubi pronunciat, *dum pars etiamnum attollitur, priuſquam concidat, finire oportet. Primum enim attollitur, poſtea extenuatur.* Quod autem eorum quæ ad frictionis effectus ſpectant, nihil ab Hippocrate negligentia prætermiſſum ſit, à me libro ſecundo de ſanitate tuenda demonſtratum eſt. Quod verò multos latet, illud ſanè noſſe oportet; quòd ſcilicet Græci non eam quæ ex inferioribus partibus ad ſuperiores ducitur *frictionem ἀνάτριψιν* appellant, ſed omnem quæ ſimpliciter etiamnum peragitur. Atque perrarum eſt τρῖψιν vocabulum apud eos invenire. Quandoquidem ipſis eſt conſuetudo ἀνάτριψιν appellare, quod nos hic ἡμῖν τρῖψιν frictionem vocamus.

Quæ in partis læſæ deligatione neceſſaria, ratione deligationis, temporis diverſi, partis deligatæ, & ægri obſervanda ſint.

Ἅπτα ἐν τῇ τοῦ πεπονθότος μορίου ἐπιδέσει ἀναγκαῖα κατὰ τὴν ἐπίδεσιν, τὸν καιρὸν διάφορον, καὶ τὸ μόριον δεδεμένον, καὶ τὸν κάμνοντα φυλαξόμενα.

HIPPOCRATIS TEXTUS XXVII.

B *Deligare verò oportet; imprimis quidem ut deligatus dicat ſe maximè comprimi quâ parte læſio eſt, extremis verò partibus, minimè. Et ſe firmatum eſſe, non compreſſum linteorum copiâ, non vi; hoc verò die ac nocte paulò magis, poſtridie mimis; tertia laxa. Reperiatur autem poſtero die in extremis tumor mollis. Tertio die devinctum ſolutum gracilius ſit, idque per omnes deligationes. Poſterâ deligatione an decenter deligatum apparuerit, diſcendum eſt. Hinc autem magis ac pluribus comprimatur. Tertio adhuc magis, itemque pluribus.* C *Septimo à primâ deligatione ſoluta oſſa gracilia, & laxa deprehendantur. At ferulis alligata, ſi gracilia, citra pruritum & ulcus extiterint, ad viginti à læſione dies ſincere oportet. Si quid verò ſuſpectum ſit, in medio tempore, & ferulas tertia quoque confirmare convenit. Suſpenſio, depoſitio, deligatio quò eôdem in ſtatu ſint, obſervanda ſunt.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ.

Ἐπιδεῖν δέ, τὸ πρῶτον ὁ μὲν ἐπιδεδεμένος μάλιστα φάτω πεπιέχθαι κατὰ τὸ σίνος, ἥκιστα τὰ ἄκρα. ἡρμόσθαι δέ, μὴ πεπιέχθαι τῷ πλήθει μὴ ἰσχύϊ. τὴν δὲ ἡμέρην ταύτην καὶ νύκτα ὀλίγῳ μᾶλλον, τὴν δὲ ὑστέρην, ἧσσον, τρίτῃ χαλαρά. εὑρεθήτω δέ, τῇ μὲν ὑστεραίῃ ἐν ἄκροις οἴδημα μαλθακόν, τῇ τρίτῃ δέ, τὸ ἐπιδεθὲν, ἰσχνότερον κατὰ πάσας τὰς ἐπιδέσιας τοῦτο. τῇ δὲ ὑστεραίῃ ἐπιδέσει, ἢν ὀρθῶς ἐπιδεδεμένον φανῇ, μαθεῖν δεῖ· ἐπιδείσθω δὲ μᾶλλον καὶ ἐπὶ πλείοσι πιεζείσθω. τῇ δὲ τρίτῃ ἐπὶ μᾶλλον, δὲ ἐπὶ πλείοσιν. τῇ δὲ ἑβδόμῃ, ἀπὸ τῆς πρώτης ἐπιδέσιος, λυθέντα, εὑρεθήτω ἰσχνά, χαλαρὰ τὰ ὀστέα. ἢν δὲ νάρθηκας δέηται, ἢν ἰσχνά, καὶ ἄκνηστα, καὶ ἄνελκεα ᾖ, ἐᾶν μέχρις εἴκοσιν ἡμερέων ἀπὸ τοῦ σίνεος. ἢν δέ τι ὑποπτεύηται, λῦσαι ἐν μέσῳ, νάρθηκας διὰ τρίτης ἐρείδειν, ἡ ἀνάληψις, ἡ ἀπόθεσις, ἡ ἐπίδεσις, ὡς ἐν τῷ αὐτῷ σχήματι ᾖ διαφυλάσσειν.

GALENI COMMENTARIUS. D

Fulcimenta Græcos ἕρματα & ἑρείσματα ſtabilimenta & fulturas appellare & eò conſtat quod ita Poëta concinit.

Navis fulcimenta ſubegit.

Ipſi quadrat ἡρμόσθαι fulcire quod idem ac formare & ſtabilire ſignificat. Hoc igitur non linteorum copia magis quam vi oboritur. Jubet autem propriè preſſum ex deligatione caveri. Verùm de his diſſeruimus & ſequentibus continentur, in commentariis operum tum de fra- E cturis, tum de articulis perfectiſſimè ſcripta ſunt. *Quare rurſum* abdita & obſcura interpretari, & hunc in commentarium transferre quæ abunde, proindéque manifeſtè in illis explicata ſunt, decere non arbitror. Turpe nanque mihi eſt manifeſtè explanata rurſum ceu fabulas enarrare. Qui omnium maximè potuit mentis conceptum non meum duntaxat verbis explicare ipſert. Iis itaque prætermiſſis (etenim qui commentarios operum de fracturis & articulis legerunt, ipſis dilucidè patent) continua perſequor. F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐρμάσματα μέν, ὅτι ἕρματα λέγουσιν οἱ Ἕλληνες, εὔδηλόν ἐστι κἀκ τοῦ παρὰ τῷ ποιητῇ λεχθέντος οὕτω,

Ὑπὸ δ' ἤρεον ἕρματα νηῶν.

Ἀνάλογον δὲ αὐτῷ, τὸ ἡρμόσθαι, τὸ οἷον ἐρηρεῖσθαι, καὶ ἐστηρίχθαι δηλοῖ. τοῦτ' οὖν, διὰ τὸ πλῆθος τῶν ὀθονίων μᾶλλον, ἢ τῆς ἰσχύος γίγνεται. κελεύει δὲ ἰδίως τὴν ἐκ τῆς ἐπιδέσεως θλίψιν. εἴρηται δὲ καὶ περὶ τοῦδε, καὶ περὶ τῶν ἄλλων ἁπάντων, ὅσα κατὰ τὴν προκειμένην ῥῆσιν, καὶ τὰ ἐφεξῆς γέγραπται τελεώτατα, διά τε τοῦ περὶ ἀγμῶν, καὶ τοῦ περὶ ἄρθρων· λανθανόντων ἐξηγεῖσθαι καὶ μεταφέρειν εἰς τόδε τὸ βιβλίον, ὅσα τελείως ἐν ἐκείνοις εἴρηται, καὶ τοῦτο σαφῶς οὐχ ἡγοῦμαι προσήκειν. Αἰσχρὸν γάρ μοί ἐστιν, αὖθις τὰ ἀριζήλως εἰρημένα μυθολογεῖν, ὃ πάντων δεινότατον, ἑρμηνευθέντος τὸ νοηθὲν οὐκ ἐμοῦ μόνον, φησίν. ὑπερβὰς κατὰ αὐτά (καὶ γὰρ σαφῶς εἴρηται τοῖς ἀνεγνωκόσι τὸ περὶ ἀγμῶν, καὶ περὶ ἄρθρων) ἐπὶ τὰ συνεχῆ τρέψομαι.

Κεφάλαια, σχημάτων ἔθη, φύσις ἑκάστου τῶν μελέων· τὰ εἴδεα ἐκ τοῦ τρέχειν, ὁδοιπορέειν, ἱστάναι, κατακεῖσθαι, ἐκ τοῦ ἔργου, ἐκ τοῦ ἀφεῖσθαι.

Igurarum ſumma, conſuetudines; naturæ cujuſque membrorum; ſpecies & currendi, incedendi, *ſtandi, & decumbendi ratione, ex actione, & remiſſione.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔνδηλον καὶ αὐτῆς τῆς ῥήσεως, ὅτι τὸ βιβλίον τοῦτο γεγραμμένον ἐν τύποις ἐξεδόθη μετὰ τὸν τοῦ γράψαντος αὐτὸ θάνατον. εἰώθασι γὰρ οἱ τὰ τοιαῦτα ἐκγράφοντες, διττῶς ὑπὸ τοῦ συγγραφέως γραφέντα, ἢ ἔξωθεν, ἕνεκα τοῦ διασκέψασθαι πότερος ἄμεινον αὖθις ἑρμηνεῦσαι, ταῦτα ἐγγράφειν αὐτῷ τῷ συγγράμματι. τί γὰρ πιστεῦσαι δυνάμεθα, δὶς τὰ αὐτὰ γράψαι βουληθῆναι ἐν τούτῳ τῷ βιβλίῳ, μηδεμιᾶς ἀνάγκης εὐλόγου γινομένης; ἔτι δὲ μᾶλλον ἐν ᾧ βραχυλογίας ἐσχάτην ἐπιτήδευσιν; ἀλλ' ἐπεὶ τοῖς πρὸ ἡμῶν ἔδοξε καὶ τὰ τοιαῦτα ἐξηγεῖσθαι, καὶ ἡμεῖς αὐτοῖς ἀκολουθήσομεν. ὅτι μὲν οὖν τὰ κεφάλαια τῶν σχημάτων ἐν ἴσῳ τῶν σκοπῶν εἴρηκεν εἰς οὓς ἀποβλέποντες εὑρήσομεν ἐφ' ἑκάστῳ μέρει αὐτοῦ οἰκεῖον σχῆμα, πρόδηλόν ἐστι. καὶ μὲν δὴ καὶ ὅτι τὰ ἔθη, τῶν σκοπῶν τούτων εἷς ἐστι, εἴρηται καὶ πρόσθεν ἐν τῇδε τῇ ῥήσει. «πρῆξις δὲ, καὶ διάτασις, καὶ κατάτασις, καὶ τἆλλα κατὰ φύσιν. φύσις δὲ ἐν μὲν ἔργοις, τοῦ ἔργου τῇ πρήξει, ὃ βούλεται τεκμαρτέον. ἐς δὲ ταῦτα ἐκ τοῦ ἐλινύοντος, ἐκ τοῦ κοινοῦ, ἐκ τοῦ ἔθεος. ἐκ μὲν ἐλινύοντος καὶ ἀφειμένου, τὰς ἰθυωρίας σκέπτεσθαι, οἷον τὸ τῆς χειρός. ἐκ δὲ τοῦ κοινοῦ, ἔκτασιν, σύγκαμψιν, οἷον τὸ ἐγγὺς τοῦ ἐγγωνίου πήχεος πρὸς βραχίονα. ἐκ δὲ τοῦ ἔθεος, ὅτι οὐκ ἄλλα σχήματα φέρειν δυνατώτερα, οἷον σκέλεα ἔκτασιν. ἀπὸ τουτέων γὰρ ῥήϊστα πλεῖστον χρόνον ἔχοι ἄν, μὴ μεταλλάσσοντα.» ταῦτα γεγραφὼς, ἀπορῶ πῶς οὐκ ἂν αὖθις ἔγραψεν αὐτὴν φαυλότερα κατὰ τὴν προγεγραμμένην ῥῆσιν. προειπὼν γὰρ ἐν αὐτῇ ἔθεά τε, καὶ φύσιας ἑκάστου μελέων, ἑξῆς τὰ εἴδεα, τουτέστι τὰς διαφορὰς αὐτῶν, ἐξ ἐνεργειῶν γνωρίζεσθαι βούλεται. τινὲς δὲ καὶ προσεγράψαντο τὰ εἴδεα τῶν μελῶν, ἵνα ἡ λέξις οὕτως ἔχῃ, τὰ εἴδεα τῶν μελῶν. περὶ γοῦν σκελέων, ὡς ἐπὶ παραδείγματος ἔφη, ἐκ τοῦ τρέχειν, ὁδοιπορέειν, ἱστάναι. καὶ κατὰ ταῦτα προσέθηκεν, ἐκ τοῦ κατακεῖσθαι, ὅπερ ταὐτὸν ἔσται τῷ προγεγραμμένῳ ῥήματι τῷ ἐλινύειν. καὶ μέν τοι καὶ μᾶλλον ἐφεξῆς τούτων εἰπὼν, ἐκ τοῦ ἔργου, καὶ τοῦ ἀφεῖσθαι. τὸ μὲν ἔργον, ἀντὶ τοῦ κατὰ μέρος ἔργων ἔλαβε, τοῦ τρέχειν, ὁδοιπορέειν, καὶ ἱστάναι. τὸ δ' ἀφεῖσθαι, ἀντὶ τοῦ ἐλινύειν, ὥστε οὐδὲν πλέον ἐν τῇδε τῇ ῥήσει δηλοῦν, ἔργων καὶ ἡσυχίας. οὐδὲ γὰρ ὅτι φύσιας ὠνόμασε μελέων, ἐν ἀρχῇ τῆς

GALENI COMMENTARIUS.

Liquidò conſtat ipſa oratione ſcriptum hunc librum, poſt ejus authoris obitum typis mandatum fuiſſe. Qui nanque hujuſmodi libros exſcribunt, *ſi qua* duobus modis authore ſcripta ſint, aut in margine, *aut fronte poſita*, perpendendi gratiâ, quis utrorum melius mentem ſuam explicet, *omnia* in ipſo opere deſcribere conſueverunt. Quis enim credere poteſt cum voluiſſe hoc in libro bis eadem ſcribere, nullâ neceſſitate rationi conſentaneâ cogente, præterea verò magis, ubi ſummam breviloquentiam ſectatus eſt. Sed quum majoribus noſtris placuerit ejuſmodi textus explanare, nos quoque ipſis obſequemur. Quum igitur *ſumma figurarum*, æquè ac ſcopos pronunciaverit, ad quos reſpicientes, nos in unaquaque parte proprium ipſi habitum comperturos eſſe perſpicuum eſt. Cæterum conſuetudines hujuſmodi ſcoporum unum eſſe ſuperiùs quoque hoc in textu docuit. *Deditio, diſtinſio, conformatio, & quæ cætera ſecundum naturam ſint. Natura verò ineſt operibus; operis actione quid velit conjectandum eſt. Ad hæc autem exquieſcente, ex communi, ex conſuetudine. Ex quieſcente quidem ac remiſſo rectitudines ſpectandæ ſunt, velut in manûs figura. Ex communi, extenſio & inflexio, veluti figura cubiti cum brachio angulari proxima. Ex conſuetudine, quòd non alias figuras faciliùs ferre queant, veluti crura extenſionem. Abeâ nanque figura plurimum tempus faciliimè conſequerentur quæ ipſam non immutavit.* His autem ſcriptis, quâ ratione laborioſa illis deteriora in propoſita oratione nequaquam iterum ſcripſit? Præpoſuit ſiquidem in eâ & conſuetudines, & naturas cujuſque membri, deinde verò ſpecies, hoc eſt, ipſius differentias ex actionibus vult cognoſci. Quidam verbo, *ſpecies* aſcripſerunt verbum *membrorum*, ut ita extet oratio, *ſpecies membrorum*. De cruribus certè exempli gratiâ dixit, *currendi, incedendi, & ſtandi ratione.* Præterea ſui addidit, & *decumbendi*, quod idem erit ac verbum ſuperiùs ſcriptum, *quieſcendi.* Quin etiam his ſerie ſubjunxit *ex actione, ex remiſſione.* Actionem pro ſingularibus currendi, incedendi, & ſtandi actionibus accepit; remiſſionem verò, pro quieſcendi *ſtatu.* Quare nihil amplius hac in ſententia, quàm actionem & quietem percenſuit. Neque verò, quia textus initio artuum naturas nominavit, propterea eaſdem, imò tertiam ſummarum figuram enunciaſſe exiſtimandum

ſo ante producto ſcriptum eſt. In omnibus curationis affectuum chirurgicorum temporibus, ſervandus eſt, ſecundùm naturam, partis habitus. Hic autem inquit, *ex quieſcente, & otiante*, hoc eſt, quum quis conquieſcit; *ex communi*, hoc eſt, ex medio quod inter extrema ſtatuitur; *atque ex conſuetudine*, qua perſpicuum eſt actionem & quietem comprehendi. Hæcque duo certa generaliſſima habitus ſecundùm naturam cuique parti oborti indicia conſequemur; quæ ſunt tum inter extrema medium, tum ipſa conſuetudo. Ego verò in libris de motu muſculorum de his amplius diſſeruimus, & quum ex anatome partium iuvenimus, tum eos qui ſecundùm naturam ſunt habitus demonſtravimus, ut etiam in libro de articulis ipſe docuit Hippocrates. Poteſt autem alius aliis utens nominibus, de propoſitis rebus dicere diverſa conſpici, veluti etiam quum quis dixerit citra dolorem, non alium habitum inveniet præterquam eum in quo quieſcere conſuetum eſt, & is ipſe qui inter extrema ſit medius. Verùm & indicatione ſumpta à partium ſtructura, hic idem invenitur.

σῶμα, ... τὰ ἔργα, ... μικρὸν ἔμπροσθεν εἰρημένη ῥῆσις γέγραπται. κατὰ πάντας τοὺς καιροὺς τῆς θεραπείας τῶν κατὰ χειρουργίαν παθῶν, ἓν σχῆμα φυλάττεσθαι χρὴ, τὸ κατὰ φύσιν τοῦ μέρους. εὑρεθήσεται δὲ τοῦτο, φησὶν, ἔκ τε τοῦ ἐλινύοντος καὶ ἀφειμένου, τουτέστιν ὅταν ἡσυχάζῃ τις, ἔκ τε τοῦ κοινοῦ, τουτέστι τοῦ μεταξὺ τῶν ὑπερβολικῶν, ἔκ τε τοῦ ἔθεος, ἐν ᾧ δῆλόν ἐστι, τὰ ἔργα,
B καὶ τὸ ἐλινύειν περιέχεσθαι, καὶ τὰ δύο ταῦθ᾽ ἕξομεν γενικώτατα γνωρίσματα τοῦ κατὰ φύσιν ἑκάστῳ μορίῳ γινομένου σχήματος, τό, τε μέσον τῶν ὑπερβολῶν αὐτὸ καὶ ἔθος. ἐγὼ δὲ ἐν τοῖς περὶ μυῶν κινήσεως ὑπὲρ τούτων διελθὼν, καὶ τὴν κατασκευὴν τῶν μορίων, ἣν ἐξ ἀνατομῆς εὑρίσκομεν, ἐνδεικνύμενος τὰ κατὰ φύσιν σχήματα τῶν μορίων, ὡς καὶ ἐν τῷ περὶ ἄρθρων αὐτὸς ὁ Ἱπποκράτης ἐδίδαξε. δύναται δὲ ἄλλος ἄλλοις ὀνόμασί τε καὶ ῥήμασι χρώμενος, περὶ τῶν εἰρημένων πραγμάτων ἕτερα φαίνεσθαι λέγειν, ὥσπερ καὶ ὅταν τις φαίη τὸ ἀνώδυνον. οὐ γὰρ ἄλλο σχῆμά τι εὑρήσει, πλὴν τοῦ
C κατὰ τὸ ἐλινύειν εἰθισμένου. τὸ δὲ αὐτὸ τοῦτο, καὶ μέσον ἐστὶ τῶν ὑποβολικῶν. ἀλλὰ κἀκ τῆς κατασκευῆς τῶν μορίων, ἐνδεικτικῶς αὐτὸ, τουτέστι τὸ εὑρισκόμενον.

Corpus per otium effœminari, colliquari, imbecillius reddi; uſu verò hoc eſt, actione & laboribus firmari, ac roborari. Fidem orationis eſſe duplicem, experientiam, ac indicationem.

Τὸ σῶμα τῇ μὲν ἀργίᾳ ἐκθηλύνεσθαι, τήκεσθαι, ἀῤῥωστεῖν γίνεσθαι. τῇ δὲ χρήσει, τουτέστι τῇ πράξει, καὶ τῇ ταλαιπωρίᾳ κρατύνεσθαι, καὶ ῥώννυσθαι. Διττὴν εἶναι τοῦ λόγου πίστιν τὴν πεῖράν τε, καὶ τὴν ἔνδειξιν.

HIPPOCRATIS TEXTUS XXIX.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθʹ.

Nam uſus roborat, ocium colliquat.

Ὅτι χρῆσις κρατύνει, ἀργίη δὲ τήκει.

GALENI COMMENTARIUS.

HOc etiam tanquam in exemplari conſpicitur, quod author libri ſcriptis prodidit. Idem fortaſſis quum producere deſideraret, in libro qui ad editionem ab eo ſcribebatur, & in aliis tranſcriptis ita ſcriptum invenitur *cur uſus roborat, otium verò colliquat?* proponente ſibi per quæſtionem ipſam ſententiam authore, non rebus ad chirurgiam ſolam; ſed etiam ad diætam ſpectantibus utiliſſimam. Omne igitur corpus in otio degentium effœminatur & infirmũ fit, firmatur autem & roboratur corpus eorum qui laboribus incumbunt, hoc eſt, qui agunt. Duplex verò eſt orationis fides, experientia quidem omnium qui mentem adhibent evidenter apparentibus, & indicatio rerum, quæ à naturali ſtructura ſumitur in commentariis de ſanitate tuenda explicata. In his autem quæ ad Chirurgiam pertinent, non univerſo tempore partes affectæ ſervari debent immobiles, quemadmodum nonnulli ſecuritatis gratiâ faciunt; ſed ipſæ quum inflammationis ſint expertes moderatè dimoveri; hocque imprimis molliendum, quum affectæ parti aqua calida perfunditur, deinceps in balneis, poſteà etiam ſine his.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τοῦτο πρὸς ὑποτυπώσεως φαίνεται γεγραφὼς ὁ συγγραφεὺς τοῦ βιβλίου τυχὸν, ἴσως ταυτὸ μηκύνειν βουλόμενος, ἐν τῷ πρὸς ἔκδοσιν ὑφ᾽ ἑαυτοῦ γραφομένῳ· καὶ κατ᾽ ἄλλα τῶν ἀντιγράφων εὑρίσκεται γεγραμμένον οὕτως,
E τὸ, διότι χρῆσις κρατύνει, ἀργίη δὲ τήκει. προβάλλοντος αὐτὸ πρὸς ζήτησιν ἑαυτοῦ τοῦ συγγραφέως, χρησιμώτατον ὂν οὐκ ἐν τοῖς κατὰ χειρουργίαν μόνον, ἀλλὰ καὶ τοῖς κατὰ δίαιταν. ἐκθηλύνεται γὰρ ἅπαν ἀργούντων σῶμα, καὶ ἄῤῥωστον γίνεται, κρατύνεται δὲ, καὶ ῥώννυται, πραττόντων αὐτῶν, τουτέστιν ἐνεργούντων. διττὴ δὲ ἡ πίστις τοῦ λόγου, πεῖρα μὲν ἁπάντων τῶν προσεχόντων τὸν νοῦν τοῖς ἐναργῶς φαινομένοις. ἡ δὲ ἀπὸ τῆς φυσικῆς κατασκευῆς ἔνδειξις, ἐν τοῖς ὑγιεινοῖς ὑπομνήμασι λέλεκται. ἐν δὲ τοῖς κατὰ χειρουργίαν, οὐ χρὴ παμπόλλῳ χρόνῳ φυλάττειν ἀκίνητα τὰ
F πεπονθότα μόρια, καθάπερ ἔνιοι ποιοῦσιν ἀσφαλείας ἕνεκεν. ἀλλὰ δεῖ κινεῖν αὐτὰ μετρίως, ὅταν ἀφλέγμαντα μένηται, καὶ τοῦτο ἄρχεσθαι μὲν πράττειν, ὅταν ὕδωρ θερμὸν καταχέηται τοῦ πεπονθότος. ἐφεξῆς δὲ κἀν τοῖς λουτροῖς, εἶτα καὶ χωρὶς τούτων.

Καὶ τοῦτο αὐτὸ καθ᾽ ἑαυτὸ γεγραμμένον ἐν τύποις ὑπὸ τοῦ συγγράψαντος τὸ βιβλίον, ὡς τινὰς γραφὰς ἐξεγραψάμενος μετέθηκεν. εἴρηται δὲ καὶ τελέως καὶ σαφῶς· ἔμπροσθεν ὡς νῦν, οὐκ ἐλλειπτικῶς. χρὴ γὰρ προσυπακοῦσαι τὸ ὀθόνιον, ἵν᾽ ἡ λέξις ὅλη γένηται τοιαύτη. ἡ πίεσις τῷ πλήθει τῶν ὀθονίων γενέσθω μᾶλλον, ἢ τῇ θλίψει. B

HOc ipſum quoque per ſe typis ab autore libri ſummatim ſcriptum huc librarius tranſtulit. At ſuprà perſpicuè, perfecteque explicatum eſt, ut nunc præcisè aſcribitur. Subaudire namque oportet lintea, ut univerſa oratio talis exiſtat. Compreſſio fiat magis linteorum multitudine, quàm preſſu.

Ἥτις ἐπίδεσις τοῖς παθήμασιν ἐκ τραύματος ἄνευ τῆς φλεγμονῆς γεγενημένοις προσήκει· ὅπῃ ἐπιβάλλειν χρὴ τὸν ἐπίδεσμον, ὅπου ἀρχὴ τοῦ ἐπιδέσμου περιβάλλεται. C
οἵτινες ἐπίδεσμοι αἱρετέοι. τί θλάσμα, τί ἐκχύμωμα, τί φλάσμα, ἢ ῥῆγμα, τί οἴδημα. ἡ τῶν ὄγκων διαίρεσις εἰς τὰς φλεγμονὰς, τὰ ἐρυσιπέλατα, οἰδήματα καὶ τοὺς σκίρρους. τί τραῦμα.

Quæ deligatio affectibus ex vulnere citra inflammationem obortam conveniat, quæ faſcia injicienda, ubi caput faſciæ admovendum. Quæ faſciæ eligendæ. Quid contuſio, quid ſuggillatio, quid ruptio vel ruptura. Quid œdema; Tumorum diviſio in inflammationes, eryſipelata, œdemata, & ſcirrhos. Quid vulnus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ῬΗΣΙΣ. λα΄

Ὁκόσα δὲ ἐκχυμώματα, ἢ φλάσματα, ἢ σπάσματα, ἢ οἰδήματα ἀφλέγμαντα ἐξεργάζεται ἐκ τοῦ τραύματος, ἐς μὲν τὸ ἄνω τοῦ σώματος τὸ πλεῖστον, D
βραχὺ δέ τι καὶ ἐς τὸ κάτω, μὴ κατάντη τὴν χεῖρα ἔχοντα, ἢ τὸ σκέλος· τιθέμενον τὴν ἀρχὴν κατὰ τὸ τραῦμα, καὶ μάλιστα τὰ ἐρείδοντα, ἥκιστα τὰ ἄκρα, μέσως τὰ διὰ μέσου. τὸ ἔσχατον πρὸς τὰ ἄνω τοῦ σώματος νεμόμενον ἐπιδεῖν, πιέζειν. ἀτὰρ καὶ ταῦτα πλήθει μᾶλλον, ἢ ἰσχυΐ. μάλιστα δὲ τουτέοισιν ὀθόνια λεπτὰ, κοῦφα, μαλθακὰ, καθαρὰ, πλατέα, ὑγιέα, ὡς ἂν ἄνευ ναρθήκων, καὶ καταχύσει χρῆσθαι πλείονι.

HIPPOCRATIS TEXTUS XXXI.

QVæcunque vero ſuggillationes, aut cõtuſiones, aut vulſiones, aut tumores inflammationis expertes, ex vulnere oboriuntur, ad D
ſuperiorem partem plurimùm, ad inferiorem parùm deligare oportet, quæ manum aut crus non propenſa ſortiantur. Principium faſciarum ſupra vulnus ponere, maximeque firmare, partes extremas minimè, medias mediocriter. Extremam partem ad ſuperiores corporis partes diſtribuere deligatione, compreſſione. Sed & hæc copiâ magis quàm robore. His verò potiſſimum congruunt lintea tenuia, levia, mollia, pura, E
lata, ſana; ut quæ ſine ferulis, & uberiore aquæ perfuſione uſurpanda ſunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φλάσματα διὰ τοῦ φ καλεῖν ἔθος Ἱπποκράτει, κατὰ τὴν τῶν Ἰώνων διάλεκτον, ἃ πρὸς ἡμῶν ὀνομάζεται διὰ τοῦ θ θλάσματα. γίνεται δὲ, βαρέος τινὸς ἐμπεσόντος τῷ σώματι, ὡς ἂν εἴποι τις, διασπάσαντος τὸ σαρκῶδες γένος. ἐκχυμοῦσθαι πέφυκεν, ὅταν ἡ διαθλασθεῖσα σὰρξ εἰς τὴν ὑπὸ τῷ δέρματι χώραν αἷμα προχέῃ. τὸ τοιοῦτον πάθος, ἐκχύμωμα καλεῖται, F
καὶ γίνεται δηλονότι τοῦτο, μὴ διαιρεθέντος τοῦ δέρματος. εὔδηλον δὲ ὅτι καὶ φλέβες μικραὶ συνδιαιροῦνται τῇ σαρκὶ, κατὰ τὴν τῶν ἐκχυμωμάτων γένεσιν. τὰ δὲ σπάσματα, περὶ τὰς ἶνας γίνεται τῶν μυῶν ἐπὶ πλέον ταθείσας, ὡς ἐνίας ῥαγῆναι, καὶ καλοῦσιν ἰδίως οἱ νεώτεροι τῶν ἰατρῶν τὰ τοιαῦτα παθήματα, ῥήγματα. τούτων δὲ πρῶτος ὁ Ἱπποκράτης μνημονεύσας, ἐφεξῆς αὐτοῖς ἔγραψεν οἰδήματα, πάντας οὕτως ὀνομάζειν εἰωθὼς τοὺς παρὰ

GALENI COMMENTARIUS.

HIppocratis mos fuit ex Ionum linguâ φλάσματα per φ contuſiones appellare, quæ θλάσματα per θ à nobis nominantur. Hæ verò oboriuntur, quum quid grave in corpus decidit, ac ſi quis dixerit, carnoſum genus perrupit. Sugillationes verò ineſſe conſueverunt, F
quum contuſa caro in eam quæ ſub cute eſt regionem, ſanguinem ſuffundit, unde hic affectus ſuffuſio vocatur, quæ nimirum non diviſâ cute generatur. Patet autem ex illa venas unà cum carne in ſuffuſionum generatione dividi. vulſiones autem oriuntur in muſculorum fibris, ubi ampliùs extenſæ ſunt, ut nonnullæ rumpantur, quos affectus juniores Medici rupturas propriè vocitant. Horum tamen primus Hippocrates memor ipſe ſerie *œdemata* ſcripſit, omnes ita nominare conſuevit, eos qui præter

autem Hippocrates appellavit flagrantias, unde nomen calidis tumoribus inditum eſt. Præter propoſitos tumores, alter eſt quod eriſypelas vocatur, & perpetuò quidem eſt cum flagrantia, cum tumore verò non perpetuò. Hi igitur omnes morbi nominatim ab Hippocrate conſtituti, quod ad diætam & pharmaciam ſpectat, aliam curationem exigunt; quod verò ad chirurgiam, aliã quæ ex deligationis ratione fit, quum & potiſſimũ à præcedentibus deligationibus curationis ortũ ſortiãtur, de quibus nunc orationẽ habet. Is textus *ex vulnere oboriuntur*, idem ac exprimuntur, vel expelluntur ſignificat. Quidam ita planè ſcribunt ἐξάρεται *expelluntur* ut nullã ſit opus explicatione. Cæterùm ipſorum deligationem in libro de fracturis eã parte tumore affectã, hic verò à vulnere exorditur: Conſtat autem ipſum vulnus vocare partis læſionem. Atque nunc eatenus catagmaticam deligationem ſubmutat, quatenùs plurimam faſciarum diſtributionem ad ſuperiora ferri conſulit, paucam verò ad inferiora. Ille quoque textus, *quæ manum aut crus non propenſa ſortiantur*, communis quidem eſt deligationi catagmaticæ, ſeu ad fracturas utili; ſed hunc tanquam vim maximam habentem in rebus nunc propoſitis ita ſcripſit, ne prout conſuevimus, negligentiùs agentes nonnunquam magnam læſionem conciteremus. Quæ namque ingentem noxam aut opem ſortiuntur, neque rectè procedunt, hæc frequentiùs commemorare non pigebat Hippocratem; in quibus verò *nullam* aut exiguam opem, aut noxam oboriri novit, huic de his ſemel diſſeruiſſe ſat eſt. In fracturis igitur ubi quamprimum hæ devinciuntur, priuſquàm inflammatio, vel alius ex prædictis affectibus affectæ parti ſupervenerit, cautio eſt ſimiliter ac in his, ne quid in affectam ſedem affluat, non tamen ut humor in læſa parte contentus diſcutiatur. Quocirca perfuſionem in textu adjunxit, non quo illic omnino eam non uſurpet, ſed quo hic magis. Hæc enim aqua calida copioſiùs perfundenda ſunt, ut quod in tumentibus partibus collectum eſt, diſcutiatur. Quamobrem ipſe in ſermone de calce, cui alto ſaltu ſuggillatio quædam ſucceſſerat, cũ ab cæteris quæ ad curationem præſcripſit auxiliis, hoc quoque addidit, aquam nimirum calidam copioſam, cujus perfuſione, non compreſſione pars devincienda ſecuritatem habet. Quare in opere de fracturis id ab ipſo quoque præſcriptum eſt. In propoſitis verò affectibus uſus major eſt ut diſcutiantur, & non comprimantur. Eam igitur ob cauſam & abſque ferulis deligationem molitur, ita ut duobus modis à catagmatica deligatione ipſam ſecreverit, tum quia minus comprimi poſtulat, tum quia maximè in ipſis imperat lintea, levia, tenua, molla & pura eſſe. His enim potiſſimùm indigent, quæ parciùs quidem comprimenda ſunt, liberaliùs verò diſcutienda. Addidit autem unumquemque ex propoſitis affectibus citra inflammationem eſſe oportere, ſi propoſita deligatione curari debeat. Quia verò partes inflammatione laborantes, eam quæ deligatione fit compreſſionem ne modicam quidem ferunt, propterea ipſas cataplaſmatis, & aſſiduis aquæ calidæ perfu-

μονὰς δ' ὁ Ἱπποκράτης ὀνομάζει τὰς φλογώσεις, ἀφ' ὧν τοὔνομα κεῖται τοῖς θερμοῖς ὄγκοις. ἔξωθεν δὲ τῶν εἰρημένων ἐστὶ τὸ καλούμενον ἐρυσίπελας, φλογῶδες μὲν ἀεί, σὺν ὄγκῳ δέ, οὐκ ἀεί. ταῦτα οὖν ἅπαντα τὰ κατειλημμένα ὑπὸ Ἱπποκράτους ὀνόμασι πάθη, τὴν μὲν κατὰ δίαιταν καὶ φαρμακείαν, ἑτέραν ἔχει θεραπείαν. τὴν δὲ κατὰ χειρουργίαν, ἐξ ἐπιδέσεως τρόπου γινομένην, ὅταν καὶ μάλιστα ἐκ τῆς προϋπαρχούσης ἐπιδέσεως τὴν B ἀρχὴν ἐσχηκότα, περὶ ὧν νῦν ποιεῖται τὸν λόγον. τὸ γὰρ ἐξεργάζεται ἐκ τοῦ τρώματος, οἷον ἐκθλίβεται, ἢ ἐξαιρεῖται δηλοῖ. ἔνιοι αὐτόχρημα ἐξαίρεται γράφουσιν, ὡς μηδεμιᾶς ἐξηγήσεως δεῖσθαι. τὴν δὴ ἐπίδεσιν αὐτῶν, ἐν μὲν τῷ περὶ ἀγμῶν ἀπ' αὐτοῦ τὸ οἴδημα ἔχοντος μορίου ποιεῖται, νυνὶ δὲ ἀπὸ τοῦ τρώματος. δῆλον δὴ ὅτι καλεῖ τρώματα τὴν βλάβην τοῦ μορίου, καὶ τοσοῦτόν γε τῆς καταγματικῆς ἐπιδέσεως παραλλάττει νῦν, ὅτι τὴν πλείστην νομὴν τῶν ἐπιδέσμων ἐπὶ τὸ ἄνω ποιεῖσθαι κε-
C λεύει, βραχὺ δέ τι τὸ κάτω. τὸ μηδὲ κατάρροπα τὴν χεῖρα ἔχοντα, ἢ τὸ σκέλος. κοινὸν μὲν ἐστι πρὸς τὴν καταγματικὴν ἐπίδεσιν, ἀλλ' ὡς μεγίστην ἔχον αὐτὸ δύναμιν, ἐπὶ τῶν νῦν προκειμένων οὕτως ἔγραψεν, μή πως ἀμελέστερον χρῆσθαι εἰώθαμεν, ἐνίοτε μεγάλην αἰρώμεθα βλάβην. ὅσα γὰρ ἀξιόλογον βλάβην, ἢ ὠφέλειαν ἔχει, καλῶς, καὶ μὴ καλῶς γινόμενα, ταῦτα ἀναμιμνήσκειν οὐκ ὀκνεῖ συνεχέστερον. ἐφ' ὧν δὲ μικρὰν ὠφέλειαν, ἢ βλάβην οἶδε γινομένην, ἀρκεῖται περὶ
D τούτων ἅπαξ εἰπεῖν. ἐπὶ μὲν οὖν τῶν καταγμάτων, ὅταν εὐθέως ἐπιδέηται, πρὶν ἤτοι φλεγμῆναι τὸ πεπονθός, ἤ τι τῶν νῦν εἰρημένων ἐπιγενέσθαι παθῶν, τοῦ μὲν μηδὲν ἐπιρρεῖν τῷ πεπονθότι παραπλησίως, ἡ πρόνοια τῶν νῦν εἰρημένων ἐστίν, οὐ μὴν τοῦ διαφορεῖσθαι τὸ περιεχόμενον ἐν τῷ πεπονθότι, καθάπερ κἀπί τι τούτων καὶ τοῖς καταχύσεσι προσέθηκεν, οὐχ ὡς οὐδ' ὅλως ἐπ' ἐκείνων χρώμενος, ἀλλ' ὡς νῦν μᾶλλον. ἐπὶ πλέον γὰρ δεῖ τοῖς τοιούτοις ὕδατος θερμοῦ καταχεῖν, ἵνα διαφορηθῇ τὸ
E περιεχόμενον ἐν τοῖς ὀγκουμένοις. οὕτως οὖν καὶ αὐτὸς ἐν τῷ περὶ πτέρνης λόγῳ καθ' ἣν ἀφ' ὑψηλοῦ πηδησάντων ἐκχύμωμά τι γίνεται, σὺν τοῖς ἄλλοις οἷς ἔγραψεν εἰς τὴν θεραπείαν αὐτοῦ χρησίμοις, καὶ τοῦτο προσέθηκεν, ὕδατι θερμῷ πλείστῳ, οὐ τῇ πιέσει τὴν ἀσφάλειαν ἔχει τὸ ἐπιδούμενον μέρος. εἴρηται μὲν οὖν αὐτῷ κἀπὶ τῶν καταγμάτων. χρεία δὲ μείζων ἐπὶ τῶν νῦν προκειμένων ἐστίν, ὅπως μήτε θλίβοιτο καὶ διαφοροῖτο. διὰ τὴν αὐτὴν οὖν αἰτίαν, καὶ χωρὶς ναρθήκων ποιεῖται τὴν ἐπίδεσιν, ὥστε κατὰ δύο τῆς καταγματικῆς αὐτὴν ἀποκεχωρηκέναι, καθόσον ἧττόν τι πιέζεσθαι δεῖται, καὶ μάλιστα ἐπ'
F αὐτῶν ἀξιοῖ τὰ ὀθόνια κοῦφα εἶναι, καὶ λεπτά, καὶ μαλθακά, καὶ καθαρά. τούτων γὰρ μάλιστα χρήζει, τὰ πιέζεσθαι μὲν ἧττον δεόμενα, διαφορεῖσθαι δὲ μᾶλλον. προσέθηκε δὲ τὸ χωρὶς φλεγμονῆς εἶναι δεῖν ἕκαστον τῶν εἰρημένων παθῶν· εἰ μέλλοιτο διὰ τῆς εἰρημένης ἐπιδέσεως θεραπεύεσθαι, διότι τὰ φλεγμαίνοντα τὴν ἐξ ἐπιδέσεως πίεσιν, οὐδὲ μετρίως γινομένην ἀνέχεται, καὶ διὰ τοῦτο, θεραπεύομεν αὐτὰ καταπλάσμασί τε, καὶ συνεχέσιν, ὕδατος θερμοῦ κατα-

τῶν σκήπων δυοῖν ταύτης ὀπίσθια ἐπισκεμμένοιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ'.

Τὰ δὲ ἐκπτώματα, ἢ στρέμματα, ἢ διαστήματα, ἢ ἀποσπάσματα, ἢ ἀποκλάσματα, ἢ διαστρέμματα, οἷα τὰ κυλλὰ, τὰ ἑτερόρροπα, ἔνθεν μὲν ἐξίσταται συνδιδόντα, ὅπῃ δὲ συντείνοντα, ὡς ἐς τὰ ἐναντία ῥέπῃ ἐπιδεόντα, ἢ πρὶν ἐπιδεῖσθαι σμικρῷ μᾶλλον, ἢ ὥστε ἐξ ἴσου εἶναι. καὶ τοῖσιν ἐπιδέσμοισι, καὶ τοῖσι σπλήνεσι, καὶ τοῖσιν ἀναλήμμασι, καὶ τοῖσι σχήμασι, κατατάσει, ἀνατρίψει, διορθώσει, ταῦτα καὶ καταχύσει πλείονι. C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τούτων ἁπάντων παθῶν, ἔν τε τῷ περὶ ἀγμῶν, καὶ ἄρθρων αὐτὸς ἐδίδαξε τελεώτατα, καὶ νῦν ὥσπερ ἄλλων πολλῶν, οὕτως καὶ τούτων, ἐπιτομήν τινα γράφει, καθ' ἑαυτὴν μὲν, ἀσαφῆ διὰ συντομίαν, εὔδηλον δὲ, τοῖς προανεγνωκόσιν ἐκεῖνα D τὰ βιβλία. καὶ ἡμεῖς δὲ ὅτι φθάνομεν αὐτὰ προεξηγήσασθαι, διὰ τοῦτο νῦν ὀλίγα ἀναμνήσεως ἕνεκεν ἐροῦμεν. ἐὰν δέ τις ἐκ τοῦ κατ' ἰητρεῖον ἄρχηται, τοῦτο χρὴ τὸν διδάσκαλον σαφηνείας ἕνεκεν λέγειν ὅσα κατὰ τὸ περὶ ἀγμῶν, καὶ ἄρθρων αὐτὸς ὁ Ἱπποκράτης ἔγραψεν, ἐν ὑπομνήματι δὲ μεταγράφειν αὐτὰ, καὶ παρατίθεσθαι νῦν. κέκληκεν οὖν ἐν τῇ προκειμένῃ ῥήσει ὁ Ἱπποκράτης, ἐκπτώματα μὲν, ἐπὶ τῶν ἐξηρθρηκότων. στρέμματα δὲ φύσει μὲν, ὅταν διάρθρωσις ἀπαθὴς ᾖ· ἐστράφη δὲ τὰ E περὶ αὐτὴν νευρώδη σώματα, καὶ γὰρ μάλιστα τοῦτο τοῖς κενεμβατεῖν λεγομένοις. διαστήματα δὲ, ἐπὶ τῶν ψαυόντων μὲν ἀλλήλων ὀστῶν φύσει, καὶ χωρὶς διαρθρώσεως, ἀποστάντων δὲ διά τι πάθημα· καὶ κατὰ τὸ περὶ ἀγμῶν καὶ ἄρθρων αὐτὸς μέμνηται διισταμένων ὀστῶν ἀπ' ἀλλήλων ὀνομαστί. κατὰ μὲν ἀγκῶνα, πήχεος κερκίδος, ἐν ἄκρᾳ δὲ τῇ χειρὶ, τῶν συντεθέντων αὐτὴν, κατὰ τὸν πόδα, τῶν πλησιαζόντων τῇ πτέρνῃ. τὰ δὲ ἀποσπάσματα τῶν ὀστῶν, γίνεται καθάπερ αὐτὸς F ἀπ' ἀκρωμίου διῆλθεν, ὅταν τῶν συνδούντων αὐτὰ, διασπασθέντων ἀποχωρισθῇ πλεῖστον ἀπ' ἀλλήλων, συνεχόμενα πρότερον. τὰ δὲ ἀποκλάσματα, καλεῖται μὲν ὑπὸ τῶν νεωτέρων, ἀπάγματα. μέμνηται δὲ αὐτῶν ἐπὶ τέλει ἐν τῷ περὶ ἀγμῶν, καὶ τοῖς περὶ ἀγκῶνας εἶναι ἴνεσι, καὶ τὸ ἄπαγμα γέγραφεν αὐτός, ὅθεν ὁρμηθέντες οἱ μετ' αὐτὸν, ἀπάγματα προσηγόρευσαν τὰ πλησίον

vatis.

HIPPOCRATIS TEXTUS XXXII.

At vero prolapſa, aut luxata, aut diſparata, aut avulſa, aut abrupta, aut perverſa, qualia vara, aliò propendentia, ea faſciis deligare oportet, unde quidem exceſſerint remittendo; quo vero exceſſerint intendendo, ut ad contraria inclinent deligata; etiam priuſquam deligata fuerint, paulo magis quàm ut ex æquo ſint, & faſciis, & ſpleniis, & ſuſpenſionibus, & figuris; diſtenſione, frictione, directione; ad hæc etiam uberiore perfuſione.

GALENI COMMENTARIUS.

De his omnibus affectibus tum in opere de fracturis, tum de articulis ipſe docuit ampliſſimè, nunc etiam quemadmodum in cæteris multis, ita & his veluti quoddam compendium ſcribit, quod per ſe quidem brevitatis causâ, obſcurum eſt, iis verò qui illa opera prælegerint, manifeſtum. Nos autem etiam quia ipſa priùs explicare prævenimus, propterea nunc pauca recordationis gratiâ in medium proferemus. Si quis autem ab opere de Officina Medici auſpicetur, hunc decet præceptorem ad explanationem recenſere quæcunque in opere de fracturis, & articulis ipſe ſcriptis mandavit Hippocrates, eam commentario deſcribere, & huc conferre. Appellavit igitur in propoſito textu *prolapſa* ubi articuli ſuis ſedibus exciderunt. *Laxata* verò vocat, quum articulatio illæſa eſt; ſed quæ eam ambiunt nervoſa corpora, perverſa ſunt, idque iis accidit qui per vacua incedere dicuntur. *Diſparata*, quum oſſa quæ mutuo ſe contingunt, aut naturâ citra juncturam cohærent, præ affectu quodam diducuntur. In libris quoque de fracturis & articulis nominatim meminit oſſium quæ inter ſe diducuntur. In flexura quidem, cubiti & radii; in extrema manu, & internodio eorum quæ ipſam compoſuerunt oſſium; in crure eorum quæ genu conſtruunt; in pede denique, eorum quæ calci ſunt proxima. *Avulſa* dixit, in oſſibus quæ prodeunt, quemadmodum ipſe avulſa ab acromio explicat, quum quæ ipſa colligant, divulſa plurimum à ſe mutuò ſeceſſerint, quæ priùs connectebantur. *Abrupta* verò vocantur à junioribus abducta, & ipſorum meminit in fine libri de fracturis, & in fibris circa cubiti flexuram; & abductum fieri ſcripſit ipſe. Ex quo adducti poſteri *abrupta* vocaverunt fracturas eas quæ pro-

citant ſeu cautoriniter. At *perverſa* nominant, quæ à luxatis differunt; perverſa quidem, quatenus articulum quodammodo attingunt, leviter ipſum pervertunt, & è ſua ſede commovent. Fiunt quoque unum os, ac præcipuè circa tibiam in pueris, quam deligamus poſt apparatum inſtrumentorum utrinque ipſiam dirigentium, quæ ex tilia, vel ex tali aliquo ligno ita firmo, mollique, tenuibus factis aſſerculis paramus. Præclarè ipſe quoque conſcripſit, quòd inter perverſorum præceptiones addiderit, *aliò propendentia*: ſi namque, ut quidam ſcribunt, qualia vara, *hæc aliò propendentia* dicamus in omnibus ſcripturis *alio propendentia*, cunctis adjicere convenit. Tota ſiquidem articulatio plerunque intrò & foras propenſionem habet, ac præſertim in cruribus prope genua, & prope malleolos. Quæ foras propendent, valga vocantur; quæ intrò, incurva & vara. His omnibus enarratis affectibus deligatio congruit, duos ſortita ſcopos; *priorem* ut quo pars ſeceſſit, inde ipſa faſciis adducatur, & poſituram habeat; *alterum* ut ſi liceat, locus laxior ſit, quo excipiat quod per deligationem compellitur. *Condonare* verò, hoc eſt, remittere, neque hîc intendere oportet faſciam. Sequi decet *exceſſerint*, in illa textus parte in qua effatur, *quo vero*, ut tota oratio ſit hujuſmodi; *Unde quidem exceſſerint remittendo*, hoc eſt faſciam laxando; *quo vero exceſſerint intendendo*, ut in contraria loco in quem exceſſerint, propendeant. Propenſionis autem in contraria iis quæ exceſſerint terminum ſecundùm naturam non conſtituit. Sic enim deligatio à morbo vinceretur, quum pars diuturnæ perverſioni aſſueverit, imò ultra naturalem ſtatum partem vult adducere, hoc enim eſt quod ab ipſo dicitur, *paulo magis quàm ut ex æquo ſint*. Nam *quod ſecundùm naturam eſt, id æquum eſt*. Cæterum imperat nos in contrarium locum propenſionem ex omnibus [illegible], qui ad deligationem promovemus, quæque nominatim ipſe ita pronuntiavit, *& faſciis & ſpleniis, & ſuſpenſionibus*; ad hæc præterea *diſtenſione, frictione, directione*: In his enim omnibus deligatio ultra naturalem ſtatum in contrariam partem inclinare poteſt. Sed *uberiore uti perfuſione*, actum ſcriptis addidit, *uberiore*, quod in ſuperioribus omiſerat, quod tamen in propoſitis verbis intelligi potuit. In illis itaque diſcutiendi gratiâ; in his verò emolliendi, uberiorem aquæ calidæ perfuſionem uſurpat.

τὰ δὲ διαστρέμματα, τῶν στρεμμάτων διαφέρει καθόσον ἅπτεταί πως τῆς διαρθρώσεως, ἐπ' ὀλίγον αὐτὴν διαστρέφοντα, καὶ συμμετακινοῦντα. γίνεται δὲ καὶ περὶ ἓν ὀστοῦν, μάλιστα δὲ κνήμην ἐπὶ τῶν παιδίων, ἣν καὶ μετὰ παρασκευῆς τῶν ἐξευθυνόντων ἑκατέρωθεν ἐπιδοῦμεν ἐκ φιλύρας, ἢ τινος οὕτως εὐτόνου τε καὶ μαλακοῦ ξύλου,
B ποιούμενοι δὲ λεπτὰ σανίδια. κάλλιστα δὲ ἐποίησε καὶ αὐτός, προσθεὶς τὸν διὰ τῶν διεστραμμένων λόγον τὰ ἑτερόρροπα. εἴτε γάρ, ὥς τινες γράφουσι, τὰ, οἷα τὰ κυλλὰ ταῦθ' ἑτερόρροπα, κατὰ πάσας τὰς γραφάς, τὰ ἑτερόρροπα συμφανίζει πᾶσιν. καὶ γὰρ εἴσω καὶ ἔξω τὴν ῥοπὴν ἴσχει πολλάκις ἡ διάρθρωσις ὅλη, καὶ μάλιστα ἐν σκέλεσι κατὰ γόνυ καὶ κατὰ σφυρόν, καὶ καλεῖται τὰ μὲν ἔξω ῥέποντα βλαισά, τὰ δὲ εἴσω ῥαιβὰ καὶ κυλλά· τούτοις ἅπασι τοῖς
C εἰρημένοις πάθεσιν ἐπίδεσις ἁρμόττει, δύο τούτους ἔχουσα σκοπούς, ὅπου μὲν ἀποχώρησε τὸ μόριον, ἐκεῖθεν αὐτὸ προσαναγκάζεσθαί τε, καὶ ἐπιτείνεσθαι διὰ τὴν ἐπίδεσιν. ἔνθα δὲ ἐξέστη, χαλαρὸν εἶναι τὸ χωρίον, ὅπως δέχηται τὸ διὰ τῆς ἐπιδέσεως ὠθούμενον εἰς αὐτό. συνδιδόναι δέ, τουτέστιν ἀνιέναι, καὶ μὴ τείνειν ἔνθα χρή, τὸν ἐπίδεσμον, ὑπακουστέον ἐστί, τὸ δὲ ἐξέστη, καὶ ἐκεῖνο τὸ μέρος τῆς ῥήσεως ἐν ᾧ φησιν, ὅπη δέ, ὡς γίνεσθαι τὴν ὅλην λέξιν τοιαύτην. ὅθεν μὲν ἐξέστη συνδιδόντα, τουτέστι χαλῶντα τὸν ἐπίδεσμον, ὅπη δὲ ἐξέστη συντείνοντα, ὡς ἐς τἀναντία ῥέπειν τοῦ χωρίου εἰς ἣν
D ἐξέστη. τῆς δὲ εἰς τἀναντία ῥοπῆς, τοῖς ἐξεστῶσιν, ὅρος οὐ τὸ κατὰ φύσιν ἔθετο. νικηθήσεται γὰρ οὕτως ἡ ἐπίδεσις ὑπὸ τοῦ παθήματος, εἰθισμένου τοῦ μορίου πολυχρονίῳ διαστροφῇ, ἀλλ' ἐπέκεινα βραχὺ τοῦ κατὰ φύσιν ἄγειν ἀξιοῖ. τοῦτο γάρ ἐστι τὸ λεγόμενον ὑπ' αὐτοῦ, σμικρῷ μᾶλλον, ὥστε ἐξ ἴσου εἶναι. τὸ γὰρ κατὰ φύσιν, ἴσον ἐστί, καὶ τὴν εἰς ἐναντίον τόπον ῥοπὴν ἐξ ἁπάντων κελεύει ποιεῖν ἡμᾶς, ὅσα παραλαμβάνομεν εἰς τὴν ἐπίδεσιν, ἃ καὶ κατὰ λέξιν αὐτὸς ὀνομάζει, καὶ τοῖσιν
E ἐπιδέσμοισιν, εἰπών, καὶ τοῖσι σπλήνεσιν, καὶ τοῖσι ἀναλήμμασι, καὶ πρὸς τούτοις ἔτι κατατάσει, ἀνατρίψει, διορθώσει. κατὰ πάντα γὰρ ταῦτα, δυνατόν ἐστι περιρρέπειν εἰς τἀναντία τὴν ἐπίδεσιν ἐπὶ πλέον τοῦ κατὰ φύσιν, ἀλλὰ καὶ καταχύσει πλείονι χρῆσθαι, καὶ λέγει προσθεὶς ἐνταῦθα τῷ πλέονι, παραλελειμμένον μὲν ἐν τῇ προτέρᾳ ῥήσει, συνυπακουόμενον δὲ τοῖς εἰρημένοις. ἐπ' ἐκείνων μὲν οὖν, ἕνεκα τοῦ διαφορῆσαι, ἐπὶ τούτων δέ, τοῦ μαλακῦναι χάριν, ὕδατος θερμοῦ καταχύσει χρῆται πλείονι.

ὅσοισιν ἐνεργείαις, καὶ γυμνασμασι, καὶ [illegible] ἐν ταῖς ψυχραῖς ἐμβροχαῖς. Ἐνταῦθα μήτε τὸ παράδειγμα, μήτε τὴν ἐπαγωγὴν συμφέρειν.

Hic nec exempla nec inductiones prodeſſe.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ΄.

HIPPOCRATIS TEXTUS XXXIII.

ΤΑ` δὲ μινυθήματα, πολὺ προσλαμβάνοντα τοῦ ὑγιέος, ἐπιδεῖν, ὡς αὖ ἐξ ἐπιδρομῆς τὰ συντακέντα πλέονα, ἢ οἰδήματα ἐμινύθη, ἢ ἄλλῃ ἢ τῇ ἐξ ἐπιδέσιος παραλλάξαντα ἐκκλίνῃ ἐς τὴν αὔξησιν, καὶ ἀνάπλασιν τῶν σαρκῶν ποιῆται.

Extenuata verò multum ſane partis comprehendendo deligare oportet, ut ex affluxu contabefacta partes amplius quàm ſuapte natura extenuata diverſæ, alia deligatione permutatæ, ad incrementum tendant, carniumque reſtaurationem efficiant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. C

GALENI COMMENTARIUS.

ΤΗ`Ν ῥῆσιν ταύτην ἔνιοι μὲν τῶν ἐξηγησαμένων τὸ βιβλίον, ὥσπερ καὶ ἄλλας πολλὰς ἐπέδραμον ὀλίγα παραλαλήσαντες, οἱ δὲ ἐπιχειρήσαντες σαφῶς ἐξηγήσασθαι, ἥμαρτον τῆς ἀληθείας, ὡς θαυμάζειν με, τίνι τρόπῳ τὰ μινυθούμενα μόρια, τουτέστιν ἰσχνὰ καὶ ἄτροφα γινόμενα, πρὸς τὴν κατὰ φύσιν εὐκρασίαν ἐπανήγαγον. Ἐγὼ δὲ, καὶ ὅσα μὲν ἐν σημαινομένῳ λέξεως, ἢ τινι σαφηνιστικῷ προβλήματι ζητεῖται, βλάβην οὐδεμίαν ἡγοῦμαι φέρειν εἰς τὰ τῆς τέχνης ἔργα τοῖς μανθάνουσιν, εἰ καὶ κακῶς τις ὑπολάβοι περὶ αὐτῶν. τὰ δὴ αἴτια τῆς ὠφελούσης ἀγωγῆς γραφόμενα, βλάπτειν ἀναγκαῖον, ἢ τινι ἀσχολουμένῳ κατὰ τὴν τέχνην. ὡς τοίνυν αὐτὸς ἐθεράπευσα διὰ παντὸς ἠτροφηκότα μόρια διδάξω. πρότερον πῶς ἤδη τῆς ἐξ αὐτῶν ὠφελείας ἀπολαύωσιν οἱ μανθάνοντες, εἶθ' ἑξῆς τὴν ῥῆσιν ἐφαρμόσαι πειράσομαι ταῖς ἀληθείαις. ἐν γὰρ τοῖς σαφῶς γεγραμμένοις, ἔργα δὲ μὲν δὴ πάντως τῆς τῶν πραγμάτων ἀληθείας πειράσομαι, καὶ τὴν τοῦ παλαιοῦ λέξιν ἐὰν οἷόν τε ᾖ τούτοις ὁμολογοῦσαν ἐπιδεικνύειν. εἰ δὲ ἀδύνατον ποτε τοῦτο πρᾶξαι εἴημεν, τὸ οὖν ἀληθὲς ὁ νέος ἤδη γιγνωσκέτω. Ταῦ- τουοῦν γιγνομένων ἐν μέρεσί ποσιν ἰσχνοτήτων αἱ πλεῖσται διὰ τὸ πολυχρόνιον ἡσυχίας αὐτῶν, ἢ καταγματικῆς αὐτῶν ἐπιδέσεως τρόπῳ εἰς τὰ παθήματα ταῦτα ἔρχονται. ἥτε γὰρ ἡσυχία, τὴν δύναμιν ἄρρωστον ἐπιδείκνυσι τῶν ἡσυχαζόντων μορίων, ἥτ' ἐπίδεσις ἐκθλίβουσα τὸ αἷμα τῶν ἐπιδεδεμένων, τὸ μὲν εἰς τὴν ἄνω χώραν, τὸ δὲ εἰς τὴν κάτω, τὴν τροφὴν αὐτῶν ἀφαιρεῖται, ὥστε καὶ τὴν ἴασιν ἐναντίαν χρὴ ποιεῖσθαι τῇ γενέσει τοῦ πάθους, ῥωννύντας αὐτὴν τὴν δύναμιν τοῦ πεπονθότος μορίου χορηγοῦντας αὐτῷ δαψιλὲς αἷμα· ἡ μὲν οὖν δύναμις ῥώννυται τρίψεσί τε, καὶ μετρίαις καταχύσεσι, καὶ κινήσεσι. καὶ ἀμφότερα τὰ γένη, τὸ ποιὸν, καὶ τὸ ποσὸν ἐπιτήδεια ταῖς κινήσεσιν. ἕνεκα δὴ ἐπιῤῥεῖν πλέιον οἷόν τε ἐπιδέσεώς τε τῆς κατὰ τὴν προκειμένην καὶ καταχύσεως μετρίας ὕδατος θερμοῦ, καὶ κινήσεως, καὶ τρίψεως, ἅπερ καὶ τὴν δύναμιν ἐπιῤῥωννύει. δεῖ δὲ χρὴ πάντα

TExtum hunc nonnulli quidem ex libri interpretibus, quemadmodum & alios plures percurrerunt, paucis obloquuti. Quidam verò hunc dilucidè explanare contendentes à veritate ita aberrarunt, ut mirer quâ ratione extenuatas partes, hoc eſt graciles, nec nutritas, ad naturale temperamentum adduxerint. Ego verò cenſeo quæcunque in verborum ſignificationibus, aut aliquo quod explanet problemate quæruntur, nullam læſionem ad artis opera diſcentibus adferre; etiam ſi de iis aliquis malè conjecerit. Nam cucurbitulæ opitulantis curationis præſcriptæ neceſſariò lædunt, quod alicui medendi artem profitenti magis innotuerit. Quare prout ipſe emaciatas partes ſemper curaverim, docturus ſum imprimis quâ via qui diſcunt jam ex eorum quæ proferam, uſu fructum ac emolumentum percipiant. Deinde textum veritati congruere contendam: In iis enim quæ brevi ſcripta ſunt, enitar profectò rerum veritatem omnino tueri, & ſenis ſententiam, ſi fieri poſſit hiſce conſentaneam demonſtrare. Si verò tandem hoc agere non detur, juvenis ſane jam veritatem agnoſcat. Quum ergo partium macies quibuſdam oboriatur, hi plerunque ex diuturna laborantium quiete, aut catagmaticæ ipſorum deligationis modo in hos affectus veniunt. Sive enim quies partium in otio decunbentium imbecillas vires prodat, ſive deligatio earum quæ devinciuntur, partium ſanguinem ex primat, illa quidem in ſuperiorem regionem, hæc verò in inferiorem, alimentum ipſarum adimit. Quare & curatio hujus affectionis generationi contraria inſtituenda eſt, ipſas partis affectæ vires roborantibus, ipſique copioſum ſanguinem ſuppeditantibus; vires ſiquidem roborantur & moderatis frictionibus, & perfuſionibus, & motionibus. In utroque genere qualitate & copia moderatio neceſſaria eſt motionibus. Quò verò ſanguis uberiùs affluat, & frictione utendum eſt, quæ vires quoque roborant. Sed omnia moderata

neque omnino paucam [illegible] oportet frictionem quidem in duræ & mollis, paucæ & copioſæ medio conſiſtere. Temperata verò aqua inter eam quæ nondum calefacit (tepida vocatur) & eam quæ jam mordet & dolores excitat (quæ certe fervida nominatur) media ſit. In quantitate quoque eam nimirum inter copioſam, & paucam, mediam eſſe decet. Verùm & de quantitate antea quoque orationem habuit, his verbis, *Dum pars adhuc attollitur, prinſquam concidat, finire oportet.* Hocce tempore ſi pars conſimili modo conferatur, rubra maximè conſpicitur. Quæcunque igitur gracilia & atropha fiunt, omnia magis exanguia, quàm quæ ſecundùm naturam ſe habent, evidenter apparent, vixque fricantibus & aquam calidam perfundentibus rubeſcunt. Scopus quantitatis eſt, quò patti rubor concilietur. Hoc idem tempus tumidiorem partem prodit. Sed ſi perſeveret qui fricat aut perfundit, tumor conſidit, & rubor finitur. Quinetiam extenuatorum morbum curatu facilem aut difficilem fore portendet tum rubor facile aut vix excitatus, tum pars in tumorem ſublata. Hæc autem conſequutis præſcribo frictionem ex quibuſdam medicamentis humidis ægre calefacientibus à me paratam, maximè verò ex iis quæ thapſiæ non vetuſtæ modicum accipiant. Sed & ex medicamentorum picantium aliquo hujuſmodi macilentas partes oblino, quæ ſunt picea, quædam, vel dropaſtica ſi audieris nominari intelliges, & picantia, imo & dropaces, ac tibi liceat quomodocunque volueris appellare. Non enim mihi propoſitum juvenes his in commentariis Atticiſmum docere, ſed perutilis artis medendi opera perſequi, atque hæc ſunt picantium medicamentorum, quæ ad prædictos ſcopos pertinent. Si namque primus eorum uſus partem promptè tumidam & rubram effecerit, jam decenter ceſſandum eſt. Alioqui & ſecundo die pars illinienda, etiam tertio, in quibuſdam quotidie, in nonnullis tertio, aut etiam quarto quoque die, prout locum affectum potiſſimùm indigere conſpexeris. At vero interdum pro ſcoporum ratione non præſcribo calidam reddi partem quæ fricatur aut picatur, quandoquidem iſtud ſub rubore comprehenditur: Eodem enim tempore & in ruborem & in calorem progreditur. Ego eâ quidem ratione quum medeor iis quæ præter naturam ſunt gracilitatibus, perraro deligatione uſus ſum. Quod ſi quandoque eâ uſus fuerim, prout Hippocrates dixit, deligavit, ipſius verbis addictus, quibus dicit *diverſa deligatione.* Nam quod pronuntiet, *diverſâ*, huic catagmaticam deligationem oppoſuit, quæ vehementiorem partibus affectis compreſſionem excitat. *Diverſa* itaque deligatio, prima protinus faſciarum injectione à catagmatica differt. Non enim nos ipſi parti curandæ principium imponimus, quemadmodum ulceribus, fracturis, ſuggillationibus, contuſionibus, & quibuſcunque cæteris paulò ſuperiùs commemoratis facere conſuevimus. Deinde verò partem affectam non comprimere, ſed eam relaxare. Comprimere quidem potiſſimùm partem ſanam, unde principium duximus; Deinceps au-

γῶν ὑπάρχειν· ἀλλ' ἐν τούτοις χρὴ, τὴν μὲν τρῖψιν, ἐν τῷ μέσῳ σκληρᾶς καὶ μαλακῆς, ὀλίγης τε καὶ πολλῆς εἶναι. τὸ δὲ εὔκρατον ἐν τῷ μεταξύ ἐστι, τοῦ τε μηδέπω θερμαίνοντος, ὃ χλιαρὸν καλεῖται, καὶ τοῦ δάκνοντος ἤδη θερμοῦ, καὶ λυποῦντος, ὃ δὴ ζέον ὀνομάζεται. καὶ τὸ πλῆθος δὲ δηλονότι μέσον εἶναι προσῆ-
B κεν αὐτοῦ, πολλοῦ τε καὶ ὀλίγου. καὶ τόν γε τῆς ποσότητος λόγον αὐτὸς ἐδίδαξεν, εἰπὼν ἔμπροσθεν, ἔτι μετεωριζομένου δεῖ πρὶν συμπίπτειν, παύεσθαι. κατὰ τοῦτον δὲ τὸν χρόνον ἐρυθρότατον ὡσαύτως συμβαλλόμενον ὁρᾶται τὸ μόριον. ἅπαντα μὲν οὖν, ὅσα λεπτὰ καὶ ἄτροφα γίνεται, σαφῶς ἀναιμότερα φαίνεται τῶν κατὰ φύσιν ἐχόντων, καὶ μόγις ἐρυθραίνεται, καὶ τριβόντων, καὶ καταχεόντων ὕδωρ θερμόν, ὁ σκοπὸς τῆς ποσότητός ἐστι, ἔρευθος κτήσασθαι τὸ μόριον, ὁ δὲ
C αὐτὸς οὗτος χρόνος ὀγκωδέστερον αὐτὸ δείκνυσιν. ἐὰν δὲ ἐπιμείνῃ ὁ τρίβων, ἢ καταχέων, ὅ, τε ὄγκος συμπίπτει, καὶ παύεται τὸ ἔρευθος. καὶ μὲν δὴ καὶ προγνώσῃ τότε εὐίατον, ἢ καὶ δυσίατον ἐν τοῖς μινυθήμασιν, ἐκ τοῦ ῥᾳδίως ἢ μόγις ἔρευθος κτᾶσθαι, καὶ τὸν ὄγκον αἴρεσθαι. ποιῶ δὲ τοῦτο δυσχερῶς κτωμένοις, καὶ διά τινος τῶν θερμαινόντων φαρμάκων ὑγρῶν, τὴν ἀνάτριψιν ποιούμενος, καὶ μάλιστα ὅσα βραχὺ θαψίας μὴ παλαιᾶς· ἀλλὰ καὶ καταχρίω τινὶ τῶν πιττούντων φαρμάκων τὰς τοιαύτας ἰσχνότητας, ὅσα δέ πιττά ποτέ
D εἰσι πιττωτά, ἢ δρωπακιστά νοήσεις ἀκούσας καὶ πίττωμα, ἀλλὰ δρώπακα, καί τοι λέγειν ἔξεστι καθότι ἂν βουληθῇς. οὐ γὰρ ἀττικίζειν διδάσκειν πρόκειταί μοι τοὺς νέους, ἐν τοῖσδε τοῖς ὑπομνήμασιν, ἀλλὰ τὰ χρησιμώτατα τῶν ἔργων τῆς ἰατρικῆς τέχνης διεξέρχεσθαι, καὶ ταῦτα πιττούντων φαρμάκων κατὰ τοὺς προειρημένους σκοπούς. ἐὰν μὲν γὰρ ἡ πρώτη χρῆσις εὔογκόν τε καὶ εὐερυθρὸν ἀπέδειξε τὸ μόριον, ἤδη παύεσθαι προσῆκεν. εἰ δὲ μή, καὶ δεύτερον ἐπιχρίειν καὶ τρίτον ἐπί τινων μὲν,
E καθ' ἑκάστην ἡμέραν, ἐπί τινων δὲ, διὰ τρίτης, ἢ τετάρτης, ὡς ἂν μάλιστα δεόμενον ἴδῃς τὸν πεπονθότα τόπον. οὐ προστίθημι δὲ ἐνίοτε κατὰ τὸν λόγον τῶν σκοπῶν, τὸ θερμὸν γίνεσθαι τὸ μόριον, ἀνατριβόμενον ἢ πιττούμενον ἐπειδὴ συνεπινοεῖται τῷ τὸ ἐρυθρόν. κατὰ γὰρ τὸν αὐτὸν χρόνον, εἰς ἔρευθός τε καὶ θερμασίαν ἐπιδίδωσιν, οὕτως ἀεὶ θεραπεύων ἐγὼ τὰς παρὰ φύσιν ἰσχνότητας, ὀλιγάκις ἐδεήθην ἐπιδέσεως. εἰ δέ ποτε δεηθείην, ὡς Ἱπποκράτης ἔγραψεν, ἐπίδησα, προσέχων αὐτοῦ τῇ λέ-
F ξει, καθ' ἣν εἶπεν, ἀλλοίῃ τῇ ἐπιδέσει. τὸ γὰρ ἀλλοίῃ, πρὸς τὴν καταγματικὴν ἀντιθεὶς εἶπεν, ἣ τὴν θλίψιν σφοδροτέραν ἐπὶ τῶν πεπονθότων ποιουμένη. Ἡ οὖν ἀλλοίαν ἐπίδεσιν εὐθὺς μὲν κἀν τῇ πρώτῃ τῶν ὀθονίων ἐπιβολῇ, διαφέρει τῆς καταγματικῆς, οὐκ ἐπ' αὐτοῦ τοῦ θεραπευομένου μορίου τὴν ἀρχὴν τιθεμένων ἡμῶν, ὥσπερ ἐφ' ἑλκῶν τε, καὶ καταγμάτων, ἐκχυμωμάτων τε, καὶ θλασμάτων, ὅσα τἄλλα μικρῷ ἔμπροσθεν εἴπομεν, εἰώθαμεν ποιεῖν. ἔπειτα δὲ, μὴ πιέζειν κατὰ τὸ πεπονθὸς μόριον, ἀλλὰ ἀνιέναι μὲν κατὰ τοῦτο. πιέζειν δὲ μάλιστα μὲν ἔνθεν ἤρξω κατὰ τὸ ὑγιές. ἑξῆς δὲ

πλάτει νοεῖσθαι χρὴ τὸ μέσον τοῦτο, καλεῖ δὲ ὁ Ἱπποκράτης αὐτὸ κοινόν. ἀλλ' ὥσπερ ἀδύνατόν ἐστι, κατὰ τὸ ἀκρι- B βέστατον ἐν μέσῳ σχήματι καθιστάναι τὴν χεῖρα, καθ' ὃ μηδὲ βελόνης πάχος ἐλεῖν, ἢ προσθεῖναι δυνατόν ἐστιν, οὕτως οὐ χρὴ μέσου τοῦδε πόρρω σχηματίζειν τὴν χεῖρα. κατὰ τοῦτο γὰρ ὁ τεχνικὸς στοχασμὸς, τοῦ μὴ τεχνικοῦ διαφέρει, τοῦ μὲν τεχνικοῦ πλησίον ἀφικνουμένου τῆς ἀκριβοῦς συμμετρίας, τοῦ δὲ ἰδιώτου πλεῖστον ὅσον ἐνίοτε σφαλλομένου. δύναιτο ἂν οὖν καὶ κατὰ τοῦτο ὁ Ἱπποκράτης συμβουλεύειν, τὸ ἐγγὺς τοῦ ἐγγωνίου σχήματος φυλάττειν, ἐγγώνιον μὲν καλῶν τὸ κατ' ὀρθὴν γωνίαν, ἀξιῶν δὲ στοχαζομένους ἡμᾶς αὐτοῦ, μὴ πόρρω τῆς ἀκριβοῦς ἀφικνεῖσθαι συμμετρίας. ὃ δὲ ἔφην ἐγὼ C διδάξειν τοὺς νέους, χρησιμώτατον ἐς τὰ παρόντα, καὶ δὴ φράσω, μεγίστην ἐν πᾶσι τοῖς κατ' ἰατρικὴν δύναμιν ἔχειν τὸ ἔθος, ὡς ἐπίκτητον αὐτὸ φύσιν ὑπὸ τῶν μεγίστων ἰατρῶν ὀνομάζεσθαι. φαίνεται δὲ καὶ Ἱπποκράτης ἐν τοῖς ἀναγκαιοτάτοις σκοποῖς ἀεὶ τιθέμενος αὐτὸ, καὶ δύναμιν ἐνδείξεως ἀπονέμων δευτέραν, ἐπὶ προτέρας δηλονότι τῆς κατὰ φύσιν ὑπείληφεν εἶναι τῆς κατ' αὐτὴν ἀκριβῶς ἰδέας σχήματος, ὡς ἐπὶ πάντων τῶν καμνόντων ποιεῖσθαι, ἀλλ' ὑπαλλάττειν ἐφ' ἑκάστου τοῖς ἔθεσιν οἰκείως. ἐνίους μὲν ἑώρων δι' ὅλης ἡμέρας καθημένους, ὅσοι τέχνας ἑδραίας D ἔχουσι, ἐνίους δὲ ἑστῶτας, ἢ βαδίζοντας· εὔλογον οὖν ἔδοξέ μοι μᾶλλον ἐκτεταμένον σχηματίζειν τὸ σκέλος, ἐφ' ὧν εἴθισται πλείστῳ χρόνῳ τοῦτ' ἔχειν τὸ σχῆμα, καθάπερ οὖν ἧττον ἐκτεταμένον, ἐφ' ὧν δι' ὅλης ἡμέρας κέκλιται, καὶ τῇ πείρᾳ μεταβασανίσας, αὐτὸ τοιοῦτον εὗρον ὑπάρχειν, ὁποῖον καὶ ἤλπισα. καὶ περὶ τῆς χειρὸς, κατὰ τὸν αὐτὸν λόγον δεῖ μὲν ἐγγὺς τοῦ ἐγγωνίου σχήματος χρῆναι σχηματίζειν αὐτὰς, ἀλλὰ εἰς τὸ μᾶλλόν τε καὶ ἧττον, ἐκ τῶν ἐθῶν λαμβάνειν τὴν ἔνδειξιν. ἐπεὶ δὲ καὶ διὰ τῆς πείρας ἁπάσας τὰς λογικὰς οἱ E ἄνθρωποι ἐπινοίας κρίνουσιν, ἐμαρτυρήθη τὸ πρᾶγμα, βεβαίαν ἤδη τὴν πρόγνωσιν ἔχον, οὐδὲ τοῦτο ἐστέρηται τῆς εὑρέσεως. ὑπὸ πάντων οὖν τῶν φίλων βασανισθὲν τὸ θεώρημα, βέβαιον ἤδη γέγονε χρησιμώτατον εἰς τὰ τοιαῦτα, καὶ τὸν Ἱπποκράτην τοίνυν εἴπομεν ὑπαλλάττειν μὲν ἀξιοῦν τὸ ἀκριβὲς ἐγγώνιον σχῆμα, τῇ διαφορᾷ τῶν ἐθῶν, τὴν ἀλλαγὴν δὲ βραχεῖαν ποιεῖσθαι, τουτέστιν ἐγγὺς τοῦ ἐγγωνίου σχήματος.

& flexionis habitum ſecundum naturam eſſe dicimus, non planè ad unguem, ſed in latitudine medium hoc tibi intelligendum eſt, quod commune vocat Hippocrates. Verùm quemadmodum impoſſibile eſt in medio habitu manum exquiſitiſſimè collocare, cui aciculæ craſſitudinem demere aut addere nequeas: ſic manus ab hoc medio non procul figuranda eſt. Quamobrem artificioſa conjectura ab artis experte differt, quod artificioſa ad exquiſitam commoderationem propè accedat, idiotæ verò quamplurimum nonnunquam oberret. Poſſet itaque Hippocrates hujus rei gratiâ decernere figuram propè angularem ſervandam eſſe, angularem vocans quæ ad rectum eſt angulum; ut qui nos ipſam conjecturis non procul ab exquiſita commoderatione conſequuturos eſſe cenſeat. Ego verò, quod protuli, me juvenes docturum maximæ utilitatis, profectò expoſiturus ſum, conſuetudinem nimirum ad omnia in Medicina ita maximam facultatem habere, ut ipſa à præſtantiſſimis Medicis natura aſcititia nominata ſit. Atque videtur Hippocrates ſemper ipſam inter ſcopos maximè neceſſarios ſtatuere, & ipſi ſecundum indicationis imperium tribuere, idque priori videlicet *indicationis* à natura petitæ *imperio* inferius eſſe, & per ſe habitus formam, nempe in omnibus ægrotis introducere, imò pro cujuſque conſuetudinibus penitus variare. Nonnullos quidem amicè viſi totum diem ſedentes, qui artes ſedentarias profitentur, quoſdam verò ſtantes, aut ambulantes; quare meritò cenſui ego magis iis extenſum crus figurandum eſſe, qui plurimo tempore hanc tenere figuram conſueverunt; quemadmodum *contra* minùs extenſum quibus univerſum diem crus diſcubuit. Atque experimento re comprobatâ, hanc ipſam comperi, qualem ſperavi. De manibus quoque eâdem ratione dicendum eſt, prope angularem figuram ipſas formandas eſſe, ſed ad angulum obtuſiorem, vel acutiorem ex conſuetudinibus ſumendam indicationem. Quia verò omnia rationis inventa homines experimento dijudicant, proptereà quæ res teſtimonio comprobata eſt, jam certam prænotionem habet, hæc inventa minimè negantem. Itaque hoc præceptum ab amicis omnibus exploratum jam conſtans ad hæc in uſum jam receptum eſt. Ergo Hippocratem diximus voluiſſe quoque habitum angulatum pro conſuetudinum differentiis immutare, mutationem verò exiguam, hoc eſt, prope angulatam formam conſtituere.

paucis comprehenſæ; Quatuor eſſe operationis tempora, Quid & unde habitus; & quid intelligitur per bene poſita, & bene figurata.

HIPPOCRATIS TEXTUS XXII.

AT in mutatione ex diſtenſione ad habitum, aut poſituram; hæc ſe habent ſimilia, muſculi, venæ, nervi, oſſa, aut maximè bene poſita, & bene figurata.

COMMENTARIUS GALENI.

HÆc ſuperiùs etiam pronunciata ſunt; ſi quis autem ea prorſus detraxerit, doctrina non læditur. Accidit enim in hujuſmodi libris, qui rerum multarum interpretationem brevi oratione continent, aliter atque aliter interdum Authorem res ipſas ſcribere, ſe ſpectantem quibus dictionibus ipſe magis ſit uſurus; poſteà librarium earum nonnullas in marginibus, nonnullas etiam in fronte ſcriptas comperiſſe, & univerſas in libri fundo conſcripſiſſe, quo potiſſimùm ordine meritò impoſitas eſſe ipſe cenſuerit. Quod igitur in propoſita oratione declaratur, id ejuſmodi eſt. Plura diximus eſſe curando *ægro* tempora. Primum *acceſſionis* quo ad Medicum accedit qui aliqua in figura partem affectam prorſus habet. Alterum deinde *deditionis* quo ſeſe Medicis exhibet, quis ipſi affectus acciderit, & quâ præparatione ad curationem opus fuerit cognituris. Tertium deinceps *præparationis* eorum eſt tempus. Huic ſuccedit *porrectionis*, à quo mox in fracturis quidem *conformationis* tempus eſt; in luxationibus verò repoſitionis; poſt hoc, illud deligationis. Poſtremum denique omnium *ſuſpenſionis* quidem in manu, *depoſitionis* verò *remorantis* in crure, & in dorſi & capitis regionibus tempus exiſtit. Ἕξιν *habitum* itaque pronuntiavit in propoſito παρὰ τὸ ἔχειν *à verbo habere*, quòd eo poſt deligationem tempore peritiam devinciendarum ſtatum contineat. Huic è regione poſituram oppoſuit partium depoſitarum, quæ tres numerantur, crura, caput, & tota ſpina. Quare hic habitum noſtrum mente percipiemus, quemadmodum in cæteris; qualis in claviculis, manibus, lateribus, & ſcapulis, utriſque malis, & ſi qua pars ſit hujuſmodi. Decernit enim in enarratarum partium mutatione nonnullas rectè jacere, quæ *nimirum* poſituras ſubire queunt; eas perbelle continendas eſſe. Quæ partes collocatæ ſunt, eas bellè poſitas nominavit, bene verò figuratas, alias. Cæteræ namque pro dictorum temporum ratione diverſæ ſunt. Cæterùm communis in omnibus unus & idem eſt naturalis partium ſtatus, ad quem eum inſpicere jubet qui integro tempore factam deligationem diutiùs ſervandam conjicit. Si namque aliam figurâ deligationem ſtruxerimus, in aliam quoque poſtremo tempore muſculorum, nervorum & venarum poſitura mutabitur, *neque* etiam erunt *bene diſpoſita, neque bene conformata.*

βραχείας λέξεως περιειλημμένης. τέσσαρας εἶναι τῆς χειρουργίας χρόνους. τί, καὶ ὅθεν ἕξις. καὶ τί κατὰ τὰ εὔθετα, καὶ εὔσχετα ἐνοήθη.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

ἘΝ δὲ τῇ μεταλλαγῇ ἐκ διατάσιος, ὅμοια ταῦτα ἔχουσιν, εἰς ἕξιν, ἢ θέσιν, μύες, βλέβες, νεῦρα,
B ὀστέα, ἢ μάλιστα εὔθετα, καὶ εὔσχετα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑῦτα καὶ πρόσθεν εἴρηται, κἂν παντελῶς αὐτὰ περιέλοι τις, οὐδὲν ἡ διδασκαλία βλαβήσεται. συμβαίνει δὲ ἐν τοῖς τοιούτοις βιβλίοις, ὅσα πολλῶν πραγμάτων ἑρμηνείαν ἔχει διὰ βραχείας λέξεως, ἄλλως καὶ ἄλλως ἐνίοτε τὸν γραφέα τὰ αὐτὰ πράγματα γράφειν, ἑαυτὸν σκοπούμενον ᾗ τινι λέξει χρήσηται μᾶλλον, εἶθ' εὑρόντα τὸν βι-
C βλιογράφον, ἐνίας μὲν αὐτῶν ἐν τοῖς μετώποις γεγραμμένας, ἐνίας δὲ κατὰ τοῦ μετώπου πάσας ἔγραψε περὶ ἐδάφους τοῦ συγγράμματος, ἐν ᾗ κάλλιστα τάξει δόξουσιν εὐλόγως ἐγκεῖσθαι. τὸ γοῦν κατὰ τὴν προκειμένην λέξιν δηλούμενον, ἐστὶ τοιοῦτον. πλείονας ἔφην εἶναι καιροὺς τοῦ θεραπευομένου· πρῶτον ἐν ᾧ παραγίνεται πρὸς τὸν ἰατρὸν, ἐν τινὶ σχήματι παντελῶς ἔχων τὸ πεπονθὸς μέρος. εἶθ' ἑξῆς ἄλλον, ἐν ᾧ κατασκευάζει τοῖς ἰατροῖς ἑαυτὸν παρέχει γνωσομένοις τί τό, τι συμβεβηκὸς αὐτῷ πάθημά ἐστι, καὶ τίνος δεῖ-
D ται παρασκευῆς εἰς θεραπείαν. εἶθ' ἑξῆς, ὁ τῆς τούτων παρασκευῆς χρόνος, καὶ μετ' αὐτὸν, ὁ τῆς διατάσεως, εἶτα μετὰ τοῦτον, ἐπὶ μὲν τῶν καταγμάτων, ὁ τῆς διαπλάσεως, ἐπὶ δὲ τῶν ἐξαρθρημάτων, ὁ τῆς ἐμβολῆς, εἶθ' ὁ τῆς ἐπιδέσεως μετὰ τοῦτον. ὕστατος δὲ πάντων ὁ τῆς ἀναλήψεως μὲν ἐπὶ χειρὸς, ἀποθέσεως δὲ ἐπὶ σκέλους, καὶ τῶν κατὰ ῥάχιν καὶ κεφαλὴν χωρίων. ἕξιν οὖν εἴρηκεν ἐν τῇ προκειμένῃ λέξει, παρὰ τὸ ἔχειν τὴν ἐν τῷ μετὰ τὴν ἐπίδεσιν καιρῷ κατάστασιν τῶν ἐπιδεδεμένων. ἀντιδιῄρηκε δὲ αὐτῇ τὴν θέσιν ἀποτιθε-
E μένων, ἢ τριῶν γιγνομένων, ἅπερ ἐστὶ τὰ σκέλη, καὶ ἡ κεφαλὴ, καὶ ἡ σύμπασα ῥάχις, ὡς τὴν ἕξιν ἡμῶν ἀκουσομένων ὡς ἐπὶ τῶν ἄλλων, οἷον ἐπί τε κλειδῶν, καὶ χειρῶν, καὶ πλευρῶν, ἀκρωμίου τε, καὶ ὠμοπλάτης, καὶ γένυς ἑκατέρας, καὶ εἴ τι ἄλλο τοιοῦτον. βούλεται γὰρ ἐν τῇ μεταβολῇ τῶν εἰρημένων χωρίων τὰ πεπονθότα μόρια, τὰ μὲν κεῖσθαι καλῶς, καὶ ὅσα δύναταί γε θεῖναι, τὰ δὲ ἔχεσθαι καλῶς, ἃ μὴ δύναται τεθῆναι. εὔθετα μὲν ὀνόματι τιθέμενα, εὔσχετα δὲ τὰ ἄλλα. τὰ μὲν γὰρ ἄλλα, κατὰ τοὺς εἰρημένους
F αὐτῶν ἐστὶν ἴδια. κοινὸν δὲ ἐν πᾶσιν ἓν ταυτόν ἐστι, τὸ κατὰ φύσιν σχῆμα τοῦ μέρους· ἀποβλέπειν οὖν εἰς τοῦτό γε κελεύει, στοχαζόμενον, τοῦ τε τελευταίου καιροῦ τὴν γενομένην ἐπίδεσιν φυλάττεσθαι ἐν χρόνῳ πλείονι. ἐὰν οὖν ἐν ἄλλῳ σχήματι τὴν ἐπίδεσιν ποιησάμενοι, μεταβάλλωμεν εἰς ἄλλο, κατὰ τὸν ὕστατον καιρὸν ἡ θέσις ὑπαλλαχθήσεται τῶν μυῶν, καὶ τῶν νεύρων, καὶ τῶν φλεβῶν, καὶ οὔτε εὔθετα, οὔτε εὔσχετα ἔσται, τουτέστιν οὔτε καλῶς ἀποκείμενα, οὔτε καλῶς ἀνειλημμένα.

B

Ἡ διάτασίς, φησι, μάλιστα γίνεται κατ' ἐκεῖνα τὰ μόρια, καθ' ἃ μέγιστα καὶ παχύτατά εἰσι τὰ ὀστᾶ, καὶ τὰ περὶ αὐτὰ σώματα, τουτέστιν, οἱ μύες. οὗτοι γάρ εἰσιν οἱ μάλιστα κατατείνεσθαι δεόμενοι, διότι καὶ μάλιστα ἀνασπᾶσθαι πεφύκασιν ἐπὶ τὰς ἑαυτῶν κεφαλάς. ἔστι δὲ τοιοῦτον μόριον ὁ μηρός, εἶθ' ἑξῆς βραχίων, καὶ κνήμη, καὶ μετ' αὐτὸν ὁ πῆχυς, εἶτα τὰ κατ' ἄκρας χεῖρας καὶ πόδας, ὑπεξῃρημένων ἐν τῷ παρόντι τῶν κατὰ ῥάχιν. ἀλλὰ καὶ ὅκου, φησίν, ἀμφότερα τὰ ὀστᾶ πέπονθεν, ἀλλὰ μᾶλλον χρὴ διατείνειν ὡς ἐπὶ πήχεος, καὶ κερκίδος. ἥκιστα δέ, τουτέστιν ἐλάχιστα, καὶ μετριώτατα ὅταν ἄνω, καθάπερ ἐπὶ χειρὸς ἡ κερκίς. ἅπαντα δὲ ταῦτα, ὡς ἔφην ἐν τῷ περὶ ἀγμῶν ἐξείργασται.

Diſtenſio, inquit, maximè fit illis in partibus, quibus maxima & craſſiſſima oſſa ſunt, & quæ ipſa ambiunt corpora, hoc eſt, muſculi. Hi namque ſunt, qui maximè diſtendi deſiderant, quod & maximè ad ſua capita contrahi naturâ conſueverint. Hujuſmodi verò pars femur eſt, deinde brachium, & tibia, poſteà cubitus, poſtremò quæ partes ſummæ manui & pedi connectuntur, exceptis hic in ſpina poſitis. Quinetiam quum pronunciat, ubi oſſa affecta ſunt, ea ſanè magis diſtendere oportet, qualis eſt cubitus & radius. Quum verò, *minimè*, id eſt, leviſſimè & moderatiſſimè; *ubi ſuperius*, quemadmodum in manu radius. At hæc omnia in opere de fracturis luculenter explicavimus.

C

Τὰς διατάσεις μᾶλλον τοῦ μετρίου βλαβερὰς εἶναι, ἥκιστα μὲν τοῖς παιδίοις, καὶ εὐνούχοις, καὶ γυναιξί, καὶ ὑγροσάρκοις, καὶ μαλακοσάρκοις σώμασι· μᾶλλον δὲ σκληροῖς, καὶ ξηροῖς.

Vehementiores diſtenſiones noxias eſſe, minùs pueris, eunuchis, fœminis, & humidâ, mollique carne donatis corporibus; magis duris, & aridis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ'.

HIPPOCRATIS TEXTUS XXIV.

D

Μᾶλλον δὲ τοῦ μετρίου βλάβη, πλὴν παιδίων, ἔχειν ἀνάρροπα σμικρόν.

Diſtentio *moderato magis facta, noxia; pueris exceptis. Partes paulum acclives habere.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

GALENI COMMENTARIUS.

Παιδίων μὲν ἧττον τοῦ συμμέτρου γενομένη διάτασις, ἐάν τε ἐπὶ καταγμάτων, ἐάν τε ἐπὶ ἐξαρθρημάτων μόνην ἀποτυχίαν φέρει· διαπλάσεως μὲν, ἐπὶ τῶν καταγμάτων, ἐμβολῆς δέ, ἐπὶ τῶν ἐξαρθρημάτων. οὐ μὴν ἀλλ' ἥγ' ὅτι βλάβην ἰδίαν ἔχει, καθ' ἃ ἡ μᾶλλον αὕτη ὀδυνηρὰ μὲν ἐνεργουμένη, φλεγμονὰς δὲ ὕστερον, καὶ πυρετούς, καὶ σπασμούς, ἐνίοτε καὶ παραλύσεις ἐπιφέρει, καθάπερ Ἐρασίστρατος ἑωρακέναι φησὶν ἐπὶ τοῦ κατ' ὦμον ἄρθρου διαταθέντος ἐπὶ πλέον. ἧττον δὲ οἱ παῖδες τῶν ἄλλων, ἐπὶ τῇ πλεονασθείσῃ τάσει βλάπτονται, διὰ τὴν ὑγρότητα καὶ μαλακότητα τῶν σωμάτων. ὡς γὰρ ἱμάντες οἱ μὲν ὑγροὶ καὶ μαλακοὶ τῶν σωμάτων, ἀλύπως ἐπὶ πλέον ἐκτείνονται, ῥήγνυνται δὲ οἱ σκληροί, καὶ ξηροί· κατὰ τὸν αὐτὸν τρόπον καὶ οἱ μύες, καὶ τὰ νεῦρα, τὰ μὲν ὑγρά, καὶ μαλακὰ ῥᾳδίως ὑπακούοντα ταῖς τάσεσιν, οὔτε ὀδυνᾶνται σφοδρῶς, οὔτε ἀπορρήγνυνται. τὰ δὲ σκληρά, καὶ ξηρά, διὰ τὸ μὴ δύνασθαι χωρὶς μεγάλης βίας ἐκταθῆναι, σφοδρὰς ὀδύνας ἐπιφέρει, οὐ μόνον κατὰ τὰς ὑπερβαλλούσας τάσεις, ἀλλὰ κατὰ συμμέτρους. ἐν αὐτῷ δὲ τούτῳ, καὶ σπῶνται, καὶ ἀπορρήγνυνται μυῶν, καὶ νεύρων ἶνες. οὐκοῦν τούτων τι

E

F

In pueris quidem minùs commoderato diſtentio fit, ſive in fracturis, ſive in luxationibus ſola repulſam ferat, conformationis quidem in fracturis, repoſitionis verò in luxationibus. Verùm hæc etiamſi læſionem propriam non habeant, in quibus tamen vehementiores ipſa dolores excitat, inflammationes deinceps & febres, & convulſiones, nonnunquam & paralyſes adfert, quemadmodum Eraſiſtratus in humeri articulo vehementiùs extenſo ſe vidiſſe narrat; ſed minùs pueri, quàm cæteri vehementiori extenſione tum ob corporum humiditatem, tum mollitiem oblæduntur. Ut enim lora humentia quidem, & mollia corporibus citra moleſtiam ampliùs extendantur, dura verò & arida perrumpuntur: eodem modo & muſculi & nervi quum madent, & molles ſunt, facilè tenſionibus obſequuntur, neque vehementer dolent, neque obrumpuntur. Duri verò & aridi, quod citra magnam violentiam extendi nequeant, magnos dolores perferunt, non ſolùm in iis quæ modum excedunt tenſionibus, ſed etiam in commoderatis. At in hoc ipſo caſu muſculorum & nervorum fibræ convelluntur, abrumpunturque. Non horum quicquam pue-

fecit; ſed hæc ad Eunuchos, & fœminas, & ad eos qui naturâ, aut conſuetudine madent, & molli carne ſunt: Nam hujuſmodi corporum temperamenta & facilè tenſioni obſequuntur, & nulla hinc & inde noxa immoderatiùs extenſos ſubſequi conſuevit. At quibuſcunque naturâ vel conſuetudine corpus induruit, vix tenſioni cedunt, atque propterea etiam eos minùs à Medicis extendi ipſe pronunciat. Magnas ſiquidem læſiones ab immoderatioribus tenſionibus ſubeunt. *Partes paulùm acclives habere decet.* Atque hæc oratio præcedentibus duplici de cauſa ſimiliter pronuntiatur. Prima ob ſecuritatem, *ſecunda* & ne paululum doleant. Contraria namque ob dolorem lædunt.

μοι, καὶ παραλύσεις. αὐτὸς μὲν οὖν ἐπὶ παιδίων ἐποιήσατο τὸν λόγον. ἡμᾶς δὲ δεῖ μεταφέρειν αὐτὸν οὖν ἐπὶ εὐνούχους τε, καὶ γυναῖκας, καὶ τοὺς ἐκ φύσεως, ἢ ἔθους, ὑγροὺς, καὶ μαλακοσάρκους· αἱ τοιαῦται γὰρ κράσεις τῶν σωμάτων, καὶ ὑπακούουσί τε τῇ τάσει ῥᾳδίως, οὐδεμία τε βλάβη μεγάλη δι' αὐτὸ τοῦτο, κἂν πλεονασθῶσιν, ἀκολουθεῖν αὐταῖς εἴωθεν. ὅσοις δὲ δι' ἔθος, ἢ φύσιν, ἐσκλήρυνται τὸ σῶμα, μόγις μὲν ὑπακούουσι τῇ τάσει, καὶ διὰ τοῦτο καὶ ἧττον
B αὐτοὺς κατατείνεσθαι πρὸς τῶν ἰατρῶν αὐτὸς ἔφη· μεγάλας δὲ τὰς βλάβας ἴσχουσιν ἐπὶ τῶν ἀμετροτέραις τάσεσιν. ἔχειν αὖ αὐτὰ σμικρὸν, καὶ τοῦτο, ὁμοίως τοῖς πρὸ τούτου διὰ δισσὰς αἰτίας εἴρηται, πρῶτον δι' ἀσφάλειαν, καὶ ἕνεκα δὲ τοῦ μὴ πονεῖν τὰ μικρά. τὰ γὰρ ἐναντία, διὰ τὸ ὀδυνᾶν βλαβερά.

Partem affectam ſuam in ſedem reſtitutam alteri æquivocæ, conjugatæ, ſimili, & ſanæ conferendam eſſe. Quid hic per homonymum & ſynonymum intelligitur, quid conjugatum, ſimile, & ſanum.

Τὸ σῶμα πεπονθὸς διαρθρωθὲν μετὰ ἑτέρῳ ὁμωνύμῳ, καὶ ὁμοζύγῳ, καὶ ὁμοίῳ, καὶ ὑγιεῖ παραβάλλειν δεῖ. Τί ἐνταῦθα διὰ τοῦ ὁμωνύμου, καὶ συνωνύμου νοεῖται· τί δὲ
C ὁμόζυγον, τί ὅμοιον, καὶ τί ὑγιές.

HIPPOCRATIS TEXTUS XXV.

Articulationis exemplum æquivocum, conjugatum, ſimile, ſanum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε'.

Διαρθρώσιος παράδειγμα, τὸ ὁμώνυμον, τὸ ὁμόζυγον, τὸ ὅμοιον, τὸ ὑγιές.

COMMENTARIUS GALENI.

Non æquivocum, ſed univocum dixiſſe melius fuit. Qui namque ſunt ejuſdem nominis, eos non æquivocos appellavit: Homo ſiquidem homini univocus exiſtit, Hippocrates Hippocrati, & canis terreſtris terreſtri, quemadmodum marinus marino. Quæcunque igitur nomina ſpeciem unam in multis ſingularibus ſignificant, de iis univocè ſpecies prædicatur; quæcunque verò de *ſpecie* differentibus prædicantur, mos nobis eſt dicendi, æquivocè prædicari. Quæ ſpeciei ſubjiciuntur, & quæ à ſubjectis ſignificantur æquivoca nominari. *Num* igitur manus manui comparata, eandem ſpeciem habens tanquam æquivoca eſſe diceretur? Hæc autem de vocabulis controverſia quibuſdam non magna æſtimatione digna videtur. Quæ ſequuntur magni in arte Medica momenti ſunt; te namque hortantur, quum affecta corpora ſuam in ſedem reſtitueris, exemplo uti æquivoco, conjugato, ſimili & ſano; æquivoco quidem, ubi brachium cum brachio confertur, cum cubito cubitus, femur cum femore, tibia cum tibia. Conjugato verò, in uno eodemque homine, non in aliis *hominibus*; quod præceptum etiam in libro de articulis declaravit his verbis, *non alienos articulos conſpicere.* Conjugato autem adjecit ſimile; poteſt enim conjugatum quidem eſſe quod confertur, non tamen ſimile. Alterum ſiquidem brachium multoties aliquo affectu tabuit, aut crus valgum, varumve accidit; ideòque rurſus *ſanum* attulit, ne vi verbi quinto prætermiſſa omnino nihil quicquam nos perfectè perciperemus. Conjugatum enim ſanum prorſus eſt; ſi ſimile, aut *ſimili* proximum, aut utcumque *membrum* eodem modo affectum eſſe contigerit. Hoc autem in aliis *hominibus*, ſed illud deſiderabimus ſimiliter *verbo* ſanum adjun-

Οὐχ ὁμώνυμον, ἀλλὰ συνώνυμον εἰρῆσθαι βέλτιον ἦν. εἰ γε τοὺς ὄντας ὁμωνύμους, ὁ μὲν προσείρηκεν, ἄνθρωπος δὲ ἀνθρώπῳ συνώνυμός ἐστι, καὶ
D Ἱπποκράτης Ἱπποκράτει, καὶ κύων χερσαῖος, τῷ χερσαίῳ, καθάπερ ὁ θαλάττιος, τῷ θαλαττίῳ. ὅσα μὲν οὖν τῶν ὀνομάτων ἓν εἶδος, ἐν πολλοῖς τῶν κατὰ μέρος σημαίνει, συνωνύμως ἐπ' αὐτῶν λέγεται. ὅσα δὲ ἐπὶ διαφερόντων κατηγορεῖται, ταῦτα ἔθος ἡμῖν ἐστι λέγειν, ὁμωνύμως κατηγορεῖσθαι. τὰ δὲ ὑποκείμενα, καὶ δηλούμενα πρὸς αὐτῶν, ὁμώνυμα ὑπάρχει. καὶ ἡ χεὶρ οὖν τῇ χειρὶ ταὐτὸν εἶδος ἔχουσα, ὡς ὁμώνυμος ἂν λέγοιτο. τοῦτο μὲν τὸ ὀνοματίζειν, ὥσπερ, οὐ μεγάλης ἄξιον σπουδῆς· τὰ
E δὲ ἐφεξῆς, εἰς αὐτὴν τὴν τέχνην διαφέρει. κελεύει γάρ σε διαρθρουμένου τὰ πεπονθότα σώματα, παραδείγματι χρῆσθαι τῷ ὁμωνύμῳ, καὶ ὁμοζύγῳ, καὶ ὁμοίῳ, καὶ ὑγιεῖ. ὁμωνύμῳ, ἐν τῷ παραβάλλειν βραχίονι βραχίονα, καὶ πῆχυν πήχει, καὶ μηρὸν μηρῷ, καὶ κνήμην κνήμῃ. ὁμοζύγῳ δὲ, καθ' ἕνα τὸν αὐτὸν ἄνθρωπον, οὐκ ἄλλον ὅπερ κἀν τῷ περὶ ἄρθρων ἐδήλωσεν, εἰπὼν, μὴ τὰ ἀλλότρια ἄρθρα καθορᾶν. προσέθηκε δὲ τῷ ὁμοζύγῳ τὸ ὅμοιον· ἐνδέχεται γὰρ ὁμό-
F ζυγον μὲν εἶναι τὸ παραβαλλόμενον, οὐ μὴν ὅμοιόν γε. πολλάκις γὰρ ὁ ἕτερος βραχίων ἀπέφθισε κατά τινα διάθεσιν, ἢ ἀπόστασιν ἔσχεν, ἢ βλαισὸν τὸ σκέλος, ἢ ῥαιβὸν ἐγένετο, διὸ καὶ πάλιν ἐπήνεγκε τὸ ὑγιές, οὐκ ὀκνήσας παντὸς τῇ δυνάμει εἰπεῖν αὐτὸ, ἕνεκα τοῦ μηδὲν ἡμᾶς παρακούσαι. τὸ γὰρ ὁμόζυγον, ὑγιὲς παντῶς ἐστὶν, αὖ ὅμοιον, ἢ πλησίον, ἢ ἀμφότερα φθάνοι κατ' αὐτὸν τρόπον πεπονθέναι. τοῦτο δὲ ἐπ' ἄλλων, ἀλλὰ τοῦτο δεησόμεθα τὸ, ὁμοίως προσθεῖναι, τὸ ὑγιές.

τὴν δὲ μαλακὴν μαλακῦναι, ἀραιῶσαι, καὶ λῦσαι· τὴν δὲ πολλὴν διαφορῆσαι, καὶ μινυθῆσαι· τὴν δὲ ὀλίγην μηδὲν ποιῆσαι· τὴν δὲ μετρίαν παχῦναι. τὴν ἀνάτριψιν πλεονάκις, ἢ τρῖψιν νῦν σπάνιον ὀνομάζεσθαι.

rarefacere, ſolvere; multam diſcutere, extenuare; paucam nihil efficere; moderatam carne implere. Frictionem frequentius ἀνάτριψιν, quàm τρῖψιν dici.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ'.

ἈΝάτριψις δύναται λῦσαι, δῆσαι, σαρκῶσαι, μινυθῆσαι. ἡ σκληρὴ δῆσαι, ἡ μαλακὴ λῦσαι, ἡ πολλὴ μινυθῆσαι, ἡ μετρίη παχῦναι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΗσαι μὲν, λέγει τὸ, πυκνῶσαι, λῦσαι δὲ, τὸ ἀραιῶσαι, καὶ μαλακῦναι, μινυθῆσαι δὲ, τὸ ἰσχνῶσαι. τὴν μὲν οὖν σκληρὰν τρῖψιν εἰκὸς δήπου, καὶ τὴν τριβομένην σάρκα παραπλησίαν ἑαυτῇ ποιεῖν, ἐν τῷ πιλεῖν τε καὶ θλίβειν αὐτήν. οὕτως δὲ καὶ τὴν μαλακὴν τρῖψιν, ὁμοίαν ἑαυτῇ καὶ τὴν σάρκα κατασκευάζειν, ὡς ἂν τῇ σκληρᾷ τἀναντία δρῶσαν. τὴν δὲ πολὺ διαφορεῖσθαι τοῦ πλεῖον ἰσχναίνειν εὔλογον. ἀναθρέψειν δὲ καὶ σαρκοῦν οὐχ ἁπλῶς τὴν ἀντικειμένην τῇ πολλῇ τὴν ὀλίγην, ἀλλὰ τὴν μετρίαν, ὅπερ εἶπε καὶ πρόσθεν ἐπὶ τῆς τοῦ θερμοῦ ὕδατος χρήσεως. ἡ γὰρ παντάπασιν ὀλίγη τρῖψις, ὁμοίως τῇ βραχείᾳ καταχύσει τοῦ ὕδατος, οὐδὲν αἰσθητὸν ἐργάζεται. μέχρι τοσούτου τοίνυν χρὴ τρίβειν ἕνεκα σαρκώσεως, ἄχρι περ ἂν ἐκφαίνῃ τὰ αὐτὰ γνωρίσματα, τοῖς ἐπὶ τῆς μετρίας καταχύσεως εἰρημένοις ἐν τῇ λέξει, καθ᾽ ἣν φησιν· ἔτι μετεωριζομένου, δεῖ, πρὶν συμπίπτειν παύεσθαι. τὸ μὲν γὰρ πρῶτον αἴρεται, ἔπειτα δὲ ἰσχναίνεται. ὅτι δ᾽ οὐδὲν λείπει περὶ τὸ ἔργον τῆς ἀνατρίψεως, ἐν τῷ δευτέρῳ τῶν ὑγιεινῶν ἀποδέδεικταί μοι. γιγνώσκειν μέντοι χρὴ καὶ τοῦτο, τοῖς πολλοῖς ἀγνοούμενον, ὡς οὐ τὴν ἐκ τῶν κάτω μερῶν ἄνω γιγνομένην τρῖψιν ὀνομάζουσιν οἱ Ἕλληνες, ἀλλ᾽ ἅπασαν ἁπλῶς τὴν ἐπιτελουμένην, καὶ σπάνιόν γέ ἐστι τὸ τῆς τρίψεως ὄνομα παρ᾽ αὐτοῖς εὑρεῖν. ἀνάτριψιν γὰρ ἔθος ἐστὶν αὐτοῖς ὀνομάζειν, ὃ νῦν ἡμεῖς τρῖψιν καλοῦμεν.

HIPPOCRATIS TEXTUS XXIV.

FRictio poteſt ſolvere, ligare, carne implere, minuere. Dura ligare, mollis ſolvere, multa minuere, moderata carne implere.

GALENI COMMENTARIVS.

LIgare, quidem, exponit denſare; ſolvere verò, rarefacere, & mollire; minuere denique extenuare. Duram ſiquidem frictionem profectò conſentaneum eſt frictam carnem ſibi ipſi conſimilem efficere, dum ipſam dènſat, & atterit; ita verò & mollem frictionem ſibi ipſi ſimilem carnem conſtituere, ac ſi duræ contraria præſtet. Multam autem quòd ulterius diſcutiat, extenuare rationi conſonum eſt. Paucam autem multæ oppoſitam, non planè corpus reficere, neque carne implere; ſed moderatam, quod ſuperiùs quoque docuit in textu de aquæ calentis uſu. Nam omnino pauca frictio peræquè ac brevis aquæ perfuſio, quod ſenſum feriat, nihil efficit. Tandiu igitur carnis procreandæ gratiâ fricandum eſt, quoad certa ipſa indicia portenderint, quæ de moderata perfuſione prodita fuerunt in textu, ubi pronunciat, *dum pars etiamnum attollitur, priuſquam concidat, finire oportet. Primum enim attollitur, poſtea extenuatur.* Quod autem eorum quæ ad frictionis effectus ſpectant, nihil ab Hippocrate negligentia prætermiſſum ſit, à me libro ſecundo de ſanitate tuenda demonſtratum eſt. Quod verò multos latet, illud ſanè noſſe oportet; quòd ſcilicet Græci non eam quæ ex inferioribus partibus ad ſuperiores ducitur *frictionem ἀνάτριψιν* appellant ,[ſed omnem quæ ſimpliciter etiamnum peragitur. Atque perrarum eſt τρῖψιν vocabulum apud eos invenire. Quandoquidem ipſis eſt conſuetudo ἀνάτριψιν appellare, quod nos hîc τρῖψιν frictionem vocamus.

Quæ in partis læſæ deligatione neceſſaria, ratione deligationis, temporis diverſi, partis deligatæ, & ægri obſervanda ſint.

Χ… ἐν τῇ τῆς … μόνον ἐπίδεσιν ἀναίρεσις κατὰ τὴν ἐπίδεσιν, τὸ χωρὶς διαφθείρειν, καὶ τὸ μέρος διδέμενον, καὶ τὸν κάμνοντα φυλαξόμενα.

HIPPOCRATIS TEXTUS XXVII.

Deligare verò oportet; imprimis quidem ut deligatus dicat ſe maximè comprimi B
quâ parte læſio eſt, extremis verò partibus, minimè. Et ſe firmatum eſſe, non compreſſum linteorum copiâ, non vi; hoc verò die ac nocte paulò magis, poſtridie minus; tertia laxa. Reperiatur autem poſtero die in extremis tumor mollis. Tertio die devinctum ſolutum gracilius ſit, idque per omnes deligationes. Poſterâ deligatione an decenter deligatum apparuerit, diſcendum eſt. Hinc autem magis ac pluribus comprimatur. Tertio adhuc magis, itemque plu- C
ribus. Septimo à primâ deligatione ſoluta oſſa gracilia, & laxa deprehendantur. At ferulis alligata, ſi gracilia, citra pruritum & ulcus extiterint, ad viginti à læſione dies ſincere oportet. Si quid verò ſuſpectum ſit, in medio tempore, & ferulas tertia quoque confirmare convenit. Suſpenſio, depoſitio, deligatio quò eodem in ſtatu ſint, obſervanda ſunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ.

Ἐπιδεῖν δὲ, τὸ πρῶτον ὁ μὲν ἐπιδεδεμένος μάλιστα φάτω πεπιέχθαι κατὰ τὸ σίνος, ἥκιστα τὰ ἄκρα. ἡρμόσθαι δὲ, μὴ πεπιέχθαι τῷ πλήθει μὴ ἰσχύϊ. τὴν δὲ ἡμέρην ταύτην καὶ νύκτα ὀλίγῳ μᾶλλον, τὴν δὲ ὑστέρην, ἧσσον, τρίτῃ χαλαρά. εὑρεθήτω δὲ, τῇ μὲν ὑστεραίῃ ἐν ἄκροις οἴδημα μαλθακὸν, τῇ τρίτῃ δὲ, τὸ ἐπιδεθὲν, ἰσχνότερον παρὰ πάσας τὰς ἐπιδέσιας τοῦτο. τῇ δὲ ὑστεραίῃ ἐπιδέσει, ἢν δικαίως ἐπιδεδεμένον φανῇ, μαθεῖν δεῖ· ἐντεῦθεν δὲ μᾶλλον καὶ ἐπὶ πλείοσι πιεχθήτω. τῇ δὲ τρίτῃ ἐπὶ μᾶλλον, καὶ ἐπὶ πλείοσιν. τῇ δὲ ἑβδόμῃ, ἀπὸ τῆς πρώτης ἐπιδέσιος, λυθέντα, εὑρεθήτω ἰσχνὰ, χαλαρὰ τὰ ὀστέα. ἢν δὲ νάρθηκας δέωνται, ἢν ἰσχνὰ, καὶ ἄκνησμα, καὶ ἀνέλκεα ᾖ, ἐᾶν μέχρις εἴκοσιν ἡμερέων ἀπὸ τοῦ σίνεος. ἢν δέ τι ὑποπτεύηται, λύσαι ἐν μέσῳ, νάρθηκας διὰ τρίτης ἐρείδειν, ἢ ἀνάληψις, ἢ ἀπόθεσις, ἢ ἐπίδεσις, ὡς ἐν τῷ αὐτῷ σχήματι ᾖ, διαφυλάσσειν.

GALENI COMMENTARIUS. D

Fulcimenta Græcos ἕρματα & ἐρείσματα ſtabilimenta & fulturas appellare & eò conſtat quod ita Poëta concinit.

Navis fulcimenta ſubegit.

Ipſi quadrat ἡρμόσθαι fulcire quod idem ac formare & ſtabilire ſignificat. Hoc igitur non linteorum copia magis quam vi oboritur. Jubet autem propriè preſſum ex deligatione caveri. Verùm de his diſſeruimus & ſequentibus continentur, in commentariis operum tum de fra- E
cturis, tum de articulis perfectiſſimè ſcripta ſunt. *Quare rurſum* abdita & obſcura interpretari, & hunc in commentarium transferre quæ abunde, proindéque manifeſtè in illis explicata ſunt, decere non arbitror. Turpe nanque mihi eſt manifeſtè explanata rurſum ceu fabulas enarrare. Qui omnium maximè potuit mentis conceptum non meum duntaxat verbis explicare ipſert. Iis itaque prætermiſſis (etenim qui commentarios operum de fracturis & articulis legerunt, ipſis dilucidè patent) continua perſequor. F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐρμάσματα μὲν, ὅτι ἕρματα λέγουσιν οἱ Ἕλληνες, εὔδηλόν ἐστι κἀκ τοῦ παρὰ τοῦ ποιητοῦ λεχθέντος ἔπους,

Ὑπὸ δ' ἕρεον ἕρματα νηῶν.

Ἀνάλογον δὲ αὐτῷ, τὸ ἡρμόσθαι, τὸ οἷον ἐρηρεῖσθαι, καὶ ἐστηρίχθαι δηλοῖ. τοῦτ' οὖν, διὰ τὸ πλῆθος τῶν ὀθονίων μᾶλλον, ἢ τῆς ἰσχύος γίγνεσθαι. κελεύει δὲ ἰδίως τὴν ἐκ τῆς ἐπιδέσεως θλῖψιν. Εἴρηται δὲ καὶ περὶ τοῦδε, καὶ περὶ τῶν ἄλλων ἁπάντων, ὅσα κατὰ τὴν προκειμένην ῥῆσιν, καὶ τὰ ἐφεξῆς γέγραπται τελεώτατα, διά τε τοῦ περὶ ἀγμῶν, καὶ τοῦ περὶ ἄρθρων· λανθανόντων ἐξηγεῖσθαι καὶ μεταφέρειν εἰς τόδε τὸ βιβλίον, ὅσα τελέως ἐν ἐκείνοις εἴρηται, καὶ τοῦτο καὶ σαφῶς οὐχ ἡγοῦμαι προσήκειν. Αἰσχρὸν γάρ μοί ἐστιν, αὖθις τὰ σαφηνῶς εἰρημένα μυθολογεῖν, ὃ πάντων δεινότατον, ἑρμηνεύειν τὸ νοηθὲν οὐκ ἐμοῦ μόνον, φασίν. ὑπερβὰς κατὰ αὐτὰ (καὶ γὰρ σαφῶς εἴρηται τοῖς ἀνεγνωκόσι τὸ περὶ ἀγμῶν, καὶ περὶ ἄρθρων) ἐπὶ τὰ συνεχῆ τρέψομαι.

rationis affectuum chirurgicorum temporibus, ſervandus eſt, ſecundùm naturam, partis habitus. Hic autem inquit, *ex quieſcente, & otiante*, hoc eſt, quum quis conquieſcit; *ex communi*, hoc eſt, ex medio quod inter extrema ſtatuitur; *atque ex conſuetudine*, qua perſpicuum eſt actionem & quietem comprehendi. Hæcque duo certa generaliſſima habitus ſecundùm naturam cuique parti oborti indicia conſequemur; quæ ſunt tum inter extrema medium, tum ipſa conſuetudo. Ego verò in libris de motu muſculorum de his amplius diſſeruimus, & quum ex anatome partium iuvenimus, tum eos qui ſecundùm naturam ſunt habitus demonſtravimus, ut etiam in libro de articulis ipſe docuit Hippocrates. Poteſt autem alius aliis utens nominibus, de propoſitis rebus dicere diverſa conſpici, veluti etiam quum quis dixerit citra dolorem, non alium habitum inveniet præterquam eum in quo quieſcere conſuetum eſt, & is ipſe qui inter extrema ſit medius. Verùm & indicatione ſumpta à partium ſtructura, hic idem invenitur.

μικρὸν ἔμπροσθεν εἰρημένη ῥῆσις γέγραπται. κατὰ πάντας τοὺς καιροὺς τῆς θεραπείας τῶν κατὰ χειρουργίαν παθῶν, ἓν σχῆμα φυλάττεσθαι χρὴ, τὸ κατὰ φύσιν τῶν μορίων. εὑρεθήσεται δὲ τοῦτο, φησὶν, ἔκ τε τοῦ ἐλινύοντος καὶ ἀφειμένου, τουτέστιν ὅταν ἡσυχάζῃ τις, ἔκ τε τοῦ κοινοῦ, τουτέστι τοῦ μεταξὺ τῶν ὑπερβολικῶν, ἔκ τε τοῦ ἔθεος, ἐν ᾧ δῆλόν ἐστι, τὰ ἔργα, B καὶ τὸ ἐλινύειν περιέχεσθαι, καὶ τὰ δύο ταῦθ' ἕξομεν γνωριμώτατα γνωρίσματα τοῦ κατὰ φύσιν ἑκάστῳ μορίῳ γινομένου σχήματος, τί, τὸ μέσον εἶναι τῶν ὑπερβολῶν αὐτὸ καὶ ἔθος. ἐγὼ δὲ ἐν τοῖς περὶ μυῶν κινήσεως ὑπὲρ τούτων διῆλθον, καὶ τὴν κατασκευὴν τῶν μορίων, ἣν ἐξ ἀνατομῆς εὑρίσκομεν, ἐνδεικνύμενος τὰ κατὰ φύσιν σχήματα τῶν μορίων, ὡς καὶ ἐν τῷ περὶ ἄρθρων αὐτὸς ὁ Ἱπποκράτης ἐδίδαξε. δύναται δὲ ἄλλος ἄλλοις ὀνόμασί τε καὶ ῥήμασι χρώμενος, περὶ τῶν εἰρημένων πραγμάτων ἕτερα φαίνεσθαι λέγειν, ὥσπερ καὶ ὅταν τις φαίη τὸ ἀνώδυνον. οὐ γὰρ ἄλλο σχῆμά τι εὑρήσει, πλὴν τὸ C κατὰ τὸ ἐλινύειν εἰθισμένου. τὸ δὲ αὐτὸ τοῦτο, καὶ μέσον ἐστὶ τῶν ὑπερβολικῶν. ἀλλὰ κἀκ τῆς κατασκευῆς τῶν μορίων, ἐνδεικτικῶς αὐτὸ, τοῦτ' ἔστι τὸ εὑρισκόμενον.

Corpus per otium effœminari, colliquari, imbecillius reddi; uſu verò hoc eſt, actione & laboribus firmari, ac roborari. Fidem orationis eſſe duplicem, experientiam, ac indicationem.

Τὸ σῶμα τῇ μὲν ἀργίᾳ ἐκθηλυνέσθαι, τήκεσθαι, ἀῤῥωστογίνεσθαι. τῇ δὲ χρήσει, τουτέστι τῇ πράξει, καὶ τῇ ταλαιπωρίᾳ κρατυνέσθαι, καὶ ῥώννυσθαι. Διττὴν εἶναι τοῦ λόγου πίστιν τὴν πεῖράν τε, καὶ τὴν ἔνδειξιν.

HIPPOCRATIS TEXTUS XXIX.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

N*Am uſus roborat, ocium colliquat.*

Ὅτι χρῆσις κρατύνει, ἀργίη δὲ τήκει.

GALENI COMMENTARIUS.

Hoc etiam tanquam in exemplari conſpicitur, quod author libri ſcriptis prodidit. Idem fortaſſis quum producere deſideraret, in libro qui ad editionem ab eo ſcribebatur, & in aliis tranſcriptis ita ſcriptum invenitur *cur uſus roborat, otium verò colliquat?* proponente ſibi per quæſtionem ipſam ſententiam authore, non rebus ad chirurgiam ſolam; ſed etiam ad diætam ſpectantibus utiliſſimam. Omne igitur corpus in otio degentium effœminatur & infirmũ fit, firmatur autem & roboratur corpus eorum qui laboribus incumbunt, hoc eſt, qui agunt. Duplex verò eſt orationis fides, experientia quidem omnium qui mentem adhibent evidenter apparentibus; & indicatio rerum, quæ à naturali ſtructura ſumitur in commentariis de ſanitate tuenda explicata. In his autem quæ ad Chirurgiam pertinent, non univerſo tempore partes affectæ ſervari debent immobiles, quemadmodum nonnulli ſecuritatis gratiâ faciunt; ſed ipſæ quum inflammationis ſint expertes moderatè dimoveri; hocque imprimis molliendum, quum affectæ parti aqua calida perfunditur, deinceps in balneis, poſteà etiam ſine his.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τοῦτο πρὸς ὑποτύπωσιν φαίνεται γεγραφὼς ὁ συγγραφεὺς τοῦ βιβλίου τυχὸν, ἴσως ταυτὸ μηκῦναι βουλόμενος, ἐν τῷ πρὸς ἔκδοσιν ὑφ' ἑαυτοῦ γραφομένῳ· καὶ κατ' ἄλλα τῶν ἀντιγράφων εὑρίσκεται γεγραμμένον οὕτως, τὸ, διότι χρῆσις κρατύνει, ἀργίη δὲ τήκει. προβάλλοντος E αὐτὸ πρὸς ζήτησιν ἑαυτῷ τοῦ συγγραφέως, χρησιμώτατον ὂν οὐκ ἐν τοῖς κατὰ χειρουργίαν μόνον, ἀλλὰ καὶ τοῖς κατὰ δίαιταν. ἐκθηλύνεται γὰρ ἅπαν ἀργούντων σῶμα, καὶ ἄῤῥωστον γίνεται, κρατύνεται δὲ, καὶ ῥώννυται, πραττόντων αὐτῶν, τουτέστιν ἐνεργούντων. διττὴ δὲ ἡ πίστις τοῦ λόγου, πεῖρα μὲν ἁπάντων τῶν προσεχόντων τὸν νοῦν τοῖς ἐναργῶς φαινομένοις. ἡ δὲ ἀπὸ τῆς φυσικῆς κατασκευῆς ἔνδειξις, ἐν τοῖς ὑγιεινοῖς ὑπομνήμασι λέλεκται. ἐν οὖν τοῖς κατὰ χειρουργίαν, οὐ χρὴ παμπόλλῳ χρόνῳ φυλάττειν ἀκίνητα τὰ F πεπονθότα μόρια, καθάπερ ἔνιοι ποιοῦσιν ἀσφαλείας ἕνεκεν. ἀλλὰ δεῖ κινεῖν αὐτὰ μετρίως, ὅταν ἀφλέγμαντα γένηται, καὶ τοῦτο ἄρχεσθαι μὲν πράττειν, ὅταν ὕδωρ θερμὸν καταχέηται τοῦ πεπονθότος. ἐφεξῆς δὲ καὶ τοῖς λουτροῖς, εἶτα καὶ χωρὶς τούτων.

Καὶ τοῦτο αὐτὸ καθ' ἑαυτὸ γεγραμμένον ἐν τύποις B ὑπὸ τοῦ συγγράψαντος τὸ βιβλίον, εἰς τόνδε σαφῶς ἐγγραφόμενος μετήνεγκεν. εἴρηται δὲ καὶ τελέως καὶ σαφῶς ἔμπροσθεν ὡς νῦν, οὐκ ἐλλειπτικῶς. χρὴ γὰρ προσυπακούειν τὸ ὀθόνιον, ἵν' ἡ λέξις ὅλη γένηται τοιαύτη. ἡ πίεσις τῷ πλήθει τῶν ὀθονίων γενέσθω μᾶλλον, ἢ τῇ θλίψει.

Ἥτις ἐπίδεσις τοῖς πάθεσιν ἐκ τραύματος ἄνευ τῆς φλεγμονῆς γεγενημένοις προσήκει. ὅπῃ ἐπιβάλλειν χρὴ τὸν ἐπίδεσμον. ὅπου ἀρχὴ τοῦ ἐπιδέσμου περιβάλλεσθαι. C οἵτινες ἐπίδεσμοι αἱρετέοι. τί θλάσμα, τί ἐκχύμωμα, τί φλάσμα, τί ῥῆγμα, τί οἴδημα. ἡ τῶν ὄγκων διαίρεσις εἰς τὰς φλεγμονὰς, τὰ ἐρυσιπέλατα, οἰδήματα καὶ τοὺς σκίρρους. τί τραῦμα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ῬΗΣΙΣ. λα'

Ὁκόσα δὲ ἐκχυμώματα, ἢ φλάσματα, ἢ σπάσματα, ἢ οἰδήματα ἀφλέγμαντα ἐξεργάζεται ἐκ τοῦ τραύματος, ἐς μὲν τὸ ἄνω τοῦ σώματος τὸ πλεῖστον, D βραχὺ δέ τι καὶ ἐς τὸ κάτω, μὴ κατάντη τὴν χεῖρα ἔχοντα, ἢ τὸ σκέλος· τιθέμενον τὴν ἀρχὴν κατὰ τὸ τρῶμα, καὶ μάλιστα τὰ ἐρείδοντα, ἥκιστα τὰ ἄκρα, μέσως τὰ διὰ μέσου. τὸ ἔσχατον πρὸς τὰ ἄνω τοῦ σώματος νεμόμενον ἐπιδεῖν, πιέσει. ἀτὰρ καὶ ταῦτα πλήθει μᾶλλον, ἢ ἰσχύϊ. μάλιστα δὲ τουτέοισιν ὀθόνια λεπτὰ, κοῦφα, μαλθακὰ, καθαρὰ, πλατέα, ὑγιέα, ὡς ἄνευ ναρθήκων, καὶ καταχύσει χρῆσθαι πλείονι.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φλάσματα διὰ τοῦ φ καλεῖν ἔθος Ἱπποκράτει, κατὰ τὴν τῶν Ἰώνων διάλεκτον, ἃ πρὸς ἡμῶν ὀνομάζεται διὰ τοῦ θ θλάσματα. γίνεται δὲ, βαρέος τινὸς ἐμπεσόντος τῷ σώματι, ὡς ἂν εἴποι τις, διασπασθέντος τοῦ σαρκώδους γένους. ἐνίστασθαι πέφυκεν, ὅταν ἡ διαθλασθεῖσα σὰρξ εἰς τὴν ὑπὸ τῷ δέρματι χώραν αἷμα προχέῃ. τὸ τοιοῦτον πάθος, ἐκχύμωμα καλεῖται, καὶ γὰρ δηλονότι τοῦτο, μὴ διαιρουμένου τοῦ F δέρματος. εὔδηλον δὲ ὅτι καὶ φλέβες μικραὶ συνδιαιροῦνται τῇ σαρκὶ, κατὰ τὴν τῶν ἐκχυμωμάτων γένεσιν. τὰ δὲ σπάσματα, περὶ τὰς ἶνας γίνεται τῶν μυῶν ἐπὶ πλέον ταθείσας, ὡς ἐνίας ῥαγῆναι, καὶ καλοῦσιν ἰδίως οἱ νεώτεροι τῶν ἰατρῶν τὰ τοιαῦτα παθήματα, ῥήγματα. τούτων οὖν πρῶτος ὁ Ἱπποκράτης μεμνημονεύσας, ἐφεξῆς αὐτοῖς ἔγραψεν οἰδήματα, πάντας οὕτως ὀνομάζειν εἰωθὼς τοὺς παρὰ

Hoc ipſum quoque per ſe typis ab authore libri ſummatim ſcriptum huc librarius tranſtulit. At ſuprà perſpicuè, perfectèque explicatum eſt, ut nunc præciſè aſcribitur. Subaudire namque oportet lintea, ut univerſa oratio talis exiſtat. Compreſſio fiat magis linteorum multitudine, quàm preſſu.

Quæ deligatio affectibus ex vulnere citra inflammationem obortam conveniat, quæ faſcia injicienda, ubi caput faſciæ admovendum. Quæ faſciæ eligendæ. Quid contuſio, quid ſuggillatio, quid ruptio vel ruptura. Quid œdema; Tumorum diviſio in inflammationes, eryſipelata, œdemata, & ſcirrhos. Quid vulnus.

HIPPOCRATIS TEXTUS XXXI.

Qvacunque vero ſuggillationes, aut cõtuſiones, aut vulſiones, aut tumores inflammationis expertes, ex vulnere oboriuntur, ad ſuperiorem partem plurimùm, ad inferiorem parùm deligare oportet, quæ manum aut crus non prepenſa ſortiantur. Principium faſciarum ſupra vulnus ponere, maximeque firmare, partes extremas minimẽ, medias mediocriter. Extremam partem ad ſuperiores corporis partes diſtribuere deligatione, compreſſione. Sed & hęc copiâ magis quàm robore. His verò potiſſimum congruunt lintea tenuia, levia, mollia; pura, lata, ſana; ut quæ ſine ferulis, & uberiore aquæ perfuſione uſurpanda ſunt.

GALENI COMMENTARIUS.

Hippocratis mos fuit ex Ionum linguâ φλάσματα per φ contuſiones appellare, quæ θλάσματα per θ à nobis nominantur. Hæ verò oboriuntur, quum quid grave in corpus decidit, ac ſi quis dixerit, carnoſum genus perrupit. Sugillationes verò ineſſe conſueverunt, quum contuſa caro in eam quæ ſub cute eſt regionem, ſanguinem ſuffundit, unde hic affectus ſuffuſio vocatur, quæ nimirum non diviſâ cute generatur. Patet autem ex illa venas unà cum carne in ſuffuſionum generatione dividi. vulſiones autem oriuntur in muſculorum fibris, ubi ampliùs extenſæ ſunt, ut nonnullæ rumpantur, quos affectus juniores Medici rupturas propriè vocitant. Horum tamen primus Hippocrates memor ipſe ſerie *œdemata* ſcripſit, omnes ita nominare conſuevit, eos qui præter

nomen calidis tumoribus inditum eſt. Præter propoſitos tumores, alter eſt quod eriſypelas vocatur, & perpetuò quidem eſt cum flagrantia, cum tumore verò non perpetuò. Hi igitur omnes morbi nominatim ab Hippocrate conſtituti, quod ad diætam & pharmaciam ſpectat, aliam curationem exigunt; quod verò ad chirurgiam, aliã quæ ex deligationis ratione fit, quum & potiſſimũ à præcedentibus deligationibus curationis B ortũ ſortiãtur, de quibus nunc orationẽ habet. Is textus *ex vulnere oboriuntur*, idem ac exprimuntur, vel expelluntur ſignificat. Quidam ita planè ſcribunt *ἐξαίρεται expelluntur*; ut nullã ſit opus explicatione. Cæterùm ipſorum deligationem in libro de fracturis eã parte tumore affectã, hîc verò à vulnere exorditur: Conſtat autem ipſum vulnus vocare partis læſionem. Atque nunc eatenus catagmaticam deligationem ſubmutat, quatenùs plurimam faſciarum diſtributionem ad ſuperiora ferri conſulit, paucam verò ad inferiora. Ille quoque textus, *quæ manum aut crus non propenſa ſortiantur*, communis quidem eſt deligationi catagmaticæ, ſeu ad fracturas utili; ſed hunc tanquam vim maximam habentem in rebus nunc propoſitis ita ſcripſit, ne prout conſuevimus, negligentiùs agentes nonnunquam magnam læſionem conciteremus. Quæ namque ingentem noxam aut opem ſortiuntur, neque rectè procedunt, hæc frequentiùs commemorare non pigebat Hippocratem; in quibus verò *nullam* aut exiguam opem, aut noxam oboriri novit, huic de his ſemel diſſeruiſſe ſat eſt. In fracturis igitur ubi quamprimum hæ devinciuntur, priuſquàm inflammatio, vel alius ex prædictis affectibus affectæ parti ſupervenerit, cautio eſt ſimiliter ac in his, ne quid in affectam ſedem affluat, non tamen ut humor in læſa parte contentus diſcutiatur. Quocirca perfuſionem in textu adjunxit, non quo illic omnino eam non uſurpet, ſed quo hîc magis. Hæc enim aqua calida copioſiùs perfundenda ſunt, ut quod in tumentibus partibus collectum eſt, diſcutiatur. Quamobrem ipſe in ſermone de calce, cui alto ſaltu ſuggillatio quædam ſucceſſerat, cũ ab cæteris quæ ad curationem præſcripſit auxiliis, hoc quoque addidit, aquam nimirum calidam copioſam, cujus perfuſione, non compreſſione pars devincienda ſecuritatem habet. Quare in opere de fracturis id ab ipſo quoque præſcriptum eſt. In propoſitis verò affectibus uſus major eſt ut diſcutiantur, & non comprimantur. Eam igitur ob cauſam & abſque ferulis deligationem molitur, ita ut duobus modis à catagmatica deligatione ipſam ſecreverit, tum quia minus comprimi poſtulat, tum quia maximè in ipſis imperat lintea, levia, tenua, molla & pura eſſe. His enim potiſſimùm indigent, quæ parciùs quidem comprimenda ſunt, liberaliùs verò diſcutienda. Addidit autem unumquemque ex propoſitis affectibus citra inflammationem eſſe oportere, ſi propoſita deligatione curari debeat. Quia verò partes inflammatione laborantes, eam quæ deligatione fit compreſſionem ne modicam quidem ferunt, propptereà ipſas cataplaſmatis, & aſſiduis aquæ calidæ perfu-

τοὔνομα τέθειται τοῖς θερμοῖς ὄγκοις. ἔξωθεν δὲ τῶν εἰρημένων ἐστὶ τὸ καλούμενον ἐρυσίπελας, φλογῶδες μὲν ἀεί, σὺν ὄγκῳ δέ, οὐκ ἀεί. ταῦτα οὖν ἅπαντα τὰ καταλελειμμένα παρ' Ἱπποκράτει ὀνόμασι πάθη, τὴν μὲν κατὰ δίαιταν καὶ φαρμακείαν, ἑτέραν ἔχει θεραπείαν. τὴν δὲ κατὰ χειρουργίαν, τῆς ἐπιδέσεως τρόπου γενομένην, ὅταν καὶ μάλιστα ἐκ τῆς προϋπαρχούσης ἐπιδέσεως τὴν B γένεσιν ἐσχηκότα, περὶ ὧν νῦν ποιεῖται τὸν λόγον. τὸ γὰρ ἐξεργάζεται ἐκ τοῦ τρώματος, οἷον ἐκθλίβεται, ἢ ἐξαιρεῖται δηλοῖ. τινὲς αὐτόθι ἐξαιρεῖται γράφουσιν, ὡς μηδεμιᾶς ἐξηγήσεως δεῖσθαι. τὴν δ' ἐπίδεσιν αὐτῶν, ἐν μὲν τῷ περὶ ἀγμῶν ἀπ' αὐτοῦ τὸ οἴδημα ἔχοντος μορίου ποιεῖται, νυνὶ δὲ ἀπὸ τοῦ τρώματος. δῆλον δ' ὅτι καλεῖ τρώματα τὴν βλάβην τοῦ μορίου, καὶ τοσοῦτόν γε τῆς καταγματικῆς ἐπιδέσεως παραλλάττει νῦν, ὅτι τὴν πλείστην νομὴν τῶν ἐπιδεσμῶν ἐπὶ τὸ ἄνω ποιεῖσθαι κελεύει, C βραχὺ δέ τι τὸ κάτω. τὸ μηδὲ κατάρροπα τὴν χεῖρα ἔχοντα, ἢ τὸ σκέλος. κοινὸν μὲν ἐστὶ πρὸς τὴν καταγματικὴν ἐπίδεσιν, ἀλλ' ὡς μεγίστην ἔχον αὐτὸ δύναμιν, ἐπὶ τῶν νῦν προκειμένων οὕτως ἔγραψεν, μή πως ἀμελέστερον ζῶντες εἰώθαμεν, ἐνίοτε μεγάλην αἰρώμεθα βλάβην. ὅσα γὰρ ἀξιόλογον βλάβην, ἢ ὠφέλειαν ἔχει, καλῶς, καὶ μὴ καλῶς γινόμενα, ταῦτα ἀναμιμνήσκειν οὐκ ὀκνεῖ συνεχέστερον. ἐφ' ὧν δὲ μικρὰν ὠφέλειαν, ἢ βλάβην οὐδὲ γινομένην, ἀρκεῖται περὶ D τούτων ἅπαξ εἰπεῖν. ἐπὶ μὲν οὖν τῶν καταγμάτων, ὅταν εὐθέως ἐπιδῶνται, πρὶν ἤτοι φλεγμῆναι τὸ πεπονθός, ἤ τι τῶν νῦν εἰρημένων ἐπιγενέσθαι παθῶν, τοῦ μὲν μηδὲν ἐπιρρεῖν τῷ πεπονθότι παραπλησίως, ἡ πρόνοια τῶν νῦν εἰρημένων ἐστίν, οὐ μὴν τοῦ γε διαφορεῖσθαι τὸ περιεχόμενον ἐν τῷ πεπονθότι, καθάπερ κἀπί τι τούτων καὶ τοῖς καταχύσεσι προσέθηκεν, οὐχ ὡς οὐδ' ὅλως ἐπ' ἐκείνων χρώμενος, ἀλλ' ὡς νῦν μᾶλλον. ἐπὶ πλεῖον γὰρ δεῖ τοῖς τοιούτοις ὕδατος θερμοῦ καταχεῖν, ἵνα διαφορηθῇ τὸ E περιεχόμενον ἐν τοῖς ὀγκουμένοις. οὕτως οὖν καὶ αὐτὸς ἐν τῷ περὶ πτέρνης λόγῳ καθ' ἣν ἀφ' ὑψηλοῦ πηδησάντων ἐκχύμωμά τι γίνεται, σὺν τοῖς ἄλλοις οἷς ἔγραψεν εἰς τὴν θεραπείαν αὐτῶν χρησίμοις, καὶ τοῦτο προσέθηκεν, ὕδατι θερμῷ πλείστῳ, οὐ τῇ πιέσει τὴν ἀσφάλειαν ἔχει τὸ ἐπιδεόμενον μέρος. εἴρηται μὲν οὖν αὐτῷ κἀπὶ τῶν καταγμάτων. χρεία δὲ μείζων ἐπὶ τῶν νῦν προκειμένων ἐστίν, ὅπως μήτε θλίβοιτο καὶ διαφοροῖτο. διὰ τὴν αὐτὴν οὖν αἰτίαν, καὶ χωρὶς ναρθήκων ποιεῖται τὴν ἐπίδεσιν, ὥστε κατὰ δύο τῆς καταγματικῆς αὐτὴν ἀποκεχωρηκέναι, καθόσον ἧττόν τι πιέζεσθαι δεῖται, καὶ μάλιστα ἐπ' F αὐτῶν ἀξιοῖ τὰ ὀθόνια κοῦφα εἶναι, καὶ λεπτά, καὶ μαλθακά, καὶ καθαρά. τούτων γὰρ μάλιστα χρῄζει, τὰ πιέζεσθαι μὲν ἧττον δεόμενα, διαφορεῖσθαι δὲ μᾶλλον. προσέθηκε δὲ τὸ χωρὶς φλεγμονῆς εἶναι δεῖν ἕκαστον τῶν εἰρημένων παθῶν, εἰ μέλλοιτο διὰ τῆς εἰρημένης ἐπιδέσεως θεραπεύεσθαι, διότι τὰ φλεγμαίνοντα τὴν ἐξ ἐπιδέσεως πίεσιν, οὐδὲ μετρίως γινομένην ἀνέχεται, καὶ διὰ τοῦτο, θεραπεύομεν αὐτὰ καταπλάσμασί τε, καὶ συνεχέσιν, ὕδατος θερμοῦ κατα-

τοῖν σκόποιν δυοῖν τούτοιν ἐνταῦθα ἐπισκεψομένοισιν.

vatis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ'.

Τὰ δὲ ἐκπτώματα, ἢ στρέμματα, ἢ διαστήματα, ἢ ἀποσπάσματα, ἢ ἀποκλάσματα, ἢ διαστρέμματα, οἷα τὰ κυλλὰ, τὰ ἑτερόρροπα, ἵνα μὲν ἐξίστη συνδιδόντα, ὅπη δὲ συντείνοντα, ὡς ἐς τοὐναντίον ῥέπη ἐπιδιδόντα, ἢ πρὶν ἐπιδεδέσθαι σμικρῷ μᾶλλον, ἢ ὥστε ἐξ ἴσου εἶναι. καὶ τοῖσιν ἐπιδέσμοισι, καὶ τοῖσι σπλήνεσι, καὶ τοῖσιν ἀναλήμμασι, καὶ τοῖσι σχήμασι, κατατάσει, ἀνατρίψει, διορθώσει, ταῦτα καὶ καταχύσει πλείονι.

HIPPOCRATIS TEXTUS XXXII.

At vero prolapſa, aut luxata, aut diſparata, aut avulſa, aut abrupta, aut perverſa, qualia vara, aliò propendentia, ea faſciis deligare oportet, unde quidem exceſſerint remittendo; quo vero exceſſerint intendendo, ut ad contraria inclinent deligata; etiam priuſquam deligata fuerint, paulo magis quàm ut ex æquo ſint, & faſciis, & ſpleniis, & ſuſpenſionibus, & figuris; diſtenſione, frictione, directione; ad hæc etiam uberiore perfuſione. C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τούτων ἁπάντων παθῶν, ἔν τε τῷ περὶ ἀγμῶν, καὶ ἄρθρων αὐτὸς ἐδίδαξε τελεώτατα, καὶ νῦν ὥσπερ ἄλλων πολλῶν, οὕτως καὶ τούτων, οἷον ἐπιτομήν τινα γράφει, καθ' ἑαυτὴν μὲν, ἀσαφῆ διὰ συντομίαν, εὔδηλον δὲ, τοῖς προανεγνωκόσιν ἐκεῖνα τὰ βιβλία. καὶ ἡμεῖς δὲ ὅτι φθάνομεν αὐτὰ προεξηγήσασθαι, διὰ τοῦτο νῦν ὀλίγα ἀναμνήσεως ἕνεκεν ἐροῦμεν. ἐὰν δέ τις ἐκ τοῦ κατ' ἰητρεῖον ἄρχηται, τοῦτο χρὴ τὸν διδάσκαλον σαφηνείας ἕνεκεν λέγειν ὅσα κατὰ τὸ περὶ ἀγμῶν, καὶ ἄρθρων αὐτὸς ὁ Ἱπποκράτης ἔγραψεν, ἐν ὑπομνήματι δὲ μεταγράφειν αὐτὰ, καὶ προστίθεσθαι νῦν. κέκληκεν οὖν ἐν τῇ προκειμένῃ ῥήσει ὁ Ἱπποκράτης, ἐκπτώματα μὲν, ἐπὶ τῶν ἐξηρθρηκότων. στρέμματα δὲ φησὶ μὲν, ὅταν διάρθρωσις ἀπαθὴς ᾖ· ἐστράφη δὲ τὰ περὶ αὐτὴν νευρώδη σώματα, καὶ γὰρ μάλιστα τοῦτο τοῖς κενεμβατεῖν λεγομένοις. διαστήματα δὲ, ἐπὶ τῶν ψαυόντων μὲν ἀλλήλων ὀστῶν φύσει, καὶ χωρὶς διαρθρώσεως, ἀποστάντων δὲ διά τι πάθημα· καὶ κατὰ τὸ περὶ ἀγμῶν καὶ ἄρθρων αὐτὸς μέμνηται διισταμένων ὀστῶν ἀπ' ἀλλήλων ὀνομαστί. κατὰ μὲν ἀγκῶνα, πήχεως κερκίδος, ἐν ἄκρᾳ δὲ τῇ χειρὶ, τῶν συνθέντων αὐτὴν, κατὰ τὸν πόδα, τῶν πλησιαζόντων τῇ πτέρνῃ. τὰ δὲ ἀποσπάσματα τῶν ὀστῶν, λέγεται καθάπερ αὐτὸς ἀπ' ἀκρωμίου διῆλθεν, ὅταν τῶν συνδούντων αὐτὰ, διασπασθέντων ἀποχωρισθῇ πλεῖστον ἀπ' ἀλλήλων, συνεχόμενα πρότερον. τὰ δὲ ἀποκλάσματα, καλεῖται μὲν ὑπὸ τῶν νεωτέρων, ἀπάγματα. μέμνηται δὲ αὐτῶν ἐπὶ τέλει ἐν τῷ περὶ ἀγμῶν, καὶ τοὺς περὶ ἀγκῶνος εἶναι εἶπε, καὶ τὸ ἄπαγμα γέγραφεν αὐτὸς, ὅθεν ὁρμηθέντες οἱ μετ' αὐτὸν, ἀπάγματα προσηγόρευσαν τὰ πλησίον D E F

GALENI COMMENTARIUS.

De his omnibus affectibus tum in opere de fracturis, tum de articulis ipſe docuit ampliſſimè, nunc etiam quemadmodum in cæteris multis, ita & his veluti quoddam compendium ſcribit, quod per ſe quidem brevitatis causâ, obſcurum eſt, iis verò qui illa opera prælegerint, manifeſtum. Nos autem etiam quia ipſa priùs explicare prævenimus, propterea nunc pauca recordationis gratiâ in medium proferemus. Si quis autem ab opere de Officina Medici auſpicetur, hunc decet præceptorem ad explanationem recenſere quæcunque in opere de fracturis, & articulis ipſe ſcriptis mandavit Hippocrates, eam commentario deſcribere, & huc conferre. Appellavit igitur in propoſito textu *prolapſa* ubi articuli ſuis ſedibus exciderunt. *Luxata* verò vocat, quum articulatio illæſa eſt; ſed quæ eam ambiunt nervoſa corpora, perverſa ſunt, idque iis accidit qui per vacua incedere dicuntur. *Diſparata*, quum oſſa quæ mutuo ſe contingunt, aut naturâ citra juncturam cohærent, præ affectu quodam diducuntur. In libris quoque de fracturis & articulis nominatim meminit oſſium quæ inter ſe diducuntur. In flexura quidem, cubiti & radii; in extrema manu, & internodio eorum quæ ipſam compoſuerunt oſſium; in crure eorum quæ genu conſtruunt; in pede denique, eorum quæ calci ſunt proxima. *Avulſa* dixit, in oſſibus quæ prodeunt, quemadmodum ipſe avulſa ab acromio explicat, quum quæ ipſa colligant, divulſa plurimum à ſe mutuò ſeceſſerint, quæ priùs connectebantur. *Abrupta* verò vocantur à junioribus abducta, & ipſorum meminit in fine libri de fracturis, & in fibris circa cubiti flexuram; & abductum fieri ſcripſit ipſe. Ex quo adducti poſteri *abrupta* vocaverunt fracturas eas quæ pro-

quæ à luxatis differunt; perverſa quidem, quatenus articulum quodammodo attingunt, leviter ipſum pervertunt, & è ſua ſede commovent. Fiunt quoque unum os, ac præcipuè circa tibiam in pueris, quam deligamus poſt apparatum inſtrumentorum utrinque ipſam dirigentium, quæ ex tilia, vel ex tali aliquo ligno ita firmo, mollique, tenuibus factis aſſerculis paramus. Præclarè ipſe quoque conſcripſit, quòd inter perverſorum præceptiones addiderit, *aliò propendentia*: ſi namque, ut quidam ſcribunt, qualia vara, *hæc aliò propendentia* dicamus in omnibus ſcripturis *aliò propendentia*, cunctis adjicere convenit. Tota ſiquidem articulatio plerunque intrò & foras propenſionem habet, ac præſertim in cruribus prope genua, & prope malleolos. Quæ foras propendent, valga vocantur; quæ intrò, incurva & vara. His omnibus enarratis affectibus deligatio congruit, duos ſortita ſcopos; *priorem* ut quo pars ſeceſſit, inde ipſa faſciis adducatur, & poſituram habeat; *alterum* ut ſi liceat, locus laxior ſit, quo excipiat quod per deligationem compellitur. *Condonare* verò, hoc eſt, remittere, neque hic intendere oportet faſciam. Sequi decet *exceſſerint*, in illa textus parte in qua effatur, *quo vero*, ut tota oratio ſit hujuſmodi; *Vnde quidem exceſſerint remittendo*, hoc eſt faſciam laxando; *quo vero exceſſerint intendendo*, ut in contraria loco in quem exceſſerint, propendeant. Propenſionis autem in contraria iis quæ exceſſerint terminum ſecundùm naturam non conſtituit. Sic enim deligatio à morbo vinceretur, quum pars diuturnæ perverſioni aſſueverit, imò ultra naturalem ſtatum partem vult adducere, hoc enim eſt quod ab ipſo dicitur, *paulo magis quàm ut ex æquo ſint*. Nam *quod ſecundùm naturam eſt, id æquum eſt*. Cæterum imperat nos in contrarium locum propenſionem ex omnibus moliri, qui ad deligationem promovemus, quæque nominatim ipſe ita pronuntiavit, *& faſciis & ſpleniis, & ſuſpenſionibus*; ad hæc præterea *diſtenſione, frictione, directione*: In his enim omnibus deligatio ultra naturalem ſtatum in contrariam partem inclinare poteſt. Sed *uberiore uti perfuſione*, actum ſcriptis addidit, *uberiore*, quod in ſuperioribus omiſerat, quod tamen in propoſitis verbis intelligi potuit. In illis itaque diſcutiendi gratiâ; in his verò emolliendi, uberiorem aquæ calidæ perfuſionem uſurpat.

τὰ δὲ διαστρέμματα, τῶν ἐξαρθρημάτων διαφέρει καθόσον ἅπτεταί πως τῆς διαρθρώσεως, ἐπ᾽ ὀλίγον αὐτὴν διαστρέφοντα, καὶ συμμετακινοῦντα. γίνεται δὲ καὶ περὶ ἓν ὀστοῦν, μάλιστα δὲ κνήμην ἐπὶ τῶν παιδίων, ἣν καὶ μετὰ παρασκευὴν τῶν ἐξευθυνόντων ἑκατέρωθεν ἐπιδοῦμεν ἐκ φιλύρας, ἢ τινος οὕτως εὐτόνου τε καὶ μαλακοῦ ξύλου,
B ποιούμενοι δὲ λεπτὰ σανίδια. κάλλιστα δὲ ἐκεῖνος καὶ αὐτὸς, προσθεὶς τὸν διὰ τῶν διαστρεμμάτων λόγον τὰ ἑτερόρροπα. εἴτε γὰρ, ὥς τινες γράφουσι, τὰ, οἷα τὰ κυλλὰ ταῦθ᾽ ἑτερόρροπα, κατὰ πάσας τὰς γραφὰς, τὰ ἑτερόρροπα συμφωνεῖται πᾶσιν. καὶ γὰρ εἴσω καὶ ἔξω τὴν ῥοπὴν ἴσχει πολλάκις ἡ διάρθρωσις ὅλη, καὶ μάλιστα ἐν σκέλεσι κατὰ γόνυ καὶ κατὰ σφυρά, καὶ καλεῖται τὰ μὲν ἔξω ῥέποντα βλαισά, τὰ δὲ εἴσω ῥαιβὰ καὶ κυλλά· τούτοις ἅπασι τοῖς
C εἰρημένοις πάθεσιν ἐπίδεσις ἁρμόττει, δύο τούτους ἔχουσα σκοπούς, ὅπου μὲν ἀποκεχώρηκε τὸ μόριον, ἐκεῖθεν αὐτὸ προσστέλλεσθαί τι, καὶ ἐπιπιέζεσθαι διὰ τῆς ἐπιδέσεως. ἔνθα δὲ ἐξέστη χαλαρώτερον εἶναι τὸ χωρίον, ὅπως δέχηται τὸ διὰ τῆς ἐπιδέσεως ὠθούμενον εἰς αὐτό. συνδιδόναι δὲ, τουτέστιν ἀνιέναι, καὶ μὴ τείνειν ἔνθα χρὴ, τὸν ἐπίδεσμον, ὑπακουστέον ἐστί, τὸ δὲ ἐξέστη, καὶ ἐκεῖνο τὸ μέρος τῆς ῥήσεως ἐν ᾧ φησιν, ὅπῃ δὲ, ὡς γενέσθαι τὴν ὅλην λέξιν τοιαύτην. ὅθεν μὲν ἐξέστη συνδιδόντα, τουτέστι χαλῶντα τὸν ἐπίδεσμον, ὅπῃ δὲ ἐξέστη συντείνοντα, ὡς ἐς τἀναντία ῥέπειν τὰ χωρία εἰς ἃ
D ἐξέστη. τῆς δὲ εἰς τἀναντία ῥοπῆς, τοῖς ἐξεστῶσιν, ὅρος ὑπὸ κατὰ φύσιν ἔθετο. νικηθήσεται γὰρ οὕτω ἡ ἐπίδεσις ὑπὸ τοῦ παθήματος, εἰθισμένου τοῦ μορίου πολυχρονίῳ διαστροφῇ, ἀλλ᾽ ἐπέκεινα βραχὺ τοῦ κατὰ φύσιν ἄγειν ἀξιοῖ. τοῦτο γάρ ἐστι τὸ λεγόμενον ὑπ᾽ αὐτοῦ, σμικρῷ μᾶλλον, ὥστε ἐξ ἴσου εἶναι. τὸ γὰρ κατὰ φύσιν, ἴσον ἐστί, καὶ τὴν εἰς ἐναντίον τόπον ῥοπὴν ἐξ ἁπάντων κελεύει ποιεῖν ἡμᾶς, ὅσα παραλαμβάνομεν εἰς τὴν ἐπίδεσιν, ἃ καὶ κατὰ λέξιν αὐτὸς ὀνομάζει, καὶ τοῖσιν
E ἐπιδέσμοισιν. εἰπὼν, καὶ τοῖσι σπλήνεσιν, καὶ τοῖσι ἀναλήμμασι, καὶ πρὸς τούτοις ἔτι κατατάσει, ἀνατρίψει, διορθώσει. κατὰ πάντα γὰρ ταῦτα, δυνατόν ἐστι περιρρέπειν εἰς τἀναντία τὴν ἐπίδεσιν ἐπὶ πλέον τοῦ κατὰ φύσιν, ἀλλὰ καὶ καταχύσει πλείονι χρῆσθαι, καὶ λέγει προσθεὶς ἐνταῦθα τὸ πλείονι, παραλελειμμένον μὲν ἐν τῇ προτέρᾳ ῥήσει, συνυπακουόμενον δὲ τοῖς εἰρημένοις. ἐπ᾽ ἐκείνων μὲν οὖν, ἕνεκα τοῦ διαφορῆσαι, ἐπὶ τούτων δὲ, τοῦ μαλακῦναι χάριν, ὕδατος θερμοῦ καταχύσει χρῆται πλείονι.

δεῖσιν ἐνεργείαις, καὶ γυμνάσμασι, καὶ ὀροποσίῃ, καὶ λουτροῖς, καὶ ταῖς ψυχροῦ ἐμβροχαῖς. Ἐνταῦθα μήτε τὸ παράδειγμα μήτε τὴν ἐπαγωγὴν συμφέρειν. B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

Τὰ δὲ μινυθήματα, πολὺ προσλαμβάνοντα τοῦ ὑγιέος, ἐπιδεῖν ὡς αἱ ἐκ τῆς ἐπιδρομῆς τὰ συντακέντα πλείονα, ἢ αὐτόματα ἐμινύθη, ἢ ἄλλῃ ἢ τῇ ἐκ τῆς ἐπιδέσιος παραλλάξαντα ἐκκλίνῃ ἐς τὴν αὔξησιν, καὶ ἀνάπλασιν τῶν σαρκῶν ποιέηται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. C

Τὴν ῥῆσιν ταύτην ἔνιοι μὲν τῶν ἐξηγησαμένων τὸ βιβλίον, ὥσπερ καὶ ἄλλας πολλὰς ἐπέδραμον ὀλίγα παραλαλήσαντες, οἱ δὲ ἐπιχειρήσαντες σαφῶς ἐξηγήσασθαι, ἥμαρτον τῆς ἀληθείας, ὡς θαυμάζειν με, τίνι τρόπῳ τὰ μινυθόμενα μόρια, τουτέστιν ἰσχνὰ καὶ ἄτροφα γινόμενα, πρὸς τὴν κατὰ φύσιν εὐκρασίαν ἐπανῆγον. Ἐγὼ δὲ, καὶ ὅσα μὲν ἐν σημαινομένοις λέξεως, ἢ τινι σοφιστικῷ προβλήματι ζητεῖται, βλάβην οὐδεμίαν ἡγοῦμαι φέρειν εἰς τὰ τῆς τέχνης ἔργα τοῖς μανθάνουσιν, εἰ καὶ κακῶς τις ὑπολάβοι περὶ αὐτῶν. D τὰ δὴ ἀήθεια τῆς ὠφελούσης ἀγωγῆς γραφόμενα, βλάπτειν ἀναγκαῖον, ἢ τινι ἀσχολουμένῳ κατὰ τὴν τέχνην. ὡς τοίνυν αὐτὸς ἐθεράπευσα διὰ παντὸς ἠτροφηκότα μόρια διδάξω. πρότερον πῶς ἤδη τῆς ἐξ αὐτῶν ὠφελείας ἀπολαύωσιν οἱ μανθάνοντες, εἶθ' ἑξῆς τὴν ῥῆσιν ἐφαρμόσαι πειράσομαι τοῖς ἀληθέσιν. ἐν γὰρ τοῖς σαφῶς γεγραμμένοις, ἰσχυρῶς μὲν διὰ παντὸς τῆς τῶν πραγμάτων ἀληθείας πειράσομαι, καὶ τὴν τοῦ παλαιοῦ λέξιν ἐὰν οἷόν τε ᾖ τούτοις E ὁμολογοῦσαν ἐπιδεικνύειν. εἰ δὲ ἀδυνατοίη ποτέ τις τοῦτο πρᾶξαι εἰπεῖν, τὸ γοῦν ἀληθὲς ὁ νέος ἤδη γινωσκέτω. Τῶν γοῦν γινομένων ἐν μέρεσί ποτε ἰσχνοτήτων αἱ πλεῖσται διὰ τὸ πολυχρόνιον ἡσυχίαν αὐτῶν, ἢ καταγματικῆς αὐτῶν ἐπιδέσεως τρόπῳ εἰς τὰ παθήματα ταῦτα ἔρχονται. ἥ τε γὰρ ἡσυχία, τὴν δύναμιν ἄρρωστον ἐπιδείκνυσι τῶν ἡσυχαζόντων μορίων, ἥ τ' ἐπίδεσις ἐκθλίβουσα τὸ αἷμα τῶν ἐπιδουμένων, τὸ μὲν εἰς τὴν ἄνω χώραν, τὸ δὲ εἰς τὴν κάτω, τὴν τροφὴν αὐτῶν ἀφαιρεῖται, ὥστε καὶ τὴν ἴασιν ἐναντίαν χρὴ ποιεῖσθαι τῇ γενέσει τοῦ πάθους, ῥωννύντας αὐτὴν τὴν δύναμιν τοῦ F πεπονθότος μορίου χορηγοῦντας αὐτῷ δαψιλὲς αἷμα· ἡ μὲν οὖν δύναμις ῥώννυται τρίψεσί τε, καὶ μετρίαις καταχύσεσι, καὶ κινήσεσι. χρὴ ἀμφότερα τὰ γένη, τὸ ποιὸν, καὶ τὸ ποσὸν ἐπιτήδεια ταῖς κινήσεσιν. ἕνεκα δὴ ἐπιρρεῖν πλεῖον εἶναι τι ἐπιδέσεως τι τῆς κατὰ τὴν προκειμένην καὶ καταχύσεις μετρίας ὕδατος θερμοῦ, καὶ κινήσεις, καὶ τρίψεις, ἅπερ καὶ τὴν δύναμιν ἐπιρρωννύει. εἶναι δὲ χρὴ πάντα

Hic nec exempla nec inductione prodeſſe.

HIPPOCRATIS TEXTUS XXXIII.

Extenuata verò multum ſanæ partis comprehendendo deligare oportet, ut ex affluxu contabefacta partes amplius quàm ſuâpte natura extenuatæ diverſæ, alia deligatione permutatæ, ad incrementum tendant, carniumque reſtaurationem efficiant.

GALENI COMMENTARIUS.

Textum hunc nonnulli quidem ex libri interpretibus, quemadmodum & alios plures percurrerunt, paucis obloquuti. Quidam verò hunc dilucidè explanare contendentes à veritate ita aberrarunt, ut mirer quâ ratione extenuatas partes, hoc eſt graciles, nec nutritas, ad naturale temperamentum adduxerint. Ego verò cenſeo quæcunque in verborum ſignificationibus, aut aliquo quod explanet problemate quæruntur, nullam læſionem ad artis opera diſcentibus adferre; etiam ſi de iis aliquis malè conjecerit. Nam cucurbitulæ opitulantis curationis præſcriptæ neceſſariò lædunt, quod alicui medendi artem profitenti magis innotuerit. Quare prout ipſe emaciatas partes ſemper curaverim, docturus ſum imprimis quâ via qui diſcunt jam ex eorum quæ proferam, uſu fructum ac emolumentum percipiant. Deinde textum veritati congruere contendam: In iis enim quæ brevi ſcripta ſunt, enitar profectò rerum veritatem omnino tueri, & ſenis ſententiam, ſi fieri poſſit hiſce conſentaneam demonſtrare. Si verò tandem hoc agere non detur, juvenis ſane jam veritatem agnoſcat. Quum ergo partium macies quibuſdam oboriatur, hi plerunque ex diuturna laborantium quiete, aut catagmaticæ ipſorum deligationis modo in hos affectus veniunt. Sive enim quies partium in otio decunbentium imbecillas vires prodat, ſive deligatio earum quæ devinciuntur, partium ſanguinem ex primat, illa quidem in ſuperiorem regionem, hæc verò in inferiorem, alimentum ipſarum adimit. Quare & curatio hujus affectionis generationi contraria inſtituenda eſt, ipſas partis affectæ vires roborantibus, ipſique copioſum ſanguinem ſuppeditantibus; vires ſiquidem roborantur & moderatis frictionibus, & perfuſionibus, & motionibus. In utroque genere qualitate & copia moderatio neceſſaria eſt motionibus. Quò verò ſanguis uberiùs affluat, & frictione utendum eſt, quæ vires quoque roborant. Sed omnia moderata

tet frictionem quidem in duræ & mollis, paucæ & copioſæ medio conſiſtere. Temperata verò aqua inter eam quæ nondum calefacit (tepida vocatur) & eam quæ jam mordet & dolores excitat (quæ certe fervida nominatur) media ſit. In quantitate quoque eam nimirum inter copioſam, & paucam, mediam eſſe decet. Verùm & de quantitate antea quoque orationem habuit, his verbis, *Dum pars adhuc attollitur, priuſquam concidat, finire oportet.* Hocce tempore ſi pars conſimili modo conferatur, rubra maximè conſpicitur. Quæcunque igitur gracilia & atropha fiunt, omnia magis exanguia, quàm quæ ſecundùm naturam ſe habent, evidenter apparent, vixque fricantibus & aquam calidam perfundentibus rubeſcunt. Scopus quantitatis eſt, quò parti rubor concilietur. Hoc idem tempus tumidiorem partem prodit. Sed ſi perſeveret qui fricat aut perfundit, tumor conſidit, & rubor finitur. Quinetiam extenuatorum morbum curatu facilem aut difficilem fore portendet tum rubor facile aut vix excitatus, tum pars in tumorem ſublata. Hæc autem conſequutis præſcribo frictionem ex quibuſdam medicamentis humidis ægre calefacientibus à me paratam, maximè verò ex iis quæ thapſiæ non vetuſtæ modicum accipiant. Sed & ex medicamentorum picantium aliquo hujuſmodi macilentas partes oblino, quæ ſunt picea, quædam, vel dropaſtica ſi audieris nominari intelliges, & picantia, imo & dropaces, ac tibi liceat quomodocunque volueris appellare. Non enim mihi propoſitum juvenes his in commentariis Atticiſmum docere, ſed perutilis artis medendi opera perſequi, atque hæc ſunt picantium medicamentorum, quæ ad prædictos ſcopos pertinent. Si namque primus eorum uſus partem promptè tumidam & rubram effecerit, jam decenter ceſſandum eſt. Alioqui & ſecundo die pars illinienda, etiam tertio, in quibuſdam quotidie, in nonnullis tertio, aut etiam quarto quoque die, prout locum affectum potiſſimùm indigere conſpexeris. At vero interdum pro ſcoporum ratione non præſcribo calidam reddi partem quæ fricatur aut picatur, quandoquidem iſtud ſub rubore comprehenditur: Eodem enim tempore & in ruborem & in calorem progreditur. Ego eâ quidem ratione quum medeor iis quæ præter naturam ſunt gracilitatibus, perraro deligatione uſus ſum. Quod ſi quandoque eâ uſus fuerim, prout Hippocrates dixit, deligavit, ipſius verbis addictus, quibus dicit *diverſa deligatione.* Nam quod pronunciet, *diverſâ*, huic catagmaticam deligationem oppoſuit, quæ vehementiorem partibus affectis compreſſionem excitat. *Diverſa* itaque deligatio, prima protinus faſciarum injectione à catagmatica differt. Non enim nos ipſi parti curandæ principium imponimus, quemadmodum ulceribus, fracturis, ſuggillationibus, contuſionibus, & quibuſcunque cæteris paulò ſuperiùs commemoratis facere conſuevimus. Deinde verò partem affectam non comprimere, ſed eam relaxare. Comprimere quidem potiſſimùm partem ſanam, unde principium duximus; Deinceps au-

γῆν ὑπάρχειν· ἀλλ' ἐν τούτοις χρὴ, τὴν μὲν τρῖψιν ἐν τῷ μέσῳ σκληρᾶς τε καὶ μαλακῆς, ὀλίγης τε, καὶ πολλῆς εἶναι. τὸ δὲ εὔκρατον ἐν τῷ μεταξύ ἐστι, τοῦ τε μηδέπω θερμαίνοντος, ὃ χλιαρὸν καλεῖται, καὶ τοῦ δάκνοντος ἤδη θερμοῦ, καὶ λυποῦντος, ὃ δὴ ζέον ὀνομάζεται. καὶ τὸ πλῆθος δὲ δηλονότι μέσον εἶναι προσήκει
B αὐτοῦ, πολλοῦ τε καὶ ὀλίγου. καὶ τόν γε τῆς ποσότητος λόγον αὐτὸς ἐδίδαξεν, εἰπὼν ἔμπροσθεν, ἔτι μετεωριζομένου δεῖ πρὶν συμπίπτειν, παύεσθαι. κατὰ τοῦτον δὲ τὸν χρόνον ἐρυθρότατον ὡσαύτως συμβαλλόμενον ὁρᾶται τὸ μόριον. ἅπαντα μὲν οὖν, ὅσα λεπτὰ καὶ ἄτροφα γίνεται, σαφῶς ἀναιμότερα φαίνεται τῶν κατὰ τὴν φύσιν ἐχόντων, καὶ μόγις ἐρυθραίνεται, καὶ τριβόντων, καὶ καταχεόντων ὕδωρ θερμόν, ὁ σκοπὸς τῆς ποσότητός ἐστι, ἔρευθος κτήσασθαι τὸ μόριον, ὁ δ'
C ἐφ' ὧν ἐπίθεσις ἡ κίνησις τῆς σκληρᾶς μήνιγγος ἐπιπλεούσης, τοῖς φλεγμαίνουσιν ὀδύνην ἐργάζεται. παραπλησίως δὲ καὶ κατά τινας φλεγμονὰς, ἡ κίνησις τῶν ἀρτηριῶν ἀλγηδόνας ἀποτελεῖ. καὶ δεῖται τὰ τοιαῦτα παθήματα συμμετρίας ἀκριβοῦς τῶν στηριγμάτων, ὅπως μήτε χαλαρὰ τοῖς πεπονθόσι μέρεσι περιπίπτοντα κινουμένοις διασείηται ῥᾳδίως αὐτὰ, καὶ διὰ τοῦτο πόνον ἐπάγῃ. μήτε αὖ πάλιν αὐτὰ τὰ στηρίγματα περαιτέρω τοῦ προσήκοντος ἐρηρεισμένα θλῖψιν ἐργαζόμενα, παροξύνῃ τὰς ὀδύνας. ἡ δ' αὐτὴ συμμετρία τῆς
D τῶν ἐπιδέσμων περιβολῆς, εἴρηται πρόσθεν αὐτῷ καὶ κατ' ἄλλα τινὰ πάθη προσηκόντως γίγνεσθαι, τῆς καταγματικῆς ἡλικίας καὶ ἐπιδέσεως χρῄζοντα. καὶ διὰ τοῦτο ἔφη νῦν, τούτων δὲ αἱ αὐταὶ συμμετρίαι· τούτων δὲ λέγων τῶν νῦν εἰρημένων. αὐτὰς δὲ τὰς προειρημέναις συμμετρίας εἶναι φάσκων, εἶτα καὶ τῶν συμμέτρων αὐτῶν ἀναμιμνήσκων ἐν οἷς φησίν. ᾗ μὲν γὰρ τὰ σίνη μάλιστα πιέζειν, τουτέστιν ἔνθα εἰσίν. τὸ γὰρ ᾗ, νῦν ἀντ' ἐπιρρήματος τοπικοῦ, διὸ καὶ δασύνειν αὐτὸ
E καὶ περισπᾶν χρή. καὶ τοῦτο δὲ τοῖς τοιούτοις πάθεσι συμφέρειν ἐπιτήδειον κελεύων τὸ ἁρμόζον ἢ στηρίζον, δηλονότι τῇ περιβολῇ τοῦ ἐπιδέσμου πειρᾶσθαί φησι χρῆναι μὴ μᾶλλον πιέζοντας, ἢ ὥστε τοὺς σφυγμοὺς μὴ ἐνσείεσθαι, ὅπερ ἐστὶν ὑπὸ στενοχωρίας κωλύεσθαι τὴν κίνησιν τῶν σφυζόντων, ὀδυνηρὸν γὰρ τοῦτο. πρὸς αὐτοῖς δὲ καὶ ἄλλον ὅρον ἔθετο, κατὰ τὰς διαστάσεις τῶν ῥαφῶν ἰδίως ὑπάρχοντα, καθ' ὃν φησὶ, τάς τε διαστάσιας τῶν ἁρμονιῶν συμψαύειν
F τὰ ἔσχατα ἀλλήλων. ἔσχατα λέγων καθ' ἃ μηκέτι μᾶλλον ἐγχωρεῖ συμψαύειν. δηλοῦται δ' ἐκ τούτου ἡ σφοδρὰ καὶ ἄμετρος θλίψις. ὥσπερ γὰρ οὐ χρὴ καχαλᾶσθαι τὴν ἁρμονίαν τῶν ὀστῶν, οὕτως οὐδὲ εἰς ἄκρον ἐσφίγχθαι, καὶ γὰρ καὶ τοῦτο παρὰ φύσιν. οὗτοι μὲν οὖν εἰσὶ τῆς ἰσχυρᾶς πιέσεως οἱ ὅροι. τῆς δ' ἀμυδροῦς ἐφεξῆς ὅροι, μήτε ἀμφὶ τοῖς πταρμοῖς τε καὶ βηξὶν, ὡς εἰ καὶ οὕτως εἴπῃ, μήτε ἐν τοῖς πταρμοῖσι καὶ

ΤΕΛΟΣ. FINIS.

ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΟ ΠΕΡΙ ΤΩΝ ΕΝ ΚΕΦΑΛΗ ΤΡΩΜΑΤΩΝ
ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS
DE CAPITIS VULNERIBUS
LIBER.

Η ΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Ἡ τῶν τρωθέντων τῆς κεφαλῆς ὀστέων φύσις, καὶ τρώματα, κατάγματα, ἐσφλάσεις, ῥωγμαί, θλάσεις, διακοπαί, τὰ ἕλκη, καὶ τὰ τούτοις ἐπιγινόμενα συμπτώματα, ἡ τῶν βελέων ποικιλία, ἡ τοῦ τρυπάνου, καὶ πρίονος χρῆσις.

ARGUMENTUM LIBRI.

Vulneratorum capitis oſsium natura, vulnera, fractura, effractura, fiſſura, contuſiones, præciſiones, ulcera, & his ſupervenientia ſymptomata, telorum varietas, terebræ & ſerræ uſus.

CAPUT I.

Diſsimiles eſſe humanorum capitum tum figuras, tum ſuturarum poſituras. Illas quadruplices hic conſtitui: duas ſecundùm naturam cum proiectura; & duas præter naturam abſque prominentia. Has quatuor etiam ſuturarum poſituras eſſe his literis figuratas T, H, X.

HOMINUM capita neque inter ſe ſimiliter habent, neque ſuturæ capitis in omnibus eodem loco ſitæ ſunt. Verùm cuicunque parte anteriore caput prominet, quod fit cùm oſſis pars rotunda plus reliquo eminet, huic ſuturæ in capite ad literæ T ſimilitudinem à natura ſunt accommodatæ. Breviorem nanque lineam tranſverſam ad oſſis prominentiam à natura productam habet, alteram verò

A

ΚΕΦΑΛΑΙΟΝ α΄.

Τὰ ἀνόμοια τῶν κεφαλῶν ἀνθρωπίνων σχήματά τε, καὶ τὰς τούτων ῥαφῶν καταθέσεις ἀνομοίας. Τὰ μὲν ἐνταῦθα τέτταρα συνίστασθαι· δύο μὲν κατὰ φύσιν τὰ μετὰ τῆς προβολῆς γινόμενα, δύο δὲ καὶ παρὰ φύσιν χωρὶς τῆς προβολῆς· τὰς δὲ καὶ τέσσαρας εἶναι τῶν ῥαφῶν καταθέσεις τούτοις γράμμασι σχηματιζομένας, Τ, Η, Χ.

ΤΩΝ ἀνθρώπων αἱ κεφαλαὶ οὐδὲν ὁμοίως σφίσιν αὐταῖς, οὐδὲ αἱ ῥαφαὶ τῆς κεφαλῆς πάντων κατὰ ταὐτὰ πεφύκασιν. ἀλλ' ὅστις μὲν ἔχει ἐν τῷ ἔμπροσθεν τῆς κεφαλῆς προβολήν· ἡ δὲ προβολή ἐστι, τὸ τοῦ ὀστέου ἐξέχον στρογγύλον παρὰ τὸ ἄλλο, τούτου εἰσὶν αἱ ῥαφαὶ πεφυκυῖαι ἐν τῇ κεφαλῇ, ὡς γράμμα τὸ ταῦ, Τ γράφεται. τὴν μὲν γὰρ βραχυτέρην γραμμὴν ἔχει πρὸ τῆς προβολῆς ἐπικαρσίην πεφυκυῖαν· τὴν

μα τὸ ἦτα Η γράφεται. πεφύκασι δὲ τῶν γραμμέων, αἱ μὲν μακραὶ, πρὸς τὴν προβολὴν ἑκατέρης ἐπικάρσιαι πεφυκυῖαι· B ἡ δὲ βραχείη, διὰ μέσης τῆς κεφαλῆς κατὰ μῆκος πρὸς ἑκατέρην τελευτῶσα τῶν μακρέων γραμμέων. ὅτεῳ δὲ μηδ' ἑτέρωθι μηδεμίαν προβολὴν ἔχει, οὗτος ἔχει τὰς ῥαφὰς τῆς κεφαλῆς, ὡς γράμμα τὸ χῖ, Χ γράφεται. πεφύκασι δὲ αἱ γραμμαὶ, ἡ μὲν ἑτέρη, ἐπικαρσίη πρὸς τὸν κρόταφον ἀφικνεῦσα· ἡ δὲ ἑτέρη, κατὰ μῆκος διὰ μέσης τῆς κεφαλῆς.

poſteriore os prominet, huic futuræ ad literæ H ſimilitudinem à natura ſunt accommodatæ. Lineæ verò longiores ad utranque prominentiam tranſverſæ à natura productæ ſunt; brevis autem per mediam capitis longitudinem in longam utramque lineam deſinit. At cui neutrâ parte caput prominet, hic ſuturas literæ X ſimiles habet. Lineæ verò ita à natura productæ ſunt, ut altera quidem tranſverſa ad tempora perveniat, altera per medium caput in longitudinem feratur.

ΚΕΦΑΛΑΙΟΝ β'.

C

Περὶ τῆς τῶν ἀνομοίων τῆς κεφαλῆς ὀστέων φύσιός τε καὶ συνθέσιος, καὶ χρήσιος.

Διπλόον δ' ἐστὶ τὸ ὀστέον κατὰ μέσην τὴν κεφαλήν· σκληρότατον δὲ καὶ πυκνότατον αὐτοῦ πέφυκε τὸ ἀνώτατον, ἡ ὁμοχροίη τοῦ ὀστέου ὑπὸ τῇ σαρκί· καὶ τὸ κατώτατον τὸ πρὸς τῇ μήνιγγι, ἡ ὁμοχροίη τοῦ ὀστέου ἡ κάτω. ἀποχωρέον δὲ ἀπὸ τοῦ ἀνωτάτου ὀστέου, καὶ τοῦ κατωτάτου, ἀπὸ τῶν σκληροτάτων, καὶ πυκνοτάτων ἐπὶ τὸ μαλθακώτερον, καὶ ἧσσον πυκνὸν, καὶ ἐπὶ κοιλότερον ἐς τὴν διπλόην. D ἡ δὲ διπλόη κοιλότατον, καὶ μαλθακώτατον, καὶ μάλιστα σηραγγῶδές ἐστιν. ἔστι δὲ καὶ πᾶν τὸ ὀστέον τῆς κεφαλῆς, πλὴν κάρτα ὀλίγου τοῦ τε ἀνωτάτου καὶ κατωτάτου, σπόγγῳ ὅμοιον. καὶ ἔχει τὸ ὀστέον ἐν ἑωυτῷ ὅμοια σαρκία πολλὰ καὶ ὑγρὰ, καὶ εἴ τις αὐτὰ διατρίβοι τοῖσι δακτύλοισιν, αἷμα ἂν διαγίνοιτο ἐξ αὐτῶν. ἔνι δὲ ἐν τῷ ὀστέῳ καὶ φλέβια λεπτότερα καὶ κοιλότερα, αἵματος πλέα. σκληρότητι μὲν οὖν καὶ μαλθακότητι, καὶ κοιλότητι, ὧδε ἔχει· παχύτητι δὲ καὶ λεπτότητι, οὕτως. E

CAPUT II.

De diſſimilium capitis oſſium natura, compoſitione, & uſu.

AD medium autem caput duplex os eſt, idque tum ſumma ſui parte & æquabilitate, quâ carne tegitur, tum infima quâ membranam contegit, & inferior eſt oſſis æquabilitas, duriſſimum & denſiſſimum eſt à naturâ conſtitutum. Quodque recedit à ſupremo & infimo oſſe, à duriſſimis & denſiſſimis, ad molle & minùs denſum quodque magis cavum eſt accedit, ad interiora uſque quibus inter ſe connectuntur. Eaque maximè cava & molliſſima, plurimumque pervia ſunt. At totum capitis os, ſi ſupremam atque infimam partem admodum exiguam demas, ſpongiæ ſimile, multaſque carnes humidas ſimiles in ſe habet, quas ſi quis digitis conterat, ex ipſis ſanguis prodeat. Inſunt quoque in oſſe venulæ tenues, & cavæ ſanguinis plenæ. Quod quidem ad duritiem mollitudinemque ac cavitatem ſpectat, ſic ſe res habet; quod verò ad craſſitudinem & tenuitatem, hoc modo.

ΚΕΦΑΛΑΙΟΝ γ'.

Τὰ τοῦ μὲν βρέγματος ὀστέα πρῶτον, εἶτα δὲ τῶν κροτάφων, λεπτότατα καὶ ἀσθενέστατα εἶναι· καὶ σάρκα ὀλιγίστην καὶ λεπτοτάτην ἔχειν, οἷς ὁ ἐγκέφαλος πλεῖστος ὕπεστι. Διὸ καὶ ταῦτα τοῖς τρώμασιν ἐλάττοσι, καὶ θανασιμωτέροις, καὶ χαλεπωτέροις ἰατρεύεσθαι, καὶ ὑποχειριώτερα.

F

Συμπάσης τῆς κεφαλῆς τὸ ὀστέον λεπτότατόν ἐστι καὶ ἀσθενέστατον, τὸ κατὰ βρέγμα, καὶ σάρκα ὀλιγίστην καὶ λεπτοτάτην ἔχει ἐφ' ἑωυτῷ ταύτῃ τῆς κεφαλῆς, τὸ ὀστέον· καὶ ὁ ἐγκέφαλος κατὰ τοῦτο τῆς κεφαλῆς, πλεῖστος ὕπεστι. καὶ διότι οὕτω ταῦτα ἔχει, τῶν τε τρωσίων, καὶ τῶν βελέων, ἴσων τε ἐόντων κατὰ μέγεθος, καὶ ἐλασσόνων, καὶ ὁμοίως τι τρωθεὶς, καὶ ἧσσον, τὸ ὀστέον, ταύτῃ τῆς κεφαλῆς φλᾶταί τε μᾶλλον, καὶ ῥήγνυται, καὶ ἔσω ἐσφλᾶται, καὶ θανασιμώτερά ἐστι καὶ χαλεπώτερα ἰητρεύεσθαί τε, καὶ ἐκφυγεῖν τὸν θάνατον ταύτῃ ἤ-

CAPUT III.

Sincipitis oſſa primùm, deinde temporum, tenuiſſima & imbecillima eſſe, tenuiſſimâ & pauciſſimâ carne contecta, quibus cerebrum ſubeſt plurimùm; ideóque vulneribus deterioribus & lethalibus magis & curatu difficilioribus magis obnoxium.

TOtius capitis os id tenuiſſimum & maximè imbecillum quod ad ſinciput eſt, idque quamminimam & tenuiſſimam carnem hac capitis parte in ſe habet, cerebrumque plurimum eo loco ſubeſt. Cúmque hæc ita ſe habeant, ubi tela ictuſque æquales fuerint magnitudine vel minores; tum etiam æqualiter vulneratus aut levius, os hac capitis parte magis colliditur, frangitur, & medium deſidit, ſub eoque caſu magis moriuntur ægri, ægriuſque curantur & mortem evitant, quam

alioqui vulnus lethale ſit, intra brevius tempus ex vulnere moritur, qui hâc capitis parte quàm qui aliâ vulneratus eſt. Cerebrum nanque ad ſinciput celerrimè & maximè ſentit offenſas quę in carne & oſſe fiunt, cùm hoc loco tenuiſſimo oſſe & exiguâ carne tegatur, magnaque ex parte ſub ſincipite ſitum ſit. Ex reliquis oſſibus, quod eſt ad tempora, maximè eſt imbecillum. Committitur enim inferna maxilla cum calvaria, moveturque in temporibus ſurſum & deorſum articuli in modum, auditioque etiam huic eſt vicina, venàque cava, & valida per tempora fertur.

καὶ ἄλλως μέλλῃ ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ἐν ἐλάσσονι χρόνῳ ὁ ταύτῃ ἔχων τὸ τρῶμα τῆς κεφαλῆς, ἢ ἄλλοθι. ὁ γὰρ ἐγκέφαλος τάχιστά τε καὶ μάλιστα κατὰ βρέγμα, αἰσθάνεται τῶν κακῶν τῶν γινομένων ἔν τε τῇ σαρκὶ καὶ τῷ ὀστέῳ, ἀπὸ λεπτοτάτου γὰρ ὀστέου ἐστὶ ταύτῃ ὁ ἐγκέφαλος καὶ ὀλίγῃ σαρκὶ, καὶ ὁ πλεῖστος ἐγκέφαλος ὑπὸ τῷ βρέγματι κεῖται. τῶν δὲ ἄλλων τῶν κατὰ τοὺς κροτάφους ἀσθενέστατόν ἐστι. συμβολή τε γάρ ἐστι τῆς κάτω γνάθου πρὸς τὸ κρανίον, καὶ κίνησίς ἐστιν ἐν τῷ κροτάφῳ ἄνω καὶ κάτω ὥσπερ ἄρθρου. καὶ ἡ ἀκοὴ πλησίον γίνεται αὐτέου, καὶ φλὲψ διὰ τοῦ κροτάφου τέταται κοίλη τε καὶ ἰσχυρή.

CAPUT IV.

Os capitis poſterius, anteriore robuſtius, & copioſiore carne tectum eſſe. Poſticâ parte vulneratum, minùs lædi, frangi, collidi: periturum, hyeme quàm æſtate diutius vivere.

C

AT ex univerſi capitis oſſe, id quod ſecundum verticem eſt & poſt aures, validius eſt quam id totum quod parte anteriore continetur, carnemque copioſiorem & altiorem in ſe habet. Saneque ſub hoc caſu, ubi ex læſionibus & telis omnibus æqualibus & ſimilibus, majoribuſque ac minoribus, ſimiliter aut graviùs quis fuerit vulneratus, hâc capitis parte os minùs frangitur & colliditur. Ac ſi alioqui ex vulnere homo periturus ſit, diutiùs vitam trahet qui poſteriore capitis parte vulnus accepit. Longiore nanque intervallo os ob craſſitudinem pus colligit, ipſumque infra ad cerebrum transfundit. Minor quoque cerebri portio hâc parte capitis ſubeſt: feréque plures ſervantur ex iis qui parte capitis poſteriore, quàm qui anteriore vulnus acceperunt. Ex vulnere etiam capitis quacunque parte acceptum ſit, ubi alioqui ex vulnere quis fuerit periturus, hyeme quàm æſtate diutiùs vivit.

ΚΕΦΑΛΑΙΟΝ θʹ.

Τὸ ὄπισθεν τῆς κεφαλῆς ὀστέον τοῦ ἔμπροσθεν ἰσχυρότερον εἶναι, καὶ σάρκα πλείονα καὶ βαθυτέραν ἔχειν. Τὸν τῇ ὄπισθεν κεφαλῇ τιτρωσκόμενον ἧσσον βλάπτεσθαι, καὶ ῥήγνυσθαι, καὶ φλᾶσθαι. τὸν μέλλοντα ἀποθνήσκειν ἐν χειμῶνι ἢ ἐν θέρει πλείονα χρόνον ζῆν.

D

ἸΣχυρότερον δ' ἐστὶ τῆς κεφαλῆς τὸ ὀστέον πάντης, τὸ ὀστέον τῆς κορυφῆς καὶ τῶν ὤτων, ἢ πᾶν τὸ ἔμπροσθεν, καὶ σάρκα πλείονα, καὶ βαθυτέρην ἐφ' ἑωυτῷ ἔχει τοῦτο τὸ ὀστέον. καὶ δὴ τούτων οὕτως ἐχόντων, ὑπό τε τῶν τρώσιων καὶ τῶν βελέων ἴσων ἁπάντων καὶ ὁμοίων, καὶ μειζόνων, καὶ μειόνων, ὁμοίως τιτρωσκόμενος, καὶ μᾶλλον ταύτῃ τῆς κεφαλῆς τὸ ὀστέον ἧσσον ῥήγνυται, καὶ φλᾶται. καὶ ἢν μέλλῃ ἄνθρωπος ἀποθνήσκειν, καὶ ἄλλως ἐκ τοῦ τρώματος, ἐν τῷ ὄπισθεν τῆς κεφαλῆς ἔχων τὸ τρῶμα, ἐν πλείονι χρόνῳ ἀποθανεῖται. ἐν πλείονι γὰρ χρόνῳ τὸ ὀστέον ἐμπυΐσκεταί τε καὶ διαπυΐσκεσθαι κάτω ἐπὶ τὸν ἐγκέφαλον, διὰ τὴν παχύτητα τοῦ ὀστέου. καὶ ἐλάσσων ταύτης τῆς κεφαλῆς ὁ ἐγκέφαλος ὕπεστι. καὶ πλείονες ἐκφυγγάνουσι τὸν θάνατον τῶν ὄπισθεν τιτρωσκομένων τῆς κεφαλῆς ὡς ἐπιτοπολὺ, ἢ τῶν ἔμπροσθεν. καὶ ἐν χειμῶνι πλείονα χρόνον ζῇ ἄνθρωπος, ἢ ἐν θέρει, εἴ τις καὶ ἄλλως μέλλει ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος ὁποιονοῦν τῆς κεφαλῆς ἔχων τὸ τρῶμα.

E

CAPUT V.

Telorum acutorum & levium ſedes periculoſas, in anteriori parte capitis mortem maturiùs, in poſteriore ſeriùs adferre. Tela ſuturæ infirmæ impacta periculoſa eſſe.

UBi verò à telo acuto & levi impreſſum in oſſe veſtigium fuerit, idque ſolùm ita ut neque findatur, neque collidatur, aut medium deſidat, quod æque in anteriore capitis parte ac poſteriore accidere poteſt, ex his mors etſi conſequitur, non æquo tamen jure contingit. At ubi nudato oſſe ſutura in vulnere conſpicitur, quacunque corporis parte vulnus extiterit, minimè omnium vulneri ac telo reſiſtit, ſi fortè telum in ipſam ſuturam incubuerit: tumque vel maximè, ſi telum ſincipiti, juxta debiliſſimam capitis partem, exceptum fuerit, ſuturæque in ulcus incurrant, & telum ipſas ſuturas attigerit.

ΚΕΦΑΛΑΙΟΝ ιʹ.

Τὰς ἕδρας τῶν βελέων τῶν ὀξέων καὶ κουφοτέρων ἐπικινδύνους εἶναι, καὶ ἐν τῷ ἔμπροσθεν τῆς κεφαλῆς ταχύτερον, ἐν τῷ δὲ ὄπισθεν βράδιον, τὸν θάνατον εἰσφέρειν. Τὰ βέλεα εἰς τὴν ῥαφὴν ἀσθενεστάτην ἐπελθόντα ἐπικίνδυνα.

F

ΑἹ δὲ ἕδραι τῶν βελέων, τῶν ὀξέων, καὶ κουφοτέρων, αὐταὶ ἐπὶ σφῶν αὐτῶν γενόμεναι ἐν τῷ ὀστέῳ, ἄνευ ῥωγμῆς τε, καὶ φλάσιος, ἢ ἔσω ἐσφλάσιος. αὗται δὲ γίνονται ὁμοίως ἔν τε τῷ ἔμπροσθεν τῆς κεφαλῆς, καὶ ἐν τῷ ὄπισθεν, ἐκ τούτων θάνατος οὐ γὰρ κατὰ δίκην, ἢν τι γίνηται. ῥαφὴ δὲ ἐν ἕλκει φανεῖσα ὀστέου ψιλωθέντος, πανταχοῦ τῆς κεφαλῆς τοῦ ἕλκεος γινομένου, ἀσθενέστατον γίνεται τῇ τρώσει, καὶ τῷ βέλει αἴτιον, εἰ τύχῃ τὸ βέλος ἐς αὐτὴν τὴν ῥαφὴν ἐπελθεῖν. πάντων δὲ μάλιστα, ἢν τὸ βέλος ἐν τῷ βρέγματι γινόμενον, κατὰ τὸ ἀσθενέστατον τῆς κεφαλῆς, καὶ αἱ ῥαφαὶ οἱ τύχωσιν ἐοῦσαι περὶ τὸ ἕλκος, καὶ τὸ βέλος αὐτέων τύχῃ τῶν ῥαφέων.

Ἰδέαι δὲ τρόπων ἑκάστου πλέονες ἰδίαι γίνονται τοῦ κατάγματος ἐν τῇ τρώσει. ὀστέον ῥήγνυται περιωσκόμενον, καὶ τῷ προσείχοντι ὀστέῳ τοῦ ῥωγμοῦ, ἀνάγκη φλάσιν προσγενέσθαι, ἤν περ ῥαγῇ. τὸ γὰρ βέλος ὅ, τι περ ῥήγνυσι τὸ ὀστέον, τὸ αὐτὸ τοῦτο καὶ φλᾷ τὸ ὀστέον ἢ μᾶλλον, ἢ ἧσσον. αὐτό τε ἐν ᾧ περ καὶ ῥήγνυσι τὴν ῥωγμήν. εἷς οὗτος τρόπος. ἰδέαι δὲ ῥωγμέων παντοῖαι γίνονται. αἱ γὰρ λεπτότεραί τε καὶ λεπταὶ πάνυ ὀστέου καταφανέες γίνονται. ἔστι δ' αἵτινες ῥωγμέων, οὔτε αὐτίκα μετὰ τὴν τρῶσιν, οὔτ' ἐν τῇσιν ἡμέρῃσιν ἐν ᾗσιν ἂν καὶ πόνων ὄφελος γένοιτο τοῦ θανάτου τῷ ἀνθρώπῳ. αἱ δ' αὖ παχύτεραί τε καὶ εὐρύτεραι γίνονται τῶν ῥωγμέων. ἔνιαι δὲ καὶ πάνυ εὐρέαι· καὶ αἱ μὲν ἐπὶ μακρότερον ῥήγνυνται· αἱ δὲ ἐπὶ βραχύτερον· καὶ αἱ μὲν ἰθύτεραι· αἱ δὲ, ἰθεῖαί τε καὶ πάνυ· αἱ δὲ καμπυλώτεραί τε, καὶ καμπύλαι, καὶ βαθύτεραι· αἱ δὲ, εἰς τὸ κάτω, καὶ διὰ παντὸς τοῦ ὀστέου. B C

V ſub quoque genere plures ſunt in vulnere fracturæ formæ. Os ſub vulnere finditur, oſſique rimam habenti, ſiquidem fiſſum fuerit, colliſionem accedere neceſſe eſt: quodcunque enim telum os findit, idem os plus minuſve collidit, idque ubi rimam facit. Hocque genus unum eſt. Rimarum autem variæ ſunt formæ. Nam & tenuiores ſunt, & tenuiſſimæ, ità ut neque quædam conſpicuæ ſint, neque protinus à vulnere, neque quibus diebus dolores augeri & mortem homini adferre aſſolent. Rurſus nonnullæ craſſiores & latiores exiſtunt, quædam etiam latiſſimæ, & aliæ quidem longiùs protenduntur, aliæ breviùs. quædam etiam in rectum tendunt, quædam rectiſſimæ, nonnullæ quoque magis & minùs curvantur, quædam per ſumma ducuntur, quædam altiùs penetrant, aliæ autem per totum os ad imum uſque tendunt.

ΚΕΦΑΛΑΙΟΝ ζ.

Τὸν δεύτερον τοῦ τῆς κεφαλῆς τρόπον θλάσιν τίθεσθαι, καὶ πολλὰς εἶναι τῆς θλάσεως διαφοράς. D

Φλασθείη δ' ἂν τὸ ὀστέον ἐν τῇ ἑωυτοῦ φύσει, καὶ ῥωγμὴ τῇ φλάσει οὐκ ἂν προσγένοιτο τῷ ὀστέῳ οὐδεμία· δεύτερος οὗτος. ἰδέαι δὲ τῆς φλάσιος πλείους γίνονται. καὶ γὰρ μᾶλλόν τι, καὶ ἧσσον φλᾶται, καὶ ἐς βαθύτερόν τι καὶ διὰ παντὸς τοῦ ὀστέου, καὶ ἧσσον ἐς βάθος, καὶ διὰ παντὸς τοῦ ὀστέου· καὶ ἐπὶ πλέον τι καὶ ἔλασσον, μήκεός τε καὶ πλάτεος. ἀλλὰ τουτέων τῶν ἰδεῶν, οὐδεμία ἐστὶν ἰδόντα τοῖσιν ὀφθαλμοῖσι γνῶναι, ὁποίη τίς ἐστι τὴν ἰδέην, καὶ ὁπόση τὸ μέγεθος. οὐδὲ γὰρ εἰ πέφλασται, ἰόντων πεφλασμένων καὶ τοῦ κακοῦ γεγενημένου, τοῖσιν ὀφθαλμοῖσι καταφανὲς ἰδεῖν αὐτίκα μετὰ τὴν τρῶσιν, ὥσπερ οὐδὲ τῶν ῥωγμέων ἔνιαι, ἑκὰς ἐοῦσαι καὶ ἐρρωγότος τοῦ ὀστέου. E

CAPUT VII.

Secundam fracturæ capitis ſpeciem, contuſionem ſtatui: & multas eſſe contuſionis differentias.

Contundi autem os poteſt, oſſe naturaliter ſe habente, ut & rima nulla ad oſſis contuſionem accedat. Atque hic alter modus eſt: At contuſionis plures ſunt formæ. Nam plus aut minùs, & altiùs per totum os contuſio pervadit, aut minùs altè, neque per totum os & ampliorem aut minorem, tum longitudinem tum latitudinem occupat. Sed nulla earum qualinam ſpecie, aut quantâ magnitudine exiſtat, oculis dijudicari poteſt. Neque enim ubi quid contuſum eſt, & malum acceſſit, ſtatim ſub ipſo vulnere contuſio oculis eſt conſpicua, ut neque rimæ quædam, quæ procul à fiſſo oſſe longiùs excurrunt.

ΚΕΦΑΛΑΙΟΝ η.

Τρίτος τοῦ κατάγματος τρόπος ἡ ἔσφλασις λελεγμένη, ᾗ ῥωγμὴ προσγίνεται, καὶ ἡ θλάσις.

Ἐσφλᾶται δὲ τὸ ὀστέον ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ ἔσω σὺν ῥωγμῇσιν, ἄλλως γὰρ οὐκ ἂν ἐσφλασθείη. τὸ γὰρ ἐσφλώμενον, ἀπορρηγνύμενόν τε καὶ καταγνύμενον, ἐσφλᾶται ἔσω ἀπὸ τοῦ ἄλλου ὀστέου μένοντος ἐν τῇ φύσει τῇ ἑωυτοῦ. καὶ δὴ οὕτω ῥωγμὴ ἂν προσείη τῇ ἐσφλάσει. τρίτος οὗτος τρόπος. ἐσφλᾶται δὲ τὸ ὀστέον πολλὰς ἰδέας. καὶ γὰρ ἐπὶ πλέον τοῦ ὀστέου καὶ ἔλασσον, καὶ μᾶλλόν τι, καὶ ἐς βαθύτερον κάτω, καὶ ἧσσόν τι, καὶ ἐπιπολαιότερον. F

CAPUT VIII.

Tertia fracturæ ſpecies effractura dicta cui fiſſura adjungitur & contuſio.

Os medium deſidit ubi à natura ſua intro recedit, unà cum rimis, alioqui medium non deſideret. Quod enim medium deſidit, ab alio oſſe naturaliter ſe habente abruptum fractumque introcedit; itaque ſanè huic caſui rimam accedere neceſſe eſt. Atque hic tertius eſt modus. Multis autem modis os medium deſidit. Namque hoc majorem & minorem oſſis partem occupat, aut magis & altiùs ad imum penetrat, aut minùs, & in ſuperficie extat.

fiſſuram, ſic fiſſuræ contuſionem accedere neceſſe eſt. Sedis definitio, ac plures ejus differentiæ. Præciſionem in oſſe, ſedem eſſe.

ὥσπερ μὲν τῇ ἕδρῃ ῥωγμὴν, οὕτω καὶ τῇ ῥωγμῇ τὴν φλάσιν προσγίνεσθαι ἀναγκαῖόν ἐστιν. ὁ τῆς ἕδρας ὅρος, καὶ πλείονες ταύτης ἰδέαι· τὴν διακοπὴν ἐν τῷ ὀστέῳ τῆς ἕδρας εἶναι.

AC ubi telum in oſſe veſtigium reliquit, utique rima adjici poterit & ad rimam colliſum aut magis aut minus accedere neceſſe eſt cum qua etiam parte rima acceſſit eadem, teli veſtigium appareat & rima ſit in oſſe qua teli veſtigium & colliſum continetur. Quartus hic modus eſt cum teli veſtigium in oſſe remanet. Teli autem ſedes dicitur, cum os ſuo ſtatu permanens manifeſtum fecerit qua inſederit. In unoquoque vero genere plures ſunt formæ. Quodque ad colliſum & rimam attinet, ſive hæc utraque ad teli veſtigium accedant, ſive colliſum duntaxat fiat, varias eſſe tum colliſi tum fiſſi ſpecies jam dictum eſt. At ipſum teli veſtigium per ſe fit longius & brevius, magis curvum, aut rectum aut rotundum ſuntque pro teli figura multæ aliæ hujuſcemodi ſpecies. Nam & ipſum altè magis aut minus deſcendit, anguſtiuſque eſtaut latius aut ampliſſimum, ſi præciſio adjuncta ſit. Præciſio autem quantamcunque longitudinem & latitudinem oſſis occupet, ad teli veſtigium refertur, dummodo alia oſſa quæ præciſionem continent, in ſtatu maneant, neque una cum præciſione à ſuo ſtatu recedant & media deſidant. Sic enim os medium deſideret neque amplius teli veſtigium eſſet.

ΚΑὶ ἕδρης γινομένης ἐν τῷ ὀστέῳ βέλεος, προσγένοιτο ἂν ῥωγμὴ τῇ ἕδρῃ, τῇ τε ῥωγμῇ, καὶ φλάσιν
B προσγίνεσθαι ἀναγκαῖόν ἐστι, ἢ μᾶλλον, ἢ ἧσσον, ἢ ἤπερ καὶ ῥωγμὴ προσγένηται ἐν τῷ περ καὶ ἕδρη ἐγένετο. καὶ ἡ ῥωγμὴ ἐν τῷ ὀστέῳ τῷ περιέχοντι τήν θ' ἕδρην, καὶ τὴν φλάσιν. τέταρτος οὗτος τρόπος. καὶ ἕδρη δὲ τοῦ βέλεος γίνεται ἐν τῷ ὀστέῳ. ἕδρη δὲ καλέεται, ὅταν μένον τὸ ὀστέον ἐν τῇ ἑωυτοῦ φύσει, τὸ βέλος στηρίξαν ἐς τὸ ὀστέον, δῆλον ποιήσῃ ὅπῃ ἐστήριξεν. ἐν δὲ τῷ τρόπῳ ἑκάστῳ πλέονες ἰδέαι γίνονται. καὶ περὶ μὲν φλάσιος καὶ ῥωγμῆς, ἢν ἄμφω ταῦτα προσγίνωνται τῇ ἕδρῃ, καὶ ἢν φλάσις μούνη γίνηται, εἴρηται, ὅτι πολλαὶ ἰδέαι
C γίνονται καὶ τῆς φλάσιος καὶ τῆς ῥωγμῆς. ἡ δὲ ἕδρη αὐτὴ ἐφ' ἑωυτῆς γίνεται μακροτέρη καὶ βραχυτέρη ἐοῦσα, καὶ καμπυλωτέρη, καὶ ἰθυτέρη, καὶ κυκλοτερής. καὶ πολλαὶ ἄλλαι ἰδέαι τοῦ τοιούτου τρόπου, ὁποῖον ἄν τι καὶ σχῆμα τοῦ βέλεος ᾖ. καὶ δὴ αὐταὶ καὶ βαθύτεραί τε κάτω καὶ μᾶλλον καὶ ἧσσον, καὶ στενότεραι, καὶ εὐρύτεραι, καὶ πάνυ εὐρέαι, ἢ διακεκόφαται. διακοπὴ δὴ ὁπόση τις οὖν γινομένη μήκεός τε καὶ εὐρύτητος, ἐν τῷ ὀστέῳ ἕδρη ἐστίν. ἢν τ' ἄλλ' ὀστέα, τὰ περιέχοντα τὴν διακοπὴν μένῃ ἐν τῇ φύσει τῇ ἑωυτῶν, καὶ μὴ συνεσφλᾶται τῇ διακοπῇ ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτῶν. οὕτω δὴ ἔσφλασις ἂν εἴη καὶ
D οὐκ ἔτι ἕδρη.

CAPUT X.

Quinta fracturæ ſpecies ἀπήχημα, in qua pars cranii non icta parti ictæ oppoſita, fracta eſt; hæc certè periculoſiſſima, quòd curari nequeat.

OS ſub vulnere frangitur alia capitis parte quam qua ulcus eſt, & os nudatum eſt. Quintus hic modus eſt; Huicque calamitati nullis remediis ſubvenias. Neque enim ubi iſtud contingit quanam ratione iſtud homo patiatur, aut quanam capitis parte, ex ejus percunctatione deprehendas.

ΚΕΦΑΛΑΙΟΝ ι'.

Ὁ πέμπτος τοῦ κατάγματος τρόπος, τὸ ἀπήχημα, ἐν ᾧ τὸ τῆς κεφαλῆς μέρος μὴ πληγὲν, τῷ μέρει βεβλημένῳ ἀντικείμενον, κεκλασμένον ἐστί· τοῦτο μὲν ἐπικινδυνώτατον ἔτι ἀνίατον.

ΟΣτέον τιτρώσκεται ἄλλῃ τῆς κεφαλῆς, ἢ τὸ ἕλκος
E ἔχει ὁ ἄνθρωπος, καὶ τὸ ὀστέον ἐψιλώθη τῆς σαρκός. πέμπτος οὗτος τρόπος. καὶ ταύτην τὴν ξυμφορὴν ὅταν γένηται, οὐκ ἂν ἔχοις ὠφελῆσαι οὐδέν. οὐδὲ γὰρ εἰ πέπονθε τὸ κακὸν τοῦτο, οὐκ ἔστιν ὅπως χρὴ αὐτὸν ἐξελέγξαντα εἰδέναι εἰ πέπονθεν τὸ κακὸν τοῦτο ὁ ἄνθρωπος, οὐδὲ ὅπῃ τῆς κεφαλῆς.

CAPUT XI.

Perſpectis fracturarum modis ac differentiis ad ſectionem per terebram accedendum. Quæ fracturæ ſectione indigent, quæ non.

EX his fracturæ modis ad ſectionem veniendum ſuadet tum oſſis colliſio quæ & oculis non patet, & aliquo modo manifeſta eſt, tum rima, ſive oculos lateat, ſive ſit conſpicua. Quin & ubi teli veſtigium in oſſe remanet, ſive ad id præterea rima & colliſio acceſſerit, ſive colliſio ſola abſque rima, tunc etiam ad ſectionem veniendum. Os autem medium ex naturali ſtatu deſidens, parum ſectione indiget,

ΚΕΦΑΛΑΙΟΝ ια'.

Τῶν περιεσκεμμένων τῆς κατάξιος τρόπων, καὶ διαφορῶν, ἐς πρίσιν ἀφήκειν χρή. Ὁποῖα τὰ κατάγματα τῆς πρίσεως προσδεῖται, ὁποῖα δὲ μή.

F
ΤΟύτων τῶν τρόπων τῆς κατήξιος, ἐς πρίσιν ἀφήκει, ἥ τε φλάσις ἢ ἀφανὴς ἰδεῖν, καὶ ἤν πως τύχῃ φανερὴ γινομένη. καὶ ῥωγμὴ ἢν ἀφανὴς ἰδεῖν, καὶ ἢν φανερὴ ᾖ. καὶ ἢν ἕδρης γινομένης τοῦ βέλεος ἐν τῷ ὀστέῳ, προσγένηται ῥωγμὴ, καὶ φλάσις τῇ ἕδρῃ. καὶ ἢν φλάσις μούνη προσγένηται ἄνευ ῥωγμῆς τῇ ἕδρῃ, καὶ αὕτη ἐς πρίσιν ἀφήκει. τὸ δὴ ἔσω ἐσφλώμενον ὀστέον ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ, ὀλίγα τῶν πολλῶν πρίσιος προσδεῖται,

Τοῖς βεβαιοτέροις σημείοις καὶ τεκμηρίοις καταμανθάνειν χρῆσθαι πότερον, ὅπῃ, πότε, πῶς, ὑπὸ βέλους, τὸ ὀστέον ῥαγῇ ἢ ἁπτόμενον τοῦ ἀνθρώπου. B

Πρῶτον καὶ χρὴ τὸν τιτρωσκόμενον σκέπτεσθαι ὅπῃ ἔχει τὸ τρῶμα τῆς κεφαλῆς, εἴτ' ἐν τοῖσιν ἀσθενεστέροισιν. καὶ τὰς τρίχας καταμανθάνειν τὰς περὶ τὸ ἕλκος, εἰ διακεκόφαται ὑπὸ τοῦ βέλεος, καὶ εἰ ἔσω εἴησαν ἐς τὸ τρῶμα, κινδυνεύειν τὸ ὀστέον ψιλὸν εἶναι τῆς σαρκός. καὶ ἢν τοῦτο ᾖ, φάναι ἔχειν τι σίνος τὸ ὀστέον ὑπὸ τοῦ βέλεος. ταῦτα μὲν οὖν χρὴ ἀπόπροσθεν σκεψάμενον λέξαι, μὴ ἁπτόμενον C τοῦ ἀνθρώπου. ἁπτόμενον δ' ἤδη πειρᾶσθαι εἰδέναι σάφα, εἰ ἔστι ψιλὸν τὸ ὀστέον τῆς σαρκός, ἢ οὔ. καὶ ἢν μὲν καταφανὲς ᾖ τοῖσιν ὀφθαλμοῖσιν τὸ ὀστέον ψιλόν. εἰ δὲ μή, τῇ μήλῃ σκέπτεσθαι. καὶ ἢν μὲν εὕρῃς ψιλὸν ἐὸν τὸ ὀστέον τῆς σαρκός, καὶ μὴ ὑγιὲς ἀπὸ τοῦ τρώματος, χρὴ τοῦ ἐν τῷ ὀστέῳ ἐόντος, τὴν διάγνωσιν πρῶτα ποιέεσθαι, ὁρῶντα ὅσον τέ ἐστι τὸ κακόν, καὶ τίνος δεῖται ἔργου· χρὴ δὲ καὶ ἐρωτᾶν τὸν τετρωμένον ὅπως ἔπαθε καὶ τίνα τρόπον. ἢν δὲ μὴ καταφανὲς ᾖ τὸ ὀστέον, εἰ ἔχει τι κακόν, ἢ μὴ ἔχει, πολλῷ ἔτι χρὴ μᾶλλον τὴν ἐρώτησιν ποιέεσθαι, ψιλοῦ τε ἐόντος τοῦ ὀστέου, D τὸ τρῶμα ὅπως ἐγένετο, καὶ ὅντινα τρόπον. τὰς γὰρ φλάσιας, καὶ τὰς ῥωγμὰς τὰς οὐ φαινομένας ἐν τῷ ὀστέῳ, ἐνεούσας δέ, ἐκ τῆς ἀποκρίσιος τοῦ τετρωμένου, πρῶτον διαγινώσκειν πειρᾶσθαι εἴ τι πέπονθε τοῦτο τὸ ὀστέον, ἢ οὐ πέπονθεν. ἔπειτα δὲ καὶ λόγῳ, καὶ ἔργῳ ἐξελέγχοντα πλὴν μηλώσιος. μήλωσις γὰρ οὐκ ἐξελέγχει εἰ πέπονθε τοῦτο τὸ κακὸν τὸ ὀστέον, καὶ εἴ τι ἔχει ἐν αὐτῷ, ἢ οὐ πέπονθεν, ἀλλ' ἕδρην τε τοῦ βέλεος ἐξελέγχει μήλωσις. καὶ ἢν ἐμφλασθῇ τὸ ὀστέον ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ. καὶ ἢν ἰσχυρῶς ῥαγῇ τὸ ὀστέον, ἅπερ καὶ τοῖσιν ὀφθαλμοῖσι καταφανέα ἐστὶν ὁρῶντα γινώσκειν. E

Certioribus ſignis ac indiciis explorandum eſſe, an, ubi, quando, quo telo, quomodo. ſit fractum, priuſquam manus homini admoveatur.

Imprimis autem ad vulneratum attendere oportet, quanam capitis parte, numne imbecilliore vulnus acceperit, & capillos circa vulnus animadvertere, qui ſi telo præciſi & in vulnus impacti ſint, os carne nudatum eſſe vero eſt ſimile. Quod ſi ſic, os à telo noxiam accepiſſe aſſerendum. Hæc quidem certe longe antequam homini manus admoveas conſideranda ac dicenda ſunt. Ubi verò jam admoveris, os carne nudatum ſit, necne, conandum ut aperte intelligas, idque ſub conſpectum veniat. Quod ſi oculis non pateat, ſpecillo conſiderandum. Ac ubi quidem os carne nudatum, neque à vulnere integrum deprehenderis, primum inſpecto malo quantum ſit, quamque operam requirat, ejus quod in oſſe ſubeſt, dignotionem facere oportet. Interrogandus quoque vulneratus, qualiter & quonam modo vulnus acceptum ſit. Sin verò minime conſpicuum eſt os nec ne vitium aliquod habuerit, multo adhuc magis interrogatione utendum, nudato etiam oſſe qualiter & quonam modo vulnus illatum ſit. Ubi enim oſſa colliſa aut fiſſa non apparent, eſſe tamen ſolent, primum ex ſauciati reſponſione enitendum ut cognoſcamus os necne aliquam noxam ſenſerit, deinde verò ratione & opere citra ſpecillum res eſt exploranda. Neque enim ſpecillo hoc oſſis vitium deprehenditur, neque ſi quam in ſe noxam ſenſerit, necne. Sed ubi teli veſtigium remanet, aut os à naturali ſtatu recedens medium deſidit, aut vehementer perfractum eſt, id ſpecillo arguitur, quod & oculis intuenti manifeſtò notum eſt.

ΚΕΦΑΛΑΙΟΝ ιγ'.

Τρία μὲν ἐνθάδε τῶν βλαβῶν γένη τίθεται ὑφ' ὧν τὸ ὀστέον ῥήγνυται, καὶ φλᾶται, καὶ ἔσω ἐσφλᾶται. Καὶ κατὰ τὰς ποικίλας τῶν βλαβῶν αἰτίας, ποικίλας τε τὰς εἶναι ῥήξεις καὶ φλάσεις, καὶ ἐσφλάσεις.

Ῥήγνυται δὲ τὸ ὀστέον, τάς τε ἀφανέας ῥωγμάς, F καὶ τὰς φανερὰς, καὶ φλᾶται τὰς ἀφανέας φλάσιας, καὶ ἐσφλᾶται ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ μάλιστα ὅταν ἕτερος, ὑφ' ἑτέρου τιτρωσκόμενος ἐπίτηδες τρῶσαι βουλόμενος, ἢ ὅταν ἐξ ὑψηλοτέρου γένηται ἡ βολή, ἤ, ἡ πληγή, ὁκοτέρη ἂν ᾖ μᾶλλον. ἤ, ἔτ' ἂν ἐξ ἰσοπέδου τοῦ χωρίου. καὶ ἢν ἐπικρατέῃ τῇ χειρὶ τὸ βέλος. ἤν τε βάλλῃ, ἤν τε τύπτῃ. καὶ ἰσχυρότερος ἐὼν ἀσθενεστέρου τιτρώσκῃ.

CAPUT XIII.

Tria hic ponuntur læſionum genera, ſub quibus os frangitur, contunditur, aut medium intro deſidit. Et pro variis læſionum cauſis, varias quoque fracturas, contuſiones, & effracturas.

Frangitur autem os rimis obſcuris & conſpicuis, & colliditur colliſionibus minime parentibus, & à naturali ſuo ſtatu recedens medium deſidit, tum præcipue cum alter alterum de induſtria ſauciare cupiens, vulnerat, aut cum ex ſuperiore loco telum emittitur, aut ictus infligitur, utrolibet modo contingat potius quam ſi ex complanato loco, & ſi quis manu telum continens vel jaciat, vel feriat, vel cum robuſtior imbecilliores vulnerat.

Ex

collidatur, aut à naturali ſuo ſtatu intro medium decidat. At qui ex complanato loco potiùs, & in mollius quiddam cadit, ei minus iſtas offenſiones eo modo os ſentiet. Ex telis autem quæ in caput illabuntur, & quæ juxta os ſunt vulnerant, quod ex maximè ſublimi & minimè complanato loco incidit, quodque duriſſimum, maximè obtuſum & grave, minimèque leve, aut minimè acutum & molle fuerit, id os rumpere & collidere poterit. Ac præcipuè ſane periculum eſt ne ea os ſentiat, ubi talia contigerint, ſicque vulnerari os contingat, ut è directo telo occurrat, ſive manu, ſive jactu vulnus inſligatur, ſive quid in ipſum illabatur, ſive corruens vulneretur, ſeu quomodolibet vulnerari os telo obviam eat. At tela quæ in obliquum diſtrahunt, ſub his os minùs rumpitur, & intro ad caput contunditur, licet os carne nudatum ſit. Quædam enim ſic illata vulnera, neque os carne detegunt.

φλασθῆναι, καὶ ἔσω ἐσφλασθῆναι ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ. τῷ δὲ ἐξ ἰσοπέδου μᾶλλον χωρίου πίπτοντι, καὶ ἐπὶ μαλθακώτερον, ἧσσον ταῦτα πάσχει τὸ ὀστέον, ἢ οὐκ ἂν πάθοι. ὅσα δὲ ἐσπίπτοντα ἐς τὴν κεφαλὴν βέλεα, τιτρώσκει περὶ τὸ ὀστέον, τὸ ἀπὸ ὑψηλοτάτου ἐμπεσὸν, καὶ ἥκιστα ἐξ ἰσοπέδου· ἢ σκληρότατόν τε, ἢ ἀμβλύτατον, καὶ βαρύτατον, καὶ
B ἥκιστα κοῦφον· ἢ ἥκιστά τε καὶ ὀξὺ καὶ μαλθακόν. τοῦτ᾽ ἂν ῥήξειε τὸ ὀστέον, ἢ φλάσειε. ἢ μάλιστά γε ταῦτα πάσχειν τὸ ὀστέον κίνδυνος, ὅταν ταῦτά τε γένηται, ἢ ἐς ἰθὺ τρωθῆναι κατ᾽ ἀντίον γενόμενον τὸ ὀστέον τοῦ βέλεος. ἤν τε πληγῇ ἐκ χειρός. ἤν τε βληθῇ. ἤν τέ τι ἐμπέσῃ αὐτέῳ, καὶ ἢν αὐτὸς καταπεσὼν τρωθῇ. ἢ ὁποσονοῦν τρωθεὶς κατ᾽ ἀντίον γένοιτο τὸ ὀστέον τῷ βέλει. τὰ δὲ πλάγιον τοῦ ὀστέου παρενεχθέντα βέλεα, ἧσσον καὶ ῥήγνυσι τὸ ὀστέον, ἢ φλᾷ ἢ ἔσω ἐς κεφαλὴν, κἂν ψιλωθῇ τὸ ὀστέον τῆς σαρκός. ἔνια γὰρ τῶν τρωμάτων τῶν οὕτω τρωθέντων οὐδὲ ψιλοῦται τὸ ὀστέον τῆς σαρκός.
C

CAPUT XIV.

Multa ac diverſa telorum genera, quibus os capitis variè vulneratur.

SUb telis ſanè quæ rotunda ſunt, orbiculata, omni ex parte plana, retuſa, gravia & dura, os maximè finditur tum rimis conſpicuis, tum obſcuris & colliditur, & à naturali ſtatu recedens medium decidit. Eadem quoque carnem contundunt, maturant & lacerant. At ſub hujuſmodi telis vulnera ad latera & in orbem aliquantulum cava purulentaque magis redduntur atque humida, longioreque tempore repurgantur. Carnes enim colliſas & laceratas in pus verſas neceſſe eſt tabeſcere. Tela verò oblonga, magna ex parte tenuia, acuta & levia, carnem magis incidunt, oſque ſimiliter, quàm collidant. Idque etiam quod incidit, teli veſtigium inducit. Præciſio enim & teli veſtigium ad idem referuntur. Ac tela hujuſmodi neque magnopere os collidunt, neque findunt, neque à naturali ſtatu recedens medium deſidere, faciunt.

ΚΕΦΑΛΑΙΟΝ ιγ'.

Πολλὰ καὶ ποικίλα τῶν βελέων γένη δι᾽ ὧν τετρωμένα τὸ τῆς κεφαλῆς ὀστέον ποικίλως τιτρώσκεται.

ΤΩν δὲ βελέων ῥήγνυσι μάλιστα τὸ ὀστέον, τάς τε φανερὰς ῥωγμὰς καὶ τὰς ἀφανέας, καὶ φλᾶται, καὶ ἐσφλᾶ ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ τὸ ὀστέον, τὰ στρογγύλα
D τε ἢ περιφερέα, ἢ ἀρτίσωμα, ἀμβλέα τε ἐόντα καὶ βαρέα, καὶ σκληρά. ἢ τὴν σάρκα ταῦτα φλᾶται, καὶ πέπειρον ποιεῖ, καὶ κόπτει. ἢ τὰ ἕλκεα γὰρ ὑπὸ τῶν τοιούτων βελέων ἐς τὸ πλάγιον. καὶ ἐν κύκλῳ ὑπόκοιλα, ἢ διάπυά τε μᾶλλον γὰρ, ἢ ὑγρά ἐστι, καὶ ἐπὶ πλέονα χρόνον καθαίρεται. ἀνάγκη γὰρ τὰς σάρκας τὰς φλασθείσας καὶ κοπείσας, πύον γενομένας ἐκτακῆναι. τὰ δὲ βέλεα καὶ προμήκεα ἐπιπολὺ λεπτὰ ἐόντα, ἢ ὀξέα, ἢ κοῦφα, τήν τε σάρκα διατάμνει μᾶλλον, ἢ φλᾷ ἢ ὀστέον ὡσαύτως· ἢ ἕδρην μὲν ἐμποιεῖ αὐτὸ ἢ διακόψαν. διακοπὴ γὰρ καὶ ἕδρη ταυτόν ἐστι. φλᾷ δὲ οὐ μάλα τὸ ὀστέον τὰ τοιαῦτα βέλεα, οὐδὲ ῥήγνυσιν, οὐδ᾽ ἐκ τῆς φύσιος
E ἔσω ἐσφλᾷ.

CAPUT XV.

Sauciati reſponſa, & ſymptomata veluti carus, tenebricoſa vertigo, & lapſus diagnoſtica ſigna ſunt.

CÆterùm præter id quod oculis tuis ſubjicitur, quicquid in oſſe tibi apparere videbitur, etiam ex ægro requirendum: (Etenim magis aut minus vulnerati hæc ſunt indicia.) Tum ſi æger alto ſopore detentus fuerit, aut tenebræ oculis offuſæ, aut ſi vertigo prehenderit, aut ipſe conciderit.

ΚΕΦΑΛΑΙΟΝ ιδ'.

Τὰ τρωθέντος ἀποκρινόμενα, ἢ συμπτώματα, οἷον ὁ κάρος, καὶ σκότος, ἢ δῖνος, ἢ πτῶσις διαγνωστικὰ σημεῖα.

ΑΛλὰ χρὴ πρὸς τῇ ὄψει τῇ ἑωυτοῦ ὅ, τι ἄν τοι φαίνηται ἐν τῷ ὀστέῳ καὶ ἐρώτησιν ποιέεσθαι πάντων
F τούτων. τοῦ γὰρ μᾶλλόν τι ἢ ἧσσον τρωθέντος, ταῦτ᾽ ἐστὶ σημεῖα. ἢ ἢν ὁ τρωθεὶς καρωθῇ, ἢ σκότος περιχυθῇ, ἢ δῖνος, ἢ ἢ πέσῃ.

...λέος, ἢ τύχῃ κατ' αὐτὰς τὰς ῥαφὰς γενόμενον τὸ ἕλκος, χαλεπὸν γὰρ καὶ τὴν ἕδρην τοῦ βέλεος φράσασθαι τὴν ἐν τῷ ἄλλῳ ὀστέῳ φανερὴν γενομένην. εἴτ' ἔνεστιν ἐν τῷ ὀστέῳ, εἴτε μὴ ἔνεστιν· ἤν τε τύχῃ γενομένη ἡ ἕδρη ἐν αὐτῇσι τῇσι ῥαφῇσι. συμβλέπει γὰρ αὐτὴ ἡ ῥαφὴ, τρηχυτέρη ἐοῦσα τοῦ ἄλλου ὀστέου· καὶ οὐ διάδηλον, ὅ τι τε αὐτῆς ῥαφή ἐστιν, καὶ ὅ τι τοῦ βέλεος ἕδρη, ἢν μὴ κάρτα μεγάλη γένηται ἡ ἕδρη. προσγίνεται δὲ καὶ ῥῆξις τῇ ἕδρῃ ὡς ἐπὶ τὸ πουλὺ αὕτη ἐν τῇσι ῥαφῇσι γινομένη, καὶ γὰρ καὶ αὐτὴ ἡ ῥῆξις χαλεπωτέρη φράσασθαι ἐρρωγότος τοῦ ὀστέου, διὰ τοῦτο, ὅτι κατ' αὐτὴν τὴν ῥαφὴν ἡ ῥῆξις γίνεται, ἢν ῥηγνύηται, ὡς ἐπὶ τὸ πολύ, ἕτοιμον γὰρ ταύτῃ ῥήγνυσθαι τὸ ὀστέον, καὶ διαχαλᾶν διὰ τὴν ἀσθενείην τῆς φύσιος τοῦ ὀστέου ταύτῃ, καὶ διὰ τὴν ἀραιότητα, καὶ διὰ τὸ τὴν ῥαφὴν ἑτοίμως ἐοῦσαν ῥήγνυσθαι, καὶ διαχαλᾶν. τὰ δ' C ἄλλα τὰ ὀστέα τὰ περιέχοντα τὴν ῥαφὴν μένει ἄρραγέα, ὅτι ἰσχυρότερά ἐστι τῆς ῥαφῆς. ἡ δὲ ῥῆξις ἡ κατὰ τὴν ῥαφὴν γινομένη καὶ διαχάλασίς ἐστι τῆς ῥαφῆς, καὶ φράσασθαι οὐκ εὐμαρής ἐστιν, οὔτε ὑπὸ ἕδρης τοῦ βέλεος γενομένης ἐν τῇ ῥαφῇ, ἐπειδὰν ῥαγῇ καὶ διαχαλάσῃ· ἀλλ' ἔστι χαλεπώτερον φράσασθαι τὴν ἀπὸ τῆς φλάσιος ῥωγμήν. συγκλέπτουσι γὰρ τὴν γνώμην καὶ τὴν ὄψιν τοῦ ἰητροῦ αὗται αἱ ῥαφαὶ ῥωγμοειδέες φαινόμεναι, καὶ τρηχύτεραι ἐοῦσαι τοῦ ἄλλου ὀστέου. ὅτι μὴ ἰσχυρῶς διεκόπη, καὶ διεχάλασεν. διακοπὴ δὲ καὶ ἕδρη τὸ αὐτό ἐστιν. ἀλλὰ χρὴ, εἰ κατὰ τὰς D ῥαφὰς τὸ τρῶμα γένοιτο, καὶ πρός γε τὸ ὀστέον ἐσηλθε τὸ βέλος, προσέχοντα τὸν νόον, ἀνευρίσκειν ὅ, τι πέπονθε τὸ ὀστέον. ἀπὸ γὰρ ἴσου βελέων τὸ μέγεθος, καὶ ὁμοίου, καὶ πολλόν τε ἐλασσόνων, καὶ ὁμοίως τρωθεὶς, καὶ πολλὸν ἧσσον, πολλῷ μεῖζον ἐκτήσατο τὸ κακὸν ἐν τῷ ὀστέῳ, ἐς τὰς ῥαφὰς δεξάμενος τὸ βέλος, ἢ ὁ μὴ ἐς τὰς ῥαφὰς δεξάμενος, καὶ τούτων τὰ πολλὰ πρίσασθαι δεῖ. ἀλλ' οὐ χρὴ αὐτὰς τὰς ῥαφὰς πρίειν, ἀλλ' ἀποχωρήσαντα ἐν τῷ πλησίον ὀστέῳ τὴν πρίσιν ποιέεσθαι, ἢν πρίῃς. E

in alio oſſe relictum necne fuerit conſpicuum eſt, ſi in ſuturis ipſis extiterit, aſſerere eſt difficile. B Fallit enim ſutura ipſa reliquo oſſe aſperior; neque conſtat ſitne illic ſutura, an teli veſtigium, niſi admodum magnum teli veſtigium relictum ſit. Accedit quoque ad teli veſtigium plerumque rima ipſa in ſuturis exiſtens, fractoque oſſe rimam aſſerere ideò difficilius eſt, quòd ubi plurimùm frangi contingit, ad ſuturam ipſam rima exiſtat. Promptè enim os hac parte, ob eam quam à natura habet imbecillitatem frangitur & elaxatur, aut quia ſutura promptè frangi ac elaxari ſolet. Reliqua verò oſſa ſuturam ambientia, quod ſuturâ ſint robuſtiora, citra C fracturam permanent. At fractura ad ſuturam exiſtens, ſuturæ etiam laxatio eſt, quam ubi fracta fuerit & relaxata, num id à teli veſtigio in ſutura exiſtente contingat, aſſerere non eſt facilè. Verùm rimam ubi ex colliſo contigerit, difficilius eſt aſſerere. Suturæ enim rimæ ſpeciem referentes, & reliquo oſſe aſperiores, Medici judicium & viſum fallunt, niſi os vehementer diſſectum ſit & eluxatum. Præciſio autem & teli ſedes eodem referuntur. Sed ubi D ſuturas vulnus attigerit, & in oſſe telum inſederit, mentem adhibere oportet, ut qua noxa os afficiatur inveniamus. Ab æqualibus enim magnitudine telis aut ſimilibus, aut longè etiam minoribus, ſimiliter ac multò levius vulneratus, longè gravius offenditur qui oſſe ad ſuturas telum excepit, quàm qui aliâ parte, ex iiſque plerumque ſectione indigent. Ad ipſas tamen ſuturas non eſt ſectio adhibenda, verùm ubi ab his receſſeris, ſi ſectionem adhibes, in oſſe proximo facienda.

ΚΕΦΑΛΑΙΟΝ ιζ'.

Περὶ τῆς τῶν τρωμάτων ἰάσιος τῶν ἐν τῇ κεφαλῇ. τὸ τῆς κεφαλῆς ἕλκος οὐ χρὴ τέγγειν οὐδενὶ τοπικῷ οὐδὲ οἴνῳ, οὐδὲ καταπλάσσειν, οὐδὲ μοτῷ τὴν ἴασιν ποιέεσθαι, οὐδὲ τῇ ἐπιδέσει πιέζειν. Διὰ τί, αἵτινα, καὶ ὅπως.

Περὶ δὲ ἰήσιος τρώσιος τῶν ἐν τῇ κεφαλῇ, καὶ ὡς χρὴ ἐξελέγχειν τὰς πάθας τὰς ἐν τῷ ὀστέῳ γινομένας τὰς μὴ F φανερὰς, ὧδέ μοι δοκεῖ. Ἕλκος ἐν τῇ κεφαλῇ, οὐ χρὴ τέγγειν οὐδενὶ, οὐδὲ οἴνῳ, ἄλλως ἥκιστα, οὐδὲ καταπλάσσειν, οὐδὲ μοτῷ τὴν ἴησιν ποιέεσθαι. οὐδὲ πιέζειν χρὴ ἕλκος ἐν κεφαλῇ, ἢν μὴ ἐν τῷ μετώπῳ ᾖ τὸ ἕλκος, ἢ ἐν τῷ ψιλῷ τῶν τριχῶν, ἢ περὶ τὴν ὀφρὺν καὶ τὸν ὀφθαλμόν. ἐνταῦθα δὲ γινόμενα τὰ ἕλκεα, καταπλάσιος, καὶ ἐπιδέσιος μᾶλλον κέχρηνται, ἢ πού ἄλλοθι τῆς

CAPUT XVII.

De curatione vulnerum capitis. Capitis ulcus nullo topico, nec etiam vino humectandum; neque cataplaſmatis, neque linamentis curandum; neque deligationibus comprimendum eſſe: cur, quæ, & quando excipiuntur.

De capitis autem vulneribus, eorumque curatione, quaque ratione latentes oſſis affectiones deprehendi debeant, ſic cenſeo. Capitis ulcus nulla re madefaciendum, ac ne vino quidem, aut quamminimùm: Neque verò cataplaſmata, neque per linamenta curationem poſtulat. At neque comprimendum capitis ulcus eſt, niſi in fronte ſit, aut in parte pilis nudata, aut circa ſupercilium & oculum. Harum enim partium ulcera cataplaſmatis & deligationis uſum magis requirunt, quàm quæ alia reliqui

… , ad inflammationem & tumorem adducantur. At neque in his quæ in fronte ſunt, toto tempore, cataplaſmate & deligatione utendum, ſed ubi inflammatio ceſſarit, & tumor conquieverit, ab his deſiſtendum. In reliquis autem capitis ulceribus, neque linamentis, neque cataplaſmate, neque deligatione utendum, niſi ſectione opus ſit.

CAPUT XVIII.

Tria partium capitis ulcera ſectionem quæ ſcalpello fit, poſtulare docet Hippocrates.

SEctionem autem poſtulant capitis & frontis ulcera, ubi os quidem carne nudatum fuerit, aut ſub telo noxam aliquam ſenſiſſe videatur. Ipſa verò ulcera ubi non ſatis idoneam habent longitudinem & latitudinem qua perſpici poſſit nunquid os ſub telo malè affectum ſit, aut qualemnam noxam ſenſerit, aut quantum quidem C carnis colliſum ſit, & quantum offenſionis os ſenſerit, contraque num os à telo inviolatum manſerit, nihilque mali ſenſerit, & quanam curatione tum ulcus, tum caro, tum oſſis offenſio opus habeat. Ejuſmodi ſane ulcera ſectionem poſtulant. Atque etiam ubi os quidem carne nudatum fuerit, ulcera autem obliquam quandam cavitatem habeant, abunde cavum incidere oportet, ubi medicamentum, quodcunque opus fuerit, non facilè pervenire poteſt. Sed & D ulcera orbiculata & admodùm cava ejuſmodi quoque incidere oportet, ut orbe in longitudinem bifariàm diviſo, prout eſt hominis natura, ulcus longum efficiatur.

CAPUT XIX.

Sectionem temporum periculoſam fieri prohibet quod hæc in dextra temporis facta, ſiniſtri temporis convulſionem adferat.

AT in capitis ſectione cæteræ quidem capitis E partes tutò ſecari poſſunt, tempus verò & quod adhuc ſupra eſt, juxta venam quæ per tempora fertur, hæc, inquam, regio ſecari non debet. Nervorum enim diſtentione prehenditur qui ſectus eſt. At ſi ſiniſtra tempora ſecta fuerint, dextra convulſio prehendit, ſin ad dextra ſectio fuerit, ſiniſtra convelluntur.

CAPUT XX.

In vulnerum capitis ſectione quatuor obſervanda F eſſe; primum, quouſque os læſum conſpici queat, plagam dilatandam; ſecundum, pericranium ab oſſe diducendum; tertium ulcus linamentis implendum; quartum, cataplaſma ſuperponendum.

UBi igitur oſſium carne nudatorum causâ ulcus in capite ſecatur, ut cognoſcas ſub telo os aliquod vitium ſenſerit necne, vulnus ea

ἕλκεα, φλεγμαίνῃ, καὶ ἐπανοιδήσκῃ δι' αἵματος ἐπιῤῥοήν. χρὴ δὲ οὐδὲ τὰ ἐν τῷ μετώπῳ διὰ παντὸς τοῦ χρόνου καταπλάσσειν καὶ ἐπιδεῖν, ἀλλ' ἐπὴν παύσηται φλεγμαίνοντα, καὶ τὸ οἴδημα καταστῇ, παύσασθαι καταπλάσσοντα καὶ ἐπιδέοντα. ἐν δὲ τῇ ἄλλῃ κεφαλῇ ἕλκος οὔτε μοτοῦν χρή, οὔτε καταπλάσσειν, οὔτ' ἐπιδεῖν, εἰ μὴ καὶ τομῆς B δέοιτο.

ΚΕΦΑΛΑΙΟΝ ιη'.

Τρία τῶν μορίων τῆς κεφαλῆς ἕλκεα τῆς τομῆς τῇ σμίλῃ γινομένης αἰτεῖν διδάσκει ὁ Ἱπποκράτης.

ΤΑμνειν δὲ χρὴ τῶν ἑλκέων τῶν ἐν τῇ κεφαλῇ γινομένων, καὶ ἐν μετώπῳ, ὅπη ἂν τὸ μὲν ὀστέον ψιλὸν ᾖ τῆς σαρκός, καὶ δοκέῃ τι σίνος ἔχειν ὑπὸ τοῦ βέλεος. τὰ δὲ ἕλκεα μὴ ἱκανὰ τὸ μέγεθος, τοῦ μήκεος, καὶ C τῆς εὐρύτητος, ἐς τὴν σκέψιν τοῦ ὀστέου, εἴ τι πέπονθεν ὑπὸ τοῦ βέλεος κακόν, καὶ ὁποῖόν τι πέπονθεν, καὶ ὅσον ἡ μὲν σὰρξ πέφλασται, καὶ τὸ ὀστέον ἔχει τὸ σίνος, καὶ δὴ αὖ τι εἰ ἀπαθές τι ἐστιν τὸ ὀστέον ὑπὸ τοῦ βέλεος, καὶ μηδὲν πέπονθε κακόν, καὶ ἐς τὴν ἴησιν, οἵης δεῖταί τινος, τό τε ἕλκος, ἥ τε σὰρξ καὶ ἡ πάθη τοῦ ὀστέου. τὰ δὴ τοιαῦτα τῶν ἑλκέων τομῆς δεῖται αὖ, καὶ μὲν ὀστέον ψιλωθῇ τῆς σαρκός, ὑπόκοιλα δὲ ᾖ ἐς πλάγιον, ἐπὶ πολὺ ἐντάμνειν τὸ κοῖλον, ὅκου μὴ εὐχερὲς τῷ φαρμάκῳ ἀφικέσθαι, D ὁποίῳ ἄν τινι χρῇ· καὶ τὰ κυκλοτερέα τῶν ἑλκέων, καὶ ὑπόκοιλα ἐπὶ πολύ, καὶ τὰ τοιαῦτα, ἐνδιατάμνων τὸν κύκλον δίχη τοῦ μήκεος, ὡς πέφυκεν ὥνθρωπος, μακρὸν ποιέειν τὸ ἕλκος.

ΚΕΦΑΛΑΙΟΝ ιθ'.

Τὴν τομὴν τῶν κροτάφων ἐπισφαλῆ γίνεσθαι κωλύει, ὅτι αὕτη ἐν τῷ κροτάφῳ δεξιῷ γινομένη τοῦ τοῦ κροτάφου ἀριστεροῦ σπασμὸν προσφέρει.

E ΤΑμνοντι δὲ κεφαλήν, τὰ μὲν ἄλλα τῆς κεφαλῆς, ἀσφαλείην ἔχει τμηθῆναι, ὁ δὲ κρόταφος, καὶ ἄνωθεν ἔτι τοῦ κροτάφου, κατὰ τὴν φλέβα, τὴν διὰ τοῦ κροτάφου φερομένην, τοῦτο δὲ τὸ χωρίον μὴ τάμνειν. σπασμὸς γὰρ ἐπιλαμβάνει τὸν τμηθέντα. καὶ ἢν μὲν ἀριστερὰ τμηθῇ κροτάφου, τὰ ἐπιδεξιὰ ὁ σπασμὸς ἐπιλαμβάνει. ἢν δὲ ἐπὶ τὰ δεξιὰ τμηθῇ κροτάφου, τὰ ἐπ' ἀριστερὰ ὁ σπασμὸς ἐπιλαμβάνει.

ΚΕΦΑΛΑΙΟΝ κ'.

F *Ἐν τῇ τῶν τρωμάτων τῆς κεφαλῆς τομῇ τέσσαρα ἐπιτηρητέα. πρῶτον μὲν ἕως ἂν ὀστέον βλαβὲν συνορᾶσθαι δύνηται τὴν πληγὴν πλατύνειν χρῆναι. δεύτερον δὲ τὸ περικράνιον ἀπὸ τοῦ ὀστέου ἀναστέλλειν. τρίτον δὲ διαμοτοῦσαι τὸ ἕλκος τῷ μοτῷ. τέταρτον κατάπλασμα ὑποτιθέναι.*

ΟΤ' ἂν δὲ τάμνῃς ἕλκος ἐν κεφαλῇ ὀστέων εἵνεκα, τῆς σαρκὸς ἐψιλωμένων, θέλων εἰδέναι εἴ τι ἔχει τὸ ὀστέον

ὄξει διαμάσσειν ἢ ἕψειν, καὶ γλίσχρον ποιέειν ὡς μάλιστα.

maximè glutinoſa reddatur.

ΚΕΦΑΛΑΙΟΝ κα'.

B

Διὰ τί, καὶ ὅπως, καὶ πότε, καὶ ποῦ, τὸ ὀστέον πεπονθὸς ἐπιξύειν χρὴ τῷ ξυστῆρι.

Τῇ δ' ὑστεραίῃ ἡμέρῃ, ἐπὴν ἐξέλῃς τὸν μοτὸν, κατιδὼν τὸ ὀστέον ὅ, τι πέπονθεν, ἐὰν μή σοι καταφανὴς ᾖ ἡ τρῶσις, ὁποίη τίς ἐστιν ἐν τῷ ὀστέῳ. μὴ δὲ διαγινώσκῃς εἴ τι ἔχει τὸ ὀστέον κακὸν ἐν ἑωυτῷ, ἢ καὶ οὐκ ἔχει, τὸ δὲ βέλος δοκέῃ ἀφῖχθαι ἐς τὸ ὀστέον καὶ σίνασθαι, ἐπιξύειν χρὴ τῷ ξυστῆρι, κατὰ βάθος καὶ κατὰ μῆκος τοῦ ἀνθρώπου ὡς πέφυκεν. καὶ αὖθις εἰς τὸ πλάγιον τὸ ὀστέον, τῶν ῥηγμάτων εἵνεκα τῶν ἀφανέων ἰδεῖν, καὶ τῆς φλάσιος εἵνεκα τῆς ἀφανέος, τῆς οὐκ ἐσφλωμένης εἴσω ἐκ τῆς φύσιος τῆς κεφαλῆς τοῦ ἄλλου ὀστέου. ἐξελέγχει γὰρ ἡ ξύσις μάλα τὸ κακὸν, ἢν μὴ καὶ ἄλλως καταφανέες ἔωσιν αὗται αἱ πάθαι ἐοῦσαι ἐν τῷ ὀστέῳ, ὑπὸ τοῦ βέλεος. καὶ ἢν ἕδρην ἴδῃς ἐν τῷ ὀστέῳ τοῦ βέλεος, ἐπιξύειν χρὴ αὐτήν τε τὴν ἕδρην τοῦ βέλεος, καὶ τὰ περιέχοντα αὐτὴν ὀστέα, μὴ πολλάκις τῇ ἕδρῃ προσγένηται ῥῆξις, καὶ φλάσις, ἢ μούνη φλάσις, ἔπειτα λανθάνῃ οὐ καταφανέα ἐόντα.

CAPUT XXI.

Cur, quomodo, quando, & ubi os affectum ſcalpro raſario radendum eſt.

POſtridie exemptis linamentis ubi os affectum conſpexeris, ſi cujuſmodi plaga in oſſe fuerit, non ſit tibi conſpicua, neque dijudices os mali aliquid in ſe receperit, necne, telum autem ad os perveniſſe, ipſumque offendiſſe videatur, id ſcalpro raſorio in altitudinem & longitudinem, prout eſt hominis natura, radendum eſt, atque etiam ſi tranſverſum os fuerit, ob rimas quæ in conſpectum non veniunt, aut colliſionem non apparentem, ubi os medium non deſederit, neque ſua natura ab altero capitis oſſe intro receſſerit. Ubi namque os deraſeris, magis deprehendes oſſis ex telo affectiones, ſi alioqui in conſpectum non venerint. Ac ſi teli veſtigium in oſſe conſpiciatur, ipſum quoque eradendum eſt, tum circumambientia oſſa, ne cum ſæpe ad teli veſtigium fiſſum & colliſum, aut colliſum tantum accedat, ea poſteà lateant neque in conſpectum veniant. C

ΚΕΦΑΛΑΙΟΝ κβ'.

D

Τὸ ξυσθὲν ὀστέον ἐπειγούσης τῆς ἀνάγκης, καὶ μάλιστα τῆς ὥρας θερμῆς συνεργουμένης ἐντὸς τριῶν ἡμερῶν πρίειν χρῆναι.

Ἐπειδὰν δὲ ξύσῃς τὸ ὀστέον τῷ ξυστῆρι, ἢν μὲν δοκέῃ εἰς πρίσιν ἀφικνεῖν ἡ τρῶσις τοῦ ὀστέου, πρίειν χρὴ καὶ τὰς τρεῖς ἡμέρας μὴ ὑπερβάλλειν ἀπρίωτον, ἀλλ' ἐν ταύτῃσι πρίειν, ἄλλως τε καὶ τῆς θερμῆς ὥρης, ἢν ἐξ ἀρχῆς λαμβάνῃς τὸ ἴημα.

CAPUT XXII.

Deraſum os urgente neceſſitate, & concurrente potiſſimùm tempeſtatis calore, intra triduum ſerra ſecandum eſſe.

POſtquam autem os ſcalpro eraſeris, ſi quidem oſſis vulnus ad ſectionem tendere videatur, intra triduum ad ſectionem veniendum, neque id ſpatium citra ſectionem ſuperandum, idque præcipuè ſi calida anni tempeſtate ab initio curationem ſuſceperis. E

ΚΕΦΑΛΑΙΟΝ κγ'.

Τὴν περὶ τῆς πρίσεως, καὶ ῥωγμῆς, ἢ θλάσεως, ἢ ἑτέρας βλάβης ἀδήλης δοκιμασίαν ἐκ τῶν τεκμηρίων, καὶ τῶν ὀφθαλμῶν, καὶ λόγων τοῦ τρωματίου, καὶ τοῦ βέλεος ἰδέας, καὶ τῶν ἐπιγενομένων συμπτωμάτων, ὡς τοῦ σκοτοδίνου, καὶ κάρου, καὶ τῶν ἄλλων ἐπὶ πᾶσι τοῦ μελασμοῦ γραφικοῦ σὺν φαρμάκῳ μέλανι ποιητέαν εἶναι.

F

Ἢν δὲ ὑποπτεύσῃς μὲν τὸ ὀστέον ἐῤῥωγέναι ἢ πεφλάσθαι, ἢ ἀμφότερα ταῦτα, τεκμαιρόμενος ὅτι ἰσχυρῶς τέτρωται ἐκ τῶν λόγων τοῦ τρωματίου, καὶ ὅτι ὑπὸ ἰσχυροῦ τοῦ τιτρώσκοντος, ἢν ἕτερος ὑφ' ἑτέρου τρωθῇ. καὶ τὸ βέλος ᾧ ἐτρώθη, ὅτι τῶν κακούργων βελέων ἦν, ἔπειτα τὸν ἄνθρωπον ὅτι δῖνός τε ἔλαβεν, καὶ σκότος, καὶ ἐκαρώθη, καὶ κατέπεσεν. τούτων δὲ οὕτω γι-

CAPUT XXIII.

Ante ſectionem rimæ, contuſionis aut alterius noxæ abditæ explorationem conjectaris, oculis, ſauciati reſponſis, teli ſpecie, ſuccedentibus ſymptomatis ut vertigine, caro, & cæteris faciendam eſſe, denique medicamento nigro, & atramento ſcriptorio.

AT ſi os quidem fiſſum ſuſpiceris, aut colliſum, aut utrunque, ex vulnerati ſermonibus de vulneris magnitudine conjecturam faciens, quod à robuſto vulnus illatum ſit, ſi alter ab altero vulneratus fuerit, quodque telum quo vulnus eſt inflictum, ex eorum eſt genere quæ noxam inferunt, tum quia æger vertigine correptus fuerit, aut tenebræ oculis offuſæ, aut alto ſopore detentus conciderit. Quæ quidem ubi in-

maceratum inducendum, ulcuſque ſubjecto linteo oleo madefacto, deinde cataplaſmate ex maza impoſito deligandum: poſtridie verò ulcere reſoluto ac repurgato, os deradendum. Et ſi integrum non fuerit, ſed fiſſum & colliſum, reliquum quidem, os eraſum album erit. At fiſſum & colliſum in ſe medicamentum nigrum dilutum recipiens, reliquo oſſe albo exiſtente, nigrum conſpicietur.

μάκῳ τῷ τηκομένῳ, τό τι ἕλκος, ὑποτείνας ὀθόνιον, ἐλαίῳ τέγξας, εἶτα καταπλάσσας τῇ μάζῃ ἐπιδῆσαι. τῇ δ' ὑστεραίῃ, ἀπολύσας, καὶ ἐκκαθάρας τὸ ἕλκος, ἐπιξύσαι. καὶ ἢν μὴ ᾖ ὑγιὲς, ἀλλ' ἐῤῥώγῃ, καὶ τεθλασμένον ᾖ, τὸ μὲν ἄλλο ἔσται ὀστέον λευκὸν ξυόμενον. ἡ δὲ ῥωγμὴ καὶ ἡ φλάσις καταχεθέντος τοῦ φαρμάκου δεξαμένη, τὸ
B φάρμακον ἐς ἑωυτὴν μέλαν ἐὸν, ἔσται μέλαινα, ἐν λευκῷ τῷ ὀστέῳ τῷ ἄλλῳ.

CAPUT XXIV.

Rimam aut contuſionem nigram manifeſtam iterum eradendam eſſe, quæ ſi radendo non deleatur, ſerra ſecandum.

VErùm iterùm rimam ipſam in conſpectum venientem altè radere oportet. Ac ſi quidem radendo rimam ejuſmodi nigram viſam exemeris & deleveris, colliſum quidem os plus aut minus fuit, ex quo rimam accepit quam ſcalper raſorius delevit. At rima deleta res minus terret, minuſque negotii exhibet. Ubi verò altiùs deſcendit, neque radendo eximi poteſt, in hoc caſu ad ſectionem deveniendum eſt.

ΚΕΦΑΛΑΙΟΝ κδ΄.

Τὴν ῥωγμὴν ἢ θλάσιν φανεῖσαν μέλαιναν, αὖθις ἐπιξύειν χρεών· ἢν δὲ μὴ ἐθέλῃ ἐξιέναι ἐπιξυομένη, πρίειν.

C Ἀλλὰ χρὴ αὖθις τὴν ῥωγμὴν ταύτην φανεῖσαν, ἐπιξύειν κατὰ βάθος. καὶ ἢν μὲν ἐπιξύων τὴν ῥωγμὴν ταύτην φανεῖσαν μέλαιναν ἐξέλῃς καὶ ἀφανέα ποιήσῃς, φλάσις μὲν γεγένηται τοῦ ὀστέου ἢ μᾶλλον ἢ ἧσσον, ἥτις περιέῤῥηξε καὶ τὴν ῥωγμὴν τὴν ἀφανισθεῖσαν ὑπὸ τοῦ ξυστῆρος. ἧσσον δὲ φοβερὸν καὶ ἔλασσον αὖ πρῆγμα ἀπ' αὐτῆς γένοιτο, ἀφανισθείσης τῆς ῥωγμῆς. ἢν δὲ κατὰ βάθος ᾖ καὶ μὴ ἐθέλῃ ἐξιέναι ἐπιξυομένη, ἀφίκει ἐς πρίσιν ἡ τοιαύτη ξυμφορή.

CAPUT XXV.

Aperto ſerratione oſſe, vulnus curandum, cavendumque ne quid ex carne mali os accipiat, aut purulentum evadat, quod quomodo accidat docet.

CÆterùm ſectione utendum in reliquo ad ulceris curationem intentum eſſe oportet, cavendumque eſt ne os à malè curata carne aliquid vitii contrahat. Os enim ſectionem expertum, & alioqui nudatum, integrum tamen, aut quod à telo offenſionem accepit, ſed integrum videtur, magis periclitatur ne purulentum evadat, quamvis id aliàs futurum non ſit, tum ſi caro os ambiens male curetur, tum inflammationem concipiat, & contricta ſit. Igneum enim evadit multoque ardore redundat, ſaneque os ipſum ex ſuperjectis carnibus calorem, incendium, perturbationem, pulſum, cæteraque vitia quibus caro vexatur, in ſe inducit, ex hiſque hoc modo purulentum evadit.

ΚΕΦΑΛΑΙΟΝ κε΄.

D *Τοῦ πριομένου ὀστέου ἰατρεύειν τὸ ἕλκος χρὴ, φυλάσσεσθαι δὲ χρὴ ὅπως μή τι κακὸν ἀπολαύσῃ τὸ ὀστέον ἀπὸ τῆς σαρκὸς, ἢ ὑπόπυον γένηται ὃ πῶς διδάσκει.*

Ἀλλὰ χρὴ πρίσαντα τὰ λοιπὰ ἰητρεύειν τὸ ἕλκος, φυλάσσεσθαι δὲ χρὴ ὅπως μή τι κακὸν ἀπολαύσῃ τὸ ὀστέον ἀπὸ τῆς σαρκὸς, ἢν κακῶς ἰητρεύηται. ὀστέῳ γὰρ καὶ πεπρισμένῳ, καὶ ἄλλως ἐψιλωμένῳ, ὑγιεῖ δὲ ἐόντι, καὶ ἔχοντι τὶ σίνος ὑπὸ τοῦ βέλεος, δοκέοντι δὲ ὑγιεῖ εἶναι, κίνδυνός ἐστι μᾶλλον ὑπόπυον γενέσθαι, ἢν καὶ ἄλλως μὴ μέλλῃ, ἢν καὶ ἡ σὰρξ ἡ περιέχουσα τὸ ὀστέον κακῶς θεραπεύηται, καὶ
E φλεγμαίνηται καὶ περισφίγγηται. πυρετῶδες γὰρ γίνεται, καὶ πολλοῦ φλογμοῦ πλέον. καὶ δὴ τὸ ὀστέον ἐκ τῶν περιεχουσῶν σαρκῶν ἐς ἑωυτὸ θέρμην τε, καὶ φλογμὸν, καὶ ἄραδον ἐμποιεῖ, καὶ σφυγμὸν, καὶ ὅσα περ ἡ σὰρξ ἔχει κακὰ ἐν ἑωυτῇ, καὶ ἐκ τουτέων ὧδε ὑπόπυον γίνεται.

CAPUT XXVI.

Vlceris capitis carnem, vel meningem humidam eſſe; ſanie madere, ac diutius expurgari, malum; celerrimè ulcus ſuppurare, expurgari, & exſiccari bonum.

VItioſa autem eſt ulceris caro humida & nimia uligine marceſcens, idque longo tempore repurgari. Sed quamcelerrimè quidem ad ſuppurationem adducere oportet. Hac enim ratione ulcus ambientes partes minimè inflammatione vexabuntur, ipſumque purum citiſſimè evadet. A telo nanque tum conciſas,

ΚΕΦΑΛΑΙΟΝ κϛ΄.

Τὴν τοῦ ἕλκεος τῆς κεφαλῆς σάρκα ἢ μήνιγγα ὑγρὰν καὶ μυδῶσαν εἶναι, καὶ ἐπὶ πολλὸν χρόνον καθαίρεσθαι, κακόν. ἀλλὰ μὲν διάπυον ποιῆσαι τὸ ἕλκος, ὡς τάχιστα, καὶ καθαίρεσθαι, καὶ ξηρὸν γίνεσθαι, ἀγαθόν.

Κακὸν δὲ, καὶ ὑγρήν τι εἶναι τὴν σάρκα ἐν τῷ ἕλκει, καὶ μυδῶσαν, καὶ ἐπὶ πολλὸν χρόνον καθαίρεσθαι. ἀλλὰ χρὴ διάπυον μὲν ποιῆσαι τὸ ἕλκος ὡς τάχιστα. οὕτω γὰρ ἂν ἥκιστα φλεγμαίνοι τὰ περιέχοντα τὸ ἕλκος, καὶ τάχιστα καθαρὸν εἴη. ἀνάγκη γὰρ ἔχει τὰς σάρκας τὰς κοπείσας.

μύσῃ τι ἢ σαπρὴ γένηται. οὕτω γὰρ τούτων γενομένων, αὐτέῳ κίνδυνος. B His enim ita ſe habentibus, periculum eſt ne ipſa putreſcat.

Τὸ ὀστέον ὅτι ἀποστῆναι δεῖ ἔξαιμον εἶναι καὶ ἀποξηρανθῆναι ὑπό τε τοῦ χρόνου τε καὶ ἀποκαθάρσεως, καὶ τῶν φαρμάκων κεφαλικῶν ξηραντικῶν· ἔπειτα δὲ τὸ κλάσμα ἀποθανὸν ἀπὸ τῷ ζῶντι ὀστέῳ ἀφίσταται.

Ὀστέον δὲ, ὅ, τι δεῖ ἀποστῆναι δεῖ ὅτου ἄλλου ὀστέου, οἷ ἕλκεος ἐν κεφαλῇ γινομένου, ἕδρης τε ἐούσης τοῦ βέλεος ἐν τῷ ὀστέῳ, ἢ ἄλλως ἐπὶ πουλὺ ψιλωθέντος τοῦ ὀστέου, ἀφίσταται ἐπὶ πουλὺ ἔξαιμον. ἀναξηραίνεται γὰρ τὸ αἷμα ἐκ τοῦ ὀστέου ὑπό τε τοῦ χρόνου καὶ ὑπὸ φαρμάκων τῶν πλείστων. τάχιστα δ' ἂν ἀποσταίη, εἴ τις τὸ ἕλκος ὡς τάχιστα καθήρας ξηραίνοιτο λοιπὸν τό τε ἕλκος καὶ τὸ ὀστέον καὶ τὸ μεῖζον καὶ τὸ ἔλασσον. τὸ γὰρ τάχιστα ἀποξηρανθὲν καὶ ὀστρακῶδες, ἐν τούτῳ μάλιστα ἀφίσταται ἀπὸ τοῦ ἄλλου ὀστέου τοῦ ἐναίμου τε καὶ ζῶντος αὐτέου, ἔξαιμόν τε γινόμενον καὶ ξηρὸν τῷ ἐναίμῳ καὶ ζῶντι μάλα ἀφίσταται.

CAPUT XXVII.

Os ab oſſe abſceſſurum exangue & aridum fieri, tempore, expurgatione, & medicamentis cephalicis exſiccantibus, ac poſteà emortuum fragmentis à vivo ſeparari.

ΜΑλθακώδεα, τοῖσι δὲ χρὴ τοῖσι φαρμάκοισι χρῆσθαι, ἐν χειμῶνι μᾶλλον, ἢ ἐν θέρει. Φάρμακα μαλθακώδεα, ἃ καὶ πρὸς οὐλὰς καλὰς ποιέει. Σκίλλης τὸ εἴσω, τὸ μυξῶδες, τρίψας, ἢ πλύνων σὺν συείῳ στέατι νέῳ, ὀλίγον ἔλαιον, καὶ ῥητίνης ὀλίγον, καὶ ψιμυθίου, καὶ στέαρ χηνὸς, καὶ συὸς νέον, καὶ σκίλλαν, καὶ ἔλαιον ὀλίγον. Κηρὸς ὡς λευκότατος, στέαρ πρόσφατον C καθαρὸν, ἢ σκίλλαν καὶ ἔλαιον λευκὸν, ῥητίνης ὀλίγον. Κηρὸν, στέαρ συὸς παλαιὸν καὶ νέον, καὶ ἔλαιον, καὶ ἰὸς, καὶ σκίλλα, καὶ ῥητίνη. Ἔστω δὲ δύο μοῖραι τοῦ παλαιοῦ στέατος πρὸς τὸ νέον. Τῶν δὲ ἄλλων ὁκόσον δοκέῃ καιρὸς εἶναι. Στέαρ συντήξας πρόσφατον, ἀποχέας εἰς ἕτερον χυτρίδιον, καὶ τῆς μολυβδαίνης τρίψας, ὡς λειότατον διαττήσας, συμμίξας ἕψειν, καὶ κυκᾷν τὸ πρῶτον. Ἕψειν δὲ, ἕως ἂν ἐπισταζόμενον ἐπὶ γῆς πήγνυται. Ἔπειτα καθελὼν, ἀποχέαι τὸ ἄλλο, πλὴν τῆς λίθου τῆς ὑποστάσιος· καὶ ἐμβάλλειν ῥητίνην καὶ ἀνακινέειν· καὶ κέδρινον ἔλαιον ὀλίγον ξυμμίξας τὸ ἀφῃρημένον. Πᾶσι χρὴ τοῖσι μαλθακοῖσιν ὅκου ἂν ῥητίνην ξυμμιγνύῃς, D ἐπειδὰν ἀφέλῃς ἀπὸ τοῦ πυρὸς τὸ φάρμακον, ἔτι θερμὸν ἔτι ἐὸν καθεὶς τὴν ῥητίνην κυκᾷν. Ἕτερον. Στέαρ συὸς παλαιὸν, καὶ κηρὸς, καὶ ἔλαιον. Τὰ δὲ ξηρὰ ἰχθυήματα τοῦ λωτοῦ λιβανωτὸς, μολύβδαινα, ἤγουν τοῦ μὲν μοῖρα, καὶ τῆς δὲ μοῖρα, καὶ τοῦ ἰχθυήματος μοῖρα. Ἔστω δὲ τοῦ παλαιοῦ στέατος, δύο μοῖραι. Κηροῦ δὲ μία, καὶ νέου στέατος μία. Ἕτερον. Ἢ στέαρ μόνον παλαιὸν ὕειον. Σὺν τῷ δὲ στέαρ αἰγὸς πρόσφατον, ὡς ἥκιστα ξὺν τοῖς ὑμέσι κατακαθήρας μικρὰ, τρίψας ἢ κατακόψας λεῖα, ἔλαιον παραχέειν, καὶ παραπάσσειν τὸν μόλυβδον, ξὺν τῇ σποδῷ, καὶ λωτοῦ E ἰχθυημάτων τὸ ἥμισυ. Ἕτερον. Στέαρ αἰγὸς, σποδὸς, χαλκῖτις, κυανέη, ἔλαιον.

CAPUT XIV.

Medicamenta emollientia.

E*Mollientia medicamenta*, quibus hyeme potiùs quàm æſtate utendum eſt. *Emollientia medicamenta quæ ad decoras cicatrices faciunt.* Scillæ partem interiorem mucoſam terito, aut piceam cum ſuillo adipe recenti, paucum oleum, & reſinæ ac ceruſæ exiguum; tum adipem anſerinum ac ſuillum recentem, & ſcillam, & olei exiguum. Cera quàm albiſſima, adeps recens purgatus. Aut ſcilla, oleum album, reſinæ modicum. Cera, adeps ſuillus vetus ac recens, oleum ærugo, ſcilla, & reſina. Veteris autem adipis duæ ſint partes ad recentem; cæterorum verò quantum opportunum eſſe videbitur. Adeps recens liquatus in alteram ollam transfunditur, & plumbagine quamlæviſſimè trita & cribrata, immixta coquitur, & primùm agitatur. At eouſque coquendum dum inſtillatum in terram concreſcat, dein igne ſublatum reliquum transfunditur, præter lapideum illud ſedimentum, tum reſina immittitur & agitatur, paucaque adjecta cedria, quod ablatum fuit, permiſcetur. Porro omnibus emollientibus, quibus reſinam admiſces, ſublato ab igne medicamento, & adhuc calido, reſina immiſcenda & adigenda. *Aliud.* Adeps ſuillus vetus & novus, cera & oleum. Arida verò loti ramenta, thus, plumbago, ut ſit thuris pars una plumbaginis, & loti ramentorum tantundem. Sint autem adipis veteris partes duæ, ceræ una, adipis recentis tantundem. *Aliud.* Aut adeps ſuillus ſolus, cum eo adeps caprinus recens, qui repurgatus quàm minimùm membranularum habeat. Quibus parum tritis, & bene contuſis oleum affunditur, & plumbum cum ſpodio inſpergitur, itemque loti ramentum pars dimidia. *Aliud.* Adeps caprinus, ſpodium, chalcitis, cyaneus lapis, oleum.

ΚΕΦΑΛΑΙΟΝ ιεʹ.

Περὶ φαρμάκων τῶν εἰς τὴν τῶν περικαύστων θεραπείας ἐπιτηδείων.

ΠΕρὶ περικαύστων. Ἕψειν χρὴ πρίνου ῥίζας ἁπαλὰς, ὧν εἰ ὁ φλοιός ἐστι παχύτατος καὶ χλωρότατος, F κατατεμὼν μικρὰ, οἶνον λευκὸν ἐπιχέας, μαλθακῷ πυρὶ καθεψεῖν, ἕως ἂν δοκέῃ καλῶς ἔχειν τὸ πάχος, ὡς ὑπαλειπτέον, καὶ ἐν ὕδατι τὸν αὐτὸν τρόπον. Ἕτερον μὴ δάκνον. Ὗος στέαρ μόνον παλαιὸν ὑπαλείφειν, τήξας· αὖθις ἄνωθεν διὰ τῆς σκίλλης, τὴν ῥίζαν διαιρῶν, καὶ προσθεὶς καταδεῖν. Τῇ δὲ ἑξῆς ἐπαιονᾷν τήξας στέαρ τι ὗος παλαιὸν, καὶ κηρὸν, καὶ ἔλαιον συμμίξας, καὶ λιβανωτὸν,

CAPUT XV.

De idoneis ambuſtorum curationi medicamentis.

DE ambuſtis. Ilicis radices tenellæ incoquendæ; quarum cortex ſi maximè craſſus & maximè viridis ſit in tenues partes conciſus, vino albo affuſo, lento igne decoquitur, dum idoneam craſſitudinem habuerit, ut illini poſſit. Poteſt ex aqua eodem modo coqui. *Aliud minimè mordax.* Adipem ſuillam veterem liquefactam illinito; ſupernè verò ſcillæ radicem diſſectam imponito, ac deligato. Poſtridie verò locus foveatur, adipe ſuillo vetere liquato, cerâ & oleo admixtis, thure etiam

vetuſtum, liquato cum reſina & bitumine miſceto, hæcque linteolo excepta & igne calefacta imponito ac deligato. Quum in dorſo ex plagis, aut alia ex cauſa ulcus ſubortum fuerit, ſcillam coctam tritam, & ex linteolo illitam devincire oportet, deinde verò caprinum adipem ac ſuillum recentem, ſpodium, oleum ac thus inungere. B

CAPUT XVI.

De topicis medicamentis ad tumorum pedum ac aliarum partium curationem ſpectantibus.

QVi tumores in pedibus ſponte & non ſponte obotiuntur, ubi neque ipſi tumores, neque inflammatio cataplaſmatis ſedantur, tum ſi quis ſpongias aut lanas, aut quid aliud ſuper ſanam partem deliget, poſteà ſuâ ſponte intumeſcant & inflammentur, in his ſanguinis per venas influxus in cauſa eſt, ſi cui non contuſio cauſa ſit. Eademque ratio eſt ſi quid tale quavis alia corporis parte accidat. Verùm ſanguinem mittere oportet potiſſimùm quidem ex venis influxum facientibus ſi conſpicuæ fuerint; alioqui tumores altioribus & crebrioribus vulnuſculis pertundendi; atque ità agendum eſt, quodcunque aliud pertundas, idque quamacutiſſimis & tenuiſſimis ferramentis. Quum ſanguinem detrahis ſpecillo, ne vehementer comprimas, ne contuſio accedat, tum aceto perfundito, nec ſanguinis grumum in cutis hiatibus remanere ſinito, illitoque medicamento enæmo, lanas ſuccidas, carminatas, molles, vino ac oleo reſperſas alligato. Locus autem ſcarificatus ita collocetur, ut ſanguis ſurſum refluat, non deorſum defluat, neque ullo modo madefacito. Paucum cibi aſſumat æger, & aquam bibat. Ubi verò ſolueris, ſi fiſſuras repereris inflammatas, cataplaſma ex vitice ac lini ſemine imponito. Si verò ulceratæ fuerint fiſſuræ, aut confractæ, pro occaſione, ut res poſtulat, cætera curanda.

CAPUT XVII.

De varicis curatione; & ſanguinis profluentis eruptionem ſiſtendi ratione.

AT ubi varix exteriori tibiæ parti ineſt, aut conſpicuus, aut in carne exiſtit, nigrique anterior tibiæ pars, & ſanguinis detractionem expetere videatur, iſta ſcapello nullo modo pertundi debent. Plerumque enim ex inciſuris ob influxum ex varice magna ulcera procreantur. Verùm varix ipſe variis locis, prout opportunum videbitur, compungendus eſt. Cæterùm ſecta vena, ubi ſanguinem detraxeris, faſciamque ſolveris, neque ſanguis ſiſtitur, contrariam in partem ut ſanguinis fluxus fiat, ſeu brachium, ſeu crus collocetur veluti retracto ſanguine, eoque ſtatu plus, minuſue temporis

Ἕτερον. τήξας στέαρ συὸς παλαιὸν, συμμίξας ῥητίνῃ καὶ ἀσφάλτῳ, καὶ αὐτὸ ἐπαλείψας εἰς ὀθόνιον, θερμαίνων πρὸς πῦρ, ἐπιθεὶς ἐπιδεῖν. ὅταν ἐν τῷ νώτῳ ἀπὸ πληγέων, ἢ ἄλλως ἕλκος γένηται, τῇ σκίλλῃ διεφθῇ. τρίψας καὶ ἐπ' ὀθόνιον ἀλείψας ἐπιδεῖν. ὕστερον δὲ στέαρ αἰγὸς, καὶ συὸς νέον, καὶ σποδὸν, καὶ ἔλαιον, καὶ λιβανωτὸν ἐπαλείφειν. B

ΚΕΦΑΛΑΙΟΝ ιϛʹ.

Περὶ ἐπιθέτων φαρμάκων τῶν πρὸς τὴν οἰδημάτων ἐν τοῖς ποσί τε καὶ ἐν τοῖς ἄλλοις μέρεσι γινομένων θεραπείαν καθηκόντων.

Οἰδήματα ἐν τοῖσι ποσὶ γινόμενα, αὐτόματα καὶ μὴ αὐτόματα, οὐδὲν ὑπὸ τῶν καταπλασμάτων καθιστάμενα, τά τε οἰδήματα, καὶ ἡ φλεγμασίη· καὶ ἢν σπόγγους ἐπιδήσῃ τις ἢ εἴρια, ἢ τι ἄλλο ἐπὶ τὸ ὑγιὲς, ἔπειτα αὐτοιδίσκηται οἰδήματι καὶ ἀναφλεγμαίνῃ, κατὰ φλέβας ἐπιῤῥοὴ αἴτιόν ἐστιν αἵματος, ᾧ ἂν μὴ φλάσμα αἴτιόν ἐστι, καὶ ἤν που ἄλλοθι τοῦ σώματος τοιοῦτόν τι γένηται, ὁ αὐτὸς λόγος. ἀλλὰ τοῦ αἵματος χρὴ ἀφιέναι, μάλιστα μὲν κατὰ φλέβας τὰς ἐπιῤῥεούσας, ἢν καταφανέες ἔωσιν. ἢν δὲ μὴ, καταχρούειν τὰ οἰδήματα βαθύτερα καὶ πυκνότερα· καὶ ἄλλο πᾶν ὅ, τι ἂν καταχρούῃς, οὕτω χρὴ ποιέειν. καὶ ὡς ὀξυτάτοισι σιδηρείοισι καὶ λεπτοτάτοισι. καὶ ὅταν ἀφαιρῇς τὸ αἷμα τῇ μήλῃ, μὴ κάρτα πιέζειν, ὡς μὴ φλάσις προσγένηται. ὄξει D δὲ κατομίζειν, καὶ θρόμβον αἵματος ἐν τοῖσι χάσμασι μὴ ἐᾷν ἐγκαταλείπεσθαι, καταχρίσας τῷ ἐναίμῳ φαρμάκῳ, εἴρια οἰσυπηρὰ, κατεξασμένα, μαλθακὰ, ἐπιδήσαι, ῥαίνας, οἴνῳ καὶ ἐλαίῳ, καὶ ἐχέτω τὸ χωρίον ὅκως ἀνάῤῥοος εἴη τοῦ αἵματος, καὶ μὴ κατάῤῥοος· καὶ μὴ τεγγέτω ὅλως, καὶ ὀλιγοσιτεέτω, καὶ πινέτω ὕδωρ. ἢν δὲ ἀπολύων εὑρίσκῃς τὰ χάσματα φλεγμαίνοντα, καταπλάσσειν τῷ ἐκ τοῦ ἄγνου καὶ λίνου καρποῦ καταπλάσματι. ἢν δὲ E ἑλκωθῇ τὰ χάσματα καὶ συῤῥαγῇ, πρόσχημα ὡρέων, ἔπειτα περιστρέφων ὅ ἂν δέῃ, τὰ λοιπὰ ἰητρεύειν.

ΚΕΦΑΛΑΙΟΝ ιζʹ.

Περὶ τῆς τοῦ κιρσοῦ θεραπείας. καὶ τῆς τοῦ αἵματος ἐπιῤῥέοντος τοῦ ἱστάναι ἐπιῤῥέον μεθόδου.

Ὅκου δὲ κιρσὸς ἔνεστιν ἐπ' ἀντικνημίῳ, ἢ περιφανὴς, ἢ κατὰ τῆς σαρκὸς καὶ ἐστὶ μέλαν τὸ ἀντικνήμιον, καὶ δοκέῃ F δεῖσθαι αἵματος ἀπ' αὐτοῦ ἀποῤῥυέντος, οὐ χρὴ τὰ τοιαῦτα καταχρούειν οὐδαμῶς, ὡς γὰρ ἐπιτοπολὺ ἕλκεα μεγάλα γίνεται ἐκ τῶν χασμάτων διὰ τοῦ κιρσοῦ τὴν ἐπιῤῥοήν. ἀλλὰ χρὴ αὐτὸν τὸν κιρσὸν ἀποκεντέειν ἄλλοτε καὶ ἄλλοτε, ὅπη ἂν δοκέῃ καιρὸς εἶναι. Ὅταν δὲ φλέβα τάμῃς, ἐπειδὰν τοῦ αἵματος ἀφῇς καὶ λύσῃς τὴν ταινίην, καὶ μὴ ἵσταται, τοὐναντία ὅκως ἂν ὁ ῥοῦς γένηται, καὶ αἵματος ἐχέτω, ἤν τε χεὶρ, ἤν τε σκέλος ᾖ, ὡς ἐπὶ χέοντος τοῦ αἵματος ὀπίσω. καὶ οὕτως ὑπομείνας χρόνον πλείω ἢ ἐλάσσω

Κατὰ τὸν ἑλκέων καιρὸν τὴν τῶν σικυῶν προσβαλλομένων μέθοδον διδάσκει.

B

Σικύην δὲ προσβάλλοντα χρὴ, ἢν ἐπιρρέῃ τὸ αἷμα, ἀφῃρημένης τῆς σικύης, κἢν πολὺ ῥέῃ, ἢ ἰχὼρ ῥέῃ, αὐτίκα ταχέως πρὶν ἢ πληρωθῆ, αὖθις προσβάλλειν, ἐπεξέλκειν τὸ λειπόμενον. ἢν δὲ μὴ, θρόμβοι ἐνεχόμενοι ἐν τοῖσι σχάσμασιν, ἔπειτα ἀναφλεγμαίνοντα ἕλκεα γίνεται ἐξ αὐτῶν. ὄξει δὲ χρὴ πάντα τὰ τοιαῦτα κατονίζειν, καὶ ὕστερον μὴ τέγγειν, μηδὲ κατακέεσθαι ἐπὶ τὰ σχάσματα. τῶν δὲ ἐναίμων τινὶ φαρμάκων καταχρίσαι τὰ σχάσματα. καὶ ὁπόταν κάτωθεν τοῦ γούνατος δέῃ, προσβάλλων ἢ πρὸς τὸ γόνυ, ἑστηκότι ὀρθῷ, ἢν δύνηται ἱστάναι.

Per ulcerum occaſionem cucurbitularum affigendarum rationem docet.

CUcurbitulam autem admovere oportet ſi profluat ſanguis, aut tenuis & ſeroſus humor, oportet citò priuſquàm impleatur, rurſus imponere, & quod reliquum eſt extrahere. Alioqui ſanguinis grumi in ipſis cutis inciſuris inhærent, indeque poſteà ulceribus inflammatio oboritur. Ejuſmodi autem omnia aceto elui debent, & poſteà non madefieri, atque in fiſſuras ægrum decumbere cavendum eſt; ſed aliquo enæmo medicamento inciſuræ illinendæ ſunt. Quumque ſub genu, vel ad genu cucurbicula admovenda fuerit, ea homini erecto ac ſtanti, ſi ſtare poſſit, admoveatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ
ΠΕΡΙ ΤΩΝ ΣΥΡΙΓΓΩΝ
ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS
DE FISTULIS
LIBER.

Η ΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Τὰς σύριγγας, καὶ τὰς τούτων αἰτίας, καὶ τὰ συμπτώματα, καὶ τὴν τοῦ ἀρχοῦ φλεγμονὴν, καὶ πρόπτωσιν, καὶ στραγγουρίαν, καὶ τὴν ἰχῶρος ῥοὴν καὶ τὰς τῶν τούτων διαθέσεων θεραπείας τὸ βιβλίον περιλαμβάνει.

ARGVMENTVM LIBRI.

Ani fiſtulas, earumque cauſas, ſymptomata, recti inteſtini inflammationem, ac prolapſum, ſtranguriam, ſanieique fluorem, eorumque affectuum curationes libellus complectitur.

CAPUT I. A

Fiſtularum cauſæ, contuſiones, tubercula, remigatio, equitatio, collectus, ſuppuratus, ac putreſcens juxta ſedem ſanguis.

Fiſtulæ quidem tum à contuſionibus, tum à tuberculis ortum habent. Naſcuntur autem & ex remigatione, & equitatione, coacervato in natibus prope ſedem ſanguine. Putreſcens enim ſerpendo quæ mollia ſunt depaſcitur, quum nimium anus humidus ſit, & B caro mollis, in qua pabulatur dum turberculum rumpatur, infraque ad rectum inteſtinum computreſcat. Quod quum acciderit, oritur fiſtula, ſanies, ichorve manat, indeque ſtercus & flatus, teterque fœtor copioſè effluit. Ex contuſionibus naſcitur fiſtula, ubi ex ictu, aut

ΚΕΦΑΛΑΙΟΝ α'.

Αἱ τῶν συρίγγων αἰτίαι τὰ φλάσματα, καὶ τὰ φύματα, καὶ ἡ ἐρεσίη, καὶ ἱππασίη, καὶ τὸ ἀθροισθὲν πλησίον τῆς ἕδρης καὶ ἕρπον καὶ σηπόμενον αἷμα.

Σ ΥΡΙΓΓΕΣ γίνονται μὲν ἀπὸ φλασμάτων καὶ φυμάτων. γίνονται δὲ καὶ ὑπὸ ἐρεσίης, καὶ ἱππασίης, ὅταν ἀθροισθῇ ἐν τοῖς γλουτοῖς αἷμα πλησίον τῆς ἕδρης. σηπόμενον γὰρ νέμεται εἰς τὰ μαλθακὰ, ἅτε ὑγροῦ ἐόντος τοῦ ἀρχοῦ, καὶ τῆς σαρκὸς μαλθακῆς ἐν ᾗ νέμεται, ἕως ἂν τὸ φῦμα ῥήξῃ. καὶ κάτω ἐς τὸν ἀρχὸν διασαπῇ. ἐπὴν δὲ τοῦτο γένηται, συριγγοῦται καὶ ἰχὼρ καὶ κόπρος ῥεῖ δι' ἑωυτῆς, καὶ φῦσα, καὶ βδελυγμίη πολλή. ἀπὸ μὲν οὖν τῶν φλασμάτων γίνεται, ὁκόταν τι τῶν περὶ τὸν ἀρχὸν χωρίων φλασθῇ ἀπὸ πληγῆς, ἢ ὑπὸ

Ἱπποκράτης πρὶν ἢ διαπυῆσαι, καὶ μὲν ἡ πρώτη B τῆς φύματος γινομένης θεραπεία.

ΠΡῶτον μὲν οὖν, ὅταν τι τοιοῦτον ἀφανὲς φυόμενον φῦμα, τάμνειν ὡς τάχιστα ὠμὸν, πρὶν ἢ διαπυῆσαι ἐς τὸν ἀρχόν. ἢν δὲ νοσέοντα ἤδη τὴν σύριγγα παραλάβῃς, λαβὼν σκορόδου φύτιγγα νεαρὴν, ἀνακλίνας τὸν ἄνθρωπον ὕπτιον, τὰ σκέλεα διαγαγὼν, τὸ μὲν ἔνθα, τὸ δὲ ἔνθα, τὴν φύτιγγα καθιέναι ἐς ὃ ἂν προσκόψῃ, μετρῆσαί τε τὸ βάθος τῆς σύριγγος τῇ φύτιγγι, καὶ σεσέλεος δὲ ῥίζαν κόψας ὡς λεπτοτάτην, ὕδωρ ἐπιχέας, βρέχειν τέσσαρας ἡμέρας. καὶ C νῆστις ἐοῦσα πινέτω, μέλιτι παραμίσγων τὸ ὕδωρ, κατὰ τρεῖς κυάθους· ἐν τούτῳ καθαίρει καὶ τὰς ἀσκαρίδας. ὁκόσοι δ᾽ ἂν καταλειφθῶσιν ἀθεράπευτοι, ἀπόλλυνται. Ἔπειτα ὀθόνιον βύσσινον τιθυμάλλου ὀπῷ τοῦ μεγάλου δεύσας, καταπάσσειν ἄνθεος χαλκοῦ, ὀπτὸν τετριμμένον. στροβίλην ποιήσας ἴσην τῇ σύριγγι τὸ μῆκος, ῥάμμα διεὶς δι᾽ ἄκρης τῆς στροβίλης· καὶ αὖθις διὰ τῆς φύτιγγος ὕπτιον κατακλίνας τὸν ἄνθρωπον, κατόπτρῳ κατιδὼν τὸ διαβεβρωμένον τοῦ ἀρχοῦ, ταύτῃ τὴν φύτιγγα διεῖναι· καὶ ὁκόταν παρακύψῃ ἐς τὸν ἀρχὸν, ἐπιλαμβανόμενος ἕλκειν, ἄχρις D οὗ ἡ στροβίλη διωσθῇ, καὶ ἰσωθῇ πῇ τι ἄνω, καὶ τὸ κάτω. ἐπὴν δὲ ἐσωθῇ, βάλανον εὐθὺς κερατίνην ἐς τὸν ἀρχὸν, γῇ διαχρίσας σμηκτρίδι τὸν ἀρχὸν, ἐᾶν. ἐπὴν δὲ ἀποπατέῃ, ἐξαιρέειν, καὶ αὖθις προστιθέναι, ἕως ἂν πεμπταίη γένηται. ἕκτῃ δὲ ἡμέρῃ ἐξαιρέειν, ἕλκων τὴν στροβίλην ἔξω τῆς σαρκός. καὶ τρίψας στυπτηρίην μετὰ ταῦτα, καὶ πλήσας τὴν βάλανον, καὶ ἐς τὸν ἀρχὸν ἐμβάλλειν, ἐᾶν ἄχρις οὗ ἡ στυπτηρίη ὑγρὴ γένηται. τὸν δὲ ἀρχὸν σμύρνῃ ἀλείφειν, ἄχρις οὗ ἂν δοκέῃ ξυμπεφυκέναι. E

ΚΕΦΑΛΑΙΟΝ γʹ.

Δευτέρα τῶν συρίγγων κατ᾽ ὠμολίνου γινομένη θεραπεία, μακρὰ μὲν, ἀνώδυνος δὲ, καὶ τῶν χειρουργημάτων ἀκινδυνότατον.

ΕΤέρη θεραπείη. ὠμόλινον λαβὼν ὡς λεπτότατον, συμβάλλειν ὅσον σπιθαμιαῖον πενταπλοῦν, καὶ ξυμπεριελίξαι F ἱππείην τρίχα. ἔπειτα ποιησάμενος μήλην κασσιτερίνην, ἐπ᾽ ἄκρου τετρημένην, ἐνείρας ἐς τὴν μήλην τὴν ἀρχὴν τοῦ ὠμολίνου συμβεβλημένου, καθιέναι τὴν μήλην ἐς τὴν σύριγγα, καὶ ἅμα τῆς ἀριστερῆς χειρὸς τὸν δάκτυλον τὸν λιχανὸν καθιέναι ἐς τὴν ἕδρην· ἐπὴν δὲ ψαύσῃ ἡ μήλη τοῦ δακτύλου, ἄγειν ἔξω τῷ δακτύλῳ, ἀποκάμψας τῆς μήλης τὸ ἄκρον, καὶ τὴν ἀρχὴν τὴν ἐν τῇ μήλῃ. καὶ

culum quamcelerrimè ſecari, & hæc prima fiſtulæ tuberculi ſobolis curatio.

PRimum igitur quum hujuſmodi tuberculum ſuboriri ſenſeris, antequàm ad rectum inteſtinum ſuppuratio perveniat, crudum quamcelerrimè ſecare oportet, ne in fiſtulam abeat. Quod ſi jam fiſtula laborantem curandum ſuſceperis, allii ſcapum recentem accipias, ægrotum hominem ſupinum decumbere facias, crura huc unum, illuc alterum diducas, quoad quid renitens offendat intromittas, eoque ſcapo fiſtulæ altitudinem metiaris. Tum ſeſelis radice quàm tenuiſſimè contrita quatuor diebus aqua affuſa macerata, admixto melle aquam ad tres cyathos jejuno propinato, eoque tempore aſcaridas purgato. Qui verò ſine curatione relinquuntur, intereunt. Poſt hæc byſſinum linteolum magni tithymali ſucco imbutum, torrefacto, tritoque æris flore conſperſum in penicillum fiſtulæ longitudini æqualem efformes, filo per penicilli ſummitatem trajecto hominem ſupinum collocato, quumque quod in ano perroſum eſt, catoptere perſpexeris hac phyſinga demittito, atque ubi in anum demiſſus fuerit prehenſum trahito, quouſque penicillum impulſum ſuperiori, ac inferiori parti adæquatum fuerit. Quomodo impulſo glans cornea in anum terra deterſoria (qualis erat cimolia) priùs illitum inditur, atque ibi ſinitur, quumque deſidendi cupiditas fuerit, extrahitur, rurſuſque immittitur quouſque quintus venerit dies. Sexto verò die eximitur, penicillo è carne foràs educto, poſteaque glandem alumine trito impletam in anum immiſſam, ibi dum alumen liqueſcat, ſinito. Podex autem quoad convenire videatur, myrrha illinito.

CAPUT III.

Secunda fiſtularum per lini obligationem curatio, longa quidem, ſed doloris expers, & operationum ſecuriſſima.

ALia curatio. Linum crudum quamtenuiſſimum quintuplex palmi longitudine in unum complicatur, ſimulque equina ſeta circumvolvitur. Tum ſtanneum ſpecillum in extremo perforatum paratur, ac in id ſpecillum lini crudi complicati caput inſeritur, ſpecillumque in fiſtulam demittitur, ſimulque ſiniſtræ manus index in ſedem inditur. Atque ubi ſpecillum digitum contigerit, illud digito foras educitur curvato priùs ſpecilli extremo, atque tum lini caput per ſpecillum trajectum, tum ſpecillum retrorſum extrahitur. Lini verò

verò linum crudum putreſcere videatur antequam fiſtulam exederit, alterum linum crudum ſeta adjunctum trajiciatur, connectaturque. Ob id enim ſeta lino crudo adjicitur, quia non putreſcit. Quum autem fiſtula computruit, ſpongiam mollem concidere oportet, eamque quàm tenuiſſimam imponere; deinde florem æris uſtum copioſum in fiſtulam per ſpecillum injicere; Spongiam verò melle illinere, exceptamque medio vel indice digito ſiniſtræ manus introrſum intrudere, additaque alterâ ſpongiâ, eodem modo obligare oportet quo in hæmorrhòidibus; eoque modo poſtridie obligatione ſoluta fiſtulam aquâ calidâ perluere, eamque per ſpongiam ſiniſtræ manus digito perpurgare tentandum, rurſuſque injecto æris flore obligatio iteranda, idque per ſeptem dies faciendum. In his enim potiſſimùm fiſtulæ tunica conſumitur, in reliquo dum ſaneſcat hoc modo obligare; hac enim ratione fiſtula per ſpongiam coacta & expanſa neque rurſum concidit, neque pars una ſui curabitur. Altera verò rurſus implebitur; ſed ipſa univerſa conſaneſcet. In hac autem curatione copioſa aqua calida fovere juvat, & inediam imperare.

[illegible]
ἀεὶ καθ' ἑκάστην ἡμέρην. ἢν δέ σοι τὸ ὠμόλινον διασαπῇ πρόσθεν, ἢ τὴν σύριγγα διαβρωθῆναι, πρὸς τὴν τρίχα προσάψας ἕτερον ὠμόλινον διεῖναι καὶ ἀφάψαι. ἡ γὰρ θρὶξ διὰ τοῦτο παραβάλλεται τῷ ὠμολίνῳ, ὅτι ἄσηπτός ἐστιν. ἐπὴν
B δὲ διασαπῇ ἡ σύριγξ, τεμεῖν χρὴ σπόγγον μαλακὸν ὡς λεπτότατον προστεθέντα. ἔπειτα ἐς μὲν τὴν σύριγγα, ἄνθος χαλκοῦ ὀπτὸν συχνὸν τῇ μήλῃ ἐνθεῖναι. τὸν δὲ σπόγγον ἀλείψαι μέλιτι. καὶ ὑποβαλὼν μέσῳ τῷ λιχανῷ δακτύλῳ τῆς ἀριστερῆς χειρὸς, ὤσαι πρόσω, καὶ προσθεὶς ἕτερον σπόγγον, ἀναδῆσαι, τὸν αὐτὸν τρόπον, ὃν περ καὶ ἐπὶ τῇσιν αἱμοῤῥοΐσιν, τῇ δὲ ὑστεραίῃ ἀπολύσας, περικλύσαι ὕδατι θερμῷ, καὶ σπόγγῳ τῷ δακτύλῳ τῆς ἀριστερῆς χειρὸς πειρᾶν διακαθαίρειν τὴν σύριγγα, καὶ αὖθις πάλιν τὸ ἄνθος ἐπιδῆσαι. ταῦτα ποιέειν ἑπτὰ ἡμέρας, ἐν ταύτῃσι γὰρ μάλιστα ὁ χιτὼν τῆς σύριγγος
C σήπεται. τὸ δὲ λοιπὸν ἕως ἂν ὑγιὴς γένηται, τούτῳ ἐπιδεῖν. τῷ γὰρ τούτων τῷ τρόπῳ, ὑπὸ τοῦ σπόγγου διαναγκαζομένη καὶ ἀναπιεζομένη ἡ σύριγξ, οὔτε πάλιν ξυμπέσοι ἂν, οὔτε τὸ μὲν αὐτῆς ὑγιασθείη ἄν. τὸ δὲ πάλιν ξυμπληρωθείη. ἀλλ' ἐν ἑωυτῇ πᾶσα ὑγιὴς ἔσται. ἐν τῇ θεραπείῃ δὲ προσαιονᾷν ὕδατι πολλῷ θερμῷ, καὶ λιμοκτονέειν.

CAPUT IV.

Fiſtulæ ſimplicis & ſuperficiariæ quæ nec perforata, nec pervia eſt, nec rectum inteſtinum perrumpit, curatio quæ per exciſionem peragitur.

SI verò fiſtula minimè exeſa fuerit, demiſſo in eam ſpecillo quouſque pervenerit, incidenda eſt, æris flore inſpergenda, & per dies quinque ſinenda. Tum aqua calida affundenda, & farina aqua ſubacta ſuperponenda, betarumque folia alliganda. Atque ubi flos æris exciderit, purumque fiſtulæ ulcus fuerit, eadem quæ priùs curatio tibi molienda eſt. Si verò in loco ſit fiſtula quæ ferrum & alia ferre nequeat, imò etiamſi profunda fuerit, flore æris, myrrha, nitro ex urina dilutis colluitur, & in fiſtulæ oſculum plumbea glans immittitur, ut ne coaleſcat. Abluere autem fiſtulam convenit pennâ veſicæ alligatâ, & in fiſtula demiſſâ, ut per hanc infuſum tranſmittatur, verùm non niſi ſectione factâ, ſanus invadit.

ΚΕΦΑΛΑΙΟΝ δʹ.

D Ἡ τρίτη τῆς σύριγγος ἁπλῆς καὶ ἐπιπολαίου τῆς μήτε διατετρημένης, μήτε διαβατοῦ μήτε τὸν ἀρχὸν ῥηγνύσης θεραπεία ἡ κατ' ἐκκοπὴν χειρουργουμένη.

Ἢν δὲ μὴ διαβεβρώκῃ ἡ σύριγξ, περιμηλώσας μήλῃ, τάμνε ἕως ἂν διήκῃ, καὶ ἐπίπασσε ἄνθος χαλκοῦ, καὶ ἐᾷν ἐπὶ πέντε ἡμέρας. καταχέε δὲ ὕδωρ θερμὸν, καὶ ἐπὶ πρόσω ὕδατι φυρῶν, ἄλφιτον καταπάσσε, καὶ φύλλα τεύτλων ἐπιδεῖν. ἐπὴν δὲ ἐκπέσῃ τὸ ἄνθος τοῦ χαλκοῦ, καὶ καθαρὸν ᾖ τὸ ἕλκος τῆς σύριγγος, ἰῶ ὥσπερ τὴν ἔμπροσθεν. ἢν δὲ ἐν
E χωρίῳ ᾖ, ὃ μὴ οἷόν τε, βαθείη δὲ καὶ σύριγξ, ἄνθει χαλκοῦ καὶ σμύρνῃ, καὶ λίτρῳ οὔρῳ διεὶς, κλύζειν, καὶ ἐς τὴν σύριγγος μολύβδιον ἐντιθέναι, ὅπως μὴ ξυμφύηται. κλύζειν δὲ πτερῷ, σύριγγα προσδήσας πρὸς κύστιν, καὶ καθεὶς ἐς τὴν σύριγγα, πρὸς τοῦτο διαφέρειν κλύζων. ὑγιὴς δὲ οὐ γίνεται, ἢν μὴ τμηθῇ.

CAPUT V.

Quæ hæmorroidibus morbis ac fiſtulis ſymptomata ſuperveniunt ani, phlegmone, dolor, febris, teneſmus, ani procidentia, ſtranguria, & eorum cauſæ & curatio.

SI rectum inteſtinum obſideat inflammatio, dolor prehendat ac febris, & ad alvum exonerandam crebrò deſideat, nihilque dejiciat, & à pituita videatur anus procidere, interdum etiam urinæ ſtillicidium opprimat, qui morbus

ΚΕΦΑΛΑΙΟΝ εʹ.

F Τὰ τοῖς αἱμοῤῥοΐσι νοσήμασι, τε καὶ τῇ σύριγξι συμπτώματα ἐπιγενόμενα ἡ τοῦ ἀρχοῦ φλεγμονὴ, καὶ ἡ ὀδύνη, καὶ πυρετὸς, καὶ τεινεσμὸς, καὶ ἡ ἐκπτωσις, στραγγουρία, καὶ αἱ τούτων αἰτίαι καὶ ἡ θεραπεία.

Ἢν ὁ ἀρχὸς φλεγμαίνῃ, καὶ ὀδύνη ἔχῃ καὶ πυρετὸς, καὶ ἐς ἄφοδον θαμινὰ καθίζῃ, καὶ μηδὲν ὑποχωρέῃ, καὶ ὑπὸ τοῦ φλέγματος δοκέῃ ἐξιέναι ἡ ἕδρη, καὶ ἐνίοτε στραγγουρίη ἐπιλαμβάνῃ, τοῦτο τὸ νόσημα γίνεται, ὅταν φλέγμα

θυμοῦ πλύνας, ἢ λίνου σπέρμα πεφωσμένα ἀλέσας, τρίψας, καὶ μίξας ἴσον ἀλήτου ἐν οἴνῳ μέλανι καὶ ὕδατι, καὶ ἐλαίῳ, καταπλάσσειν ὡς θερμότατα, ἢ κριθὰς μίξας, ἢ στυπτηρίῃ αἰγυπτίῃ πεφρυγμένῃ, ἔπειτα πλάσσειν βάλανον μακρήν, καὶ χλιαίνων πρὸς πυρὸς, καταπλάσσειν τε καὶ πυριᾷν, καὶ τοῖσι δακτύλοισι προσπλάσσειν. ἔπειτα ἀποχλίηνεον ποιέων, ἐντιθέναι ἐς τὴν ἕδρην. τὰ ἔξωθεν δὲ κηρωτῇ περιαλεῖψαι, καὶ καταπλάσσειν σκορόδοισιν ἑφθοῖσιν, ἐν οἴνῳ μέλανι κεκρημένῳ. ἔπειτα ἢν δὲ ἐξαρεῖς ἐς ὕδωρ θερμὸν ἐφίζειν, καὶ συμμίξας χυλὸν στρύχνου, καὶ χηνὸς, καὶ ὑὸς στέαρ, καὶ χρυσοκόλλαν, καὶ ῥητίνην, καὶ κηρὸν λευκόν. ἔπειτα διατήξας ἐν τῷ αὐτῷ, καὶ ξυμμίξας, τούτοισιν ἐγχρίειν, καὶ ἕως ἂν φλεγμαίνῃ, καταπλάσσειν τοῖσι σκορόδοισι θερμοῖσι, καὶ ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκεῖται· ἢν δὲ μή, πίσαι τὸ μηκώνιον τὸ λευκόν· ἢν δὲ μή, ἄλλο ὅ, τι φλέγμα καθαίρει, διαιτᾶν δὲ, ἕως ἂν φλεγμαίνῃ ῥοφήμασι κούφοισιν.

cocta ſedi admoventur, interne ſublato calido aliquo, vel veſica aqua calida referta, aut lini ſemine toſto trito, & in tenuiſſimum pulverem redacto, ex cataplaſmate quamcalidiſſimè impoſito. Aut ex hordeo alumini Ægyptio contrito, mixtò glans oblonga conficitur, coque ex igne tepido cataplaſmate aut fœtu adhibito, digitis glans efformatur, deinde omnino tepida in ſedem immittitur. Exterioribus partibus ceratum oblinitur, & alia vino nigro diluto incocta ex cataplaſmate admoventur. Hoc verò ſublato, æger in aqua calida deſidere permittatur, admixtoque ſolani ſucco, anſerino adipe & ſuillo, chryſocolla, reſina & cera alba, his deinde ſimul liquatis, & inter ſe mixtis illinitur, & quoad inflammatio perſeveraverit, cataplaſma ex aliis coctis admovetur. Equidem ſi his remediis dolore ſolvatur, ſatis ſit. Sin minus meconium album potui exhibeatur, aut quid aliud quod pituitam purget; & quandiu inflammatio duraverit, levioribus eduliis utatur.

ΚΕΦΑΛΑΙΟΝ ζʹ.

Ἡ τῆς στραγγουρείας τῇ τοῦ ἀρχοῦ κατὰ συμπάθειαν ἐπιγινομένης θεραπεία.

Ἢν δὲ στραγγουρίη, ἐπιπίπτῃ ἐκ τῶνδε, θερμαινομένη ἡ κύστις ἐκ τοῦ ἀρχοῦ, προσσπᾶται τῇ θερμότητι φλέγμα. ὑπὸ δὲ τοῦ φλέγματος, στραγγουρίη γίνεται. ἢν μὲν οὖν ἅμα τῇ νούσῳ παύηται. φιλέει γὰρ ὡς τὰ πολλὰ οὕτως γίνεσθαι, ἢν δὲ μή, δίδου τῶν φαρμάκων τῶν στραγγουρικῶν.

CAPUT VI.

Stranguria ani-inflammationi per ſympathiam ſupervenientis curatio.

AT urinæ ſtillicidium ex his adoritur. Quum veſica à recto inteſtino incaleſcens, calore pituita adducitur; à pituita urinæ ſtillicidium gignitur. Si autem unà cum morbo ſedetur (quod plerumque fieri ſolet) ſatis eſt. Sin minus, quæ ad urinæ ſtillicidium faciunt medicamenta exhibentur.

ΚΕΦΑΛΑΙΟΝ ηʹ.

Περὶ τῆς τοῦ ἀρχοῦ ἐκπτώσεως, καὶ ταύτης αἰτιῶν, καὶ θεραπείας.

Ἢν δὲ ὁ ἀρχὸς ἐκπίπτῃ, ἀνώσας σπόγγῳ μαλθακῷ, καὶ καταχρίσας κοχλίῃ, τὰς χεῖρας δήσας, ἐκκρεμάσαι ὀλίγον χρόνον, καὶ εἴσεισιν. ἢν δὲ μᾶλλον ἐκπίπτῃ καὶ μὴ μένῃ εἴσω, διαζώσας ἐν τῇσι λαγόσι, καὶ ὑφεὶς ὄπισθεν ταινίην, ὤσας εἴσω τὸν ἀρχὸν, προσθεῖναι σπόγγον μαλθακὸν, βρέξας ὕδατι θερμῷ, ἐναφεψήσας λωτοῦ πρίσματα. καταχέαι δὲ καὶ κατὰ τοῦ ἀρχοῦ ἀπ' αὐτοῦ τοῦ ὕδατος, τὸν δὲ σπόγγον ἐκπιέσαι. ἔπειτα ὑποτείνας τὴν ταινίην διὰ μέσων τῶν σκελέων ἀναδῆσαι περὶ τὸν ὀμφαλόν. ὅταν δὲ θέλῃ ἀφοδεύειν, ἐπὶ σανίσιν ὡς στενοτάτοισιν ἀφοδευέτω. ἢν δὲ παιδίον ᾖ, ἐπὶ γυναικὸς τῶν ποδῶν πρὸς τὰ γούνατα προσκλιθείς. ὅταν δὲ ἀφοδεύῃ, τὰ σκέλεα ἐκτεινάτω. οὕτω γὰρ ἂν

CAPUT VII.

De ani procidentia, ejuſque cauſis, & curatione.

SI verò anus procidat, ſpongia molli ſurſùm impellendus, & cochlea illinendus, manibus devinctis homo pauco tempore ſuſpenditur, & intùs reponitur. Quod ſi ampliùs prolabatur, neque intus maneat, ilibus præcinctis, & ſubmiſſa retrò faſcia, ano intrò propulſo, ſpongia mollis aqua calida, in qua loti ramenta incoxerint, madefacta admovetur, ſpongiaque expreſſa eadem aquâ anus perfunditur, tum faſcia inter media crura ſubjecta, ad umbilicum religatur. Ubi vero dejiciendi voluntas fuerit, ſuper quam maximè anguſtos aſſeres dejiciat. Sin puer ſit, intra mulieris pedes, ad genua reclinatus decidat. Quumque alvus dejicitur, crura diſtenta habeat. Hoc enim pacto ſedes

minimum

pini, vel terebinthi ſcobs trita, pari ad chalcitidem portione ammixta inſpergitur. Exteriores partes cerato craſſo oblinuntur.

B

CAPUT VIII.

Alia prolapſus recti inteſtini, qua illud contineatur, curatio.

QVum rectum inteſtinum exciderit, neque ſuo in loco manere voluerit, laſerpitium quam optimum & denſiſſimum tenue deraſum ex cataplaſmate imponitur, & medicamento ſternutatorio naribus admoto, homo commovetur; aut ubi aqua calida ablueris, malicorio & alumine ex vino albo contritis anus perfunditur. Deinde injectis panniculis femora tribus
C diebus inter ſe vinciuntur, & inedia imperatur; vinum vero dulce potui exhibetur. Quod ſi ne ſic quidem procedat, minium melle permixtum illinitur.

CAPUT IX.

Tria cataplaſmata quorum quodque ani procidentiæ impoſitum medetur.

D SI rectum inteſtinum procidat, & ſanguis profluat, Ari radicis detractus cortex aqua incoquitur; deinde tritus cum farina mixtus, calidus ex cataplaſmate imponitur. Aliud. Vitis agreſtis (quam nonnulli pſilothrion vocant) radices tenerrimæ conciſæ, vino nigro auſtero meraco incoquuntur, deinde contuſæ ex cataplaſmate tepidæ imponuntur. Immiſcetur autem farina ex vino albo atque oleo tepido ſubacta. Aliud. Cicutæ ſemen vino albo odorato affuſo tritum, deinde tepidum ex cataplaſmate imponitur.

E

CAPUT X.

Tria topica proponit quibus ani inflammatio curatur.

QVod ſi inſideat inflammatio, hederæ radix leviter contrita, in aqua cocta cum farina quàm optima ex vino albo ſubacta, permixtoque his oleo, ex cataplaſmate imponitur. Aliud. Mandragoræ radix præcipuè quidem viridis, vel certe arida; viridis quidem elota
F & conciſa vino diluto incoquitur, & ex his cataplaſma adhibetur; arida vero trita ſimiliter admovetur. Aliud. Cucumeris maturi pars interior læviter trita ex cataplaſmate imponitur.

κυπαρίσσου, ἢ κέδρου, ἢ πίτυος, ἢ τερμίνθου τρίψας, συμμίξας τῇ χαλκίτιδι ἴσον, καταπλάσσειν. τὰ ἔξωθεν δὲ κηρωτῇ παχείῃ περιαλείφειν.

ΚΕΦΑΛΑΙΟΝ η'.

Ἑτέρα τῆς τοῦ ἀρχοῦ ἐκπτώσεως θεραπεία, καθ' ἣν ἐκεῖνος κατίσχεται.

Ὁκόταν ἀρχὸς ἐκπίπτῃ, καὶ μὴ ἐθέλῃ κατὰ χώρην μένειν, σίλφιον ὅτι ἄριστον καὶ πυκνότατον, ξύσας λεπτὸν καταπλάσσειν, καὶ τοῦ πταρμικοῦ φαρμάκου πρὸς τὴν ῥῖνα προσθεῖναι, καὶ παροξύνειν τὸν ἄνθρωπον, ἢ ὕδατι θερμῷ περικλύσας, σίδια, καὶ στυπτηρίην τρίψας ἐν οἴνῳ λευκῷ, καταχέαι τοῦ ἀρχοῦ. ἔπειτα ῥάκεα ἐμβάλλειν, καὶ τοὺς μηροὺς ξυνδῆσαι ἡμέρας τρεῖς, καὶ νηστευέτω, οἶνον δὲ πινέτω γλυκύν. ἢν δὲ μηδ' οὕτω διαχωρῇ, μίλτον μίξας ὁμοῦ μέλιτι διαχριέτω.

ΚΕΦΑΛΑΙΟΝ θ'.

Τρία τὰ καταπλάσματα, ὧν τὸ ἕκαστον τοῦ ἀρχοῦ ἐκπίπτοντι ἐπιτιθέμενον βοηθεῖ.

Ἀρχὸς ἢν ἐκπίπτῃ καὶ αἱμορροῇ, ἑκάστου ῥίζης περιελὼν τὸ φλοιὸν, ἑψεῖν ἐν ὕδατι, ἔπειτα τρίβειν ἀλήτῳ ξυμμίσγων, καὶ καταπλάσσειν θερμόν. ἄλλο. τῆς ἀμπέλου τῆς ἀγρίης, ἣν ἔνιοι καλοῦσι ψιλώθριον, ταύτης τὰς ῥίζας τὰς ἁπαλωτάτας περιξέσαντα, ἑψῆσαι ἐν οἴνῳ μέλανι, ἀκρήτῳ, αὐστηρῷ, ἔπειτα τρίψαντα, καταπλάσσειν χλιερόν. ξυμμίσγειν δὲ καὶ ἄλευρα, καὶ φυρᾷν ἐν οἴνῳ λευκῷ, καὶ ἐλαίῳ χλιερῷ. ἄλλο. κωνείου καρπὸν τρίβοντα, παραστάζειν οἶνον λευκὸν εὐώδεα, ἔπειτα καταπλάσσειν χλιερόν.

ΚΕΦΑΛΑΙΟΝ ι'.

Τρία τὰ τοπικὰ προσβλητά, καθ' ἃ ἡ τοῦ ἀρχοῦ φλεγμονὴ θεραπεύεται.

Ἢν δὲ φλεγμαίνῃ, κισσοῦ ῥίζας ἑψήσας ἐν ὕδατι, τρίψας λεῖον, ἄλευρον ξυμμίσγων ὡς κάλλιστον, ἐν οἴνῳ λευκῷ φυρήσας, καταπλάσσειν, καὶ ἔλαιον πρὸς τούτοις ξυμμίξας. ἄλλο. μανδραγόρου ῥίζαν μάλιστα μὲν χλωρὴν, εἰ δὲ μὴ ξηρήν· τὴν μὲν οὖν χλωρὴν ἀποπλύνοντα καὶ ταμόντα, ἑψῆσαι ἐν οἴνῳ κεκρημένῳ, καὶ καταπλάσσειν. τὴν δέ γε ξηρὴν τρίψαντα, καταπλάσσειν ὁμοίως. ἄλλο. σικύου πέπονος τὸ ἔνδον τρίψας λεῖον καταπλάσσειν.

εἶτα πίσσῃ συμμίξας ὡς βελτίστῃ ἐς ῥάκος ἐναλείψας, ἐπιθεῖναι, καὶ καταδεῖν. ἄλλο. καππάρεως φύλλα χλωρὰ τρίψας ἐς μαρσύπιον ἐμβαλὼν προσκαταδεῖν, καὶ ἐπὴν καίειν δοκέῃ, ἀφαιρέειν καὶ αὖθις προστιθέναι. B ἢν δὲ μὴ ᾖ φύλλα καππάρεως, τὸν φλοιὸν τῆς ῥίζης κόψας, φυράσας ἐν οἴνῳ μέλανι τὸν αὐτὸν τρόπον καταδεῖν, τοῦτο καὶ πρὸς σπληνὸς ὀδύνην, ἀγαθόν.

optima commixta, linteo illita imponuntur, ac deligantur. Aliud. Capparis folia viridia trita in ſacculum conjecta adalligantur, & ubi urere videbuntur, ſummoventur, ac rurſus apponuntur. Si vero capparis folia non adfuerint, radicis cortex contuſus, vino nigro ſubactus, eodem pacto alligatur, quod etiam ad lienis dolorem valet.

ΚΕΦΑΛΑΙΟΝ ιβ'.

A Τίνα τὰ φάρμακα πρὸς τὴν ἀρχοῦ φλεγμονὴν, καὶ ἔκπτωσιν, καὶ τὴν τοῦ αἵματος, καὶ ἰχῶρος ῥύσιν, καὶ πρὸς τὸ ὑγροῦ πλῆθος, καὶ τὴν ὀδύνην προσγέγραφε, τὰς τούτων δυνάμεις ἀνοίγει.

C ΤΟύτων τῶν καταπλασμάτων, τὰ μὲν ψύχοντα κωλύει ῥεῖν, τὰ δὲ μαλθάσσοντα καὶ θερμαίνοντα, διαφορεῖν. τὰ δὲ εἰς ἑαυτὰ ἕλκοντα, ξηραίνει καὶ ἰσχναίνει. τοῦτο δὲ τὸ νόσημα γίνεται, ὅταν χολὴ καὶ φλέγμα ἐς τοὺς τόπους κατασκήψῃ. ἀρχοῦ δὲ φλεγμήναντος διαχρίειν τῷ φαρμάκῳ, ὅπη ἡ ῥητίνη καὶ τὸ ἔλαιον, καὶ ὁ κηρὸς, καὶ ἡ μολύβδαινα, καὶ τὸ στέαρ ὡς θερμότατον, διαρρυηθέντα, καταπλάττεται.

CAPUT XII.

Quæ medicamenta adverſus ani inflammationem, procidentiam, ſanguinis & ſaniei fluxum, humoris copiam & dolorem præſcripſit, eorum facultates aperit.

EX his cataplaſmatis quæ refrigerant, fluxum prohibent; quæ vero molliunt & calefaciunt, diſcutiunt; quæ ad ſe trahunt, ſiccant & extenuant. Naſcitur autem hic morbus, quum bilis & pituita ad ea loca decubuerint. Anum autem inflammatam inungere oportet medicamento quod reſinam, & oleum, & ceram, & plumbaginem, & adipem accipiat. Hac calida liquata cataplaſmate imponuntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ
ΠΕΡΙ ΑΙΜΟΡΡΗΟΙΔΩΝ
ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS
DE HÆMORRHOIDIBUS
LIBER.

Η ΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Ἡ τῶν αἱμοῤῥοΐδων γένεσις, ἡ διάγνωσις, καὶ θεραπεία τοῖς ποικίλοις τρόποις πλειομένη.

ARGUMENTUM LIBRI.

Ortus hæmorrhoidum, dignotio, & curatio variis modis celebranda.

CAPUT I.

Hæmorroidum ortus, ac dignotio.

A HÆmorrhoidum morbus hoc modo naſcitur. Quum bilis aut pituita ad recti inteſtini venas decubuerit, ſanguinem his in venis calefacit, caleſcentes autem venæ ſanguinem ex proximis venis trahunt, eoque impletæ interiorem recti inteſtini partem in tumorem attollunt, venarumque capita supereminent, B quæ dum partim à ſtercore exeunte comprimuntur, partim à ſanguine coacervato perrumpuntur, ſanguinem ejaculantur, idque potiſſimùm unà cum ſtercore, interdum verò abſque ſtercore.

ΚΕΦΑΛΑΙΟΝ α'.

Ἡ τῶν αἱμοῤῥοΐδων γένεσίς τε καὶ διάγνωσις.

Αἱμοῤῥοΐδων τὸ μὲν νόσημα. ὧδε γίνεται. Ἐὰν ἡ χολὴ, ἢ φλέγμα, ἐς τὰς φλέβας τὰς ἐν τῷ ἀρχῷ καταστηρίξῃ, θερμαίνει τὸ αἷμα τὸ ἐν τῇσι φλεβίοισι. Θερμαινόμενα δὲ τὰ φλέβια ἐπισπᾶται ἐκ τῶν ἔγγιστα φλεβίων τὸ αἷμα, καὶ πληρεύμενα ἐξοιδέει τὸ ἐντὸς τοῦ ἀρχοῦ, καὶ ὑπερέχουσιν αἱ κεφαλαὶ τῶν φλεβίων, καὶ ἅμα μὲν ὑπὸ τῆς κόπρου ἐξιούσης φλώμεναι, ἅμα δὲ ὑπὸ τοῦ αἵματος ἀθροιζομένου βιαζόμεναι, ἐξακοντίζουσιν αἷμα, μάλιστα μὲν ξὺν τῷ ἀποπάτῳ, ἐνίοτε δὲ χωρὶς ἀποπάτου.

Θεραπεύειν δὲ δεῖ ὧδε. Πρῶτον μὲν ὑπερέχετω εἰδέναι, ἐν οἵῳ χωρίῳ γίνονται. ἀρχὸν γὰρ, καὶ δαίων, τάμνων, καὶ ἀποτάμνων, καὶ ἀναρράπτων, καὶ δέων, καὶ ἀποσήπων, B ταῦτα γὰρ δοκέει δεινότατα εἶναι, οὐδὲν ἂν σίνοιο. παρασκευάσασθαι δὲ κελεύω ἑπτὰ ἢ ὀκτὼ σιδήρια, σπιθαμιαῖα τὸ μέγεθος, πάχος δὲ, ὡσεὶ μήλης παχείης, ἐξ ἄκρου δὲ κατακεκάμφθαι, καὶ ἐπὶ τῷ ἄκρῳ πλατὺ ἔστω, ὡς ἐπὶ ὀβολοῦ μικροῦ. προκαθήρας δὲ φαρμάκῳ τῇ προτέρῃ, αὐτῇ δὲ ᾗ ἂν ἐπιχειρέῃς καῦσαι, ἀνακλίνας τὸν ἄνθρωπον ὕπτιον, καὶ προσκεφάλαιον ὑπὸ τὴν ὀσφὺν ὑποθεὶς. ἐξαναγκάζειν ὡς μάλιστα τοῖσι δακτύλοισι τὴν ἕδρην ἔξω. πυρίειν δὲ καὶ διαφανέα τὰ σιδήρια, καὶ καίειν ἕως ἂν ἀποξηράνῃς, καὶ ὅκως μὴ ἐπαλείψῃς. καίειν δὲ καὶ μηδεμίην C ἐᾶσαι ἄκαυστον τῶν αἱμορροΐδων, ἀλλὰ πάσας ἀποκαύσεις. γνώσῃ δὲ οὐ χαλεπῶς τὰς αἱμορροΐδας· ὑπερέχουσι γὰρ ἐς τὸ ἐντὸς τοῦ ἀρχοῦ, οἷαι ῥᾶγες πελιδναὶ, καὶ ἅμα ἐξαναγκαζομένου τοῦ ἀρχοῦ, ἐξακοντίζουσιν αἷμα. κατεχόντων δὲ αὐτὸν ὅταν καίηται, τῆς κεφαλῆς, καὶ τῶν χειρῶν, ὡς μὴ κινέηται, βοάτω καιόμενος. ὁ γὰρ ἀρχὸς μᾶλλον ἐξίσχει, ἐπὴν δὲ καύσῃς, φακοὺς καὶ ὀρόβους ἑψήσας, ἐν ὕδατι τρίψας λείους, καταπλάσσε πέντε ἢ ἓξ ἡμέρας· τῇ δὲ ἑβδόμῃ σπόγγον μαλθακὸν τάμνειν ὡς λεπτότατον. D πλάτος δὲ εἶναι τοῦ σπόγγου, ὅσον ἓξ δακτύλων πάντῃ. ἔπειτα ἐπιθεῖναι ἐπὶ τὸν σπόγγον ὀθόνιον ἴσον τῷ σπόγγῳ λεπτὸν, καὶ λεῖον, ἀλείψας μέλιτι. ἔπειτα ὑποβαλὼν τῷ δακτύλῳ τῷ λιχανῷ τῆς ἀριστερῆς χειρὸς, μέσον τὸν σπόγγον ὦσαι κάτω τῆς ἕδρης ὡς προσωτάτω. ἔπειτα ἐπὶ τὸν σπόγγον προσθεῖναι εἴριον, ὡς ἂν ἐν τῇ ἕδρῃ ἀτρεμίζῃ. διαζώσας δὲ ἐν τῇσι λαγόσι καὶ ὑφεὶς ταινίην, ἐκ τοῦ ὄπισθεν ἀναλαβὼν ἐκ τῶν σκελέων τὸν ἐπίδεσμον, ἀναδῆσαι ἐς τὸ διάζωμα παρὰ τὸν ὀμφαλόν. τὸ δὲ E φάρμακον ὃ εἶπον ἐπιδεῖται πυκνὴν τὴν σάρκα ποιέειν, καὶ ἰσχυρὴν φῦσαι. ταῦτα δὲ δεῖ ἐπιδεῖν, μὴ ἔλασσον ἡμερῶν εἴκοσι· ῥοφέειν δὲ ἅπαξ τῆς ἡμέρης ἄλευρον, ἢ κέγχρον, ἢ τὸ ἀπὸ τῶν πιτύρων, καὶ πίνειν ὕδωρ. ἢν δὲ ἐσαφοδονίζεται, ὕδατι θερμῷ διανίζειν, λούεσθαι δὲ διὰ τρίτης ἡμέρης.

At hoc modo curandæ ſunt Hæmorrhoides. Imprimis equidem noſce oportet quo in loco ſint hæmorrhoides. Etenim anum urendo, incidendo, reſecando, conſuendo, aut vinciendo, aut putrefaciendo, etiamſi graviſſima eſſe iſta videantur, nihil læſeris. Ferramenta ſeptem, octove parari jubeo, quæ palmum magnitudine, & craſſum ſpecillum craſſitudine exæquent, extremâ parte recurva, & in ſummo ad oboli parvi formam lata. Exhibito pridie medicamento purgante, eodem quoad uſtionem aggredieris die: homo ſupinus reclinatur, pulvinoque lumbis ſuppoſito, ſedes digitis quammaximè foràs educitur; tum candentibus admotis ferramentis uruntur, quoad reſiccentur, ita ut ne leviter attingas. Vrere verò ita oportet ut hæmorroidum nulla inuſta relinquatur, ſed omnes adurantur. Haſce hæmorroidas nullo negotio cognoſces; quòd interiore ani parte ſupereminεant tanquam acini uvæ lividæ, & ſimul atque foras anus cogitur, ſanguinem ejaculantur. Inter urendum autem à quibuſdam caput & manus detineantur, ne moveantur, ſed clamet qui inuritur: Nam anus magis foras egreditur. Peractâ uſtione lentes & ervum in aqua decocta, contuſa, & ad lævorem ſubacta quinque aut ſex diebus in cataplaſmatis formam imponantur. Septimo die ſpongia mollis quamtenuiſſimè concidenda, quæ omni ex parte ſex digitorum latitudinem æquet. Tum linteum ſuprà ſpongiam ſpongiæ æqualem tenue ac læve melle illitum ſuperimponatur. Deinde ſubdito ſiniſtræ manus indice digito, media ſpongia deorſum quampenitiſſimè in ſedem propellatur; poſtea ſupra ſpongiam lana apponatur, ut in ſede immota permaneat. Cingulo verò per ilia ducto faſcia ſubmittitur, exceptumque à poſteriore parte per crura vinculum ad cingulum deligatur. Tum medicamentum quod dixi, carnem denſam facere, ac calidum producere, alligatur: Quæ non minore quàm viginti dierum ſpatio devincire oportet. Semel autem die aſſumenda ſorbitio eſt ex farina, aut ex milio, aut furfuribus facta, & aqua potui exhibenda. Si ad alvum exonerandam deſideat, aqua calida proluere oportet. Tertia verò quâque die lavari convenit.

ΚΕΦΑΛΑΙΟΝ γʹ.

F

Δευτέρα θεραπευτικὴ τῶν αἱμορροΐδων μέθοδος, ἡ κατὰ τὴν τομὴν τελειουμένη.

CAPUT III.

Secunda curationis hæmorroidum methodus quæ per exciſionem perficitur.

Ἑτέρα θεραπείη. ἐκβαλὼν τὴν ἕδρην ὡς μάλιστα, καταιονᾶν ὕδατι θερμῷ, ἔπειτα ἀποτάμνειν τῶν αἱμορροΐδων τὰ ἄκρα. φάρμακον δὲ προκατασκευασθῆναι πρὸς τὴν τομὴν, τόδε. οὐρήσας ἐς χαλκεῖον, ἐπίπασον ἐπὶ τὸ οὖρον, χαλκοῦ ἄνθος ὀπτοῦ, καὶ τετριμμένου

Altera curatio. Educta quam maxime ſedes calido perfunditur. Deinde ſummæ hæmorrhoidum partes præciduntur. Hoc verò medicamentum anteà præparatum ad ſectionem habere oportet. Vrina in vas æneum immiſſa, flos æris uſtus optimè lævigatus inſper-

CAPUT IV.

Tertia hæmorrhoidis tuberoſæ, aut condulomatis curatio per extirpationem digito, aut cathartetico vel per exciſionem, aut uſtionem facienda.

Alter *curationis* modus. Venæ ſanguinem fundenti & extuberanti veluti fici fructus adnaſcitur, etſi extuberatio foras valde prominet, & circumcirca operculum carnoſum adhæreſcit. Homine igitur flexis genibus ſuper duas clunes collocato, anum inſpice. Invenies nanque loca inter nates medias circa ſedem tumefacta, ſanguinemque ex interioribus partibus procedere. Si ergo condyloma molle ſit, & ſub tegumento cedat, ipſum digito auferendum eſt. Neque enim majore negotio id fiet, quàm ſi dum pellis oviculæ detrahitur, digitum inter pellem & carnem medium adigas. Atque hæc interloquendum, ſimulque non advertente ægro, peragenda ſunt. Sublato condylomate, ſanguinis curſum ex tota detractione promanare neceſſe eſt; qui vino auſtero in quo Gallæ maceratæ fuerint, citò perluendus eſt. Venaque ſanguiflua unà cum condylomate evaneſcet & operculum in priſtinum ſtatum reſtituetur. Quòque vetuſtior morbus eſt, eo facilior curatio futura. At ſi altior fuerit condyloſis per catopterem inſpicere oportet, neque à catoptere decipi. Apertus enim condyloſin explanat; contractus rurſum rectè demonſtrat. Auferre autem oportet veratro nigro in anum ſubdito; tum tertio die vinum auſterum ſubluere. At verò ubi condyloſin detraxeris, ſi ſanguis non effluat, mirandum non eſt. Neque enim ſi in articulis manus aut crura ſecueris, ſanguis profluet. At ſi ſupra aut infra articulos ſectionem feceris, cavas & ſanguifluas venas comperies, quas perarduum eſt promptè ſiſtere. Sic etiam ſi hæmorrhoidem in ſede ſupra quidem aut infra condylomatis detractionem ſecueris, ſanguis profluet; ſin verò ipſam condyloſin in ipſa connexione detraxeris, minimè fluet. Si igitur ita quidem ad priſtinum ſtatum reducatur, bene ſe res habet; ſin minùs, uſtio adhibenda, ea cautione, ut ne ferro attingatur: ſed prope admotis ferramentis exſiccetur, & flos æris ex urina admoveatur.

ΚΕΦΑΛΑΙΟΝ δ'.

Τρίτη τῆς αἱματίτιδος κονδυλώδεος, ἢ τοῦ κονδυλώματος
B θεραπεία ἢ κατὰ τὴν ἀποῤῥίζωσιν τῷ δακτύλῳ, ἢ καθαίρεσιν, ἢ τὴν ἐκτομὴν, ἢ καῦσιν, χειρουργουμένη.

Ἕτερος τρόπος. προσπέφυκε πρὸς τῇ αἱματίτιδι τῇ κονδυλώδει, οἷον συκαμίνου καρπὸς, καὶ εἰ μὴ ἔξω σφόδρα εἴη ἡ κονδύλωσις, περιπέφυκεν αὐτῇ καλυπτὴρ ὁ τῆς σαρκός· καθίσας οὖν τὸν ἄνθρωπον ὀκλὰξ ἐπὶ ὅλμοιν δύο, σκόπει. εὑρήσεις γὰρ πεφυσημένα τὰ μεσηγὺ τῶν γλουτῶν παρὰ τὴν ἕδρην, τὸ δὲ αἷμα ἐκχωρέον ἔνδοθεν. ἢν μὲν οὖν ἐνδιδῷ ὑπὸ τοῦ καλυπτῆρος, ἢ τὸ κονδύλωμα
C τῷ δακτύλῳ ἀφαιρεῖν. οὐδὲν γὰρ χαλεπώτερον, ἢ ὥσπερ τοῦ προβάτου διειρομένου τὸν δάκτυλον μεταξὺ τοῦ δέρματος καὶ τῆς σαρκὸς ἀφαιρέειν. καὶ ταῦτα διαλεγόμενος, ἅμα λάνθανε ποιέων. ἐπὴν δὲ ἀφαιρῇς τὸ κονδύλωμα, ἀνάγκη ῥέεσθαι δρόμους αἵματος ἀπὸ πάσης τῆς ἀφαιρέσιος ταχέα χρὴ ἀποπλύναι οἴνῳ αὐστηρῷ κηκῖδας ἐναποβρέξας. καὶ ἥτε αἱματίτις οἰχήσεται σὺν τῷ κονδυλώματι. καὶ τὸ κάλυμμα καταστήσεται, καὶ ὅσῳ ἂν παλαιότερον ᾖ, ῥηιδίως ἔσται ἡ ἴησις. ἢν δὲ ἀνώτερος ᾖ ἡ κονδύλωσις, τῷ
D κατοπτῆρι σκέπτεσθαι, καὶ μὴ ἐξαπατᾶσθαι ὑπὸ τοῦ κατοπτῆρος· διοιγόμενος γὰρ ὁμαλυνεῖ τὴν κονδύλωσιν. ξυναγόμενος δὲ πάλιν, δείκνυσιν ὀρθῶς· ἀφαιρέειν δὲ χρὴ ἐλλεβόρῳ μέλανι ὑπαλείφοντα τὸν δάκτυλον, ἔπειτα τριταίῳ οἴνῳ κλύζειν αὐστηρῷ. τὸ δὲ αἷμα ὅταν ἀφέλῃς τὴν κονδύλωσιν, ὅτι οὐ ῥεῖ μὴ θαυμάζειν. οὐδὲ γὰρ ἢν ἐν τοῖσιν ἄρθροισι διατάμῃς τὰς χεῖρας ἢ τὰ σκέλεα, οὐ ῥυήσεται αἷμα. ἢν δὴ ἄνωθεν, ἢ κάτωθεν τάμῃς τῶν ἄρθρων, εὑρήσεις κοίλας φλέβας καὶ αἱμόῤῥους, καὶ χαλεπῶς ἂν ἴσχοις εὐπόρως. οὕτω καὶ τὴν ἐν τῇ
E ἕδρῃ αἱμοῤῥοΐδα, ἢν μὲν ἄνωθεν, ἢ κάτωθεν τάμῃς τῆς ἀφαιρέσιος τοῦ κονδυλώματος, αἷμα ῥυήσεται. ἢν δὲ αὐτὴν ἀφέλῃς τὴν κονδύλωσιν ἐν τῇ προσφύσει, οὐ ῥυήσεται· ἢν μὲν οὖν οὕτω καθίσταται, καλῶς ἂν ἔχοι. ἢν δὲ μὴ, καῦσαι, φυλασσόμενος, ὡς μὴ ἅψῃ τῷ σιδήρῳ, ἀλλ' ἐγγὺς προσφέρων τὰ σιδήρια ἀποξηραίνειν, καὶ προσπάσαι τὸ τοῦ χαλκοῦ ἄνθος τὸ ἐν τῷ οὔρῳ.

CAPUT V.

Quarta curatio hæmorrhoidum per uſtionem cauterio faciendam peragitur.

Alter modus curationis hæmorrhoidum. Æream cauterii fiſtulam parare oportet in modum parvæ arundinis vallatoriæ (phragmiten vocant) & in ipſam ferramentum decenter adaptatum accommodare, deinde inditâ in anum fiſtulâ candens ferramentum immittere,

F
ΚΕΦΑΛΑΙΟΝ ε'.

Ἡ τετάρτη τῶν αἱμοῤῥοΐδων ἴασις κατὰ τὴν καῦσιν τῶν διὰ καυτῆρος γινομένην τελεῖται.

Ἕτερος τρόπος ἴησιος αἱμοῤῥοΐδων. καυτῆρα χρὴ ποιήσασθαι, οἷον καλαμίσκον φραγμίτην. σιδήριον δὲ ἐναρμόσαι κοῖλον ἁρμόζον· ἔπειτα τὸν αὐλίσκον ἐνθεὶς ἐς τὴν ἕδρην διάπυρον τὸ σιδήριον καθιέναι,

SI verò neque urere, neque ſecare volueris, ubi prius ſedem multa aqua calida foveris, & everteris, tum myrrham probè lævigatam, gallam, & alumen Ægyptium uſtum una ac dimidia ac reliqua parte, & melanteriæ tantumdem accipe, hiſque ſiccis utere. Iſtis autem medicamentis hæmorrois ut corium uſtulatum excidet. Hæc facito donec omnes extirpaveris. Idem efficit chalcitidis uſtæ dimidium.

καταιονήσας ὕδατι πολλῷ θερμῷ, καὶ ἐκστρέψας τὴν ἕδρην, σμύρναν τρίψας λείην, καὶ κηκίδα, καὶ στυπτηρίην Αἰγυπτίην κατακαύσας, ἓν καὶ ἥμισυ πρὸς τὰ ἄλλα, καὶ μελαντηρίης ἄλλο τοσοῦτον, τούτοισι ξηροῖς χρέεσθαι. αἱ δὲ αἱμοῤῥοΐδες τούτοισι τοῖσι φαρμάκοισιν ἀποπίπτουσιν, ὥσπερ σκῦτος κατακεκαυμένον. ταῦτα ποιέειν μέχρις ἂν πάσας ἀφανίσῃς, καὶ χαλκίτιδος ἥμισυ κεκαυμένον τὠυτὸ ἀπεργάζεται.

CAPUT VII.

Sexta curatio hæmorrhoidum quæ fit balano ex medicamentis exſiccandi, detergendi, adſtringendi, & abſumendi facultatem habentibus, melle cocto exceptis, ad hæmorrhoidas penitiores facto.

AT ſi balanis ſanare volueris, ſepiæ teſtam, molybdænæ tertiam partem, bitumen, florem æris modicum, gallam, æruginem modicam ubi melli cocto miſcueris, balanum longiorem formato, ac imponito donec extirpaveris.

ΚΕΦΑΛΑΙΟΝ ζ′.

Ἕκτη ἴασις τῶν αἱμοῤῥοΐδων ἡ γινομένη τοῖς βαλάνοις ἐκ τῶν φαρμάκων ξηραντικῶν, ῥυπτικῶν, καὶ στυπτικῶν, καὶ ἀφανιστικῶν τῷ μέλιτι ἑφθῷ ἐξηρτημένων πρὸς τὰς αἱμοῤῥοΐδας ἐσωτέρας ποιουμένοις.

ΗΝ δὲ βούλῃ βαλάνοισιν ἰῆσθαι, σηπίης ὄστρακον, μολυβδαίνης τρίτον μέρος, ἄσφαλτον, στυπτηρίην, ἄνθος ὀλίγον, κηκίδα, χαλκοῦ ἰὸν ὀλίγον. τουτέων μέλι ἑφθὸν καταχέας, βάλανον ποιήσας μακροτέρην προσθεῖναι, μέχρις ἂν ἀφανίσῃς.

CAPUT VIII.

Octava ac ultima hæmorrhoidum curatio mulieribus propria.

MVliebrem hæmorrhoidem ſic curare oportet. Multa aqua calida ſedem foveto; ſed in aqua calida odoratorum portio incoquenda, qualis eſt myrica trita, ſpuma argenti uſta, & galla; quibus contritis vinum album, & oleum, & anſerinum adipem affundito, atque omnia ſimul trita ſublinenda dato, quum priùs partem foverit: ſedem autem quammaximè foras propulſam fovere oportet.

ΚΕΦΑΛΑΙΟΝ η′.

Ὀγδόη καὶ ἐσχάτη τῶν αἱμοῤῥοΐδων ἴασις ταῖς γυναιξὶν ἰδία.

ΓΥναικείην αἱμοῤῥοΐδα ὧδε θεραπεύειν. πολλῷ ὕδατι θερμῷ αἰονήσας, συνέψειν δὲ ἐν τῷ θερμῷ τῶν εὐωδέων τρίψας μυρίκην, λιθάργυρον ὀπτὴν, καὶ κηκίδα, οἶνον λευκὸν παραχέειν, καὶ ἔλαιον, καὶ χηνὸς στέαρ, τρίψας ὁμοῦ πάντα. διδόναι ὁκόταν αἰονηθῇ, διαχρίεσθαι. αἰονᾷν δὲ καὶ τὴν ἕδρην, ἐξώσας ὡς μάλιστα.

ΙΠΠΟΚΡΑΤΟΥΣ
ΠΕΡΙ ΑΓΜΩΝ ΒΙΒΛΙΟΝ
ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟ
ΥΠΟΜΝΗΜΑΤΑ ΤΡΙΑ.

HIPPOCRATIS
DE FRACTURIS LIBER:
ET GALENI IN EUM
COMMENTARII TRES.

ΥΠΟΜΝΗΜΑ ΠΡΩΤΟΝ.

ΤΟ ΠΡΟΚΕΙΜΕΝΟΝ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΕ ΚΑΙ ΤΟΥ ΥΠΟΜΝΗΜΑΤΟΣ.

Τὰ ἐξηρθρημένα καὶ κεκλασμένα τὰ μὲν σὺν τοῖς ἕλκεσι, τὰ δὲ ἄνευ τῶν ἑλκῶν μέρη, καὶ τὰς ἐξοχὰς τὰς αὐτῶν παραβάσεις, καὶ τὰς διατάσεις, καὶ διαπλάσεις, καὶ τὰς διαφορὰς ἐπιδέσεις, καὶ θέσεις, καὶ τὰς θεραπείας διδάσκει ὁ Ἱπποκράτης, καὶ ἐξηγεῖται ὁ Γαληνός.

COMMENTARIUS PRIMUS.

ARGUMENTUM LIBRI ET COMMENTARII.

Luxatas & fractas cum ulceribus, & citra ulcera partes, earundemque prominentias & tranſgreſſiones, extenſiones, conformationes, varias deligationes, poſituras & curationes docet Hippocrates, explicat Galenus.

GALENI PRÆFATIO.

A

Docet univerſalia particularibus prius explicanda eſſe, & explicationibus obſcura patefieri, vera demonſtrari, falſa refelli, captioſè reprehenſa protegi; duplicem tum explanationis, tum obſcuri eſſe differentiam; multa eſſe auditorum genera; eumque hiſce commentariis duntaxat dignum eſſe, qui mediocri ingenio præditus, anatomes peritus, & in ea exercitatus cubiti, brachii & juncturæ naturam perceperit.

ANte ſingularium explanationem, omnem univerſalium explicationem percepiſſe præſtiterit, quod ſit ipſius vis quæcunque in operibus obſcura ſunt, ea dilucida reddere; quiddam autem eorum quæ

B

ΓΑΛΗΝΟΥ ΠΡΟΟΙΜΙΟΝ.

Διδάσκει περὶ τῆς τῶν κατὰ μέρος ἐξηγήσεως, τὴν τῶν καθόλου ἐξήγησιν ποιητέον εἶναι· καὶ τὰς ἐξηγήσεις ἀσαφῆ σαφῆ ἐργάζεσθαι, καὶ τὰ ἀληθῆ ἀποδεικνύναι, καὶ τὰ ψευδῆ ἐλέγχειν, καὶ τὰ σοφιστικῶς ἐπικαταληφθέντα ἀσφαλίζεσθαι. Τὴν διττὴν εἶναι τῆς ἐξηγήσεώς τε, καὶ τοῦ ἀσαφοῦς διαφοράν· παμπολλὰ εἶναι τῶν ἀκουόντων γένη, καὶ τοῦτον τούτοις ὑπομνήμασι μόνον ἄξιον εἶναι, καὶ ὃς τῇ φύσει μετρίᾳ κεκοσμημένος, καὶ ὁ τῆς ἀνατομῆς ἔμπειρος, καὶ ἐν ταύτῃ κατησκημένος, καὶ πήχεός τε καὶ βραχίονος, καὶ τοῦ κατ᾽ ἀγκῶνα φύσιν καταλάβῃ.

ΠΡΟ τοῦ τῆς κατὰ μέρος ἐξηγήσεως, ἄμεινον ἀκηκοέναι καθόλου περὶ πάσης ἐξηγήσεως, ὡς ἔστιν ἡ δύναμις αὐτῆς, ὅσα τῶν ἐν τοῖς συγγράμμασιν ἐστὶν ἀσαφῆ, ταῦτ᾽ ἐργάσασθαι σαφῆ· τὸ δὲ ἀποδεῖξαί τι τῶν γεγραμμένων

τῶν εἰρημένων. ὥσπερ μέντοι καὶ κατὰ ταύτην τὴν ἐξήγησιν διαφορᾶς διττῆς, ἔτι δὲ τὸ ἀσαφὲς αὐτὸ διπλοῦν ἐστιν, B ἄμεινον εἶναί μοι δοκεῖ καὶ περὶ τούτου προειπεῖν, εἰρήσεται δὲ καὶ αὐτὰ ταῦτα διὰ βραχέων, οἷον ἐπιτομή τις, ὧν ἰδίᾳ λέλεκται διὰ μακροτέρων ἐν τῷ περὶ ἐξηγήσεως ὑπομνήματι. δέδεικται δὲ ἐν ἐκείνῳ, τὸ μὲν ὄντως ἀσαφὲς, αὐτὸ δι' ἑαυτὸ τοιοῦτον ὑπάρχον, τὸ δὲ ἐν αὑτῷ προτέρην τὴν γένεσιν οὐκ ἔχον, ἐπειδὴ τῶν ἀκουόντων τοῦ λόγου, διαφοραὶ πάμπολλαι τυγχάνουσιν οὖσαι, κατά τε τὸ προπαιδεύεσθαι, καὶ γεγυμνάσθαι περὶ λόγους, ἢ παντάπασι γε ἀγυμνάστους ὑπάρχειν, C εἶναί τε φύσει, τοὺς μὲν ὀξεῖς τε καὶ συνετοὺς, τοὺς δὲ ἀμβλεῖς, καὶ ἀσυνέτους. Αὐτίκα γοῦν ἐν αὐτῷ τῷ προκειμένῳ βιβλίῳ τῷ περὶ τῶν καταγμάτων, ἔνθα μέν φησιν ὁ Ἱπποκράτης· ῥητέον οὖν ἑκόσας αὖ ἐθέλω τῶν ἁμαρτάδων τῶν ἰητρῶν, τὰς μὲν διδάξαι, τὰς δὲ ἀποδιδάξαι, τὴν ἀσάφειαν ἔχει αὐτὴ δι' ἑαυτὴν ἡ λέξις, οὐ προσδεχομένων ἡμῶν, εἶναί τινας ἁμαρτίας, ἃς διδάξαι χρή. τοιοῦτόν ἐστι κἀκεῖνο· καὶ ἡ ἀνάτασις τοῦ ἄρθρου κέκλασται ἐν τούτῳ τῷ σχήματι. τὸ γὰρ ἐκτεταμένης τῆς D χειρὸς σχῆμα, κεκλασμένον φησὶν ἔχειν τὸ ἄρθρον, ὃ κατ' ἀγκῶνα· δοκεῖ δὲ τοῦτ' ἄτοπον εἶναι, κεκλάσθαι φάναι τὸ εὐθύ. τὸ μέντοι λελεγμένον οὕτως· εἰ τοῦ βραχίονος τὸ γιγγλυμοειδὲς ἐν τῇ τοῦ πήχεος βαθμίδι, ἐν τούτῳ τῷ σχήματι ἐρεῖδον, ἰθυωρίην ποιέει τοῖσιν ὀστέοισι τοῦ πήχεος, καὶ τοῦ βραχίονος, ὡς ἂν εἴη τὸ πᾶν· εἰ μέν τοι τις ἑώρακεν ὁποῖόν ἐστι τῶν ὀστῶν ἑκάτερον. ὑπὲρ ὧν ὁ λόγος ἐστὶν, οὐδεμίαν ἀσάφειαν ἔχει· τῷ δ' ἀγνοοῦντι τὴν κατ' ἀγκῶνα διαρθρώσεως φύσιν, ἀσαφὴς εἰκότως ἡ λέξις φαίνεται. E ἐδόκει δέ μοι βέλτιον εἶναι, καὶ τὰ τοιαῦτα πάντα ἐξηγεῖσθαι, διά τε, τοὺς πλείστους τῶν ἀναγινωσκόντων τὸ βιβλίον, ἀμαθεῖς ἀνατομῆς εἶναι. τὰ μέντοι μηδὲν ἔχοντα τοιοῦτον, παρέρχεσθαι προσήκει, τοσοῦτον προειπόντα περὶ αὐτῶν ἔτι, τοῖς ἀναγνωσομένοις τὸ βιβλίον, ἐάν τινα λέξιν, ὧν ἐξηγησάμην, ἀσαφὲς ἔχειν τι νομίσῃς, ἐπισκέψασθαι μὲν πρῶτον, εἰ μὲν τὸ βιβλίον ἡμάρτηταί σου, παραβάλλοντά τε, καὶ ἀντεξετάζοντα τοῖς ἀξιοπίστοις ἀντιγράφοις· εἶτ' ἂν ὀρθῶς ἔχειν φαίνηται, δεύτερόν τε, καὶ τρίτον ἀνάγνωθι τὴν αὐτὴν λέξιν, προσέχων ἀκριβῶς αὐτῇ τὸν νοῦν. F ἐγὼ γὰρ, ὅταν μὲν παρὼν παρόντι συναναγινώσκω τι βιβλίον, ἀκριβῶς στοχάζεσθαι δύναμαι τοῦ μέτρου τῆς ἐξηγήσεως, ἀποβλέπων ἑκάστοτε πρὸς τὴν τοῦ μανθάνοντος ἕξιν· ὅταν δὲ γράφω πᾶσιν, οὔτε τοῦ ἄριστα παρεσκευασμένου, οὔτε τοῦ χείριστα, στοχάζομαι. τὸ μὲν γὰρ, τοῖς πλείστοις ἀσαφὲς ἔσται, τὸ δὲ, ἀνιᾶται χρονίζοντας ἐν τοῖς σαφέσιν. ἄριστον οὖν ἡγοῦμαι τῆς μέσης ἕξιν ἐχόντων στοχάζεσθαι· τούτου δὲ ἀποτυγχάνων, ἐπὶ τοὺς ἱκανωτέρους ἐπόπτειν μᾶλλον· οὐδὲ γὰρ ὅλως

D *Alius porrò Medicus ſupinam manũ præbens extendere imperabat, eóque habitu devinciebat, eum naturalem eſſe ratus, tum ex cutis planitie conjecturam faciens, tum quod oſſa ſecundùm naturam ſic ſe habere exiſtimaret, ex eo quod os ad manus juncturam iuxta parvum digitum è directo illius oſſis ſitum, ex quo homines ulnam metiuntur. Atque his argumentis eum eſſe naturalem habitum contendebat, rationique conſentanea loqui videbatur. Verùm hic* E *habitus ſi ſupina manus extendatur, vehementer doluerit. Noverit autem quivis eum habitũ propriâ manu ita extenſa dolorem excitare. Etenim vir imbecillior robuſtiorem ita manibus ſuis comprehenſum, ut cubiti flexura ſupina reflectatur, quocunque volet, deduxerit. Neque enim ſi gladium hac manu teneat, eo uti poterit,* F *uſque adeo violenta iſta figura eſt. Ad hæc ſi quis deligatã manum eo habitu ſinat, major quidem dolor, ubi obambulaverit; magnus etiam ubi decubuerit, ſentietur. Quod ſi quis manũ flectat, muſculos contrahi, & oſſa aliam habere figuram prorſus neceſſe eſt. Quin & præter cætera perniicioſa huius habitus incommoda, hæc ignorabat. Os enim ad manus iuncturam iuxta parvum digitum prominens, hoc quidem ad cubitum pertinere, illud verò in cubiti flexura quo ulnam homines metiuntur, id humeri caput eſſe.*

tur humeri caput ab interiore parte, quod græce κόνδυλος id eſt tuberculum, nominatur, eſſe caput ſuperius cubiti, quum quodammodo è regione ſe oſtendat capitis inferioris, quod in prima palmæ parte extat à parte minimi digiti. Non tamen omnes cubitum metiuntur ab humeri tuberculo: ſed ſunt, qui metiri incipiant, idque rectè, à cubiti eminentia, quam Græci ὀλέκρανον dicunt & ἀγκῶνα. At Hippocrates, quum dixit unde cubitum metitur, ſignificare videtur, vel omnes, vel pleroſque inde metiri. Quomodo autem ſeſe res habeat, hic quærere ſupervacaneum eſt. Illud meminiſſe oportet, quod inferius cubiti caput ſitum in prima palmæ parte è regione ſuperiori capiti reſpondet, ubi ſecundùm naturam brachium figuretur, ut ſcilicet curva pars interior ſit, gibba exterior: in quo habitu fit, ut minimus digitus ab inferiori parte ſubjiciatur, pollex à ſuperiori inſidat.

τὸ ἄνω πέρας εἶναι τοῦ πήχεος. ἐπειδὴ καὶ ἀντικρύ πως εἶναι φαίνεται, τῷ κάτω πέρατι, τῷ κατὰ τὸν καρπὸν ἐξέχοντι, κατὰ τὸν μικρὸν δάκτυλον· ἐν μέλλει ἄπαντές γε, τὸν πῆχυν ἀπὸ τοῦ κατὰ τὸν βραχίονα κονδύλου μετρεῖν. ἀλλ' εἰσὶ γάρ τινες, οἱ προστιθέντες ἀπὸ τοῦ ὀλεκράνου, ὅπερ καὶ B ἀγκῶνα καλοῦσιν, ἄρχονται τῆς μετρήσεως. ὁ δ' Ἱπποκράτης εἰπὼν, ἀπὸ τούτου, οἱ ἄνθρωποι τὸν πῆχυν μετρέουσιν, ἐμφαίνειν ἔοικεν, ἤτοι πάντας, ἢ τοὺς πλείους ἐντεῦθεν μετρεῖν. ἀλλὰ τοῦτο μὲν ὅπως ἂν ἔχῃ, οὐκ ἀναγκαῖον ζητεῖν. ἐκεῖνο δὲ μεμνῆσθαι προσήκει, τὸ, τὸ κάτω πέρας τοῦ πήχεος, τὸ πρὸς τῷ καρπῷ, καὶ ἀντικρὺ γίγνεσθαι τῷ ἄνω πέρατι, κατὰ φύσιν σχηματισθείσης τῆς χειρὸς, τὸ μὲν κοῖλον αὐτῆς ἐκ τοῦ ἔνδον μέρους ποιησάσης, τὸ κυρτὸν δὲ, ἐκ τοῦ ἔξωθεν. συμβαίνει δ' ἐν τούτῳ τῷ σχήματι, καὶ τὸν μικρὸν δάκτυλον ὑποκεῖσθαι κάτωθεν, ἄνωθεν δ' C ἐπικεῖσθαι τὸν μέγαν.

HIPPOCRATIS TEXTUS XIV.

Hic verò idem os eſſe tum hoc, tum illud exiſtimabat, itemque multi alii.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

Ὁ δὲ ᾤετο ταὐτὸ ὀστέον εἶναι τοῦτό τε, κἀκεῖνο, πολλοὶ δὲ καὶ ἄλλοι.

GALENI COMMENTARIUS.

Non ita pronunciavit, *idem os eſſe tum hoc, tum illud*, ut aliquem eundem ſibi ipſi exiſtere dicimus, veluti Ajacem Telamonium, eundem ac Æacidem; ſed quod utrunque oſſis extremum conjiciat ejuſdem eſſe cubiti.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Οὐχ οὕτως εἴρηκε, τὸ αὐτὸ εἶναι ὀστέον τοῦτό τε, κἀκεῖνο, ὡς αὐτόν τινα λέγομεν ἑαυτῷ τὸν αὐτὸν ὑπάρχειν, οἷον τὸν Τελαμώνιον Αἴαντα τῷ Αἰακίδῃ. ἀλλ' ὅτι τοῦ αὐτοῦ ὀστοῦ πέρας ἑκάτερον ὑπολαμβάνει εἶναι, τουτέστι τοῦ πήχεος.

HIPPOCRATIS TEXTUS XV.

Quod autem os cubiti gibbus vocatur, cui nimirum innitimur, idem quod illud eſt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

Ἔστι δὲ ἐκείνου τοῦ ὀστέου ταὐτὸ, ὃ ἀγκῶνα καλέομεν, ᾧ ποτὲ στηριζόμεθα.

E

GALENI COMMENTARIUS.

Ut in præſcripto textu dixi ipſum pronunciaſſe dictionem, *idem*, ſic in præſenti re intelligere conſentaneum eſt. Quod ejuſdem oſſis partes, & eam quæ juxta carpum poſita eſt, & eam quæ interiorem articulationis cubiti extremitatem efficit, idem eſſe arbitrentur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὡς ἐπὶ τῆς προγεγραμμένης ῥήσεως, ἔφην αὐτὸν εἰρηκέναι, τὸ αὐτὸ καὶ νῦν οὕτως ἀκούειν σε προσήκει, ὅτι τοῦ αὐτοῦ ὀστοῦ μόρια, τό τε πρὸς τῷ καρπῷ, καὶ τὸ ἔνδον ἐξοχὴν τοῦ καὶ ἀγκῶνα διαρθρώσεως, ἐνόμιζον εἶναι.

HIPPOCRATIS TEXTUS XVI.

Sic igitur ſupinam manum habenti, hoc quidem os perverſum apparet, partim verò ipſi nervi, qui à manus iunctura & digitis interiore parte preceptum, ſupina manu diſtorquentur. Hi namque nervi ad os brachii unde cubitum metimur, tendunt. Hi ſæpe tanti ac tales ſunt de natura manus errores ac ignorantiæ. Si quis autem, prout ego iubeo, fractam manum extendat, is quidem os quod ad parvum digitum eſt, & ad

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

F Οὕτως οὖν ὑπτίην ἔχοντι τὴν χεῖρα, τοῦτο μὲν τὸ ὀστέον διεστραμμένον φαίνεται· τοῦτο δὲ, τὰ νεῦρα ἀπὸ τοῦ καρποῦ τείνοντα ἐκ τοῦ εἴσω μέρεος, καὶ ἀπὸ τῶν δακτύλων, ταῦτα ὑπτίην ἐχόντων τὴν χεῖρα, διεστραμμένα ἐστί. τείνει τε γὰρ ταῦτα τὰ νεῦρα πρὸς τὸ τοῦ βραχίονος ὀστέον, ὅθεν ὁ πῆχυς μετρεῖται. αὗται τοσαῦται, καὶ τοιαῦται αἱ ἁμαρτάδες, καὶ ἄγνοιαι τῆς φύσιος τῆς χειρός. εἰ δ' ὡς ἐγὼ κελεύω, χεῖρα κατεαγυῖαν κατατείνοι τις, ἐπιστρέψει μὲν τὸ ὀστέον ἐς ἰθὺ, τὸ κατὰ τὸν

B Ὅταν ὀστοῦ τινος, ἢ μυός, ἢ νεύρου τὴν μὲν ἀρχὴν, ἐκ τῶν ἔνδον μερῶν εἶναι τοῦ κώλου συμβαίνῃ, τὴν τελευτὴν δὲ, ἤτοι γε ἐκτός, ἢ ἐκ τῶν κάτω μερῶν, διεστράφθαι δῆλον ὅτι τὸ μόριον τοῦτο. καλῶς οὖν ἔφη, διεστράφθαι πάντα ταῦτα, τῆς ὅλης χειρὸς ὑπτίας σχηματισθείσης. αὐτίκα γέ τοι τὰ νεῦρα, τὰ ἐπὶ τὴν ἐντὸς χώραν ἀφικνούμενα, τῆς ἄκρας χειρός, ἐμβάλλει τῷ πήχει περὶ τὴν ὅλην κεφαλὴν τοῦ βραχίονος. ἐὰν οὖν ὑπτίαν ἐργαζώμεθα τὴν χεῖρα, συμβήσεται, τὴν μὲν ἀρχὴν τῶν νεύρων τῶν κατὰ τὸν πῆχυν, ἐκ τῶν ἔνδον εἶναι μερῶν, τὴν τελευτὴν δὲ, C ἐκ τῶν ἄνω μερῶν. ὡσαύτως δὲ καὶ τῶν μυῶν, καὶ αὐτοῦ τοῦ κατὰ τὸν πῆχυν ὀστοῦ· πάντων γὰρ τούτων, ἐκ τῶν ἔνδον μερῶν εἰσὶν αἱ ἀρχαί, καὶ κατὰ τὸν κόνδυλον τοῦ βραχίονος. ἱκανοὶ δὲ ἦσαν καὶ οἱ μύες μόνοι διαστραφέντες, ἱκανὴν ὀδύνην ἐργάσασθαι, διὰ τοῦτο δὲ, καὶ φλεγμονήν. εἰ δὲ ὡς Ἱπποκράτης ἀξιοῖ, τὴν χεῖρα τις σχηματίσειεν, οἱ ἐκ τῶν ἔνδον μερῶν τοῦ πήχεος ἀρχόμενοι μύες, ὅλοι κείσονται κατὰ τὰ ἔνδον. οἵ τ' ἐκ τῶν ἐκτός, ἐνταῦθα καὶ οὗτοι τετάξονται, καθάπερ γε καὶ οἱ ἄνωθεν, ἐν τούτῳ τῷ μέρει φυλαχθήσονται δι' ὅλου D τοῦ κώλου. ἐν δὲ τοῖς ὑποκάτω τοῦ πήχεος, οὐδὲ εἷς ἐστιν ὅλως μῦς. εἰ δέ σοι μέλει, τὴν περὶ τὸν πῆχυν ἁπάντων μυῶν ἐπίστασθαι θέσιν, ἐκ τοῦ πρώτου τῶν ἀνατομικῶν ἐγχειρήσεων μαθήσῃ. ἔχεις δὲ αὐτὴν κἂν τῇ τῶν μυῶν ἀνατομῇ γεγραμμένην, ἐν ἑνὶ βιβλίῳ, συντομώτερον, ἢ ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν, ἁπάντων τῶν ἐν τῷ σώματι μυῶν φύσις ἑρμηνεύεται.

A

Distorsio nervorum, & musculorum, & ossis cubiti in resupinatione manus.

Quùm accidit, ut ossis cujuspiam, vel nervi, vel musculi initium sit ab interiori parte membri: finis vel ab exteriori, vel ab inferiori: constat partem hanc perversam esse. Rectè igitur dixit omnia hæc perverti, ubi totum brachium resupinetur. Ac ne longiùs exempla petamus, nervi, qui ab interiori parte feruntur ad manum, cum cubito junguntur circa totum humeri caput. Fiet itaque resupinato brachio, ut nervorum, qui cubito alligantur, initia ab interiori parte collocentur, fines à superiori. Idem accidet musculis, & ipsius cubiti ossi: horum enim omnium initia ab interiori parte sunt, juxta tuberculum humeri. Poterant autem per se musculi, quum perverterentur abundè dolorem excitare, atque ea de causa inflammationem. Si quis autem brachium figuraverit, ut Hippocrates jussit, musculi, qui ab interiori parte cubiti oriuntur, toti ab interiori parte siti erunt, qui ab exteriori, in hac similiter continebuntur: quemadmodum, qui à superiori, positum à superiori tuebuntur in universo membro. Ab inferiori autem cubiti parte nullus situs est omnino musculus: sed, si cubiti musculorum omnium situm cognoscere tibi curæ est, ex primo libro de incidendorum corporum ratione addiscere poteris: tum ex musculis incidendis, ubi musculorum omnium natura ad compendium confertur magis, quàm in libro de incidendorum corporum ratione.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ'.

Καθίστασθαι δὲ χρὴ τὸν ἄνθρωπον οὕτως, ὅκως ἂν τὸ E ἐξέχον τοῦ ὀστέου, πρὸς τὴν λαμπροτάτην τῶν παρεουσέων αὐγέων, ὡς μὴ λάθῃ τὸν χειρίζοντα ἐν τῇ κατατάσει εἰ ἱκανῶς ἐξίθυνται. τοῦ γε μὴν ἐμπείρου, οὐδ' ἂν τὴν χεῖρα λάθοι ἐπαφωμένην τὸ ἐξέχον φαινόμενον.

HIPPOCRATIS TEXTUS XVII.

Hominem autem collocari ſic oportet, ut quæ pars oſſis prominet, præſtantium luminum ſplendidiſſimo obverſa ſit, ut in extenſione manu operantem lateat, num ſatis ſit in directum conſtituta. Non enim profectò periti artificis admotam manum os prominens contactu latere poteſt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴτε κατακλίνειν, εἴτε καθίζειν, ἐκ τοῦ καθίστασθαι δηλοῦσθαι, προσυπακούειν αὐτὸν χρή, τὸ ὁπότερον αὐτῶν. εἴτε γὰρ τὴν ῥώμην ἀποβλέπων τοῦ κάμνοντος, F καὶ τὸ μέγεθος τοῦ κατάγματος, ἐνίοτε μὲν καθήμενον, ἐνίοτε δὲ κατακείμενον ἐπιδήσεις τὸν ἄνθρωπον. ὁπότερον δ' ἂν ἔχῃ σχῆμα, πρὸς τὴν λαμπροτάτην τῶν παρουσῶν αὐγῶν, βλέπειν χρὴ τὸ πεπονθὸς μέρος, ὅπως εὐκατάσκεπτον εἴη.

GALENI COMMENTARIUS.

Sive decumbere, ſive ſedere verbo καθίστασθαι, hoc eſt collocari declaretur, eorum alterum utrum ipſo intelligendum eſt. Si nanque tum virium robur, tum fracturæ magnitudinem recipias, interdum quidem decumbentem, interdum verò ſedentem hominem deligaveris. At utervis figuratus habitus proſtantium luminum ſplendorem ſortiatur, pars affecta perſpicienda eſt, ut eam Chirurgus facilè ſpeculetur.

[illegible] Si os ſuperius ſauciatum fuerit, etiamſi craſsius id exiſtat, partim quidem quod ei pro fundamento ſubtendatur; partim verò quod facilius occultetur, niſi iuxta manus iuncturam ſauciari cōtingat. Craſſa nanque carnis eſt epiphyſis quæ ſuperiore parte adnaſcitur. Os vero inferius neque carnem habet, neque facilè latet, atque vehementiore extenſione indiget.*

GALENI COMMENTARIUS.

QUod duo ſint oſſa cubiti his verbis declaravit, *quum utrunque fractum non eſt.* Neque enim Græci ſub una, neque ſub tribus, aut pluribus dictionibus ἀμφότερα ſive utraque proferre conſueverunt. Ex his autem duobus oſſibus, quod ſubtenditur propriè cubitus nominatur, quod ſanè longior exiſtit; quod verò incumbit, radius. Plana autem eſt non ſolùm hæc oratio, ſed etiam cæteræ ferè omnes quæ hoc in libro ſunt. Quæ nunc enuncio, ea ſola explanationem deſiderant. Quare ſi quid præter hæc obſcurum eſſe tibi videatur, jam explora, quum exemplar mendis erraverit, quo probè correcto, ſi quid ſemel lectum non comprehenderis, idem inſuper tum ſecundo, tum tertio relegens propoſitum omnino percipies.

HIPPOCRATIS TEXTUS XIX.

VBi non hoc, ſed illud fuerit comminutū, ſatisfaciet ſimplicior vis in intendendo: ubi utrunque extendere valentiùs oportet. Puerum jam vidi plus juſto intenſum. Sed plerique, minus quàm res poſtulat, extenduntur.

GALENI COMMENTARIUS.

SImpliciorem & ſine magno negotio factam *extenſionem* leviorem ſeu φαυλοτέραν pronuntiavit. Non enim vitiatum duntaxat φαῦλον dictione, ſed & leve & ſimplex apud veteres ſignificatur.

HIPPOCRATIS TEXTUS XX.

» *DIſtentione vero facta, diſtenta volis*
» *manuum admotis dirigenda ſunt.*

GALENI COMMENTARIUS.

QUæ manuum partes prominent, eas volas θέναρα ἀπὸ τοῦ θείνειν à percutiendo deducta nominant, ut nonnulli volunt qui veris verborum originibus ſtudent. Nam quæcunque percutimus, his prominentibus partibus percutimus. Nonnulli verò non omnes prominentes manus partes ſic vocari profitentur; ſed eas ſolas quæ magnis digitis ſubjiciuntur.

[illegible] ξεν, ῥᾶον ἢ ἴσως, ἢν τὸ ἄνω ὀστέον τετρωμένον εἴη, καίπερ παχύτερον ἐόν. ἅμα μὲν, ὅτι τὸ ὑγιὲς ὑποτεταμένον γὰρ αὐτῷ θεμελίου, ἅμα δ' ὅτι εὐκρυπτότερον γὰρ, πλὴν εἰ τὸ ἐγγὺς τοῦ καρποῦ. παχείη γὰρ ἡ τῆς σαρκὸς ἐπίφυσις ἡ ἐπὶ τὸ ἄνω. τὸ δὲ κάτω ὀστέον ἄσαρκον, καὶ οὐκ εὐξύγκρυπτον, καὶ κατατάσιος ἰσχυροτέρης δεῖται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.*

ΟΤι δύο εἰσὶν ὀστᾶ τοῦ πήχεος, ἐδήλωσεν, εἰπὼν, ὧν μὴ ἀμφότερα. οὔτε γὰρ ἐφ' ἑνὸς, οὔτε ἐπὶ τριῶν, ἢ καὶ πλειόνων, εἰώθασι λέγειν οἱ Ἕλληνες τὴν ἀμφότερα φωνήν. τῶν δὲ δύο τούτων ὀστῶν, τὸ μὲν ὑποτεταγμένον, ἰδίως ὀνομάζεσθαι πῆχυς, ὃ δὴ καὶ μακρότερόν ἐστι, τὸ δὲ ἐπικείμενον, κερκίς. σαφὴς δὲ οὐχ οὗτος μόνος ὁ λόγος, ἀλλὰ καὶ οἱ ἄλλοι πάντες, ὡς ἐπὶ τὸ πλεῖστον εἰσὶν ἐν τούτῳ τῷ βιβλίῳ, καὶ μόνα δεῖσθαι σαφηνείας λέγω, ἃ νῦν ἐξηγοῦμαι, ὥς τ' εἰ παρὰ ταῦτα σοι δόξειεν ἀσαφὲς εἶναι, σκέψαι δὴ μὴ τὸ ἀντίγραφον ἡμάρτηται. κατορθωμένου δὲ αὐτοῦ, καὶ ἅπαξ ἀναγνοὺς τι, μὴ νοήσῃς, ἀλλὰ δεύτερόν γε, καὶ τρίτον ἐπαναλαμβανόμενος αὐτὸ, πάντως μαθήσῃ τὸ λεγόμενον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. ιθʹ.

ΗΝ δὲ τοῦτο μὴ ξυντριβῇ, ἀλλὰ τὸ ἕτερον, φαυλοτέρη ἡ κατάτασις ἀρκέει. ἢν δ' ἀμφότερα κατεηγῇ, ἰσχυροτάτης κατατάσιος δεῖται. παιδίου μὲν γὰρ ἤδη εἶδον καταταθέντα μᾶλλον, ἢ ὡς ἔδει. οἱ δὲ πλεῖστοι ἧσσον τείνονται, ἢ ὡς δεῖ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗν ἀπλουστέραν, καὶ ἄνευ μεγάλης πραγματείας, φαυλοτέραν εἶπεν. οὐ γὰρ μόνον τὸ μοχθηρὸν, ἐκ τοῦ φαύλου δηλοῦσθαι παρὰ τοῖς παλαιοῖς, ἀλλὰ καὶ τὸ ἁπλοῦν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κʹ.

ΧΡὴ δ', ἐπὴν τείνωσι, τὰ θέναρα προσβάλλοντα διορθοῦν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ ἐξέχοντα τῶν χειρῶν, ὀνομάζουσι θέναρα, παρὰ τὸ θείνειν, ὡς ἔνιοι βούλονται τῶν χαιρόντων ἐτυμολογίαις. τούτοις γὰρ τοῖς ἐξέχουσι παίομεν, ὅσα περ ἂν παίωμεν. ἔνιοι δὲ, οὐ πάντα τὰ ἐξέχοντα τῆς χειρὸς, καλεῖσθαί φασιν, ἀλλὰ μόνα τὰ ὑπὸ τοῖς μεγάλοις δακτύλοις.

Δυφ' ἡμῶν ἀλλήλοις παρατεθέντα μέρη τοῦ κατάγματος ὅσον κρατεῖν ἀσφαλῶς. ἡ δ' ἑτέρα, δεξαμένη τὰ ὀθόνια, τὸν χυμὸν, ἢ τὸ φάρμακον, ὅπερ ἀφλεγμαντότατον εἶναι δοκιμάσωμεν, ἐπικείμενον αὐτὸ φυλάττειν ἀεὶ τοῖς πεπονθόσι μέρεσιν. ἔνιοι μὲν γοῦν, τοῖς ἐμπλαστοῖς χρῶνται φαρμάκοις, ἐμπλάττοντες ὀθονίοις αὐτὰ, καὶ μετὰ τὴν ἐπίθεσιν, ἔξωθεν ἐπιδοῦντες. ἔνιοι δὲ, χυμῷ τινι τῶν ἐπιτηδείων εἰς τοῦτο, καθάπερ οἴνῳ τε μόνῳ, καὶ σὺν ἐλαίῳ, καὶ πολλάκις, τινὶ τῶν ὑγρῶν φαρμάκων, οἷάπερ ἐστὶν ἡ τοιαύτη κηρωτὴ, διπλῶς σκευαζομένη, ποτὲ μὲν, ἤτοι ἐν ῥοδίνῳ τηκομένου τοῦ κηρωτοῦ, ἢ ἐν ἐλαίῳ, ποτὲ δὲ, πίττης τι προσλαμβανούσης ξηρᾶς, ἣν δὴ καὶ πιττηρὰν ὀνομάζουσι κηρωτήν. τὰ δ' ὑγρὰ φάρμακα, καὶ σύστασιν ἔχει, καὶ πάχος, οἷόνπερ καὶ ἡ ὑγρὰ κηρωτή. γίγνεται δὲ, τηκομένων ἐν ἐλαίῳ τῶν ἀφλεγμάντων ἐμπλάστρων, περὶ ὧν εἴρηται μέν τι, κἀν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἐπὶ πλεῖον δ', ἔν τε τῇ θεραπευτικῆς μεθόδου πραγματείᾳ, κἀν τῇ περὶ συνθέσεως φαρμάκων δυνάμεως. ὁ δ' οὖν Ἱπποκράτης, ὑγρᾷ μὲν κηρωτῇ κέχρηται· πολὺ μὲν γὰρ ἀφλεγμαντοτέρα τῆς σκληρᾶς, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι. τοῦ δὲ ποσοῦ, κατὰ τὴν χρῆσιν αὐτῆς ἐδήλωσε τὸν σκοπὸν εἰπὼν μὴ πάνυ πολλῇ, ὡς μὴ περιπλέῃ τὰ ἐπιδέσματα. τὸν δὲ ἀντικείμενον ὅρον οὐκ ἐδήλωσεν, ὡς ἡμῶν νοούντων. ἔστι δ' αὐτὸς, ὡς οὐδ' οὕτως ὀλίγῃ κηρωτῇ χρῆσθαι προσήκειν, ὡς φθάσαι ξηρανθῆναι τὰ τῶν ἐπιδέσμων ὀθόνια, πρὶν ἐπιλῦσαι διὰ τρίτης. ἄξιον δὲ ἐπισκέψεώς ἐστι, διὰ τί κηρωτῇ κελεύει νῦν χρῆσθαι. καί τοι γε, ἐν οἷς ὑπερέχει ὀστοῦν τοῦ δέρματος, οἴνῳ χρώμενος αὐστηρῷ μέλανι. δοκεῖ δέ μοι, φρονεῖν μὲν, ὥσπερ γενναιοτέρου βοηθήματος εἰς τὰ τοιαῦτα, τοῦ οἴνου. παραλείπειν δ' αὐτὸν ἐπὶ τῶν ἄλλων καταγμάτων, ἐν οἷς οὐκ ἐγυμνώθη τι τῶν συντριβέντων ὀστῶν, διὰ τὸ πολλῆς ἐπιμελείας δεῖσθαι τὴν χρῆσιν. εἰ μὴ γὰρ συνεχῶς ἐπιβρέχοιτο, μεγίστη γίγνεται βλάβη, ξηραινομένων τῶν ὀθονίων. ἐπιβρέχειν δὲ συνεχῶς, καὶ μάλιστα νύκτωρ, οὐκ ἐθέλουσιν οἱ πλεῖστοι τῶν ὑπηρετούντων τοῖς κάμνουσιν. ἀλλ' ἐπείπερ εἰς τὰ ἔσχατα νοσήματα, αἱ ἔσχαται θεραπεῖαι εἰς ἀκρίβειαν κράτισται, διὰ τοῦτ', ἐφ' ὧν ἐξέχει ὀστοῦν, οἴνῳ χρῆσθαι κελεύει, ἔνθα δὲ χρῆται τῷ οἴνῳ, περὶ τῆς δυνάμεως αὐτοῦ τὰ πλείω. εἰ νυνὶ δ' ἀρκεῖ τό γε τοσοῦτον εἰπεῖν, ὡς ἐπειδὴ τὰ ἄλλα κατάγματα, καὶ χωρὶς οἴνου δύναται θεραπεύεσθαι, μόνῃ τῇ κηρωτῇ χρωμένων ἡμῶν, οὐκ ἀναγκαῖόν ἐστιν, ἐπ' αὐτῶν προσφέρεσθαι, ἁμαρτεῖν ποτὲ μέγα, διὰ τὴν τῶν ὑπηρετούντων ἀμέλειαν. ἔνθα δὲ μέγας ὁ κίνδυνος, ἐνταῦθα καὶ αὐτοὶ μὴ ἑκόντες οἱ ὑπηρέται ταλαιπωρεῖσθαι προαιροῦνται, καὶ ἡμῖν δὲ παρακαλοῦσι, πείθονται. καὶ μέντοι, καὶ συνεχέστερον ἐπιφαινόμεθα τοῖς τοιούτοις, διὰ τὸ τοῦ κινδύνου μέγεθος, ἐνίοτε καὶ παραμένοντες ὅλης νυκτὸς, ὅταν μὴ σφόδρα θαρρῶμεν τοῖς ὑπηρέταις, τὰ κελευόμενα πρᾶξαι πάντα καλῶς.

compoſitas cerato continere, altera verò quæ in-
tea liquorem, vel medicamentum exceperint
B quod inflammationis prohibitorium eſſe explo-
raverimus, affectis partibus impoſita tueri. Ita-
que nonnulli quidem emplaſticis medicamen-
tis utuntur, ipſa linteis inducentes, à quorum
impoſitione foris faſcias adhibent. Nonnulli
verò humorum ad id idoneorum aliquem in-
gerunt, quale vinum vel per ſe, vel cum oleo;
& ſæpè liquidorum medicamentorum aliquod,
quale ceratum eſt quod duobus modis præpa-
ratur. Interdum quidem cera vel in aqua roſa-
cea, vel oleo liquatur; interdum verò picis
aridæ portio adjicitur, quam piceum ceratum
nominant. Sed liquida medicamenta tum con-
C cretionem, tum craſſitudinem ſortiuntur, cujuſ-
modi liquidum ceratum exiſtit. Fiunt autem &
ex emplaſtris inflammationem prohibentibus
in oleo liquatis, in quibus tum in libris de ſim-
plicium medicamentorum facultatibus prodi-
tum eſt, tum ac liberaliùs, in operibus methodi
medendi, & in operibus de compoſitorum me-
dicamentorum facultatibus. Hippocrates igitur
liquido cerato uſus eſt, quod multo magis in-
flammationem coërcet, quàm quod durum eſt,
aut quodcunque quis aliud nominare voluerit.
Modum autem utendi hujuſmodi cerato ſco-
D pum his verbis declaravit, non admodum co-
pioſe, ut ne faſciæ circumfluitent, contrarium
verò terminum non declaravit, tanquam nobis
intelligentibus. Is autem eſt, ne ita pauco cerato
uti deceat, ut faſciarum lintea ſiceeſcant, priuſ-
quam tertio quoque die ſolvantur. At cur im-
perat nunc uti cerato, ſpeculatione dignum eſt.
Nam in quibus os cutem excedit auſtero vino
nigro uſus eſt. Mihi autem videtur vinum exco-
gitaſſe ad hæc tanquam nobilius præſidium, ip-
ſum verò in aliis fracturis omiſiſſe, in quibus
E contritorum oſſium nullum nudatum eſt; quòd
vini uſus diligentiam poſtulet. Niſi enim aſſidue
infundatur, maxima exſiccatorum oſſium obo-
ritur læſio. Qui enim laborantibus inſerviunt,
eorum plurimi continuò ac noctu præſertim,
vinum infundere nolunt. Verùm quia extremis
morbis extrema remedia, omnino ſunt optima,
propterea in quibus os prominet, vinum uſur-
pare jubet. At ubi vino utitur, de ipſius faculta-
te plura dicturi ſumus. Nunc autem ſufficit illa
F tantùm enarraſſe, quum aliæ fracturæ, etiam
abſque vino ſolo cerato nobis utentibus curari
potuerint, non neceſſe eſſe in his curandis, qui
vinum admovent, eos interdum ob miniſtrorum
negligentiam graviter peccare. Tunc autem ma-
gnum incumbit periculum, tunc etiã ipſi miniſtri
ſe labores exanthlare conſtituũt, atque nobis im-
perantibus parent, necnõ etiã his frequentius ad-
ſumus, & interdum ob periculi magnitudinẽ uni-
verſã noctẽ immoramur, quũ miniſtris imperata
omnia probè peragere non admodũ confidimus.

HIPPO-

» ſanguis minimè ad imum extremum defluat,
» ſed revocetur.

αἷμα ἐς ἄκρον ἐπιῤῥέῃ, ἀλλὰ ἀπολαμβάνηται.

GALENI COMMENTARIUS.

QUod igitur cubitum ita figurari deceat, ut radio ſubjiciatur, & angulum rectum ad os B humeri efficiat, ſuperiùs enuntiatum eſt. Quum autem hoc fieri poſſit, & inferiori ſummæ manus ut & ad cubiti flexum ſuperiori regione poſita, meritò hoc quoque definivit, quum imperavit ſummam manum cubiti flexu paulo ſuperiorem habere. Novimus enim deorſum propendentes figuras, ſummis membris fluxionum cauſas effici. Propterea quemadmodum & qui totum diem obambulant, & quibus crura calidiora ſunt omnino exiſtimant ipſa noctu univerſo corpore ſublimiora componere. Itaque C ſic imperat Hippocrates deorſum propendentem figuram vitari, ſurſum vero tendentem ſectari. Quod ſi ipſam manum cubiti junctura multo ſublimiorem figurari juſſiſſet, hujuſmodi habitus ægris in ipſo diu morantibus univerſæ manui dolorem excitaret, potiſſimumque anterioribus humeri muſculis. Itaque hunc habitum dolorificum eſſe docebit experientia, doloris vero cauſam muſculorum flexuræ cubiti articulationem moventium natura demonſtrabit. Hi nanque ſunt tum ab anterioribus, tum interioribus humeri partibus, quos ubi flectimus, D ad proprium caput contrahuntur & ſurſum tenduntur, cumque ipſis totus cubitus ſimul contrahitur, ac ſurſum verſus tenditur, in quem ſuis imis partibus inſeruntur. *Ne ſanguis ad extremum defluat, ſed revocetur.* Hic textus ad illum referendus eſt, *ne ſumma manus cubiti flexu inferior collocetur.* In utruſque autem medio hæc inſeruit, *imò paulò etiam ſuperior*, ut tota oratio ſit hujuſmodi, *ut ne ſumma manus cubiti flexu inferior, imò paulò etiam ſuperior collocetur, quo ſanguis non ad imum extremum defluat, ſed* E *revocetur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι μὲν οὖν οὕτως σχηματίζεσθαι προσήκει τὸν πῆχυν, ὡς ὑποτετάσθαι μὲν τῇ κερκίδι, γωνίαν δὲ ὀρθὴν ἐργάζεσθαι πρὸς μὲν τὸ τοῦ βραχίονος ὀστοῦν, ἔμπροσθεν εἴρηται. δυναμένου δὲ τούτου γίνεσθαι, καὶ κατωτέρω τῆς ἄκρας χειρὸς, ὡς πρὸς τὸν ἀγκῶνα, καὶ ἀνωτέρω, εἰκότως ἐπεδιωρίσατο καὶ περὶ τοῦδε, κελεύσας ἀνωτέρω βραχὺ τὴν ἄκραν τοῦ ἀγκῶνος χεῖρα ἔχειν. ἴσμεν γὰρ τὰ καταῤῥοπα σχήματα, ῥευμάτων αἴτια γινόμενα τοῖς πέρασι τῶν κώλων, καὶ διὰ τοῦθ᾽, ὡς οἱ δι᾽ ὅλης τῆς ἡμέρας περιπατήσαντες, εἰ δ᾽ ἀλεώτερά πως ἔχοιεν τὰ σκέλη, πρὸ παντὸς ποιοῦνται, νύκτωρ αὐτὰ σχηματίζειν ὑψηλότερα τοῦ ὅλου σώματος. οὕτως οὖν, κἀπὶ τῆς ὅλης χειρὸς, ὁ Ἱπποκράτης κελεύει φυλάττεσθαι μὲν τὸ καταῤῥοπον σχῆμα, μεταδιώκειν δὲ τὸ ἀνάῤῥοπον. κατὰ πλέον δ᾽ αὐτὴν ὑψηλοτέραν ἐκέλευσε τοῦ ἀγκῶνος ἴσχειν, εἰ μὴ καὶ τοῦτο τὸ σχῆμα τοῖς ἐν αὐτῷ χρονίζουσιν ὀδύνην παρεῖχεν, ὅλῃ τε τῇ χειρὶ, καὶ μάλιστα τοῖς προσθίοις τοῦ βραχίονος μυσίν. ὅτι μὲν οὖν ὀδυνῶδές ἐστιν, ἡ πεῖρά σε διδάξει. τὴν δ᾽ αἰτίαν τῆς ὀδύνης, ἡ φύσις τῶν κινούντων μυῶν τὴν κατ᾽ ἀγκῶνα διάρθρωσιν, ἐπιδείξεται. εἰσὶ γὰρ οἱ κατὰ τὸ πρόσω τε κἀκ τοῦ ἔνδον μερῶν τοῦ βραχίονος, οὓς ὅταν κάμπτωμεν, τὸν πῆχυν ἐπὶ τῆς ἰδίας κεφαλῆς ἀνασπῶντες, καὶ τείνοντες ἄνω, συνανασπῶμεν, καὶ συνανατείνομεν ἑαυτοῖς ὅλον τὸν πῆχυν, εἰς ὃν ἐμπεφύκασι τοῖς κάτω μέρεσιν ἑαυτῶν. ὡς μὴ τὸ αἷμα ἐς ἄκρον ἐπιῤῥέῃ, ἀλλ᾽ ἀπολαμβάνηται ἐς ἄνω. τοῦτο ἀναφέρειν χρὴ πρὸς τὸ, μὴ κατωτέρω τοῦ ἀγκῶνος ἄκραν τὴν χεῖρα ἔχειν. διὰ μέσου δ᾽ ἀμφοῖν, εἴρηταί τι, ἀλλὰ μικρῷ ἀνωτέρω, ὡς εἶναι τὸν ὅλον λόγον τοιοῦτον. ὅπως δὲ μὴ κατωτέρω, ἄκραν τὴν χεῖρα ἕξει τοῦ ἀγκῶνος, ὡς μὴ τὸ αἷμα εἰς ἄκρον ἀπολαμβάνηται, ἀλλὰ σμικρῷ ἀνωτέρω.

HIPPOCRATIS TEXTUS XXIII.

» POſteà linteo deligare, capite ſupra fra-
» cturam injecto.

ΙΠΠΟΚΑΤΟΥΣ ΡΗΣΙΣ κγ΄.

ΕΠειτα ἐπιδεῖν τῷ ὀθονίῳ, τὴν ἀρχὴν βαλλόμενος κατὰ τὸ κάτηγμα.

GALENI COMMENTARIUS.

HÆc ſententia, *ad fracturam caput injici, & non injici*, duobus fit modis; F interdum quidem nobis ipſam ſecundùm membri longitudinem accipientibus; interdum vero & ſecundùm latitudinem. Termini autem injiciendi faſciæ caput in longitudinem ſunt, hic primam faſciæ circunvolutionem in orbem factam, univerſam fracturam operire. Quod ſi vel tantopere ſuperiùs injicias, quàm ut fracturam nullomodo contingat, vel rurſum tanto inferius, quàm ut ad ipſam accedat. Hoc faſciæ caput ferè quis aſſerere poterit non ſupra fracturam

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ, τὴν ἀρχὴν βάλλεσθαί τι, καὶ μὴ βάλλεσθαι κατὰ τὸ κάταγμα, διττῶς γίνεται. ποτὲ μὲν κατὰ τὸ μῆκος τοῦ κώλου νοούντων ἡμῶν αὐτὸ, ποτὲ δὲ, καὶ κατὰ τὸ πλάτος. ὅροι δὲ τοῦ κατὰ τὸ μῆκος βαλλομένην τὴν ἀρχὴν τοῦ ἐπιδέσμου, τὸ τὴν πρώτην αὐτοῦ περιβολὴν ἐν κύκλῳ γινομένην, ὅλον σκεπάσαι τὸ κάταγμα. εἰ δ᾽ ἤτοι τοσοῦτον ἀνωτέρω περιβάλλοις, ὡς μηδ᾽ ὅλως ψαῦσαι τοῦ συντριβέντος, ἢ κατωτέρω πάλιν αὖ τοσοῦτον, ὡς μηδ᾽ ὅλως ἅψασθαι, τοῦτ᾽ ἂν ἀληθῶς εἴποι τις, μὴ κατὰ τὸ κάταγμα τὴν ἀρχὴν τοῦ ἐπιδέσμου. οὕτως μοι νόει κατὰ τὸ κά-

βάλλεσθαι μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἔνθα, καὶ ἔνθα· πρὸς δὲ τὸ τοῦ κώλου πλάτος ἀναφέρων εἶπεν, ὡς δηλῶν πάλιν κἀνταῦθα τὸ ἔνθα ἢ ἔνθα. ταύταις γὰρ ταῖς φωναῖς οἱ Ἕλληνες χρῶνται εἰς πλάτος δηλοῦντες. ἐν πολλοῖς δὲ τῶν ἀντιγράφων, ἡ λέξις οὕτως ἔχει, ἀρχὴν βάλλεσθαι μὴ ἐπὶ τὸ ἕλκος, ἀλλ' ἐπὶ τὸ ἅμμα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. κδ'.

Ἐρείδειν μὲν οὖν, μὴ πιέζειν δὲ κάρτα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν συμμετρίαν τῆς ἐπιβολῆς τῶν δεσμῶν, ἐν τούτῳ τῷ λόγῳ διδάσκει. χρὴ γὰρ ἐρηρεῖσθαι μὲν αὐτοὺς εἰς τοσοῦτον, ὡς φυλάττειν ἀκίνητα τὰ κεχωρισμένα πέρατα τοῦ ὀστοῦ, οὐ μὴν οὕτως γε πεπιέχθαι σφοδρῶς, ὡς ὀδύνην παρέχειν τῷ κάμνοντι. πᾶσα γὰρ ὀδύνη χρονίζουσα, καὶ μάλιστα ἐκθλίψεως, αἰτία φλεγμονῆς γίγνεται. σκοποὶ μὲν οὖν τῆς τῶν ἐπιδέσμων πιέσεως ἀκριβεῖς δ' αὐτοὺς στοχάζεσθαι, κατ' ἀρχὰς μὲν οὐκ ἔστι τι, πολλάκις δ' ἐπιδήσας δυνατόν. προσέχων γὰρ τὸν νοῦν ἀκριβῶς, τῷ ποσῷ τῆς τάσεως, ἣν ἐποιήσω, περιβάλλων τὸν ἐπίδεσμον, εἶτ' ἐρωτήσας τὸν ἐπιδούμενον, ὁποίας αἰσθάνεται τῆς περιβολῆς τῶν ὀθονίων, ἐν δευτέρᾳ περιβάλλων ἴσως προτέρᾳ, ἐκλύσαι δεῖ τὴν τάσιν, ἢ ἐπαυξῆσαι· θλίβεσθαι μὲν γὰρ εἰπόντος, πρόδηλον ὡς ἐκλῦσαι προσήκει. οὕτω δὲ τῆς χαλαρὸν εἰπόντος, ὡς μηδ' ὅτι περίκειται γινώσκειν, ἐπαυξῆσαι. καὶ μέντοι, καὶ πρὶν ἐπ' αὐτοῦ τοῦ τὸ κάταγμα ἔχοντος, ἄρχεσθαι τῆς ἐπιδέσεως, ἔνεστί σοι προγυμνάσασθαι, παιδάριον ὑγιὲς ἐπιδήσαντι πολλάκις· ἀλλὰ τῷ πυνθάνεσθαι τὰς ἀρτίως εἰρημένας πεύσεις. ἑτοιμότερος γὰρ οὕτως ἔσῃ, πρὸς τὰς ἐν τοῖς κατάγμασι ἐπιδέσεις. ἔτι κἀκεῖνο προσγινώσκειν, ὅτι τῶν σωμάτων, ὅσα μὲν ἰσχυρά, καὶ σκληρότερα, βιαιοτέρας ἀνέχεται τῆς πιέσεως. ὅσα δ' ἀσθενῆ, καὶ μαλακά, τῆς ἀνειμένης ταῦτα χρήζει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε'.

Ἐπὴν δὲ περιβάλλῃ κατὰ ταὐτὸ δὶς ἢ τρίς, ἐπὶ τὸ ἄνω νεμέσθω ἐπίδεσιν, ἵνα αἱ ἐπιρροαὶ τοῦ αἵματος ἀπολαμβάνωνται, καὶ τελευτησάτω κεῖθι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὐτὸς εἶπε τὴν αἰτίαν, δι' ἣν ἄνω πρῶτον κελεύει τὴν νομὴν τῶν ὀθονίων ποιεῖσθαι. βούλεται γὰρ τὰς ἐπιρροὰς τοῦ αἵματος κωλύεσθαι, τῶν ἄνω μερῶν τοῦ κώλου.

ue medicatrina, *nec*, inquit, *faſciæ caput non ſuper ulcus injiciendum, ſed huc aut illuc.* Ad membri latitudinem referens pronuntiavit, ut iterum declarat his verbis, *huc aut illuc.* His enim vocibus Græci utuntur ad latitudinem ſpectantes. In multis autem exemplaribus textus ſic habet, *faſciæ caput injici non ad ulcus, ſed ad nodum refertur.*

HIPPOCRATIS TEXTUS XXIV.

C *Sic ut firmet quidem; non tamen vehementer comprimat.*

COMMENTARIUS GALENI.

Docet hoc loco vinculi moderationem: id ſiquidem inſidere debet eatenus dum fracti oſſis extrema immobilia tueatur: non tamen ita arctari, ut dolorem afferat laboranti. Quilibet enim dolor, quum perſeverat, præſertim ſi ex compreſſione eſt, inflammationem concitat. Hæc igitur ſpectari debent in faſciis D coarctandis, quæ initio ad unguem conjicere non licet; licet autem, ubi ſæpiùs devinxerimus: nam diligenter animadvertentes modum adſtringendi, quum vinculum injecimus, interroganteſque hominem, qualem circundatam faſciam ſentiat, iterùm æquè ac primo injicientes, laxare vel adſtringere oportet: ſi quidem premi ſe dixerit, proculdubio laxare, ſin vinculum ita laxum affirmet, ut injectum minimè ſentiat, adſtringere. Licet autem priùs quàm eum alligemus, quem fractura malè habet, exerceri, ſanum puerum ſæpius vinciendo, ſed E cum eo, ut percontemur, quæ pauló antè interroganda propoſuimus; ſic enim promptiores erimus ad fracturas deligandas. Illud enim perſpicere oportet, quòd quæcunque corpora robuſtiora ſunt, ac duriora, vinculum ſuſtinent arctiùs adſtrictum: quæ verò infirmiora ſunt, & molliora, leniùs adſtringi debent.

HIPPOCRATIS TEXTUS XXV.

F „*Vbi ſuper eandem fracturam bis, terve* „*faſciam circunjeceris, qui deligat, ad ſu-* „*periora diſtribuat; quo ſanguinis affluxus* „*intercipiatur, illicque deſinat.*

COMMENTARIUS GALENI.

Ipſe cauſam dixit, quâ primum imperat faſciarum diſtributionem ſurſum fieri. Vult enim ſanguinis affluxum à ſuperioribus membri

[illegible] ſtat hanc utrinque operam dare; quam ſecundis ſui faſciis imperat, utrinque ab ea parte principium habentibus, habita longitudinis ratione; hanc priore quidem ſurſum, ſecunda vero deorſum diſtributa: Præſtat enim partis affectæ ſanguinem ad ſuperjacentes membri partes, atque ad totum corpus exprimi. Quandoquidem extremum minus eſt quam ut citra noxam, copioſum humorem recipere queat. Ubi poſt primam faſciam, quæ partis affectæ ſanguinem ad manus initium exprimit, altera vehementiùs aſtringatur, ad carpum & digitos inflammatio oboritur. Quas ob res imprimis ſurſum exprimendum eſt, maxime quidem, ſi fieri queat, quicquid infeſtat. Si quid vero paululum reſiduum fuerit id altera faſcia injecta deorſum excludendum eſt. Totam hanc ſententiam perfectius intelliges in ſermone de ratione vinciendi.

[illegible] ἀπὸ τῶν [illegible] ... βούλεται γὰρ ἐκθλίβεσθαι τὸ αἷμα [illegible] τὰ [illegible] μέρη τοῦ κώλου, καὶ τὸ σῶμα [illegible]. ἐπεὶ τὸ ἄκρον ἔλαττόν ἐστιν, ἢ ὡς δέξασθαι [illegible] ... [illegible] τῆς χειρὸς, ἐὰν ὁ δεύτερος βιαιότερον σφίγξῃ, φλεγμονὴ γὰρ κατὰ τὸν καρπὸν, καὶ εἰς δακτύλους. [illegible] μάλιστα μὲν εἰ οἷόν τε, πᾶν τὸ λυποῦν. εἰ δὲ ὑπολείποιτο σμικρὸν, ἐκθλίβειν τοῦτο εἰς κάτω διὰ τοῦ δευτέρου [illegible] [illegible] τῆς ἐπιδέσεως [illegible].

HIPPOCRATIS TEXTUS XXVI.

» *AT prima lintea minimè longa eſſe oportet.*

GALENI COMMENTARIUS.

Decenter pronunciavit; Quum enim primæ faſciæ à fractura incipiant, & ſurſum ferantur, ibique deſinant, quas quidem ſecundas paucioris eſſe longitudinis neceſſe eſt, priores excepturas, in quibus vult iterum deorſum primò à fractura prodeuntes ſurſum, rurſus ad eum locum procedere, ubi primæ faſciæ finem fecimus.

HIPPOCRATIS TEXTUS XXVII.

» *Secundarum vero faſciarum caput quidem*
» *ſupra fracturam injiciendum eſt.*

GALENI COMMENTARIUS.

Conſultò: inde namque vult liberaliùs exprimi ſanguinem.

HIPPOCRATIS TEXTUS XXVIII.

» *AT ſemel eodem involvatur.*

GALENI COMMENTARIUS.

Semel ſecundæ faſciæ caput circumjicere conſuluit, non bis, terve, ut priores. Vult enim ſurſum magis, quàm deorſum ob commemoratam cauſam, ſurſum magis quàm deorſum id excludi, quod proximis fracturæ partibus obductum eſt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ΄.

Χρὴ δὲ μὴ μακρὰ εἶναι τὰ πρῶτα ὀθόνια.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Προσηκόντως εἶπε τοῦτο. τῶν γὰρ προτέρων ὀθονίων, ἀρχομένων μὲν ἀπὸ τοῦ κατάγματος, ἄνω δὲ ἀναφερομένων, καὶ αὐτοῦ παυομένων, ἀναγκαῖον ἔλαττον γίνεσθαι τὸ μῆκος, ἢ τὰ δεύτερα μέλλει λαμβάνειν, ἐφ' ὧν κελεύει κάτω πρῶτον ἀπὸ τοῦ κατάγματος ἀρχομένους, ἄνω πάλιν ἰέναι πρὸς τὸ αὐτὸ χωρίον, ἔνθα τῶν πρώτων τῶν ἐπιδέσμων τὸ τέλος ἐπεποιήμεθα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ΄.

Τῶν δὲ δευτέρων ὀθονίων, τὴν μὲν ἀρχὴν βάλλεσθαι ἐπὶ τὸ κάταγμα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κατὰ λόγον, ἐνθένδε γὰρ, ἐκθλίψαι βούλεται τὸ πλεῖον τοῦ αἵματος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη΄.

Περιβαλεῖν δὲ ἅπαξ ἐς τὸ αὐτό.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἅπαξ κελεύει περιβάλλειν, τῶν δευτέρων τῶν ὀθονίων τὴν ἀρχὴν, οὐ δὶς, ἢ τρὶς, ὡς τῶν προτέρων· βούλεται γὰρ ἄνω μᾶλλον, ἢ κάτω, τὸ περιεχόμενον ἐν τοῖς περὶ τὸ κάταγμα μέρεσιν, ἐκθλίβεσθαι, κατὰ τὴν εἰρημένην αἰτίαν.

[illegible] ἀλλήλων, τὸ [illegible] τῆς ἐπιδέσεως, [illegible] ἐκ τῆς [illegible] χρείας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

Ὡς αἱ αὐταὶ ἱκανῶς [illegible] τὸ ἔθνος [illegible] κέηται κάτω, ὥσπερ τι [illegible] ἐπιδέσιος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁ μὲν οὖν Ἱπποκράτης, ἐπιδέσμοις δύο χρῆται πρὸ τῆς τῶν σπληνῶν ἐπιβολῆς. [illegible] δέ τινες, [illegible] τρισὶν, [illegible] κατάγματος [illegible] Ἱπποκράτης [illegible] ἐκ τοῦ κατάγματος κάτω, ὁ τρίτος, [illegible] τῆς προτέρας [illegible] ἐπιδέσμου ὁ δεύτερος, αὐτοῖς ἐπὶ βραχύτερος [illegible] τῶν λοιπῶν, [illegible] τὸ τὸν μὲν πρῶτον, αὐτὸ τι τῷ κατάγματι περιβάλλεσθαι, δὶς ἢ τρὶς, [illegible] τι περὶ τὸ κῶλον, περιβολαῖς πυκνοτέραις. τὸν δὲ δεύτερον, ἅπαξ μὲν τῷ κατάγματι περιβάλλεσθαι, τὰς δὲ περιβολὰς ἔχειν ἀραιοτέρας. τὸν δὲ τρίτον, καὶ ἀμφοῖν μὲν περιβάλλεσθαι. [illegible] μακρότερον τοῦ πρώτου. ἀλλ' ὅτι τοὺς [illegible] τρεῖς ἐπιδέσμους, οἱ δύο περιέχονται ἐν ἑαυτοῖς, οὓς Ἱπποκράτης ἔγραψε, δῆλον ἐστι καὶ ἐμοῦ μὴ λέγοντος. τοῦ δευτέρου τοῦ ἐπιδέσμου εἰς δύο χρείας [illegible], [illegible] ἐπὶ τὸ κάτω [illegible], [illegible] τοῦ πρώτου τοῦ ἐπιδέσμου πέρας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

Ἐνταῦθα μὲν οὖν, τὰ ὀθόνια, ἐπ' ἀριστερὰ, ἢ ἐπὶ δεξιὰ ἐπιδιδόναι, ἢ ἐπὶ ὁκότερα ἂν ξυμφέρῃ πρὸς τὸ σχῆμα τοῦ κατάγματος, καὶ ἐφ' ὁκότερα ἂν περιῤῥέπειν ξυμφέρῃ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν τοῖς κατάγμασι τῶν ὀστῶν, ἡ ῥοπὴ τῆς διαστροφῆς, ἐνίοτε μὲν ἐπὶ τὸ ἀριστερὸν, ἐνίοτε δ' ἐπὶ τὸ δεξιὸν [illegible] τοῦ κώλου. χρὴ τοίνυν τῶν πρώτων δύο ἐπιδέσμων, [illegible] τὴν ἐπίδεσιν. [illegible] μὲν [illegible] ἡ μέσης, [illegible] τὸ κῶλον [illegible], [illegible] τὸ κατάγμα [illegible]. [illegible] τὸ σχῆμα τοῦ [illegible] ἐπὶ τἀναντία [illegible].

HIPPOCRATIS TEXTUS XXX.

VT poſſit relata ad partem, qua prior deſinit, pervenire.

GALENI COMMENTARIUS

Hippocrates, antequàm pannos ſuperimponat, binas faſcias adhibet. Alii verò ternis utuntur, una, quæ à fractura incipiens ſurſum tendat, quemadmodum Hippocrates præcepit: altera, quæ à fractura deorſum: ac tertia, quæ ab inferiori parte ſurſum per priorem utranque in cochleam ſerpat. Verum hi ſecundam faſciam duabus prioribus breviorem injiciunt, illas vero inter ſe æquales, propterea, quod prima faſcia ſuper fracturam ipſam iterum ac tertio circumeat, membrumque ipſum ſpiſſiori ambitu complectatur: ſecunda ſemel ſuper fracturam voluta ex majori intervallo circundetur: tertia ſuper utranque obvolvatur, & quia minus ſpatii circumagitur, primæ longitudinem non excedat. Sed conſtat, etiam me tacente, tres poſitas faſcias duabus, quas Hippocrates prodidit, contineri, quum ſecunda duplicem uſum præſtet, quem illi partiti ſunt, unam injicientes, quæ à fractura procederet ad partem interiorem, alteram, quæ hinc ſurſum, quà prima finiebatur.

HIPPOCRATIS TEXTUS XXXI.

ATtrahere verò faſcias in hoc caſu, vel à dextra debemus, vel à ſiniſtra, prout ab hac vel illa parte, ad fracturæ habitum, atque inclinationem in hanc, vel illam regionem, confert.

GALENI COMMENTARIUS.

Oſſa, quæ ſub fracturis pervertuntur, modo in dextram membri partem, modo, in ſiniſtram, declinantur. Quocirca priores duæ faſciæ attrahi à contraria debent, ab ea ſcilicet orſæ, in quam membrum convertitur, atque in contrariam inclinatæ; ſi enim fractum os, æque in utramque partem inclinabit, atque hoc eſt, quod nunc ab Hippocrate proponitur, quum præcipit, ut fracturæ habitum intuiti faſciam circumagamus, hoc eſt, ut ad contrariam partem, atque fractura inclinat, faſciam adducamus.

GALENI COMMENTARIUS.

PAnni duas faſcias priores ſubeunt, quas proprie ὑποδεσμίδας vocat. Injiciuntur autem contraria ratione, ac faſciæ: illæ enim ſerpunt circa membrum tranſverſæ, panni vero in longitudinem dantur, univerſum vinculum ex binis prioribus faſciis excipientes. Juſſit autem cerato modice mungi, fluerent enim ubi cerati copiâ labarent, non ſecus ac, ſi parum mungerentur, quod ſubjectis faſciis minime cohærent: exhibet enim ceratum vicem glutinantis. Conſtat autem in aliis, quæ glutine colliguntur, modum eſſe optimum. Panni igitur comprimunt, ubi ſicci imponantur, cui opponitur, quod inquit, leniores: ſicut & quod dicit, ſtabiliores, illis contrarium eſt, qui ob cerati copiam non hærent. Jure itaque ait, ſi quidem leniores ſunt, & ſtabiliores, namque ubi panni nullo pacto cerato munguntur, non amplius lenes ſunt; ubi plures juſto uncti ſint, non ampliùs ſtabiles, labuntur enim copia cerati.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B Οἱ σπλῆνες, σχῆμα τῶν προφερὲν δυοῖν ἐπιδέσμοιν οὖσιν, οὐκ ἰδίως ὑποδεσμίδας ὀνομάζει ἐπιβάλλεται δ' αὐτοῖς ἐναντίως. ἐκεῖνοι μὲν γὰρ ἐγκάρσιοι ἀεὶ τὸ κῶλον ἐλίττονται, κατὰ μῆκος δὲ, οἱ σπλῆνες ἐπιτίθενται, τὴν περιβολὴν τὴν ἐκ δυοῖν ἐξ ἀρχῆς ἐπιδέσμων ὅλην καταλαμβάνοντες. κεχρῖσθαι δ' αὐτοὺς, ὀλίγῃ κηρωτῇ κελεύει, περιρρυέντας γὰρ, ἀφεστάναι γινομένους διὰ τὸ πλῆθος αὐτῆς, ὥσπερ καὶ διὰ τὸ ὀλίγον τῆς, τὸ ἀργὸν ἤδιν ἐνυπάρχοντα τοῖς ὑποδεσμίσιν. ἔστι γὰρ ὥσπερ τι πρὸς ἐκείνους αὐτοῖς ἡ κηρωτὴ φάρμακον· καὶ κατά τι τῶν ἄλλων ἁπάντων, ὅσα κόλλῃ συνδεῖται, τὸ μέτριον αὐτῆς ἄριστον. ἐπὶ δὲ τῶν σπλήνων, ἡ θλῖψις γὰρ,
C ξηρῶν τῶν ἐπιτιθεμένων ὀθονίων, ὡς αἰτιᾶται τὸ πρᾳϋνέστεροι, ὥσπερ γε καὶ οἱ εὐθετώτεροι, αἰτίκειται τὸ διὰ τὸ πλῆθος τῆς κηρωτῆς ἀνέδρασιν. εἰκότως οὖν εἶπεν, καὶ γὰρ πρᾳϋντεροι, καὶ εὐθετώτεροι. οὐκ εἰσὶ τῷ μηδ' ὅλως κεχρῖσθαι τῇ κηρωτῇ τοὺς σπλῆνας, ἀπολλυμένου τοῦ πρᾳϋτέρου, οὐκ ἔτι δὲ πλείον ἤ χρή, τοῦ εὐθέτου· τὸ γὰρ πλῆθος τῆς κηρωτῆς ὀλισθεῖν αὐτὰς ἐργάζεται.

HIPPOCRATIS TEXTUS XXXIII.

HI faſciis alligandi ſunt inter ſe diverſis, aliis à dextra parte, aliis à ſiniſtra plurimum ab inferiori parte ſurſum ductis, aliquatenus à ſuperiori deorſum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ΄.

D Ἔπειτα οὕτως ἐπιδεῖν τοῖσιν ὀθονίοισιν, ὡς ἐναλλάξ, ὁτὲ μὲν, ἐπὶ δεξιὰ, ὁτὲ δὲ, ἐπ' ἀριστερά. καὶ τὰ μὲν πλείω, κάτωθεν ἀρξάμενος ἐς τὸ ἄνω ἄγειν. ἔστι δ' ὅτε καὶ ἄνωθεν ἐς τὸ κάτω.

GALENI COMMENTARIUS.

FAſciæ, quæ primò dabantur, non circuibant inter ſe adverſæ; ſed utraque membrum, quod perverſum erat, à contrario habitu ad naturalem reſtituebat: ſed, quæ pannis ſuperinjiciuntur, cùm eò pertineant, ut membrum univerſum alligent, tueanturque vinculum univerſum, quale exceperint, adverſæ inter ſe procedunt, atque una quidem à dextra parte, altera à ſiniſtra circumagitur: ſimiliter altera à ſuperiori, altera ab inferiori: ſic enim quum inter ſe adverſæ ſint, vinculum, quale acceperint, potiſſimum ſervabunt. Quare quatenus à dextra parte, vel ſiniſtra procedunt, junctura ex toto fit æqualis: quatenus verò à ſuperiori, vel inferiori feruntur, altera non longè alteram excedit. Sæpius tamen circuit, quæ ab inferiori parte ſurſum tendit: hoc ſiquidem tutius eſt, ob cauſam, quæ paulò ſupra poſita eſt, ubi juſſit ſanguinem à fractura depelli ad ſummum membrum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αἱ μὲν ὑποδεσμίδες, οὐκ ἐναλλὰξ ἀλλήλαις εἶχον τὴν νομὴν, ἀλλ' ἐπὶ θατέρου, ἀπεστρεμμένον εἰς τὸ παρὰ φύσιν σχῆμα τῆς, ἐπανῆγον τὸ κῶλον. οἱ δὲ μετὰ τοὺς σπλῆνας ἐπίδεσμοι, σκοπὸν ἔχοντες, ὅλον μὲν τὸ κῶλον ἀποδεῖν,
E ἅπασαν δὲ τὴν ἐπίδεσιν, ὁποίαν παρέλαβον φυλάττειν, ἔμπαλιν ἀλλήλοις ποιοῦνται τὴν νομήν, ὁ μὲν ἐπὶ τὸ δεξιὸν μέρος, ὁ δὲ ἐπὶ θάτερον ἑλιττόμενος, ὡσαύτως δὲ, κάτω μὲν ὁ ἕτερος, ἄνω δὲ ὁ ἕτερος. οὕτως γὰρ μάλιστα φυλάξουσι τὴν ἐπίδεσιν οἵαν παρέλαβον φυλάττειν ἔμπαλιν ἀλλήλοις. διὰ τοῦτο αἱ μὲν ἐπὶ τὰ δεξιά τε, καὶ ἀριστερὰ κατὰ πᾶν ἴσαι γίγνονται. αἱ δ' ἄνω, καὶ κάτω, μὴ πολὺ μὲν ἀλλήλων ὑπερέχουσιν, ὅμως δ' οὖν ἡ κάτωθεν ἄνω, πλεονεκτεῖ ταῦτα· ἀσφαλέστερον γὰρ τοῦτο, διὰ τὴν ὀλίγον ἔμπροσθεν εἰρημένην αἰ-
F τίαν· ἡνίκα εἰς τὴν ἀρχὴν τοῦ κώλου τὸ αἷμα συμβουλεύουσιν ἐκθλίβειν ἀπὸ τοῦ κατάγματος.

HIPPOCRATIS TEXTUS XXXIV.

QUæ extremitate tenuantur, pannis æquanda ſunt in orbem datis, qui ubi ea dirigimus, non ſubitò, ſed paulatim plurimi obvolvendi ſunt.

ΙΠΠΟΚΑΤΟΥΣ ΡΗΣΙΣ λδ΄.

Τὰ δὲ ὑπόξυρα ἀκεῖσθαι τοῖσι σπλήνεσι κυκλοῦντας. τὰ δὲ πλήθη τῶν περιβολέων, μὴ ταχὺ ἀθρόον ξυνδέεσθαι [illegible], ἀλλὰ κατὰ μέρος.

Προσπεριβάλλειν δὲ χρὴ χαλαρὰ, καὶ περὶ τὸν καρπὸν τῆς χειρὸς, ἄλλοτε καὶ ἄλλοτε.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Συμφλεγμαίνειν μὲν εἰώθασιν, ἅπαντα τὰ πλησιάζοντα μόρια τοῖς πεπονθόσι. τὰ δὲ πέρατα τῶν κώλων μᾶλλον, ὅτι μικρὰ, καὶ ἄσαρκα τελείως ἐστὶ, καὶ διὰ τοῦτο, τὸ ἐπιρρέον τὸ μὴ ἐκ τῶν περὶ τὸ κάταγμα χωρίων, ἰλὺν, ἀλύπως ἐπιδέχεται. C παρηγορεῖν οὖν αὐτὰ βούλεται τῇ τῆς κηρωτῆς ἐπιθέσει, ἣν ὁπότε ψιλὴν, αὐτὴν οὐ σκεπάσαι τινὶ, βέλτιον ἦν ἐπιβάλλειν αὖθις, ἐπεὶ ὥσπερ αἱ ἐπιδέσμεις χρῶνται κατ᾽ αὐτῶν, ἀστήρικτον ἔχουσι τὴν ἀρχὴν καὶ τελευτὴν, καὶ διὰ τοῦτο περιρρυήσονται ἐν τάχει. συνεχρήσατο οὖν τοῖς ὅλου τοῦ κατάγματος ἐπιδέσμοις, οὓς χαλαροὺς, εἰκότως ἐπιβάλλει, μὴ μόνον τῆς γε δυσχρησίας προσέξειν, ἀλλὰ καὶ μίαν μόνην τὴν κώλυσιν τῆς φλεγμονῆς, κρατήματος γὰρ μηδενὸς χρήζει τὸ κάταγμα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛ΄.

D Πλῆθος δὲ τῶν ὀθονίων, ἱκανὸν τὸ πρῶτον αἱ δύο μοῖραι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κατὰ τὴν πρώτην ἁπασῶν ἐπίδεσιν πασῶν, ἀξιοῖ τὸ πλῆθος τῶν ὀθονίων ἔλαττον ὑπάρχειν, ἧς ὕστερον δεησόμεθα, προϊόντος τοῦ χρόνου. ἐδίδαξε γὰρ ἔμπροσθεν, πηνίκα χρὴ πλείστοις ὀθονίοις χρῆσθαι, μικρὸν ὕστερον. ἐπεὶ δὲ τὸ πλῆθος τῶν ὀθονίων, ἔκ τε τοῦ ἀριθμοῦ καὶ τοῦ μήκους τῶν ἐπιδέσμων τε, καὶ σπληνῶν αὐξάνεσθαι, ζητήσαις ὡς πότερα μείζους, ἢ πλείους E κελεύει ποιεῖν τοὺς ἐπιδέσμους, ἐπὶ προσήκοντι τῷ χρόνῳ, καὶ μέχρι τοῦ πηλίκον εἶναι προσήκει ἕκαστον. τὸ μὲν οὖν πλάτος τε, καὶ μῆκος, αὐτὸς εἴρηκεν, ἐν τῷ κατ᾽ ἰητρεῖον εἰπὼν, τεσσάρων, ἢ πέντε, ἢ ἓξ πηχέων μὲν μῆκος, δακτύλων δὲ, πλάτος, οὐδὲ νῦν εἰπεῖν παρέλειψε. δύο γὰρ ὑποδεσμίδας ἀξιοῖ ποιεῖσθαι, δι᾽ ὅλης τῆς ἐπιδέσεως· τούς γε μὴν σπλῆνας, ὅτι τριπτύχους, ἢ διπτύχους εἶναι προσήκει, καὶ τοῦτ᾽ αὐτὸς ἐδίδαξεν. ἀριθμὸν δὴ αὐτὸς εἰκὸς εἶναι τοσοῦτον, ὅσον δι᾽ αὐτάρκως περιλαμβάνειν τὸ κῶλον. εἰ δ᾽ ἔξωθεν F ἐπίδεσμοι, κατὰ τῶν σπληνῶν ἐπιβαλλόμενοι, δύο μὲν εἰς τὰ πολλὰ γίνονται, κάτωθεν μὲν, ἐπὶ τὴν φορὰν ποιούμενος ὁ ἕτερος αὐτῶν, ἄνωθεν δὲ κάτω πάλιν, ὁ ἕτερος. ἐγχωρεῖ γε μὴν, καὶ τρεῖς, καὶ τέτταρας αὐτοὺς ποιεῖν, ἀλλ᾽ ἡμεῖς, ἀεὶ δυσὶ χρώμεθα. πρὸς τούτοις οὖν τοῖς ἐπιβαλεῖν τὴν σκέψιν, ἐδήλωσεν ὅτι σεσήπηται, καὶ ἀρχαὶ μὲν ταῖς δύο μοίραις τῶν ὀθονίων χρῆναι, καί ἐν

Laxeque circa primam palmæ partem variis locis vincienda.

GALENI COMMENTARIUS.

SOlent juxta vitiatam ſedem loca omnia inflammatione affici, ac præcipuè membrorum extremitates, quoniam parvæ ſunt, & minimè carnoſæ, & ideireo materiam à locis, qui juxta fracturam ſunt, deſcendentem non recipiunt citra noxam. Eas igitur levare conſtituit cerati inunctione, quod non expedit per ſe membris imponi ſine ullo tegmento, ſine aliis faſciis: nam quum caput & finem haberet ſine aliquo fulcro, citò caderet: idcircò uſus eſt faſciis totius fracturæ, quas jure laxas injicit, ut nullam afferant moleſtiam; ſed id unum duntaxat efficiant, ut inflammationem arceant; non enim admoventur ad id, quod fractum eſt, continendum.

HIPPOCRATIS TEXTUS XXXVI.

Quod ad linteorum multitudinem pertinet, duas partes primò abundè eſt ſuperdare.

GALENI COMMENTARIUS.

AD univerſum vinculum, quod primum omnium damus, cenſet paucioribus linteis opus eſſe, quàm procedente tempore futurum ſit: docuit enim paulò infrà, quo tempore plurimis uti faſciis conveniat. Sed, quum linteorum multitudo, & faſciarum & pannorum numero longitudineque augeatur, quæret quis num idoneo tempore, majora an plura lintea injici velit: quin & quanta ſingula eſſe debeant. Porro longitudinem & latitudinem faſciarum definivit in libro de Officina Medici, quum inquit, quod verò ad longitudinem & latitudinem pertinet, impleant etiam, quatuor, quinque, aut ſex, longitudinem quidem cubitorum, latitudinem verò digitorum. At neque numerum nunc ſilentio præterit; ex faſciis enim, quæ prima injiciuntur, duas dari juſſit per univerſum vinculum: pannos item duplices, tripliceſque ſuperinjiciendos eſſe, ibi quoque explicavit: quos eſſe volunt tot numero, ut complecti queant univerſum membrum. Sed faſciæ, quæ ſuper pannos dantur, plerumque duæ ſint, quarum una ab inferiori parte ſurſum tendat, altera à ſuperiori deorſum. Has etiam licet & ternas, & quaternas imponere. Nos autem binis ubique utimur. Igitur qui in hæc incumbet, duas linteorum partes in ... ſed

trinum faſciis ita longis alligare, ut robuſti hominis quaternos cubitos æquent: vel ad robuſtum ita breves adhibere, ut quaternos pueri cubitos impleant. Sed in hoc opere, faſciarum longitudinem non ſtatuit, ſicut neque latitudinem, ea nobis conjicienda relinquens. Conſtat autem fracturæ magnitudine inſpecta, inveniri à nobis longitudinem faſciarum, quùm (ut ipſe imperavit) debeat vinculum ſemper plurimum integræ partis comprehendere. Hæc non convenit eadem ubique: ſed pro magnitudine fracturæ, ut diximus. Quòd ſi iterum, aut tertiò, ſuper fracturam circumagenda prima faſcia eſt: poſteà crebris circuitibus voluta non priùs finienda, quàm integræ ſedis plurimum complexa fuerit: planè debet ita longa ſumi, ut propoſitis ab Hippocrate circuitibus ſufficiat. Eadem ratione, & aliarum faſciarum longitudo tanta ſit, ut ſufficiat deſcriptis ab ipſo vinculis. Porrò faſciarum latitudinem comperies, ſi ad ea, quæ ipſe docuit, reſpexeris: Inquit enim, fulciantur: non tamen cogantur. Significat autem fulciri quaſi hærere. Quod fiet, ubi faſciæ non ita latæ parentur, hæ ſiquidem rugant, quùm circumaguntur. Nam alioquin latior faſcia, ut quæ plurimùm amplectatur, fracti oſſis partes firmiùs continet. Atque hac de cauſa latiſſima faſcia ex uſu maximè eſt. Verùm, quia, quæ talis eſt, rugas contrahens, quùm ſuper affectas partes eſt obvoluta, laxior fit, & quæ ſubjecta ſunt, minùs fideliter continet, idcirco expedit, non ita latam imponere, ſed eatenus ejus latitudinem augere, quare nulla pars laxatur. Quamobrem experiens hæc omnia melius præſtabit: ejuſmodi enim obſervationes conjecturales ſunt, neque ſcripturâ comprehendi, aut lectione poſſunt. Ob quam verò cauſam plures faſcias dari poſteà velit, tunc intelliges, cùm ad eum locum pervenerimus.

HIPPOCRATIS TEXTUS XXXVII.

Hinc autem cognoſces rectè hominem curatum eſſe, ac terminum deligandi, ubi, num prematur, rogaveris: atque is reſponderit ſe premi quidem, ſed leviter, idque præſertim quà fractura eſt. Hæc itaque ſic habere, neceſſe eſt fateatur, qui rectè eſt alligatus.

GALENI COMMENTARIUS.

Quoniam ea, quæ nos ſpectamus in faſciis obvolvendis, intelligit non comprehendi ſcientia, ſed conjectura, ex certis indiciis judicandum cenſet, quæ rectè injectæ fuerint, quæ malè. Quòd ſi homo abundè ſub faſciis urgeatur, celerrimè ſolventes aptiùs deligabimus: ſin faſciarum circuitus juſto laxiores fuerint, non patiemur diutiùs ſic habere: nam quæ arctiùs aſtringuntur, dolent, inflammantur,

ὅπως βραχέσιν, ὡς τρισί, ἢ τέτταρσιν εἶναι, τὰ τοῦ παιδίου. κατὰ μέντοι τοῦτο βιβλίον, οὐχ ὥρισε τὸ μῆκος τῶν ἐπιδέσμων, ὥσπερ οὐδὲ τὸ πλάτος, ἡμῖν ἀπολείπων στοχάζεσθαι. δῆλον
B γὰρ ὅτι πρὸς τὸ μέγεθος τοῦ κατάγματος ἁρμοττομένους ἡμᾶς εὑρίσκειν χρὴ τὸ μῆκος τῶν ἐπιδέσμων. ἀεὶ μὲν, τὸν ἐπίδεσμον, ὡς αὐτὸς ἐκέλευσε, περιλαμβάνειν ὀφείλοντες πολὺ τοῦ ὑγιοῦς, οὐκ ἀεὶ δὲ ταὐτὸ, ἀλλὰ κατὰ τὸ μέγεθος, ὡς ἔφη, τοῦ κατάγματος. εἰ δὲ δὶς ἢ τρὶς, αὐτῷ τῷ κατάγματι περιβάλλειν χρὴ μετὰ δὲ ταῦτα, πυκναῖς ταῖς περιβολαῖς χρώμενον, αὖθις τελευτᾶσαι, πολὺ τοῦ ὑγιοῦς ἐπιβάλλοντα. τηλικοῦτον δηλονότι προσήκει τὸ πρῶτον ὀθόνιον ὑπάρχειν, ὡς ἐξαρκέσαι ταῖς πρώταις περιβολαῖς ταῖς εἰρημέναις. ὡσαύτως δὲ καὶ κατὰ τοὺς ἄλ-
C λους ἐπιδέσμους, τὸ μῆκος αὔταρκες γενέσθω, ὡς ταῖς ὑπ' αὐτοῦ γεγραμμέναις λέξεσιν ἀρκέσαι. τό γε μὴν πλάτος τῶν ἐπιδέσμων ἐξ ὧν εἴρηκεν αὐτὸς, σκοπῶν εὑρήσεις. ἠρμόσθω μὲν γάρ φησι, πεπιέσθω δὲ μή· τὸ δ' ἡρμόσθαι, τὸ οἷον ἐστηρίχθαι δηλοῖ. τοῦτο δὲ ἔσται μὴ πάνυ πλατέων παρασκευάζεσθαι τῶν ὀθονίων, ῥυσοῦνται γὰρ ἐν ταῖς περιβολαῖς τὰ τοιαῦτα. ἐπεὶ ἄλλως γε, τὸ πλατύτερον ὀθόνιον, ὡς ἂν πλείονα τόπον περιλαμβάνον, ἀσφαλέστερον κρατεῖ τὰ κατεαγότα μόρια τῶν ὀστῶν, καὶ ἕνεκα ἐπὶ τοῦτο, κάλλιστος ἂν ἦν,
D πλατύτατος ὁ ἐπίδεσμος. ἀλλὰ γὰρ ἐπειδὴ ῥυσσούμενος ὁ τοιοῦτος, ἐν οἷς ἂν περιτεθῇ, τοῦτο πάθη μόρεσιν, ἑαυτοῦ χαλαρώτερος γενόμενος, ἀπόλλυσι τὴν ἀσφαλῆ [illegible] τῶν ὑποκειμένων σωμάτων, διὰ τοῦτο, χρὴ μὴ πάνυ πλατὺν ὑπάρχειν αὐτόν. αὐξανέσθω δὲ ἔτι τὸ τοῦ ἐπιδέσμου πλάτος, ἄχρις ἂν ἐνδέχηται, ὡς μηδέπω γενέσθαι χαλαρὸν αὐτοῦ τὸ μέρος, διὸ καὶ τὰ τοιαῦτα πάντα, κάλλιον ὁ πεπειραμένος πράξει. στοχαστικοὶ γὰρ οἱ σκοποὶ, καὶ οὐδεὶς τοιοῦτος, οἷον ἐν τῷ γράφειν τι, καὶ ἀναγινώσκειν. διὰ τί δὲ πλείοσιν ὀθονίοις ὕστερον χρῆσθαι κελεύει, τηνικαῦτα ἀκούσῃ, ὅταν ἐπὶ τὴν ῥῆσιν ἐν
E ᾗ ταῦτα γράφει παραγενώμεθα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζ'.

Σημεῖα δὲ τοῦ καλῶς ἐπιδεδεμένου, ταῦτα, καὶ ὅρος ἐπιδεομένου, εἰ ἐρωτῴης αὐτὸν εἰ πεπίεσται, καὶ εἰ φαίη μὲν πεπιέσθαι, ἡσύχως δὲ, καὶ μάλιστα εἰ κατὰ τὸ κάτηγμα φαίη. τοιαῦτα τοίνυν φάναι χρὴ πεπρηγμένα διὰ τέλεος, τὸν ὀρθῶς ἐπιδεόμενον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F
Ἐπεὶ δὲ στοχαστικοῖς, οὐκ ἐπιστημονικοῖς σκοποῖς, οὐδὲ ἡμᾶς χρώμενος ἐν ταῖς τῶν ὀθονίων περιβολαῖς, διὰ τοῦτο, σημείοις ἀσφαλέσι κρίνειν ἀξιοῖ τὸ κατορθούμενόν τε, καὶ διημαρτημένον αὐτοῖς. ἐὰν μὲν ἱκανῶς θλίβηται πρὸς τῆς ἐπιδέσεως ὁ κάμνων, ἐν τάχει λύσαντες, ἄμεινον ἐπιδήσομεν. ἐὰν δὲ χαλαρώτεραι τοῦ προσήκοντος, αἱ περιβολαὶ τῶν ὀθονίων ὦσι, μὴ πάνυ πολὺν ἀναμένωμεν χρόνον. ἡ μὲν γὰρ ἰσχυρὰ θλῖψις, ὀδύνην τε, καὶ φλεγμονὴν, καί ποτε καὶ νέ-

ἐναντίαν ἐπιβολῆς, ἵνα δὲ ὡς ἀποκρίνηται, διαγινώσκωμεν τι περὶ τῆς κατὰ τὴν ἐπίδεσιν ἐπανορθώσεως. προσήκον δέ φησι, κατὰ τὸ κάταγμα δεῖν ἀποκρίνεσθαι τὸν ἐπιδεδεμένον, αἰσθάνεσθαι μᾶλλον, ἤπερ κατὰ τὰ ἄλλα μέρη τοῦ κώλου, τῆς ἐκ τῶν ὀθονίων ἐπιδέσεως. αἰσθητικώτερόν τι γὰρ τοῦτο τῶν θλιβόντων ἐστὶ, διότι πεπόνθεν, ἡμεῖς τε μᾶλλον ἐπιέσαμεν ἐνταῦθα τὸν ἐπίδεσμον, ὡς ἂν βουλόμενοι τὸ πᾶν αἷμα ἐκθλίβειν, ἐφ' ἑκάτερα τοῦ κώλου, πόῤῥω τοῦ κατάγματος, ὅπως γὰρ ἔμελλεν ἀφλέγμαντον ἔσεσθαι τὸ πεπονθός. B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

Σημεῖα δὲ ταῦτα τῆς μετριότητος. τὴν μὲν ἡμέρην ἣν ἂν ἐπιδεθῇ, καὶ τὴν νύκτα, δοκεῖν C αὐτὸς ἑωυτῷ μὴ ἐπὶ ἧσσον πεπιέχθαι, ἀλλ' ἐπὶ μᾶλλον. τῇ δ' ὑστεραίῃ, οἰδημάτιον ἐλθεῖν ἐς χεῖρα ἄκρην μαλθακόν· μετριότητος γὰρ σημεῖον τῆς πιέσιος ἐν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπειδὴ τὸ κῦρος τῆς ἐπιδέσεως, ἐν τῷ ποσῷ τῆς πιέσεώς ἐστιν, ὑπάρχει δὲ τὸ ποσὸν τοῦθ' ὑπαλλάττεσθαι, διά τε τὴν ἐν μαλακότητί τε, καὶ σκληρότητι διαφορὰν τῶν μορίων, οὐχ ἥκιστα δὲ, καὶ διὰ τὸ, ἵνα μὲν σώματα τῇ φύσει δυσαίσθητα, ἵνα δὲ εὐαίσθητα ὑπάρχειν, εἰκότως, ἐκ πολλῶν σημείων, D πειρᾶται τὴν ἀσφάλειαν τῶν θεραπευομένων πορίζεσθαι. διὰ τοῦτ' οὖν, οὐκ ἤρκεσεν αὐτῷ μόνα τὰ ἐκ τῆς ἐρωτήσεως, ἀλλὰ καὶ τοῖς μορίοις αὐτοῖς ἀξιοῖ προσέχειν ἡμᾶς, καὶ μάλιστά γε τοῖς πέρασιν αὐτῶν. οἰδημάτιον γὰρ ἔσεσθαί φησιν, ἐὰν συμμέτρως πιέσωμεν, ἐν ἄκρᾳ τῇ χειρὶ, κατὰ τὴν δευτέραν ἡμέραν, μαλθακὸν, ὅπερ ἐστὶ τὸ εἶκον, εἰ πιέζοιμεν αὐτὸ, τοὺς δακτύλους ἐπιβάλλοντες, ὡς εἴγε τοῦτο τὸ οἰδημάτιον, ἢ μηδ' ὅλως εὑρίσκοιμεν, ἢ σκληρὸν, εἰδέναι χρὴ σαφῶς, ἐνδεέστερον μὲν πεπιέχθαι τὸ κάταγμα, μηδ' ὅλως εὑρεθέντος, ἐπὶ μᾶλλόν E γε τεθλίφθαι, σκληροῦ φανέντος. εὔδηλον γὰρ ὅτι τῶν ἐκθλιβομένων χυμῶν, ὑπὸ τῆς ἐπιδέσεως ἐπὶ τὸ πέρας τοῦ κώλου, πολλῶν γιγνομένων, πληρωθήσεται τὸ ἄκρον αὐτοῦ, καὶ θλιβόμενον τοῖς δακτύλοις οὐχ ὑπείξει. καὶ τοῦτο ἔσται σοι σημεῖον σφοδρᾶς πιέσεως, ὥσπερ γε καὶ εἰ μηδ' ὅλως οἰδήσειεν ἡ ἄκρα χεὶρ, ἔσται σοι καὶ τοῦτο τεκμήριον τοῦ, μηδ' ὅλως ἐκτεθλίφθαι τι πρὸς τῆς ἐπιδέσεως. ἀνάλογον μὲν γὰρ ἀεὶ τῷ ποσῷ τῆς πιέσεως, τὸ ποσὸν τῶν ἐκθλιβομένων γίγνεται F χυμῶν. ἀναλόγως δὲ τούτῳ τὸ ποσὸν ἐν τοῦ οἰδήματος. ὥστ' εἰκότως ἀντίτυπον μὲν, καὶ μέγα, τὸ κατ' ἄκρον τὸ κῶλον οἴδημα γίγνεται, σφοδρῶς θλιφθέντος τοῦ καταγέντος αὐτοῦ μέρους. εἶκον δὲ, καὶ μικρὸν, ἠρέμα πιεσθέντος, ὥσπερ εἰ καὶ μηδ' ὅλως πιέσαιμεν, οὐδ' ὅλως ἔσται τὸ οἴδημα. πρόδηλον οὖν, ὡς μεγάλου μὲν, ἀντιτύπου φανέντος οἰδήματος ἐν ἄκρᾳ τῇ χειρὶ, κατὰ τὴν δευτέραν ἡμέραν, ἀντικωλυτέον ἐστὶ, καὶ κα-

niat faſciarum circuitum: ut ex iis, quæ reſpondet, aliquid de faſciis emendandis intelligamus. Debet enim, inquit, reſpondere, qui alligatus eſt, ſentire ſe vinculum arctius juxta fracturam, B quàm aliis partibus ipſius membri. Ea enim ſedes inter eas, quæ adſtringuntur, acerrimè ſentit, quòd & ægra ſit, & faſcia à nobis magis compreſſa, utpote, qui operam dederimus, ut ſanguis univerſus à fractura longè ad utramque membri extremitatem exprimeretur, ſiquidem hac via futurum ſit, ut quod vitiatum eſt, ab inflammatione defendatur.

HIPPOCRATIS TEXTUS XXXVIII.

C *Moderationis autem indicia ſunt, ſi eodem die, ac nocte, quo deligatus fuerit, ipſe ſibi videatur non levius, ſed valentius, adſtringi: poſtridie vero tumor in manu oriatur mollis, ac parvus: indicant hæ vinculum fuiſſe abs te moderatè adſtrictum.*

GALENI COMMENTARIUS.

Quùm adſtringendi modus in vinciendo omnium maximè momentum habeat: quumque hic variari conſueverit, tam quòd D quædam partes mollitie, ac duritie inter ſe diſtent, quàm quòd alia corpora hebetioris ſenſus natura ſint, alia acrioris: meritò contendit ex pluribus notis ſecuritatem ægrotantium inveſtigare. Atque hac de cauſa non contentus ſola poſuiſſe indicia, quæ ex interrogatione ſumuntur, inſpiciendas etiam nobis ipſas partes exiſtimat, potiſſimum extremas. Inquit enim, ubi moderatè adſtrinxerimus, futurum poſtridie in manu parvum tumorem mollem, hoc eſt cedentem, ſi ſuperdatis digitis premâmatur. Quare, ſi tumor hîc, vel nullus appa- E reat, vel durus, planè ſcire licet vinculum, ubi nullus apparet, non ſatis fuiſſe adſtrictum: ubi durus, nimis arctatum: Conſtat enim extremum membrum ſuccis ſub vinculo ad ipſum tranſmiſſis, quùm multi ſint, impleri, digitiſque preſſum non cedere. Idque tibi indicio erit vinculi valentius adſtricti, non ſecus atque, ubi manus nullo modo tumeat, conjicere poteris nihil fuiſſe ſub vinculo expreſſum: Nanque adſtringendi modo modus eorum, quæ exprimuntur, perpetuò reſpondet: & huic modus F tumoris. Quare non immeritò renititur tumor in extremitate membri: atque ingens eſt, ubi comminuta pars ejus fortiter fuerit adſtricta: cedit, atque exiguus eſt, ubi leviter: non ſecus autem, ubi non aſtringitur, nullus tumor excitatur. Ergo evidentiſſimum eſt, ubi poſtridie in manu tumor magnus ſit, & renitatur, membrum ſolui protinus debere, perfundique multa aqua

μὲν καὶ πέμπτην, μάλιστα ἐν χρόνῳ, χεῖρον οὐδὲν ὕστερον γιγνόμενον.

HIPPOCRATIS TEXTUS XXXIX.

Labente jam die minùs adſtrictas faſcias ſentiat, ſed tertio die penè reſolutas. Scire autem licet, ſi quid horum, quæ propoſuimus, abſit, vinculum non ſatis arctatum: ſi quid ſuperet, fuiſſe juſto plus adſtrictum. Hæc itaque indicia intuitus, deinceps, vel laxiùs alligabis, vel arctè magis.

GALENI COMMENTARIUS.

Relaxantur faſciæ, non mehercle (ut nonnulli putant) quòd intenſæ tempore longiores appareant, ſed quòd membrum extenuatum contrahatur, ubi rectè fuerit alligatum: quod evidenter in omni fractura perpetuum conſpicitur, quemadmodum & ipſe Hippocrates oſtendet.

HIPPOCRATIS TEXTUS XL.

Tertio die, poſtquàm extenderis, atque direxeris, ſolvere membrum oportet. Quòd ſi primis diebus moderatè devinxeris, paulò magis faſcias adſtringes. Deligare autem incipies à fractura, quemadmodū priùs: nam, ſi hanc partem priùs devinxeris, materiam inde ad utramque membri extremitatem depelles: ſin aliam priùs adſtrinxeris, inde ad fracturam deduces, quod intellexiſſe pertinet ad multos locos. Sic ergo ordiri ſemper vinculum debet, atque hunc locum primùm adſtringere, alios verò proportione: quo enim longiùs à fractura procedit, eò leniùs arctari: nunquam verò ex toto laxari, ſed adhærere: poſt hæc adjiciendæ faſciæ ſunt, quotieſcunque devincimus. Rogatus autem homo reſpondeat adſtringi ſe paulo magis quàm antè, præſertim quà fractura eſt, atque alibi pro ratione. Tumeat item membrum, urgeatur, levetur, pro ratione prioris juncturæ. Abhinc tertio die ſentiat faſcias relaxari. Tum ſoluere convenit, ac rurſus deligare paulò arctiùs omnibus faſciis injectis, quibus utendum erit. Poſt hæc laboranti omnia eveniant, quæ in ſuperioribus alligandi circuitibus expoſita ſunt.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθ'.

Τελευτώσης δὲ τῆς ἡμέρης, ἐπὶ ἧσσον δοκείτω πεπιέχθαι· τῇ δὲ τρίτῃ, χαλαρά σφι δοκείτω εἶναι τὰ ἐπιδέσματα. καὶ ἢν μέν τι τούτων τῶν εἰρημένων ἐλλείπῃ, γινώσκειν χρὴ ὅτι χαλαρωτέρη ἐστὶν ἡ ἐπίδεσις τοῦ μετρίου. ἢν δέ τι τῶν εἰρημένων πλεονάζῃ, χρὴ γινώσκειν ὅτι μᾶλλον ἐπιέχθη τοῦ μετρίου, καὶ τουτέοισι σημηνάμενος, τὸ ὕστερον ἐπιδέειν, ἢ χαλᾷν μᾶλλον, ἢ πιέζειν.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ μὰ Δία, καθάπερ οἴονταί τινες, ἐκ τῆς τάσεως μακροτέρων γιγνομένων τῶν ὀθονίων, ἡ ἐπίδεσις ἐν τῷ χρόνῳ χαλαρωτέρα φαίνεται, ἀλλ' ὅτι συστέλλεται τὸ κῶλον ἰσχνούμενον, ὅταν ὀρθῶς ἐπιδεθῇ, καὶ τοῦτ' ἐναργῶς φαίνεται διὰ παντὸς ἐπὶ πάντων τῶν καταγμάτων, ὡς καὶ αὐτὸς ὁ Ἱπποκράτης δηλώσει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μ'.

D

Ἀπολύσαντα δὲ χρὴ τριταῖον ἐόντα, κατατεινάμενον, καὶ διορθωσάμενον, ἢν μετρίως τὸ πρότερον ἐτετυχήκεις ἐπιδήσας, ταύτην τὴν ἐπίδεσιν, χρὴ ὀλίγῳ μᾶλλον, ἢ ἐκείνην πιέσαι. βάλλεσθαι δὲ χρὴ τὰς ἀρχὰς κατὰ τὸ κάτηγμα, ὥσπερ καὶ τὸ πρότερον. ἢν μὲν τοῦτο πρότερον ἐπιδέῃς, ἐξαρειᾶσθαι ἐκ τούτου οἱ ἰχῶρες ἐς τὰς ἐσχατιὰς ἔνθα καὶ ἔνθα. ἢν δέ τι ἄλλο πρότερον πιέζῃς, ἐς τοῦτο ἐξαρειᾶται ἐκ τοῦ πιεχθέντος, ἐς πολλὰ δ' εὔχρηστον τὸ ξυνιέναι, οὕτως οὖν ἄρχεσθαι μὲν αἰεὶ χρὴ τὴν ἐπίδεσιν καὶ τὴν πίεσιν ἐκ τουτέου τοῦ χωρίου. τὰ δ' ἄλλα κατὰ λόγον, ὡς ἂν προσωτέρω ἀπὸ τοῦ κατήγματος ἀγάγῃς, ἐπὶ ἧσσον τὴν πίεσιν ποιέεσθαι. χαλαρὰ δὲ παντάπασι μηδέποτε περιβάλλειν, ἀλλὰ προσπεπτωκότα. ἔπειτα δὲ πλείοσιν ὀθονίοισιν χρὴ ἐπιδεῖν ἑκάστην τῶν ἐπιδεσίων. ἐρωτώμενος δὲ, φάτω ὀλίγῳ μᾶλλον οἱ πεπιέχθαι, ἢ τὸ πρότερον, καὶ μάλιστα φάτω κατὰ τὸ κάτηγμα· καὶ τὰ ἄλλα δὲ κατὰ λόγον, καὶ

F

ἀμφὶ τὸ οἴδημα, καὶ ἀμφὶ τὸν πόνον, καὶ ἀμφὶ τὸ ῥαΐζειν, κατὰ λόγον τῆς προτέρης ἐπιδέσιος γινέσθω. ἐπὴν δὲ τριταῖος ᾖ χαλαρώτερα οἱ δοκείτω εἶναι τὰ ἐπιδέσματα, ἔπειτα ἀπολύσαντα, χρὴ αὖθις ἐπιδῆσαι ὀλίγῳ μᾶλλον πιέζοντα, καὶ ἐν πᾶσι τοῖσιν ὀθονίοισιν οἷσι περ ἔμελλεν ἐπιδεῖσθαι, καὶ ἔπειτα πάντα αὐτὸν ταῦτα καταλαβέτω, ἅπερ καὶ ἐν τῇσι προτέρῃσι περιόδοισι τῶν ἐπιδεσίων.

ὑπάρξῃ, διὰ καὶ τοῖς ὀθονίοις πλείοσι χρῆσθαι κελεύει, καὶ τῇ τάξει τελεωτάτῃ, μεμνημένων ἡμῶν, ὡς ἀπαιτεῖ τῇ προειρημένῃ τάξει γινομένων, ὁ λόγος οὗτος αὐτοῦ φαίνεται, B ὡς εἴγε διά τι πλημμεληθὲν ἐν τῷ μεταξὺ, μηδέπω τελέως ἀφλέγμαντος ἡ χεὶρ εἴη τῇ πέμπτῃ τῶν ἡμερῶν, οὐδ᾽ ἡμεῖς χρησόμεθα τοῖς ὀθονίοις πᾶσιν. ἡ μὲν γὰρ ἀσφάλεια τῆς κατεπειγούσης ἐπιδέσεως, καὶ τὸ πλῆθος τῶν ὀθονίων, ὡς αὐτὸς ἔφη γίγνεται. μάλιστα δ᾽ αὐτῇ χρώμεθα κατ᾽ ἐκεῖνον τὸν καιρὸν, ἐν ᾧ προεσταλμένον μὲν ἱκανῶς φαίνεται τὸ περὶ τὸ κάταγμα χωρίον, αὐτὸ δὲ τὸ συντετριμμένον ὀστοῦν χαλαρὸν, καὶ εὐπαράγωγον εἰς κατόρθωσιν. ἐὰν οὖν ποτε συμβῇ, μὴ γενέσθαι τοῦτο κατὰ τὴν πέμπτην ἡμέραν, ἀναμενοῦμεν ἑτέραν περίοδον λύσεως, εἰς τὴν ἑτέραν ἑβδόμην ἀφικνουμένην δηλονότι. διὰ C τρίτης γὰρ ἀξιοῖ λύειν, καὶ μετατιθέναι, ἄχρις ἂν εἰς νάρθηκας ἐμβάλλῃ τὸ κάταγμα, χάριν τοῦ καταντλεῖν ὕδατι θερμῷ, κενώσεως ἕνεκα τῶν ἐν τῷ κατεαγότι μορίῳ χυμῶν, ὅσοι λεπτοὶ καὶ ὀρρώδεις εἰσὶ, διαπνεῖσθαι δεόμενοι. ἅμα δὲ καὶ παρηγορητικὸν ὀδύνης τοῦτο, καὶ κνήσεως ἰατικόν, ὡς ὅταν γε μήτε κνήσεως αἰσθάνηται, μήτε ὀδύνης ὁ ἄνθρωπος, ἅπαντά τε τὰ λελεγμένα σημεῖα τοῦ παραγενέσθαι καλῶς τὰ περὶ τὸ κάταγμα φαίνηται, κἂν διὰ τετάρτης λύσῃς, οὐδὲν βλάψεις, καὶ μάλιστα χειμῶνος. ἔτι δὲ μᾶλλον, ἀνθρώποις ἀγροίκοις, ἀλούτοις εἰθισμένοις τὰ πολλά. τοὺς D δὲ καθ᾽ ἑκάστην ἡμέραν εἰωθότας λούεσθαι, καὶ μάλιστα εἰ δὶς τοῦτο ποιοῖεν, οὐ χρὴ διὰ μακροῦ λύειν, ἔτι δὲ μᾶλλον, εἰ καὶ μαλακωτέρας φύσεως τύχοιεν ὄντες.

obliti hoc ab ipſo præcipi, uti omnia convenienti ordine ſequantur. Nam, ſi propterea B quòd aliquid interim peccatum ſit, brachium nondum quinto die ex toto inflammatione vacet, neque nos faſciis omnibus utemur. Exhibet quidem faſciarum multitudo (ut ipſe ait) vinculi firmitatem. Potiſſimum verò ea utemur, quo tempore deſedit locus, qui circa fracturam eſt: & ipſum os, quod perfractum eſt, laxius effectum eſt, & faciliùs tractatur, ut componi poſſit. At ſi quando hoc quinto die non cedat, differemus in alium circuitum, qui ad diem ſeptimum perveniet: jubet enim donec ferulæ ad fracturam dentur, tertio quoque die C ſolui, ac rurſus deligari, ea de cauſa, ut aqua calida infundatur ad educendos ſuccos in comminuta parte exiſtentes, qui tenues ſunt, & ſeri naturam habent, digeſtionemque requirunt: & ſimul etiam ad leniendum dolorem, & pruriginem finiendam. Itaque, ubi nec dolor, nec prurigo hominem exerceat, atque indicia illa omnia ſe oſtendant, ex quibus rectè fracturam habere cognoſcimus, etiamſi quarto quoque die ſolves, nihil lædes, hyeme potiſſimum, atque adeò magis homines agreſtes, qui lavari ferè non conſuerunt: ſed eos, qui D quotidiè lavari ſolent, & qui præſertim bis id facient, convenit non longo interpoſito ſpacio reſolvere, ac præcipuè, ubi carne fuerint molliori.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μα′.

Ἐπὴν δὲ τριταῖος γένηται, ἑβδομαῖος δὲ ἀπὸ τῆς πρώτης ἐπιδέσιος, ἢν ὀρθῶς ἐπιδέηται, τὸ E μὲν οἴδημα ἐν ἄκρῃ τῇ χειρὶ ἔσται, οὐδὲ τοῦτο λίην μέγα. τὸ δ᾽ ἐπιδεόμενον χωρίον, ἐν πάσῃσι τῇσιν ἐπιδέσεσιν ἐπὶ τὸ λεπτότερον, καὶ ἰσχνότερον εὑρεθήσεται. ἐν δὲ τῇ ἑβδόμῃ, καὶ πάνυ λεπτὸν, καὶ τὰ ὀστέα τὰ κατεηγότα, ἐπὶ μᾶλλον κινεύμενα, καὶ εὐπαράγωγα ἐς κατόρθωσιν. καὶ ἢν ᾖ ταῦτα τοιαῦτα, κατορθωσάμενον χρὴ ἐπιδῆσαι ὡς ἐς νάρθηκας, ὀλίγῳ μᾶλλον πιεσμένα ἢ τὸ πρότερον, ἢν μὴ πόνος τις πλείων ᾖ ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ F χειρί. ἐπὴν δ᾽ ἐπιδέσῃς τοῖσιν ὀθονίοισι, τοὺς νάρθηκας περιθεῖναι χρὴ, καὶ περιλαβεῖν ἐν τοῖσι δεσμοῖσιν ὡς χαλαρωτάτοισιν, ὁκόσον ἠρεμέειν, ὥστε μηδὲν ξυμβάλλεσθαι ἐς τὴν πίεσιν τῆς χειρὸς, τὴν τῶν ναρθήκων πρόσθεσιν. μετὰ δὲ ταῦτα ὅτι πόνος, αἵ τε ῥᾳστῶναι αἱ αὐταὶ γινέσθωσαν, αἵπερ καὶ ἐν τῇσι πρώτῃσι περιόδοισι τῶν ἐπιδεσίων. ἐπὴν δὲ τριταῖος ἐὼν φῇ χαλαρὸν εἶναι, τότ᾽

HIPPOCRATIS TEXTUS XLI.

Inde, ubi ad tertium diem ventum erit, qui ſeptimus eſt à primo, quùm injectum E *vinculum fuit, ſi rectè alligatus fuerit, tumor in manu apparebit, iſque non admodum magnus: locus item, cui vinculum injicitur, quotieſcunque deligabitur, tenuior & gracilior conſpicietur, ſeptimo autem die tenuiſſimus: atque oſſa perrupta tractabuntur facilius, magiſque ducentur, ut dirigantur. Quòd ſi hæc ita habeant, dirigere oportet, alligareque, ac ferulis excipere, pauloque ampliùs, quàm antè adſtringere, niſi ſi tumor, qui in* F *manu eſt, majorem dolorem afferat. Ubi verò faſcias injeceris, imponendæ ferulæ ſunt, ſuperque faſciæ alligandæ admodum laxæ, ſic, ut circundatæ ferulæ contineantur, nec quidquam brachium adſtringant. Quo facto prematur offenſus eodem modo & relevetur, atq; in prioribus vinciendi circuitibus. At, ubi ad tertium diem perveniens laxum vinculum*

que eſt, ne è regione pollicis collocentur, ſed hinc, vel hinc: neque item è regione minimi digiti, quà os in prima palmæ parte excedit, ſed hinc, vel hinc. Verùm, ſi fractura omninò ferulas requirit, his locis breviſſimæ ſuper accommodandæ, ſic, ut ad oſſa, quæ in prima palmæ parte extant, maximè pertineant: periculum enim eſſet ne ulcus fieret, & nervi nudarentur. Debemus autem ferulas arctare tertio quoque die paululum omninò id ſpectantes, quòd eo nomine imponuntur, ut vinculum tueantur, non ut adſtringant. Quòd ſi optimè perſpexeris oſſa ſub prioribus vinculis abundè fuiſſe directa, neque locum prurigo aliqua infeſtat, neque ulla exulcerationis ſuſpicio eſt, ultra vigeſimum diem ſinito alligatas ferulas manere: nam plerìſque ad ſummum triginta diebus brachii oſſa conferuent.

GALENI COMMENTARIUS.

SI tertius dies fractum os nobis daret, quale ferè ſeptimus exhibet, neceſſariò ad ferulas veniremus: ſed quia, ut ipſe dixit, ſeptimo die πάνυ λεπτὸν, id eſt tenuiſſimum apparet, quo vocabulo ſignificavit graciliùs fieri, quàm quum erat in priſtino ſtatu ſalubri, idcirco eodem die ferulas circumponit, tunc ſcilicet membrum diligentiùs componens, utpotè quum oſſa laxiora ſint: eò autem ferulæ pertinent, quò & pannos antè diximus, nempe ut fractum os contineant: at, quum oſſa ob ſiccitatem naturalem nequeant carnis modo coaleſcere, callo circa fracturæ oras increſcente, quaſi quodam vinculo circundantur: hic autem creatur de eo quod ſuperat, ex ipſo fracti oſſis alimento: quod ſi laborans, vel non idoneo victu utatur, vel plenus ſit, id quod ſuperat, copioſius eſt, effuſumque faſcias totas veluti craſſo ſanguine madefacit. Quicquid igitur ex eo, dum effunditur circa fracturæ oras concreſcit, tempore ab oſſe, cui hæret, mutatur, & ſimile ipſi redditur, calluſque nominatur. Ergo, ſi fracti oſſis oræ agitentur, dimoveanturque, prohibebitur quominùs adſtrictum maneat, atque idcirco creari callus, & agglutinari non poterit: quod enim gluten lignis efficit, quæ glutinantur, id callus præſtat oſſibus fractis. Iure igitur ſumma quiete opus eſt ad fracturas, quæ callo debent ſolidari: nam, ſi agitetur coactus callus, diſſolvitur, perinde, ac gluten, quo ligna cohærent, & coactum lac: ſummam verò hanc quietem præbent faſciæ adſtrictæ & quæ ſuperdata continent: porrò continent faſciarum multitudo, ac ferulæ. Quæ deinceps ſequuntur, omnia plana ſunt, his qui animum adjungunt: præcepit enim, ut ſicubi

νάρθηκας, ἀλλὰ τῇ, ἢ τῇ, μηδὲ κατὰ τοῦ σμι-
κροῦ δακτύλου ἰθυωρίην, ᾗ τὸ ὀστέον ὑπερέχει ἐν
τῷ καρπῷ, ἀλλὰ τῇ, ἢ τῇ. ἢν δὲ ἄρα πρὸς τὸ
B κάτηγμα ξυμφέρει κεῖσθαι κατὰ ταῦτά τινας τῶν ναρ-
θήκων, βραχυτέρους αὐτοὺς χρὴ τῶν ἄλλων ποιεῖν, ὡς
μὴ ἐξικνῶνται πρὸς τὰ ὀστέα, τὰ ὑπερέχοντα παρὰ
τὸν καρπόν, κίνδυνος γὰρ ἑλκώσιος, καὶ νεύρων ψι-
λώσιος. χρὴ δὲ διὰ τρίτης ἐρείδειν τοῖσι νάρθηξι
πάνυ ἡσυχῇ, οὕτω τῇ γνώμῃ ἔχοντας, ὡς οἱ νάρ-
θηκες φυλακῆς εἵνεκα τῆς ἐπιδέσιος προσκέωνται,
ἀλλ' οὐ τῆς πιέσιος εἵνεκεν ἐπιδέωνται. ἢν μὲν οὖν
εὖ εἰδῇς ὅτι ἱκανῶς τὰ ὀστέα ἀπίθυνται ἐν τῇσι προ-
τέρῃσιν ἐπιδέσεσι, καὶ μήτε κνησμοί τινες λυπέωσι,
C μήτε τις ἕλκωσις μηδεμία ὑποπτεύηται εἶναι, ἐᾶν χρὴ
ἐπιδεδέσθαι ἐν τοῖσι νάρθηξιν, ἔστ' ἂν ὑπὲρ εἴκοσιν
ἡμέρας γένηται. ἐν τριήκοντα δὲ μάλιστα τῇσι ξυμπά-
σῃσι κρατύνεται ὀστέα τὰ ἐν τῷ πήχει, τὸ ἐπίπαν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙ τοιοῦτον ἐδυνάμεθα ποιῆσαι τὸ κάταγμα, ἐν τῇ τρίτῃ τῶν ἡμερῶν, ὁποῖον εἰς τὰ πολλὰ, κατὰ τὴν ἑβδόμην γίνεται, τοὺς νάρθηκας ἀναγκαῖον περιεβάλλομεν. ἐπεὶ δὲ, ὡς εἶπεν αὐτὸς, ἐν τῇ ζ πάνυ λεπτὸν φαίνεται, (διὰ τοῦ ῥήματος, ἐδήλωσε
D τὸ, καὶ τῆς ὑγιεινῆς αὐτοῦ καταστάσεως ὡς εἶχε πρότερον, ἰσχνότερον γίνεσθαι,) διὰ τοῦτο, κατ' αὐτὴν τὴν ἡμέραν, αὐτὸς περιτίθησι τοὺς νάρθηκας, ἐπιμελέστερα δηλονότι διαπλάσας νῦν τὸ κῶλον, ὡς ἂν καὶ τῶν ὀστῶν μὴ χαλαρῶν. ἡ δὲ χρεία τῶν ναρθήκων ἐστὶν, (ὅπερ δὴ καὶ τῶν σπληνῶν ἔμπροσθεν εἴρηται,) κρατεῖσθαι τὸ καταγὸς ὀστοῦν. ἐπεὶ δὲ συμφῦναι πρὸς ἑαυτὸ, καθάπερ ἡ σὰρξ, οὐ δύναται, διὰ τὴν φυσικὴν ξηρότητα, (ὁ δὲ δεσμός τις ὢν ὁ πῶρος αὐτῶν γίνεται,) περιχυνόμενος τοῖς χείλεσι τοῦ κατάγματος. ἡ γένεσις δ' αὐτοῦ, τὸ ἐξ αὐτοῦ τοῦ συντριβέντος ὀστοῦ, τῆς τροφῆς περίττωμα. καὶ ὅταν γε μὴ καλῶς ὁ κάμνων ᾖ διαιτώμε-
E νος, ἢ καὶ πληθωρικὸς ὑπάρχων, πολὺ τοῦτο τὸ περίττωμα, ὃ περιχεόμενον, ὅλους διαβρέχει τοὺς ἐπιδέσμους, αἵματι παχεῖ παραπλήσιον. ὅσον οὖν αὐτοῦ, κατὰ τὴν ἔγχυσιν, ἐπὶ τοῖς χείλεσι τῶν τοῦ καταγέντος ὀστοῦ μερῶν ἐπιπαγῇ, τοῦτο τῷ χρόνῳ μεταβαλλόμενον ὑπ' αὐτοῦ τοῦ φύντος ὀστοῦ, παραπλήσιον αὐτῷ γίνεται, καὶ καλεῖται πῶρος. ἐὰν οὖν σείηται, καὶ διακινῆται τὰ χείλη τοῦ κατάγματος, ἥ τε πίεσις αὐτοῦ κωλυθήσεται, καὶ διὰ τοῦτο, καὶ ἡ τοῦ κατάγματος πώρωσίς τε, καὶ γένεσις. ὅπερ γάρ τι τοῖς συμμένοις ξύλοις ἐστὶν ἡ κόλλη, τοιοῦτον τοῖς συντριβομένοις ὀστοῖς ὁ
F πῶρος. εἰκότως οὖν, ἡσυχίας ἀκριβοῦς δεῖται τὰ διὰ πώρου κολλώμενα κατάγματα. σεισθεὶς γὰρ ὁ πηγνύμενος πῶρος, διαλύεται παραπλησίως τῇ τὰ ξύλα συναγούσῃ κόλλῃ, καὶ τῷ πηγνυμένῳ γάλακτι. ταύτην οὖν αὐτοῖς τὴν ἡσυχίαν, ἥ τ' ἀκριβεστέρα πίεσις ἐκ τῶν ἐπιδέσμων, καὶ ἡ τῶν ταύτας κρατούντων ἔξωθεν γίνεται. κρατεῖ δ' αὐτὰ τό, τε πλῆθος τῶν ὀθονίων, καὶ οἱ νάρθηκες. τὰ δὲ ἐφεξῆς, ἅπαντά ἐστι σαφῆ τοῖς προσέχουσι τὸν νοῦν. κελεύει γὰρ, εἴπου

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μβʹ.

Ἀτρεκὲς δὲ οὐδέν. μάλα γάρ τι, καὶ φύσις φύσιος, καὶ ἡλικίη ἡλικίης διαφέρει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ ἁπλῶς εἰπὼν, ἡλικίας ἡλικίας διαφέρειν, ἀλλὰ προσθεὶς τὸν σύνδεσμον, ἐπιδείκνυται καὶ ἄλλας αἰτίας εἶναι, δι᾽ ἃς, οὐ πάντα τὰ τοῦ πήχεος κατάγματα, τριάκοντα ἡμέραις κρατύνεται, τινὰ δὲ θᾶττον. ἀλλ᾽ ἔστι τὸ τοῦ ἔτους C ὥρα, καὶ χώρα, καὶ φύσις τοῦ θεραπευομένου σώματος, ἥ τε τοῦ ἔτους κατάστασις, αὐτή καὶ δίαιτα, καὶ ὁ τρόπος τῆς δέσεως. θᾶττον γὰρ κρατύνεται, τουτέστιν ἀσφαλῶς πωροῦται, διά τε τὴν ὕλην ἐξ ἧς ὁ πῶρος γίνεται, συμμέτρως ἔχουσαν ἐν ποσότητί τε, καὶ ποιότητι, καὶ διὰ τὴν ῥώμην τῆς πηγνυούσης αὐτὴν δυνάμεως· εἰς χρόνον δὲ ἐκτείνεται πλείονα, διά τε τὴν ἔνδειαν τῆς ὕλης. ὃ γὰρ ἐν ἐλάττονι χρόνῳ δι᾽ εὐπορίας τῆς ὕλης, αἱ δυνάμεις ἐργάζονται, τοῦτο ἐν πλείονι δι᾽ ἀπορίαν. ἔστι δ᾽ ὅτε καὶ διὰ πλῆθος ἄμετρον. ἀποκλύζεται γὰρ ὁ πηγνύμενος πῶρος, ὑπὸ τῆς ἐπιρρεούσης ἔνδοθεν ὑγρότητος, ὅταν ᾖ πολλή D τε ἅμα, καὶ συνεχής. ἔστι δὲ τὸ μὲν πάχος τῆς ὕλης ἐπιτηδειότερον, εἰς τὸ παγῆναί τε, καὶ γενέσθαι πῶρον. ἡ δ᾽ ὑγρότης, ὅταν ὑδατώδης ᾖ, καὶ λεπτὴ κατὰ τὴν σύστασιν, ἀνεπιτήδειος εἰς πώρου σύστασιν. ὅτι δὲ ἡ δύναμις, ἡ μὲν ἰσχυρὰ, θᾶττον ἐργάζεται τὸ ἑαυτῆς ἔργον, ἡ δὲ ἀσθενεστέρα, βραδύτερον, οὐδὲ λόγου δεῖται. διὰ ταῦτα μὲν, ἐν διαφόροις χρόνοις αἱ πωρώσεις γίνονται τοῖς συντετριμμένοις ὀστοῖς. αὐτὰ δὲ ταῦτα τὰ νῦν λεγόμενα διὰ τὰς ἔμπροσθεν εἰρημένας αἰτίας ὑπαλλάττεται. καὶ γὰρ πλείων, καὶ ἐλάττων ὕλη, καὶ παχυτέρα, καὶ λεπτοτέρα γίνεται, διά τε τὴν ἐξ ἀρχῆς ἑκάστου κρᾶσιν, καὶ διὰ τὴν ἐπίκτητον, ἐν ᾧ θεραπεύεται χρόνῳ, κατάγμασιν, ἔτι τε E δίαιταν ἣν διαιτᾶται, καὶ τρόπον ἐπιδέσεως, ἣν ἐπιδεῖται. τὴν δ᾽ ἡλικίαν, καὶ τὴν ὥραν, καὶ τὴν χώραν, ἐξ ὧν ἁπάντων, καὶ ἡ δύναμις, ἤτοι γ᾽ ἀσθενὴς, ἢ ἰσχυροτέρα γίνεται.

HIPPOCRATIS TEXTUS XLII.

Nihil autem perpetuum eſt: multum enim, & ætas ab ætate diſtat.

GALENI COMMENTARIUS.

Non dixit ſimpliciter differre ætatem ab ætate, ſed adjecta conjunctione, indicat alias etiamnum cauſas eſſe, cur non omnes brachii fracturæ triginta diebus conſaneſcant; ſed quædam paucioribus. Sunt enim in cauſa, anni tempus, regio, natura ægrotantis, anni temperatio, ratio victus, & vinciendi modus: nam citiùs confervefcunt, hoc eſt, callo firmantur, & ob materiæ, ex qua callus oritur, quantitatem, ac qualitatem moderatam, & ob robur virium ipſam cogentium; diutius autem trahitur ex materiæ inopia: quod enim breviori tempore ob materiæ copiam vires efficiunt, id longiori præſtant ob inopiam, & interdum etiam ob copiam immodicam: callus enim concreſcens abluitur humore, qui ab interiori parte fluit, ubi multus ſit, & continetur. Porrò materia craſſa commodè ſpiſſeſcit, & in callum vertitur: humor autem, ubi aquoſus fuerit, & habitu tenuis, ſpiſſando callo maximè eſt alienus. Vires quoque quum valent maturè ſuo munere fungi: ſerò, quum imbecillæ ſunt: nihil attinet dicere, quibus de cauſis callus diverſo tempore fractis oſſibus circundatur. Hæc autem ipſa, quæ nunc dicuntur, ob cauſas priùs poſitas mutantur: quoniam materia & plus & minus abundat, & craſſior eſt, ac tenuior, ob temperamentum, tam uniuſcujuſque naturale, quàm adventitium ipſius fracturæ eo tempore, quo curatur, atque item ob victus rationem quâ homo utitur, & ob modum quo deligatur; præter hæc ætatem, tempus anni, regionem, ex quibus omnibus validiores vires ſunt, aut infirmiores.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. μγʹ.

Ἐπὴν δὲ λύσῃς, ὕδωρ θερμὸν καταχέαι χρὴ καὶ μετεπιδῆσαι, ἧσσον μὲν ὀλίγῳ πιέζοντα, ἢ τὸ πρόσθεν, ἐλάσσοσι F δὲ τοῖσιν ὀθονίοισιν, ἢ τὸ πρότερον. καὶ ἔπειτα διὰ τρίτης ἡμέρης λύσαντα ἐπιδεῖν, ἐπὶ μὲν ἧσσον πιέζοντα, ἐπὶ δὲ ἐλάσσοσι τοῖσιν ὀθονίοισιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ηὔξησεν ἀπ᾽ ἀρχῆς, καὶ πλῆθος τῶν ὀθονίων, καὶ τὴν πίεσιν, ἄχρι τῆς τῶν ναρθήκων

HIPPOCRATIS TEXTUS XLIII.

Ubi ſolveris, aqua calida perfundito, & rurſus alligato faſciis leniùs quàm antè adſtrictis, paucioribus item quàm antè injectis: inde tertio quoque die ſolvens, rurſus laxioribus faſciis, & paucioribus devincito.

GALENI COMMENTARIUS.

A Primo die, uſque dum ad ferulas veniat, & faſciarum numerum auget, & arctiùs

ad alias corporis partes, ita nunc evocare debemus aqua calida perfuſa: quin & initio faſciis multis, atque adſtrictis, quominùs ad vitiatum locum confluerct, ex toto ipſam prohibuimus: nunc paulatim numero demimus, preſſumque laxamus, quum non expediat prohibere, ne confluat.

προσκαλεῖσθαι, καταχέοντας ὕδωρ θερμόν. καὶ ἐν αὐτῇ τῇ ἀρχῇ, παντάπασιν αὐτὴν ἐκωλύσαμεν ἐπὶ τὸ πεπονθὸς ἔρχεσθαι, τῷ πλήθει τῶν ὀθονίων, καὶ τῇ πιέσει, αὐτὴν νῦν οὐ προσήκει κωλύειν ἐπιρρεῖν, ἀφαιροῦντας κατὰ βραχὺ τῶν ὀθονίων, ἅμα τῷ καὶ τὴν πίεσιν χαλᾶν.

HIPPOCRATIS TEXTUS XLIV.

Quod ſi alligatis ferulis ſuſpicio ſit, ne oſſa rectè concurrerint, vel aliud quidpiam hominem infeſtet, ubi dimidium temporis præterierit, vel paulò antè, ſolvere oportet, & rurſus devincire. C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μδʹ.

Ἐπὴν δὲ ὅταν τοῖσι νάρθηξι δεθῇ, ὑποπτεύῃς τὰ ὀστέα μὴ ὀρθῶς κεῖσθαι, ἢ ἄλλο τι ὀχλέῃ τὸν τετρωμένον, λῦσαι ἐν τῷ ἡμίσει τοῦ χρόνου, ἢ ὀλίγῳ πρόσθεν, καὶ αὖθις μεταπιδῆσαι.

GALENI COMMENTARIUS.

Superiora dicta ſint, quum omnia rectè procedant: namque, ubi ſit ſenſus aliquis doloris, vel exulcerationis ſuſpicio, aut vereamur, ne fractura malè compoſita ſit, aut caſu aliquo interveniente membrum motum ſit, ſolvere vinculum ante vigeſimum diem cogimur: id autem ipſum definivit, ne quis exiſtimet perpetuum eſſe quod ſuprà imperavit, fracturam quamlibet uſque ad vigeſimum diem ſervandam eſſe penitùs immobilem: ſemper enim pugnare Medicus debet adverſus id, quod magis urget, neque obligare ſe præceptis tanquàm legi, quam contemnere nefas ſit, quum omnia præter rationem eveniunt. D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ μὲν ἔμπροσθεν εἴρηται πάντων κατὰ λόγον γινομένων. ἐπεὶ δὲ καὶ ὀδύνης τινὸς αἴσθησις γινομένη, καὶ τοῦ ἑλκώσεως φόβος, ὑποψία, τοῦ μὴ καλῶς διαπεπλάσθαι τὸ κάταγμα, καὶ κίνησις σφοδρὰ, καί τινα συντυχία ἐν τῷ κώλῳ γινομένη, λύειν μὲν ἀναγκάζει πρὸ τῆς κʹ. ἡμέρας τὴν ἐπίδεσιν. αὐτὸ τοῦτο προσδιωρίσατο, μή τις οἰηθείη διηνεκὲς εἶναι τὸ προηγγελμένον ὑπ᾽ αὐτοῦ πρόσθεν, ἅπαντα μέχρι τῆς κʹ. ἡμέρας τὰ κατάγματα φυλάττειν τελέως ἀκίνητα. πρὸς γὰρ τὸ κατεπεῖγον, ἀεὶ χρὴ τὸν ἰατρὸν ἵστασθαι, καὶ μὴ καθάπερ νόμον ἀπαράβατον φυλάττειν τὰ κελευσθέντα πράττεσθαι, κατὰ λόγον προχωρούντων ἁπάντων.

HIPPOCRATIS TEXTUS XLV.

Quibus initio cutis non abrumpitur, neque os cute excedit, idonea eſt ratio victus propè quævis: minus tamen cibi ſumant uſque ad decimum diem, præſertim, quum quieſcant. E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μεʹ.

Δίαιτα δὲ τουτέοισιν, οἷσιν ἂν μὴ ἕλκεα ἐξ ἀρχῆς γένηται, ἢ ὀστέα ἔξω ἐξίσχῃ, ἀρκέει ὑποφαύλη. ἐνδεέστερον δὲ χρὴ διαιτᾷν ἄχρι ἡμερέων δέκα, ἅτε ἤδη καὶ ἐλινύοντας.

GALENI COMMENTARIUS.

Φαῦλον vocabulum ſolent veteres Græci ferè omnes uſurpare, quum ſignificare volunt ſimplex, aut quodvis: huic opponitur exquiſitum, quod Iones σκεθρὸν appellant. Sicut igitur exquiſitam victus rationem σκεθρὰν vocat, ita huic contrariam φαύλην: atque hac ratione nunc eam, quæ propè quævis ſit, ὑποφαύλην dicit; quæ media eſt inter quamvis ſimpliciter, & exquiſitam. Exquiſitam victus rationem imperat, quibus initio, præter oſſis fracturam, carnis quoque vulnus acceſſit, ac præcipuè, quum ex fracto oſſe aliquid cute excedit: ſimplicem, id eſt quamvis, illis qui omninò periculo vacant: propè verò quamvis mediamque, quibus os fractum eſt primis diebus, quorum terminum conſtituit decimum: non quòd F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ φαῦλον, οἱ παλαιοὶ σχεδὸν ἅπαντες εἰώθασι πολλάκις ἀντὶ τοῦ τυχόντος, καὶ ἁπλοῦ λέγειν, ᾧ τὸ ἀκριβὲς ἀντίκειται, καλούμενον ὑπὸ τῶν ἰώνων σκεθρόν. ὥσπερ οὖν τὴν ἀκριβῆ δίαιταν ὀνομάζει σκεθρὴν, οὕτω τὴν ἐναντίαν αὐτῇ, φαύλην. καὶ κατὰ τοῦτο καὶ νῦν, τὴν μετρίαν, ὑποφαύλην ἐκάλεσεν, ἥτις ἐστὶν ἡ μεταξὺ τῆς ἁπλῶς φαύλης, καὶ τῆς ἀκριβοῦς. ἀκριβεῖ μὲν οὖν διαίτῃ διαιτᾷ, τοὺς ἐξ ἀρχῆς ἔχοντας μεθ᾽ ἕλκους τὸ κάταγμα, καὶ μάλιστα εἰ περιπείρει τοῦ δέρματος ἔξω τοῦ συντριβέντος ὀστοῦ. ἁπλῇ δὲ, τουτέστι τῇ ἐπιτυχούσῃ, τοὺς ἐν ἀκινδύνῳ καθεστῶτας. ὑποφαύλῃ δὲ, καὶ μέσῃ, τοὺς κάταγμα ἔχοντας, ἐν ταῖς πρώταις ἡμέραις διαιτᾷ. τὸν δὲ ὅρον τῶν πρώτων ἡμερῶν ἐποιήσατο τὴν ιʹ. οὐχ ὡς

σιν, ὅπερ ἐλινύειν οἱ Ἴωνες ὀνομάζουσιν. εὔλογον δή ἐστι, τῶν κινουμένων, τοὺς ἡσυχάζοντας ἀκριβέστερον διαιτᾶσθαι. μετὰ τὴν ι΄. οὖν τῶν πλείστων περιερχομένων, ἀνειλημμένης τῆς χειρὸς, εἰκότως ἄχρι τῆς ἡμέρας ἐκείνης, μέσον εἶδος διαίτης συμβουλεύει παραλαμβάνειν. ἤδη δὲ καὶ ἐλινύοντας· ὡς τὰ πολλὰ μὲν ἐπὶ χρόνου τάττουσι, τὸ ἤδη, λέγουσι δ᾽ αὐτὸ, κἂν τοῖς περὶ ἑτέρων πίστιν ὡς εἴ τις οὕτως εἴποι, ἀλλὰ καὶ διὰ τόδε, πιστέον τῷδε. καθ᾽ ὃ καὶ νῦν οὕτω, Ἱπποκράτης φαίνεται κεχρημένος, ἵν᾽ ὁ λόγος ᾖ τοιοῦτος, διαίτῃ μετρίως χρηστέον, ἄχρι τῆς δεκάτης ἡμέρας, διά τε τὰ ἄλλα, καὶ ἤδη διότι παντάπασιν ἡσυχάζει κατὰ τοῦτον τὸν χρόνον.

victu ſuſtinendos eſſe quieſcentes, quàm qui moventur. At quum à decimo die plerique ſuſpenſo brachio inambulent, meritò præcipit, ut in eum uſque diem medio victus genere utantur, præſertim quum quieſcant. Quod præſertim vertimus, Hippocrates habet ἤδη, quod plerunque tempus notat: ſed adjicitur etiam ad aliquid comprobandum, ut, ſi dicamus, & ob alia, & ἤδη, hoc præſertim propter hæc credendum huic, faciendum hoc eſt: quomodo videtur nunc ab Hippocrate uſurpatum, ſic, ut oratio talis ſit. Mediocri victu utendum uſque ad decimum diem, & alia de cauſa, & præſertim, quum homo interim ex toto conquieſcat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μϛ΄.

Καὶ ὄψοισιν ἁπαλοῖσι χρῆσθαι, ὁκόσα τῇ διεξόδῳ μετριότητα παρέχουσι.

HIPPOCRATIS TEXTUS XLVI.

Adhibeantque ex obſoniis mollibus, quæcunque modicè admodum dejiciunt alvū.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ πτισάνη δηλονότι, ἢ τεῦτλον, ἢ μαλάχη, ἢ ἀτράφαξις, εἶτα δὲ βλίτον, καὶ κολοκύνθη καὶ τῶν ἰχθύων, τοῖς ἁπαλοσάρκοις.

GALENI COMMENTARIUS.

Ptiſſanam videlicet, betam, aut malvam, atriplicem, ſive blitum, vel cucurbitam, & piſces teneros.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μζ΄.

Οἴνου δὲ, καὶ κρεωφαγίης ἀπέχεσθαι.

HIPPOCRATIS TEXTUS XLVII.

Sed à vino, & carne ſibi temperent.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐδίδαξεν αὐτὸς τῆς ἀκριβοῦς διαίτης εἶδος, καὶ τὸ τῆς ἁπλῶς ἀποφαύλης, ἣν νῦν ἄχρι τῆς δεκάτης ἡμέρας κελεύει ποιεῖσθαι. ἡ μὲν γὰρ μετ᾽ οἴνου τε, καὶ κρεοφαγίας, φαύλη τέ ἐστι, καὶ τυχοῦσα, ἡ δ᾽ ἐπὶ χυλοῦ μόνης πτισάνης, ἢ μελικράτου, καὶ λεπτὴ, καὶ ἀκριβής. ἡ μέση δ᾽ ἀμφοῖν ἐστιν, ἣν ἐν τῇ πρὸ ταύτης λέξει δεδήλωκεν εἰπὼν, καὶ ὄψοισιν ἁπαλοῖσι χρῆσθαι, ὅσα τῇ διεξόδῳ μετριότητα παρέχουσιν.

GALENI COMMENTARIUS.

Docuit ipſe exquiſiti victus rationem, & ejus, qui quivis eſt, & ejus qui prope quivis, quam nunc præcipit uſque in decimum diem ſeruari; nam, cùm æger carnem edit, & vinum potat, victus ſimplex eſt, & quivis: ſed cùm ſolo ptiſſanæ cremore, & mulſa vivit, victus tenuis eſt, atque exquiſitus: inter utrunque eſt ille, quem proximè indicavit, quum inquit adhibeantque ex obſonis mollibus quæcunque alvum modicè dejiciunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη΄.

Ἔπειτα μέντοι ἐκ περιαγωγῆς ἀνακομίζεσθαι. οὗτος ὁ λόγος ὥσπερ νόμος κεῖται δίκαιος περὶ καταγμάτων ἰήσιος.

HIPPOCRATIS TEXTUS XLVIII.

Tum paulatim ſe reficiant. Oratio hæc lex juſta fertur de curatione fracturæ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀνακομίζεσθαι τουτέστιν, ἀναστρέφεσθαι τὸν ἔχοντα κάταγμα, μετὰ ταύτην συμβουλεύει. τὸ δὲ

GALENI COMMENTARIUS.

Reficiant dixit ἀνακομίζεσθαι, quo vocabulo nihil aliud ſignificat, quàm, ut cui comminutum os eſt, poſteà recreetur: ſcribit autem

Quare danda opera eſt, ut juſta curatione adhibita, res benè procedat: ubi autem non ſic procedit, ſcire licet aliquid curationi defuiſſe, aut ſuperaſſe.

ΩΣ τὸ χειρίζειν χρὴ, ὥστε ἀποβαίνειν ἀπὸ τῆς δικαίης χειρίξιος. ὅτι δὲ ἂν μὴ οὕτως ἀποβαίνῃ, εἰδέναι χρὴ, ὅτι ἐν τῇ χειρίξει τι ἐνδεὲς πεποίηται, ἢ πεπλεόνα-
B σται.

GALENI COMMENTARIUS.

JUſtam vocavit eam, quæ laboranti omne id præbet, quod ei convenit, & nihil prætermittit; curationem vero, quam χείριξιν dixit, vel pro chirurgia, vel pro univerſa ſimpliciter rerum omnium admotione accipit; Græci enim μεταχειρίζεσθαι dicunt, non ſolùm, quæ manibus prehendunt, ſed quæcunque tractant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗν, ἅπερ τὸ οἰκεῖον ἀποδίδωσι τῷ κάμνοντι, καὶ μηδὲν παραβαίνουσαν, ὠνόμασε δικαίαν. χείριξιν δὲ, ἤτοι τὴν χειρουργίαν εἶπεν, ἢ πᾶσαν ἁπλῶς τὴν διὰ μεταχειρίσεως ἁπάντων πραγμάτων. οἱ γὰρ Ἕλληνες, οὐκ ἐκεῖνα μόνα μεταχειρίζεσθαι λέγουσιν, ἃ ταῖς χερσὶ περιλαμβάνουσιν, ἀλλὰ καὶ πάνθ' ὅσα περ ἂν πράττωσι.

HIPPOCRATIS TEXTUS L.

ILlud præterea animadvertere in hoc ſimplici modo convenit, quod medici non admodum attendunt: quanquàm ſi non rectè fiat, corrumpere curam omnem, omnémque vinciendi rationem poteſt.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ν'.

ΕΤι δὲ τάδε χρὴ προσξυνιέναι ἐν τούτῳ τῷ ἁπλῷ τρόπῳ, ἃ οὐ κάρτα ἐπιμελέονται οἱ ἰητροὶ, καίτοι πᾶσαν μελέτην, καὶ πᾶσαν ἐπίδεσιν οἷά τε διαφθείρειν ἐστὶ, μὴ ὀρθῶς ποιεύμενα.

GALENI COMMENTARIUS.

SImplicem modum fracti oſſis, & prolapſi vocat, ubi non accedit ulcus: non nudatur os; neque quod perfringitur, in multas partes comminuitur, quod fracturæ genus recentiores à farina ἀλφιτηδὸν appellant; ita, ut nullus ex propoſitis modis ſimplex ſit, ſed ille duntaxat, ubi fracturæ nullus alius caſus adjicitur: ſic autem à ſe uſupari vocabulum ἁπλοῦν, id eſt ſimplex, aptè oſtendit paulo infrà in hoc ipſo libro, ubi propriè eam rem agit; quod ſi oſſa ſimplici fracturæ modo perfringantur, peccatur, videturque id peccatum leve: ſi quis tamen diligenter ſimul omnia æſtimet, maximum momentum habet, id enim, ſi committatur, priorem curam univerſam corrumpit: quid autem hoc ſit, in ſequentibus oſtendes. Scribitur item aliter eadem oratio ſic, quanquam, ſi non rectè fiat, corrumpi omnis cura, omniſque vinciendi ratio poteſt: ubi curam ipſam, quum aliquid peccatur, damnare videtur, ut quæ corrumpere poſſit, quæcunque ad laborantem particulam rectè adhibita ſunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΠλοῦν τὸν τρόπον ὀνομάζει, κατάγματός τε καὶ ἐξαρθρήματος, ἐφ' οὗ μήθ' ἕλκος ἐγένετο, μήτ' ὀστοῦν
D ἐγυμνώθη, μήτ' αὐτὸ τὸ καταγὲν ὀστοῦν, πολυειδῶς συνετρίβη, ὅπερ εἶδος τρόπον κατάγματος, οἱ νεώτεροι προσαγορεύουσιν ἀλφιτηδὸν, ὡς τῶν ἑκάστου μὲν ἂν εἴποι οὐχ ἁπλοῦ ὄντος, μόνον δὲ ἁπλοῦν ἐκεῖνο ἐφ' οὗ μηδὲν ἄλλο προσεγένετο τῷ κατάγματι σύμπτωμα. οὕτως δ' ὅτι χρῆται τῷ ὀνόματι, σαφῶς ἐνδείκνυται κατ' αὐτὸ τοῦτο βιβλίον, ἐν μετ' ὀλίγα πάνυ πολλὰ γράφων ἰδίως. εἰ δ' ἂν τὰ ὀστέα κατεαγῇ ἁπλῷ τρόπῳ τοῦ κατάγματος, τὸ ἁμάρτημα γίνεται μικρὸν μὲν τῇ φαντασίᾳ. τῷ γε μὴν πάντ' ἀκρι-
E βῶς ἀθροισμῷ, μέγιστον δὲ τῇ δυνάμει. διαφθείρεται γοῦν ἡ ἔμπροσθεν ἐπιμέλεια πᾶσα, προστεθέντος αὐτοῦ, καὶ τοῦτο τί ποτ' ἐστὶν, ἐφεξῆς σε διδάξει, γράφεται δὲ καὶ ἑτέρως ἡ αὐτὴ λέξις ὧδέ πως, καίτοι πᾶσαν μελέτην, καὶ πᾶσαν ἐπίδεσιν, οἷά τε διαφθείρεσθαί ἐστι, μὴ ὀρθῶς ποιευμένην, ἵνα τὴν ἐπιμέλειαν αὐτὴν ὅταν κατά τι πλημμεληθῇ φαίνηται μεμφομένην, ὡς ἱκανὴν διαφθεῖραι τὰ περὶ τὸ πεπονθὸς μέρος ὀρθῶς κεχειρισμένα.

HIPPOCRATIS TEXTUS LI.

QVòd ſi utroque oſſe comminuto, vel eo quod ſubjectum eſt tantùm, deligatum brachium mitella ſuſpendetur, eaque plurima circa fracturam detur: partes vero hinc, atque hinc ſuſpenſæ ſint: neceſſe eſt os ad ſuperiora perverti.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ να'.

ΗΝ γὰρ τὰ μὲν ὀστέα ἄμφω κατεαγῇ, ἢ τὸ κάτω μοῦνον, ὁ δὲ ἐπιδεδεμένος ἐν ταινίῃ τινὶ τὴν χεῖρα ἔχῃ ἀναλελαμμένος. τυγχάνῃ δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα, ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπαιωρέηται, τοῦτον, ἀνάγκη, τὸ ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω μέρος.

τείαν, ὡς ὅλον ἐπ' αὐτῇ ὀχεῖσθαι τὸν πῆχυν, τὴν ταινίαν τινὰ περιβάλλειν, ἀλλ' ὁμαλῶς ἀποτείνειν ἅπαντι τῷ πήχει, μηδὲν ἑαυτοῦ ὅτι μέρος ἀστήρικτον, ἀφ' οὗ τῷ συμφύτῳ μέρει ῥέπον τὸ τοῦ πήχεος ὀστοῦν κυρτωθήσεται πρὸς τὸ κάτω, καὶ διαστραφήσεται. πρὶν μὲν γὰρ παθεῖν, συνεχὲς ὅλον ὑπῆρχε, διαφθαρείσης δ' αὐτοῦ τῆς ἑνώσεως, ἡνίκα συνετρίβη, δύναται τότε, τὸ μὲν ἕτερον τῶν μερῶν αὐτοῦ στηρίζεσθαι κατὰ τῆς ὑποτεταμένης ταινίας, τὸ δ' ἕτερον, ἅτε μηκέτι συνεχὲς ὂν ἐκείνῳ, ῥέπον εἰς τὸ κάτω, διαστρέφεσθαι. δύναται δὲ καὶ αὐτοῦ μέρος ἐνίοτε, διὰ τὸ μοχθηρῶς ὑποτετάσθαι τῆς ταινίας, τὸ μὲν ἕτερον πέρας ὑπ' αὐτῆς ὀχούμενον, ὑψηλὸν διαμένειν, τὸ δ' ἕτερον, ὑπόρρεον κάτω, διαστρέφεσθαι ταύτῃ. κατὰ τέτταρας οὖν τρόπους, ἡ ταινία μοχθηρῶς ὑποβληθήσεται τῷ πήχει. πρῶτον μέν, ἐπειδὰν ἐπ' αὐτῆς μόνης ὀχῆται τὸ καταγὲς αὐτό, τὰ δ' ἑκατέρωθεν αἰωρῆται. δεύτερον δέ, ὅταν ἐστηριγμένων ἀκριβῶς τῶν περάτων τοῦ πήχεος τῇ ταινίᾳ, τοῦ τε ἄνω πρὸς τῷ ἀγκῶνι, καὶ τοῦ κάτω πρὸς τῷ καρπῷ, τὸ μέσον ἀστήρικτον ᾖ. τρίτον δέ, καὶ τέταρτον, ποτὲ μὲν τοῦ προσθίου τοῦ πήχεος μόνου, ἀνεχομένου ὑπὸ τῆς ταινίας, ποτὲ δὲ τοῦ ὀπίσω, μόνου. τούτων τῶν τεττάρων τρόπων, τοὺς δύο μὲν ἔγραψεν, οἵπερ καὶ μάλιστα διαστρέφουσι τὸ κῶλον, τοὺς δύο δὲ παρέλιπεν, καὶ τοῖς ῥηθεῖσι συνεπινοεῖσθαι δυναμένους. ὧν δ' οὖν εἶπεν, ὁ ἕτερος, ἐν τῇ προκειμένῃ νῦν ἡμῖν διδάσκεται λέξει, καθ' ἣν ἀξιοῖ, πρῶτον μὲν ἐπὶ τῶν, ἤτοι ἀμφότερα τὰ ὀστᾶ τοῦ πήχεος κατεαγότων, ἢ τὸ κάτωθεν, ὅπερ ἰδίως ὀνομάζεται πῆχυς, ἀκούειν ἡμᾶς τῶν λεγομένων. ἀλλὰ τοῦτο μὲν κοινὸν ἀμφοτέρων τῶν τρόπων, ὑπὲρ ὧν ποιήσεται τὸν λόγον. ἴδιον δ' ἑκατέρου, τοῦ μὲν προτέρου, τοῦ νῦν διδασκομένου, τὸ ὑποβεβλημένην τῷ πήχει ταινίαν στενοτέραν οὖσαν, ὡς ὑποτείνεσθαι μὴ δύνασθαι παντὶ τῷ κώλῳ, μόνον ἔχειν ἐφ' ἑαυτῷ τὸ κάταγμα. τοῦ δὲ δευτέρου πάλιν, ὡς μόνον τὸ καταγὲς ἀστήρικτον αἰωρεῖσθαι τῶν ἑκατέρωθεν ἀνειλημμένων. διαστρέφεσθαι δέ φησι κατὰ μὲν τὸν πρότερον ἄνω τὴν χεῖρα, κατὰ δὲ τὸν δεύτερον τρόπον, κάτω, διὰ τὴν ἐφεξῆς διδάξει ῥῆσιν. ὅτι δὲ κατὰ τὸν πρότερον ἄνω, διὰ τόδε, βασταζομένου γὰρ ὑπὸ τῆς ταινίας, τοῦ καταγότος μέρους τῆς χειρός, ἑκατέρωθεν δὲ τῶν ἄλλων ῥεπόντων κάτω, διὰ τὸ μηδεμίαν ἔχειν ἕδραν ἀσφαλῆ, συμβαίνει πωρωθῆναι τὸ πρὸς τῆς ταινίας ὀχούμενον ὑψηλότερον. ἐν ᾧ δ' ἂν σχήματι πωρωθῇ τὸ κῶλον, ἐκεῖνο φυλάττει τοῦ λοιποῦ χρόνου παντός, ὥστε πολλάκις ἡμᾶς ἀναγκάζεσθαι, πάλιν ἐπ' ἀρχὴν ἄγειν τὰ οὕτω διαστραφέντα, κατατείνοντας μὲν τὸ κῶλον, ἐργασαμένους δ' αὖθις αὐτὸ τὸ ἐξ ἀρχῆς κάταγμα, περὶ οὗ καὶ πρόσθεν εἶπον, ὡς δ' οὐδ' ὅλως μὲν ἑνοῦται, συνδεῖται δ' ὑπὸ τοῦ περιφυέντος αὐτῷ πώρου. τοῦτον οὖν ἐν τῇ κατατάσει διασπάσαντες, αὖθις ἐν τῷ προσήκοντι σχήματι, τὴν πώρωσιν ἐργαζόμεθα τοῦ κατάγματος. ὅτι δ' οὐχ ἑνοῦται παντελῶς τὰ συντριβόμενα τῶν ὀστῶν, ἔνεστί σοι θεάσασθαι κἀπὶ τῶν ἄλλων ζώων. καὶ γὰρ ὑῶν ἡμέρων, ἀγρίων τε, καὶ

bulat, ut fieri conſuevit, brachio ex cervicibus ſuſpenſo, mitellam adhiberi præcipit ſic latam,
B ut brachium univerſum ſuſtineat, totumque æqualiter amplectatur, neque ullam partem ejus relinquat, quam non fulciat, quo fieret, ut brachii os à parte, cum qua jungitur, deorſum inclinaret, ac depravaretur: nam priuſquàm vitiaretur, totum perpetuum erat: corrupta autem ejus unitate, ubi perruptum eſt, poteſt altera ejus pars à ſubjecta mitella ſuſtineri, altera verò pars, ut quæ non ampliùs cum illa continuetur, deorſum inclinata perverti. Poteſt item ex eadem parte, ubi non rectè mitella ſubjiciatur, altera extremitas ab hac elata ſurſum ferri, altera deorſum inclinata perverti.
C Quatuor igitur modis mitella brachio malè ſubjicietur, primò, ubi fracturam ſolummodò ſuſtinet, partes autem hinc, atque hinc ſuſpenſæ manent: ſecundò, ut extremæ brachii partes, & ſuprà à cubito, & infrà à manu, diligenter mitellâ fulciuntur, medium non ſuſpenditur: tertiò & quartò, ubi interdum prior brachii pars, interdum poſterior, mitellâ excipitur. Ex his quatuor modis binos duntaxat ſcripſit, qui maximè membrum pervertunt: reliquos binos præteriit, ut qui ex enarratis intelligi poſſint. Eorum duorum, quos ſcripſit, alterum propoſitis verbis oſtendit, ubi cenſet in his, quibus utrunque brachii os fractum ſit, vel tantùm id, quod ſubjectum eſt, cubitus propriè nuncupatur, intelligendum eſſe primum ex propoſitis modis; ſed commune, id eſt duobus modis, de quibus verba faciet: proprium verò eſt utriuſque prioris quidem, quem nunc indicat, ſubjecta brachio mitella anguſtiori, quàm ut totum membrum complectatur, fracturam ſolummodò fulcire: alterius rurſus, utranque membri
E extremitatem ſuſtinere, fractura tantùm non fulta. Depravari autem, inquit, priori modo brachium in ſuperiorem partem converſum: ſed in inferiorem altero modo, quem ſubdet proximis verbis: priorem, qui ſurſum verſus pervertit, nunc propoſuit. Nam, quum brachium, quà fractum eſt, à mitellâ ſuſtineatur, partibus, quæ utrinque ſunt, deorſum inclinatis, quum non ſit, cui firmiter innitantur, accidet, ut quod à mitella excipitur, altiùs excitatum callo glutinetur: eum verò habitum, quo membrum callo ſolidetur, in poſterum
F perpetuò ſervabit. Quare ſæpiùs neceſſarium eſt, quæ ſic perverſa ſunt à nobis de integro abrumpi, extento membro rurſus fracturam, qualis initio fuerat, reddentibus: quam ſuprà diximus nullo modo coaleſcere, ſed alligari à callo qui circundatur: hunc igitur extendendo diſſolvimus, rurſuſque operam damus ut callus increſcat fractura convenienter figurata. Videre autem licet in aliis animalibus comminuta oſſa non omnino coaleſcere, ut in ſue, apro, bove,

utrunque brachii os comminutum ſit, & quod propriè cubitus vocatur, & quod radius, accidat, ut membrum adeo pervertatur, ſi in ſuſpendendo aliquid peccetur: ſed minùs, ſi alterum tantùm, cubitus ſcilicet: ac ſi radius per ſe, nihil omnino depravetur; non magno negotio comperies, ſi eorum quæ ipſe retulit, memineris; quia, quod ſubjectum eſt, inquit, fundamenti vicem præſtat ei, quod abruptum eſt, atque ipſum depravari non patitur: ſed radius ubi intactus ſit, cubitum quodammodo ſecum dirigit, ſi rectè vinculum adhibeatur; tueri autem ipſum à depravatione ex toto non valet, ubi aliquis error ſit in ſuſpendendo, quandoquidem cubitus ſubjectus nihil habet, quo fulciatur, præter vinculum ipſum.

HIPPOCRATIS TEXTUS LII.

SIn oſſibus ſic fractis mitella manum duntaxat & articulum cubiti excipiat, reliquum vero brachium ſuſpenſum ſit, depravatum inclinabitur deorſum.

GALENI COMMENTARIUS.

EX quatuor modis, quos paulo ſuprà declaravi, ſecundum hic tradit, qui primo contrarius eſt; ſiquidem in priori mitella ſolam fracturam ſuſtinebat: in hoc, quum cætera ſuſtineantur, ſola fractura ſine fulcro eſt. Quemadmodum igitur in priori ſuſpendendi ratione, ubi fractura, quum ſola à mitella ſuſtineretur, ſublimior fuit, reliquæ vero partes utrinque humiliores, jure dixit depravari brachium totum in ſuperiorem partem converſum: ita nunc quum ea tantùm membri pars, qua fractura eſt, non ſuſtineatur, deprimetur, & deorſum verſus inclinabitur: quo fiet ut brachium in eam partem curvetur, atque ea de cauſa, ubi callus circundatus fuerit, perverſum deorſum ſpectet. Expoſuimus igitur univerſam propoſitæ orationis ſententiam; legitur autem ſcripta duobus modis, ſi vocem ſpectemus, maximè inter ſe contrariis, re tamen, ſi animadvertantur, inter ſe minimè diſcrepantibus. Itaque brachium ſuſpenſum nonnulli intelligunt, quod à mitella non excipitur, ſed ſolùm in aëre ſuſpenditur: alii contra, omne id, quod à mitella ſuſtineatur, utpote quum in inferiora minimè inclinetur, neque fiat ob id humilius, quod ſuſpenſo contrarium eſt. Merito igitur ſcripturæ, verbis inter ſe pugnant, ſententia conveniunt; namque hæc vox *μετέωρον*, hoc eſt, ſuſpenſum, quum apud expoſitores contraria ſignificet, à quibuſdam eorum citra negationem ſcribitur, reliquum vero brachium ſuſpenſum: ab aliis negatione adjecta, reliquum vero brachium non ſuſpenſum, verba, ut illis videtur, accommodantibus ad utramque ſignificationem vocabuli *μετεώρου*, hoc eſt, ſuſpenſi.

ταρὲξ ἐνέσταται. διὰ τί δή, εἰ μὲν ἄμφω τὰ τοῦ πήχεος ὀστᾶ κατεαγῇ, ὅπερ ἰδίως ὀνομάζομεν πῆχυς, καὶ τὸ ἕτερον, ὃ καλοῦσι κερκίδα, συμβαίνει μεγίστην γίνεσθαι τὴν διαστροφὴν τοῦ κώλου,
B κατὰ τὸ κάταγμα τῆς ἀναλήψεως πλημμεληθείσης. εἰ δὲ τὸ ἕτερον μόνον, τὸ τοῦ πήχεος, ἧττον. εἰ δὲ τὸ τῆς κερκίδος μόνον, οὐδ᾽ ὅλως γίνεσθαι διαστροφὴν ἐπὶ τῆς μοχθηρᾶς ἀναλήψεως, οὐχ ἁπλῶς εὑρήσεις, ὧν αὐτὸς εἶπε σοὶ μεμνημένῳ, φησίν, ὅ ἐστιν ὁ πῆχυς, ἀντὶ θεμελίου γίνεσθαι τῷ κατεαγότι, καὶ κωλύει τὴν διαστροφὴν αὐτοῦ. ἀλλὰ μέντοι τῆς κερκίδος, ὅταν ἀπαθὴς μένῃ, συναπευθύνει μέν πως ἑαυτῇ τὸν πῆχυν, ὅταν ὀρθῶς ἐπιδεθῇ. τελέως δ᾽ ἀδιάστροφον οὐ δύναται φυλάξαι, πλημμεληθείσης τῆς ἀναλήψεως, ἐπειδὰν κάτωθεν ὑποτεταμένος ὁ πῆχυς, οὐδὲν ἔχει στηρίζον ἑαυτόν, ὅτι μὴ τὴν ἐπίδεσιν.
C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νβ΄.

ΗΝ δὲ κατεηγότων τῶν ὀστέων οὕτως ἀκρήν τε τὴν χεῖρα ἐν τῇ ταινίῃ ἔχῃ, καὶ παρὰ τὸν ἀγκῶνα, ὁ δὲ ἄλλος πῆχυς μὴ μετέωρος ᾖ, οὗτος εὑρεθήσεται, τὸ ὀστέον ἐς τὸ κάτω μέρος διεστραμμένον ἔχων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D ΤΟν δεύτερον τρόπον ἐνταῦθα διδάσκει, ὑπ᾽ ἐμοῦ τεττάρων, ὀλίγῳ ἔμπροσθεν εἰρημένων, ὑπεναντίως ἔχοντα τῷ προτέρῳ. ὑπ᾽ ἐκείνου μὲν γὰρ, ἐπὶ τῆς ταινίας μόνον ἐβαστάζετο τὸ κάταγμα. νυνὶ δὲ, τῶν ἄλλων ἁπάντων βασταζομένων μερῶν τοῦ πήχεος, οὐ βαστάζεται μόνον ἐκεῖνο, καθ᾽ ὃ τὸ κάταγμα γέγονεν. ὥσπερ οὖν ἐπὶ τῆς ἔμπροσθεν εἰρημένης ἀναλήψεως, ἐπειδὴ τὸ μὲν ὀχούμενον ὑπὸ τῆς ταινίας τοῦ κώλου μέρος, ἔνθα τὸ κάταγμα ὑπῆρχεν, ὑψηλότερον ἦν, τὸ δ᾽ ἄλλο πᾶν, ἐφ᾽ ἑκάτερα ταπεινότερον, εὐλόγως ἔφη διαστρέφεσθαι πρὸς τὸ ἄνω, τὸν ὅλον πῆχυν. οὕτω τοίνυν ἐπειδὰν τὸ
E κάταγμα μόνον οὐκ ὀχῆται, ταπεινωθήσεται, τοῦτο τὸ μέρος τοῦ κώλου μόνον, ὑπορρέον εἰς τὸ κάτω, καὶ ταύτῃ κυρτωθῆναι συμβήσεται τὸν πῆχυν, καὶ διὰ τοῦτο, πόρρωθεν τὸ διεστραμμένον εἰς τὸ κάτω φέρεσθαι. ἡ μὲν οὖν ὅλη διάνοια τῆς προκειμένης ῥήσεως, εἴρηταί μοι. γραφαὶ δ᾽ εὑρίσκονται δύο κατὰ ταῦτα, ἐναντίαι μὲν, ὡς ἂν τῳ δόξειεν, αὐταῖς ταῖς φωναῖς μόναις, προσσχόντι δὲ τὸν νοῦν, ὁμολογοῦσαι μετ᾽ ἀλλήλαις κατὰ τὰ δηλούμενα πράγματα. μετέωρον τοίνυν πῆχυν, οἱ μὲν τὸν ἀστήρικτον ἀκούουσιν, ἐπὶ μόνου τοῦ ἀέρος ὀχούμενον. οἱ δὲ τοὐναντίον ἅπαν,
F ἐπὶ τῆς ταινίας ἐστηριγμένον, ὡς οὐ μὴ τοιοῦτον ῥέποντά γε κάτω, καὶ δι᾽ αὐτὸ τοῦτο, ταπεινοτέρου γιγνομένου, ὅπερ ἐστὶν ἐναντίον τῷ μετεώρῳ. εἰκότως οὖν, αἱ γραφαὶ μαχόμεναι μὲν ἀλλήλαις ἐγένοντο κατὰ τὴν λέξιν, ὁμολογοῦσι δὲ κατὰ διάνοιαν. τῆς γὰρ μετεώρου φωνῆς, ἐπ᾽ ἐναντία σημαινόμενα, πρὸς τῶν ἐξηγητῶν ἀχθείσης, εἰκότως, οἱ μὲν ἄνευ τῆς ἀποφάσεως ἔγραψαν, ὁ δ᾽ ὅλος πῆχυς μὴ μετέωρος, ἢ κατὰ τὸ δοκοῦν, καθ᾽ ἑκάτερα τῆς μετεώρου φωνῆς σημαινόμενα, ἀπευθύνοντες τὴν γραφήν.

ΕΝ ταύτῃ τῇ ῥήσει, καὶ περὶ τῶν παραλελειμμένων
δυοῖν ἀναλήψεων ἐνεδείξατο. λέγω δὴ ἀναλήψεις
δύο, κοινὸν μὲν ἐχούσας, τὸ, καθ' ἄκρον τοῦ πήχεως ὑποτε-
τάσθαι τὰς ταινίας, ἴδιον δὲ ἑκατέρας, τὸ κατὰ τὸν καρπὸν B
μόνον, ἢ κατὰ τὸν ἀγκῶνα. προειρηκὼς γὰρ, ἐπὶ τοῦ κατὰ τὸ
συντέτριμμα μόνον ὑποβεβλημμένης ταινίας, ἔτι δὲ τοῦ
καθ' ἄμφω τὰ πέρατα, εἶτα μετὰ ταῦτα γράψας τὴν νῦν
προκειμένην ῥῆσιν, ἐν ᾗ κελεύει τὸ πλεῖστον τοῦ πήχεος, καὶ
τὸν καρπὸν, ὁμαλῶς ἐστηρίχθαι κατὰ τῆς ταινίας, εὔδηλός ἐστι
καὶ τὰς ὑπολοίπους δύο μεμφόμενος ἀναλήψεις, οὐκ ἐχού-
σας ὃ κελεύει μάλιστα ἔχειν. οὐδετέρα γὰρ αὐτῶν, τὸν καρπὸν
ἅμα, καὶ τὸ πλεῖστον τοῦ πήχεος, ὁμαλῶς στηρίζει, οὐ μὴν ἠξίωσεν
ἐν ταύταις ἰδίας διδασκαλίας, μάλιστα μὲν, ὡς ἔφην, ὅτι
συνεπινοοῦνται ταῖς εἰρημέναις, ἔπειτα δὲ, καὶ διότι μικρὰ C
παντάπασι τις ἡ ἀπ' αὐτῶν γίνεται βλάβη. τῆς ἐπιδέ-
σεως ἀμέμπτως ἐχούσης. αἱ γάρ τοι προειρημέναι δύο ἀνα-
λήψεις, διὰ τοῦτ' ἦσαν ἱκανῶς μοχθηραὶ, διότι τὸ κάταγμα,
τοῖς ἑκατέρωθεν αὐτοῦ μέρεσιν ἐναντίως διέκειτο, ποτὲ μὲν,
ἄνω μόνον ὑπὸ τῆς ταινίας ἀνασπώμενον, οὐδενὸς ἄλλου
μορίου καθ' αὐτῆς ἐστηριγμένου, ποτὲ δὲ κάτω μόνον.

DUas hic indicat ſuſpendendi rationes quas prætererat: eas, inquam, duas, quarum commune eſt extremam brachii partem ſuſtinere: proprium autem utriuſque, vel eam, quæ à cubiti commiſſura, vel eam, quæ à manu tantum. Exequutus enim eam ſuſpendendi rationem, ubi mitella ſolummodo fracturam excipiebat, atque alteram, ubi utramque extremitatem: deinde ſubjiciens verba proximè poſita, in quibus præcipit, ut plurimum ex brachio cum prima palmæ parte mitella æqualiter ſuſtineatur: reliquas duas ſuſpendendi rationes evidenter reprehendit, quum non habeant id, quod maximè requiri vult; ſiquidem neutra primam palmę partem, & plurimum ex brachio æqualiter fulcit, non tamen propriè eas hic expreſſit, præcipuè, ut dixi, quod intelligi ex ſuperioribus poſſint: tum quod levem omnino noxam afferant, ubi nihil in deligando peccetur; duæ enim ſuperiores ſuſpendendi rationes, ea de cauſa plurimum erant alienæ, quod fractura contineretur contrario modo, atque ejus partes utrinque, quum interdum ſola à mitella attolleretur nulla ejus particula fulta, interdum ſola deorſum converteretur.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΙΠΠΟΚΡΑΤΗΝ

ΠΕΡΙ ΑΓΜΩΝ

ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ.

ΠΕΡΙ ΒΡΑΧΙΟΝΟΣ.

GALENI IN HIPPOCRATEM

DE FRACTURIS

COMMENTARIUS SECUNDUS.

DE HUMERO.

Η ΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Η τῶν λοιπῶν ἀγμῶν θεραπεία ἁπλῶν, παραρθρημάτων, διαρθρώσεων τε ἐν βραχίονι, ἄκρᾳ χειρὶ, ποδὶ, κνήμῃ, σφύρᾳ, μηρῷ, συμβαινόντων, ἐξηγεῖται.

ARGVMENTVM LIBRI.

Curatio reliquarum Fracturarum ſimplicium, Luxationum, ac Dimotionum, quæ in brachio, ſumma manu, pede, tibia, calce, & femore, contingunt, exponitur.

HIPPOCRATIS TEXTUS I.

ET *ubi humerus perfringatur.*

GALENI COMMENTARIUS.

TEſtantur nonnulli ex iis qui librum hunc exponunt, Hippocratem, ut ſuprà πῆχυν vocavit, modò eam partem totam, quæ inter manum & cubiti articulum eſt, modò cubitum, qui è duobus oſſibus longior eſt; ita nunc humerum appellare βραχίονα, nempe id os, quod à cubiti articulo pertinet ad humeri caput. Alii non ipſa oſſa, ſed partes, quæ inter articulos ſunt, volunt iis vocabulis nuncupari, quòd conſueverimus ita loqui. Ille in capite plagam accepit,

A

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

ΗΝ δὲ ὁ βραχίων καταγῇ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τινὲς μὲν τῶν ἐξηγησαμένων τὸ βιβλίον, ὡς κατὰ τὸν ἔμπροσθεν λόγον, ὠνόμαζεν πῆχυν, ἐνίοτε μὲν ὅλον τὸ μέρος, ὃ μεταξὺ τοῦ κατὰ καρπόν τι, καὶ ἀγκῶνα διαρθρώσεώς ἐστι, ἐνίοτε δὲ, τὸ ἐν καὶ αὐτὸν δυοῖν ὀστῶν, τὸ μακρότερον, οὕτως αὐτὸν ὀνομάζειν βραχίονα φασὶ, τὸ μεταξὺ ὀστοῦν, τοῦ κατ' ὦμόν τι καὶ ἀγκῶνα, τὸ περιεχόμενον ὀστοῦν ἐν αὐτῷ. Τινὲς δὲ, τὰ μέρη μὲν οὕτως αὐτὸν ὀνομάζειν φασὶ, τὰ μεταξὺ τῶν διαρθρώσεων, οὐ μὴν αὐτά γε τὰ ὀστᾶ. συνήθης γὰρ ἐστὶ καὶ ἡμῖν οὕτως λέγειν, ἐπλήγη τὴν κεφαλὴν, ὁ δέ τις,

τοῦ σώματος ἐπεδειξάμεθα. τὴν γὰρ ἐν τῇ σαρκὶ διαίρεσιν, ἕλκος ὀνομάζομεν, ὥστε ἐν τῷ φάναι, Δίωνος, εἰ οὕτως ἔτυχεν, ἡλκῶσθαι τὸν βραχίονα, δηλοῦσθαι τὴν ἐν τῷ βραχίονι σάρκα. κατὰ τὸν B
αὐτὸν οὖν τρόπον, ἐν τῷ φάναι κατεαγότα τὸν βραχίονα, καὶ ἡγοῦνται, φασὶ κατ' ἐκεῖνο τὸ μόριον, ὀστοῦν πεπονθέναι τὸ πάθος, ὃ προσαγορεύεται κάταγμα. τοῦτο μὲν οὖν, ἐν ὀνόμασι, καὶ σημαινομένοις τὴν ἀμφισβήτησιν ἔχει, μήτ' ὠφελοῦν, μήτε βλάπτον ἡμᾶς, εἰς τὴν τοῦ κατάγματος ἴασιν. ἃ δ' ἐφεξῆς λέγει, διδασκαλία τῆς ἰάσεώς ἐστιν, ἣν ποιεῖσθαι προσήκει, συντριβέντος τοῦ βραχίονος, ὡς μὲν ἐμοὶ φαίνεται σαφὴς οὖσα πᾶσα, καθάπερ καὶ ἄλλα τὰ πρόσθεν, ὅσα περὶ τοῦ πήχεος ἔγραψε. καὶ γὰρ κἀκείνων, πλὴν ὀλιγίστων λέξεων, ἡ σαφὴς προστιθέν- C
τα δι' ἣν εἰς τὸ ἕκαστον τῶν κελευομένων ὑπ' αὐτοῦ πράττεσθαι τὸ τῆς αἰτίας, ἐμηκύναμεν τὸν λόγον, ἔξω μὲν ὄντα, τὸν κατὰ τὸ κύριον σημαινόμενον τῆς ἐξηγήσεως, εἰθισμένον δέ, ὡς ἔφην, τοῖς ἐξηγηταῖς. ἀλλὰ καὶ τούτους αὖθις τοὺς λογισμοὺς, ἑτέρωθι διὰ βραχέων αὐτοῦ εἰρηκότος, οὐδ' ἐνταῦθα τὴν εὕρεσιν αὐτῶν ἡμεῖς προστεθείκαμεν, ἀλλὰ τὴν τάξιν ὑπηλλάξαμεν. ἐπὶ δὲ τοῦ νῦν προκειμένου παντὸς, καὶ ὁ λόγος σαφής ἐστι καθ' ἑαυτὸν ἐξεταζόμενος, καὶ τὴν αἰτίαν ἑκάστου τῶν λεγομένων ἔχει προειρημένην ἐν τοῖς περὶ τοῦ πήχεος λόγοις. ὑπὸ γὰρ τὰ καθόλου συμβουλευόμενα, κατ' ἐκεῖνον ἐπανάγεται καὶ ταῦτα. D
πρῶτον μὲν τὸ σχῆμα τῆς ὅλης χειρὸς, εἶθ' ἡ κατάστασις, εἶθ' ἡ διάπλασις, ἐφ' ἧ θέσις ἐσχάτη, καὶ ταῦτ' ἤτοι γε εἴη διαφορά τις, ἢ ἀνάληψις. ἐπὶ προεγνωσμένοις οὖν τούτοις, εἴ τι παραπέσοι βραχὺ, μὴ σαφὲς, ἐξηγησόμεθα διὰ τῶν ἑξῆς.

tatur; carnis enim diviſionem appellamus ulcus, ſic, ut, quum dicimus, Dionis, exempli cauſâ, humerum eſſe exulceratum, carnem humeri ſignificemus; eadem ratione, quum fractum humerum dicimus, ſignificari volunt os hujus partis eo vitio teneri, quod fractura nuncupatur. Sed controverſia hæc de nominibus, ac ſignificationibus nullo modo ad fracturæ curationem pertinet: neque enim quidquam officit, aut prodeſt; quæ verò in ſequentibus docet, quâ ratione curare fractum humerum conveniat, oſtendunt; cuncta autem, ut mihi videtur, plana ſunt, non ſecùs, atque alia quæ ſuprà de brachio tradidit; ea enim paucis admodum verbis exceptis, clara erant. Longiùs autem lapſi ſumus, quum cauſam adjecerimus, cur ſingula præcipit: quæ res, & ſi expoſitionis fines excedat, fieri tamen, ut retuli, ab omnibus expoſitoribus conſuevit; at, quum hæ rationes alibi paucis ab ipſo oſtendantur, neque nos hic eas tanquam auctores adjecimus, ſed ordinem mutavimus. Totus autem nunc propoſitus ſermo, ſi per ſe examinetur, conſidereturque, per quam facilis eſt; adde quod ratio ſingulorum, quæ tractantur, fuit in ſermone de brachio explicata; ad communia enim præcepta, quæ ibi tradita ſunt, hæc quoque referuntur, primùm de univerſo brachio figurando: tum de extendendo, de componendo: poſtremò de continendo, ac ſuſpendendo, quæ continendi ſpecies eſt. His itaque habitis, ſi quid ſe offeret, quod breve ſit, & non planum, in ſequentibus aperiemus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

Ἢν μὲν οὖν τις ἀποτανύσας τὴν χεῖρα, ἐν τούτῳ τῷ σχήματι διατείνῃ, ὁ μῦς τοῦ βραχίονος κατατεταμένος, ἐπιδεθήσεται. ἐπὴν δὲ ἐπιδεθεὶς ξυγκάμψῃ τὸν ἀγκῶνα, ὁ μῦς τοῦ βραχίονος ἄλλο σχῆμα σχήσει. E

HIPPOCRATIS TEXTUS II.

Si brachium extendatur, eoque ſic figurato intenſio adhibeatur, humeri lacertus intentus alligabitur: atque, ubi, qui deligatus eſt, cubitum curvet, humeri lacertus habitum mutabit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῷ κατὰ τὴν λέξιν εἰρημένῳ λόγῳ, προσθεῖναι χρὴ τὰ λελεγμένα πρόσθεν, ὡς ἐπειδὰν ἄλλο σχῆμα λάβῃ μετὰ τὴν ἐπίδεσιν, ὁ μῦς τοῦ βραχίονος. ἔνια μὲν αὐτοῦ θλιβήσεται μέρη βιαίως ὑπὸ τῶν ἐπιδέσμων, ἔνια δὲ, χαλαρῶς, καὶ περιρρέοντας αὐτοὺς ἕξει, καὶ συμβήσεται, διὰ μὲν τὰ θλι- F
βόμενα μόρια, φλεγμονὴν γενέσθαι. διὰ δὲ τὸ χαλαρὸν τῆς ἐπιδέσεως, διαστραφῆναι τὸ κῶλον, ὥστ' οὐ χρὴ μεταβάλλειν τὸ σχῆμα τῆς χειρὸς, ἀλλ' αὐτὸ ἀεὶ φυλάττειν, ἐξ ἀρχῆς ἄχρι τέλους, ὡς καὶ πρόσθεν ἐρρέθη. εἰ δὲ αὖ πάλιν ἐμφυλάττοις, ἐν ᾧ κατατείνας ἐπιδήσεις, οὐδὲν μὲν οὔτε χαλαρὸν ἔσται τῆς ἐπιδέσεως, οὔτε βιαίως θλῖβον. αὐτὸ δὲ σχῆμα, μοχθηρὸν ὑπάρχον, ὡς ἐδείχθη πρόσθεν, ὀδύνην τε παρέξει, καὶ δι' ἐκείνην φλεγμονήν.

GALENI COMMENTARIUS.

Propoſitæ orationi illud adjicere oportet, quod anteà dictum eſt, ſcilicet, ubi humeri lacertus ab injecto vinculo aliter figuretur, futurum eſſe, ut alias ejus partes vehementer vinculum comprimat, aliis laxius ſit, atque delabatur; compreſſæ item partes inflammatione tententur: ſed relaxatis vinculis membrum pervertatur. Quare brachii habitus nullo modo variandus eſt, ſed perpetuò, ut ſuprà demonſtratum eſt, à principio ad finem ſervandus. At contrà, ſi ille habitus ſervetur, in quo extentum membrum devinctum eſt, vinculum quidem nullo loco arctius erit, aut laxius: ſed ipſe habitus, quum vitiatus ſit, ut ſuprà declaravimus, dolorem, atque idcirco inflammationem afferet.

paulo brevius ſit, qualia ſunt ligonum manubriola, habena ab utraque parte alligatum ſuſpenditur: homo autem ſublimiori alicui ſedi inſidet, brachiumque ſuper manubriolum imponit, ſic, ut id in alam indatur eâ moderatione, ut ille vix conſidere poſſit, nihilque propius ſit, quàm ut ſuſpendatur. Tum aliquid aliud paretur, cui brachium inhæreat ſcorteo pulvino ſuperdato uno, vel pluribus ita, ut ad eam altitudinem perveniat, ut cubitus ad rectum angulum collocetur. Commodiſſimè autem lorum molle, latumque, ſeu lata habena circundatur, atque inde magni ponderis aliquid ſuſpenditur, quod extendere convenienter poſſit: aut in vicem hujus, robuſtus aliquis in inferiorem partem cogit cubito cum humero ad rectum angulum figurato.

εἰσὶ τῶν σκαφείων, κρεμάσαι χρὴ, ἔνθεν καὶ ἔνθεν σειρῇ δήσαντα. καθίσαντα δὲ τὸν ἄνθρωπον, ἀπὸ ὑψηλοῦ δίφρου τὴν χεῖρα ὑπερκεῖσθαι, ὡς ὑπὸ τῇ μασχάλῃ γένηται ὁ σκυταλίς ἔχων ξυμμέτρως, ὥστε μόλις δύνασθαι καθίζεσθαι τὸν ἄνθρωπον, σμικροῦ δέοντα μετέωρον εἶναι. B ἔπειτα θέντα τι ἄλλο ἕδρανον, καὶ ὑποθέντα σκύτινον ὑποκεφάλαιον, ἢ ἕν, ἢ πλείω, ὅπως ξυμμέτρως σχοίη ὕψος τοῦ πήχεος πλαγίου πρὸς ὀρθὴν γωνίην. ἄριστον μὲν σκύτος πλατὺ, καὶ μαλθακὸν, ἢ ταινίην πλατείην ἀμφιβάλλοντα τῶν μεγάλων τι σταθμίων ἐξαρτῆσαι, ὅ, τι μετρίως ἕξει κατατείνειν· εἰ δὲ μὴ, τῶν ἀνδρῶν ὅς τις ἐρρωμένος, ἐν τούτῳ τῷ σχήματι τοῦ πήχεος, παρὰ τὸ ἀγκῶνα καταναγκαζέτω ἐς τὸ κάτω.

C

GALENI COMMENTARIUS.

A

Lignum cubitalis longitudinis, &c.

OStenſum eſt in libris de Philoſophia, naturæ juſtitiam in eo conſiſtere, ut quod unicuique convenit, diſtribuat, non lege aliqua, ſed ſuopte nutu; quod jam ſuprà quoque dictum eſt; dictum eſt inſuper, cum eſſe juſtum habitum, qui aptum ſitum uniuſcujuſque particulæ membri tuetur: demonſtratum eſt etiam hujuſmodi habitum minimè omnium lædere; hic autem in brachio eſt, ubi cubitus cum humero ad rectum angulum collocetur. Toto itaque brachio ſic figurato præcipit hominem ſedere: juxtà ipſum verò à priori parte poni lignum tranſverſum, quale, ac quantum eſt ligonis manubriolum; ligones verò appellat σκάφια, quibus terram fodimus, Græci σκάπτειν dicunt: his annumerantur etiam bipalia, Attici μινναὰς vocant. Vult autem hujuſmodi lignum, quod juxta collocatur, immobile reddi, ſic, ut dum manus admovetur, nec ſurſum feratur, nec deorſum; quod continget, ſi ab utroque extremo habenis vinciatur: quæ ad aliquid ſublime religantur, ut lignum inde ſuſpendatur. Præcipit ut æger brachium ante ſuper ipſum imponat hoc eſt, ut lignum tranſverſum alæ ſubjiciatur: tum is, cujus humerus fractus eſt, ſedeat ita ſublimis, ut parum abſit, quin ſuſpendatur; ſedere autem ægrum jubet, ut vires, dum manus adhibetur, ſufficiant, neque propterea quod ſtet, convellantur; neque in humiliori ſedili hominem collocat, ſed quammaximè poteſt alto, quum ſedet, & ob ipſum medicum, ut rectus agere poſſit, neque plurimum cogatur deorſum inclinari: & ob ægrotantem ipſum, cui magis expediat ita ſedere; ſolent enim, quibus brachium extenditur, præ dolore ducentem ſequi, atque attolli, nec in eadem ſede penitùs, quâ collocati ſunt à principio, permanere; quo fit, ut intenſio remittatur. Hoc igitur cavens imperat, ut homo ſedeat,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι τῇ φύσει, δικαιοσύνης ἐστὶ, τὸ οἰκεῖον νέμειν ἑκάστῳ, οὐ κατὰ νόμον, ἀλλὰ τὸ κατὰ τὴν ἑαυτῆς φύσιν, ἐν τοῖς κατὰ φιλοσοφίαν ἐπιδέδεικται λόγοις. εἴρηται δὲ διὰ τῶν ἔμπροσθεν ἤδη, καὶ προσέτι τούτῳ, λέλεκται δίκαιον εἶναι σχῆμα, τὸ φυλάττον, ἑκάστου τῶν ἐν τῷ κώλῳ μορίων, τὴν οἰκείαν θέσιν. D ἐδείχθη δὲ ταυτὸ τοῦτο, καὶ ἀνωδυνώτατον εἶναι τῶν ἄλλων ἁπάντων, ὅπερ ἐστὶν ἔν τινι τῇ χειρὶ, τοῦ βραχίονος ἐν ὀρθῇ γωνίᾳ, τὸ πρὸς τὸν πῆχυν ἐργαζόμενον σχέσιν. ἐν τούτῳ δὴ τῷ σχήματι κατασκευάσαντα τὴν ὅλην χεῖρα, κελεύει τὸν μὲν ἄνθρωπον καθίσαι. παραθεῖναι δ' αὐτῷ ἔμπροσθεν ξύλον ἐγκάρσιον, τηλικοῦτόν τι, καὶ τοιοῦτον, ἡλίκον τι, καὶ ὁποῖον τῶν σκαφείων εἰσὶν οἱ σκυταλίοι. σκαφίας δὲ δηλονότι κέκληκε, δι' ὧν σκάπτομεν τὴν γῆν, ἐν οἷς εἰσὶ καὶ αἱ καλούμεναι δίκελλαι, μινναὰς δ' αὐτὰς ὀνομάζουσιν οἱ Ἀττικοί. E βούλεται δὲ, τὸ παρατιθέμενον ξύλον μὲν εἶναι ἀκίνητον, ὡς μήτι ἀνωτέρω, μήτι κατωτέρω μεθίστασθαι κατὰ τὴν χειρουργίαν. ἕξει δὲ τοῦτο, σειραῖς αὐτὸ δεθέντος, ἐξ ἑκατέρου τῶν περάτων, ἃς σφίγξας ἐνάψαι χρὴ πρὸς ὑψηλόν τι, χάριν τοῦ κρεμᾶσθαι τὸν σκυταλίον. ὑποβάλλειν οὖν προσέταξεν αὐτῷ, τὸν θεραπευόμενον, ἀξιοῖ τὴν χεῖρα, τοῦτο δ' ἐστι, κατὰ τὴν μασχάλην ἐντεθῆναι τὸ ἐγκάρσιον τοῦ σκυταλίου. τὸν δ' ἄνθρωπον αὐτὸν, οὗ κατεάγεις ὁ βραχίων, κελεύει καθίζειν οὕτως ὑψηλὸν, ὡς μικροῦ δεῖν, μετέωρον εἶναι. καθίζειν μὲν οὖν αὐτὸν προσέταξε, βουλόμενος αὐτὸν ἐξαρκέσαι τῇ χειρουργίᾳ, καὶ μὴ κάμνειν ἑστῶτα. μὴ ταπεινὸν δὲ τοῦτο πράττειν, ἀλλ' ὡς ἄν τις μάλιστα καθήμενος, ὑψηλότερος γένηται. F καὶ διὰ τὸν ἰατρὸν μὲν, ὅπως ὀρθῶς ἐνεργοίη, καὶ μὴ ἐπὶ πλεῖστον ἀναγκάζοιτο νεύειν κάτω. χειριζομένῳ δ' αὐτῷ, βέλτιον οὕτω καθῆσθαι. περίεισι γὰρ, ἐν τῇ κατατάσει τῆς χειρὸς, οἱ κάμνοντες ὀδυνώμενοι, καὶ συνακολουθοῦντες τοῖς κατατείνουσιν, ἀναμετεωρίζεσθαί τι, καὶ μηκέτι φυλάττειν ἀκριβῶς τὴν ἐξ ἀρχῆς ἕδραν. ἐν τούτῳ δὲ, συμβαίνει τὴν κατάτασιν ἐκλύεσθαι. ὅπως οὖν μὴ γένοιτο τοῦτο, κατὰ τὸ ἔσχατον ὅρον τῆς ὑψηλῆς καθέσεως τὸν

δηλοῖ οὖν, ὅτι διὰ τοῦτο χρῆται καὶ τῷ πλαγίῳ ξύλῳ κατὰ τὴν μασχάλην, ἵνα μὴ κατατεινομένης τῆς χειρὸς, ἀκολουθῶν ὁ ἄνθρωπος, ἐκλύῃ τὴν τάσιν, ὅπερ ἡμεῖς εἰώθαμεν ἄνευ ξύλου πολλάκις ἐργάζεσθαι, διὰ βρόχων περιβεβλημένων τῇ μασχάλῃ. χρὴ δὲ δηλονότι τῶν βρόχων τούτων τὰ πέρατα, τετάσθαι πρὸς τοὐπίσω, καθάπερ πάλιν ἑτέρων βρόχων περιτεθέντων, διατεινόμενον ἐφ' ἑκάτερον τὸ κάταγμα ἐσομένου, ὅταν ἡ διὰ τῶν χειρῶν κατάτασις ἐνδεεστέρα τοῦ προσήκοντος ᾖ. ταύτης δέ ποτε μόνης ἐλπὶς εἰς αὔταρκες τὸ δέον, ὥσπερ ἐπὶ τῶν παιδίων, οὐδεμία χρεία βρόχων. ἔτι δὲ μᾶλλον, οὐδὲ ὀργάνων ἐχόντων ἄξονας, εἰς οὓς περιβάλλοντες τὰ πέρατα τῶν βρόχων, ἰσχυροτέραν ἐργαζόμεθα τὴν ἀντίτασιν, καὶ μάλιστά γε, τούτῳ τῷ τρόπῳ τῆς ἀντιτάσεως, ἐπὶ τῶν ἐξαρθρημάτων χρώμεθα. τῆς δὲ νῦν ἀξιουμένης γίνεσθαι τρόπου κατατάσεως εἶδόν τι, καὶ τοῦτ' ἔστιν, ἐστηρίχθαι βούλεται τὸν πῆχυν ἐπί τινος, ὃ αὐτὸς ὀνόματι ἔφεδρον, τουτέστιν ἐπί τινος τοιούτου, ἐφ' οὗ καθεζόμενος ἑδραίως, ἐπικειμένων αὐτῷ σκυτίνων ἐπικεφαλαίων, εἶτ' ἐξάπτεσθαι κατὰ τὸ κάτω πέρας τοῦ βραχίονος, τὸ κατ' ἀγκῶνα, τὶ βάρος ἐχόντων τι σωμάτων. αὐτὸς δ' εἶπε, σταθμίων τι, ταῦτα δέ ἐστιν οἷς χρώμεθα συνήθως, ἐξ ὕλης χαλκοῦ, καὶ σιδήρου, καὶ μολύβδου γεγονός. καὶ μέντοι καὶ ὡς ἱμάντα χρὴ πλατὺν, καὶ μαλθακὸν, ἢ ταινίας εὔτονον δηλονότι, περιβεβλῆσθαι τῷ κάτω πέρατι τοῦ βραχίονος, ἐξ οὗ τῶν σταθμίων ἡ ἐξάρτησις ἔσται.

ſublimiori inſideat ſcamno , plurimum , qui humiliori. Conſtat itaque tranſverſum lignum ab Hippocrate ea de cauſa ſub alam demitti , ne B brachio ab inferiori parte intenſo, æger ſequatur, atque intenſionem ſolvat ; quod nos ſine ligno ſoliti ſumus ſæpius facere per laqueos alæ circundatos, quorum extrema verſus poſteriorem partem extendenda ſunt : non ſecus etiam aliis laqueis circunligatis fractum os in diverſa diducimus, ubi intenſio , quæ per manus adhibetur, imbecillior ſit, quam oporteat. Verùm , ſi hanc credamus per ſe poſſe effectum præſtare , ut in puerili corpore , non opus eſt ampliùs laqueis, & multò minùs machinamentis habentibus axes, ad quos extremos laqueos C alligantes valentiùs in diverſa contendamus : quo extendendi modo ad luxata potiſſimum utimur. In ea autem extendendi ratione, quam nunc probat, præcipit ut brachium rei cuipiam hæreat, quàm ipſe vocat ἔφεδρον, hoc eſt, hujuſmodi quidpiam, cui firmiter inſideat, ſcorteis pulvinis ſubjectis: deinde ab imo humero juxta cubiti articulum grave aliquod corpus ſuſpendatur, quæ pondera σταθμίον nuncupavit: hæc ſunt, quibus uti conſuevimus , ex ferro, ære , aut plumbo confectis ; præterea lorum molle, latum, vel habena valida imo humero circundetur , unde pondera ſuſpendantur. D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

Ὁ Δὲ ἰητρὸς, ὀρθὸς μὲν ἐὼν χειριζέτω, τὸν ἕτερον πόδα ἐπὶ ὑψηλοτέρου τινὸς ἔχων. κατορθώσας δὲ τοῖσι θέναρσι τὸ ὀστέον, ῥηϊδίως δὲ κατορθώσεται. ἀγαθὴ γὰρ ἡ κατάτασις, ἤν τις καλῶς παρασκευάσηται. ἔπειτα ἐπιδείτω, τάς τε ἀρχὰς βαλλόμενος ἐπὶ τὸ κάταγμα, καὶ τἄλλα πάντα, ὥσπερ πρότερον προῄνηται, χειριζέτω, καὶ ἐρωτήματα ταὐτὰ ἐρωτάτω, καὶ σημείοισι χρήσθω τοῖσιν αὐτέοισιν, ἢν μετρίως ἔχῃ, ἢ μή. καὶ διὰ τρίτης ἐπιδείτω, καὶ ἐπὶ μᾶλλον πιεζέτω.

HIPPOCRATIS TEXTUS IV.

Debet autem Medicus curare , ſtans altero pede ſuper quapiam re ſublimiori collocato : componere autem os prominentioribus palmarum partibus : facilè autem componitur ; ea enim extendendi ratio optima eſt, ſi quis convenienter ipſam adhibeat : poſt faſcias injicere E à fractura orſus, reliqua verò omnia, ut anteà juſſus eſt, exequi, eademque de homine requirere : tum ex iiſdem indiciis intelligere, moderata necne ſint: ac tertio quoque die ſolvere, & rurſus deligare, arctiuſque adſtringere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὡς ἑδραιότερον, αἱρεῖται τοῦτο σχῆμα τοῦ χειρουργοῦντος, καθάπερ ἐν τῷ κατ' ἰητρεῖον ἠξίωσε, γράψας. ἑστῶτα δὲ δεῖ ἐπ' ἀμφοτέρων βεβηκέναι ἐξ ἴσου τοῖν ποδοῖν ἅλις, δρᾶν γε τῷ ἑτέρῳ ἐπιβεβηκότα, μὴ τῷ κατὰ τὴν δρῶσαν χεῖρα.

GALENI COMMENTARIUS.

Eligit hunc Chirurgici habitum tanquam firmiorem ; idem in opere de Officina Me- F dici præcepit , quum inquit ; Stantem verò oportet pariter ambobus pedibus bene inſidere ; ſed agere altero inſiſtentem, at non ejus partis, cujus manus agit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε'.

Καὶ ἑβδομαῖον, ἢ ἐναταῖον, ἐν νάρθηξι δησάτω. καὶ ἢν ὑποπτεύσῃ μὴ καλῶς κεῖσθαι τὰ

HIPPOCRATIS TEXTUS V.

Dein ſeptimo , aut nono die ferulas alligare : quòd ſi vereatur ne rectè oſſa con-

Verùm, ubi de brachio egit, ſeptima die ſimpliciter juſſit ferulas circundari: in ſermone verò de humero, conjunctionem, quam disjungentem appellamus, uſurpavit: ait enim, ſeptimo aut nono die ferula alligare, eo quod in humero ob muſculorum, quibus continetur magnitudinem, quæ circa fracturam ſunt, diuturniori tempore ex toto gracilia fiant, laxaque. Ubi verò talia eſſent, oſtendimus opportunè tunc ad ferulas venire.

HIPPOCRATIS TEXTUS VI.

C *Humeri os ferè quadraginta diebus conſervet: quos ubi exceſſerit, ſolvere oportet, & pauciores faſcias dare, leviùſque arctatas: ac diutiùs uti victu magis exquiſito, quàm antè: intueri autē manus tumorē, & vires.*

GALENI COMMENTARIUS.

Conſervere, κρατύνεσθαι, dixit, intelligit, ubi fracti oſſis partes callo firmantur, ut in ſuperioribus etiam, quà de brachio. Quo autem grandius eſt humeri os, eo longiori tempore per callum glutinatur. Reliqua omnia, ex iis, quæ dicta ſunt de brachio, plana ſunt; nulla igitur opus eſt explanatione. D

HIPPOCRATIS TEXTUS VII.

Illud etiā ignorare non oportet, quod humerus natura ab exteriori parte gibbus eſt, & perverti facilè ſolet, ubi malè curetur. Quin & alia oſſa omnia, quæ naturaliter aliquā parte gibba ſunt, ubi comminuta curantur, facilè ab ea pervertuntur. Ego, ubi tale quidpiam timetur, lata faſcia humerum excipiens in orbem circa pectus agatur; &, quum quieſcere humerum oporteat, pannus multiplex implicitus inter cubitum & latus ſubjiciatur, vel quidpiam hujus generis aliud; hac enim via os gibbum dirigetur. Eſt autem cavendum, ne nimis in interiorem partem convertatur. E

GALENI COMMENTARIUS.

F Quæ in ſermone de humero uſque ad finem ſcribuntur, omnia clara ſunt, namque ipſe cauſam exponit, cur in exteriorem partem convertatur, & quo pacto in contrariam coactum dirigi debeat. Juſſit autem, ut multiplex pannus inter latus & cubitum demitteretur, ne humerus attingat latus, ſed in medio ſpatium ſit, quo compulſus habena ad pectus adducente minimè depravetur, quum natura in exteriorem partem ſpectans ad interiorem converſus dirigitur.

τοῖς νάρθηξι ἐπιβάλλειν, ἀλλ' ἐπὶ μὲν τοῦ πήχεος, ἑβδομαῖον ἁπλῶς ἐκέλευσε νάρθηξι δεσμεῖν, ἐπὶ δὲ τοῦ βραχίονος, τὸν καλούμενον διαζευκτικὸν σύνδεσμον, τὴν ἑρμηνείαν ἐποιήσατο. φησὶ μὲν, ὡς ἑβδομαῖον, ἢ ἐνναταῖον ἐν νάρθηξι δεσάτω. διὰ γὰρ τὸ μέγεθος τῶν περὶ τὸν βραχίονα μυῶν, ἐν πλείονι χρόνῳ τελείως ἰσχνὰ καὶ λεπτὰ γίγνεται τὰ περὶ τὸ κάταγμα μέρια. τοιούτων δὲ ὄντων αὐτῶν, ἐδείχθη καιρὸς εἶναι τῆς τῶν ναρθήκων ἐπιθέσεως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛʹ.

Κρατύνεται δὲ μάλιστα βραχίονος ὀστέον ἐν τεσσαράκοντα ἡμέρῃσιν. ἐπὴν δὲ ταύτας ὑπερβάλλῃ, λύειν χρὴ, καὶ ἐπιδεῖν ἧσσον πιέζειν τοῖσιν ὀθονίοισιν, καὶ ἐπὶ ἐλάσσοσιν ἐπιδεῖν. δίαιταν δὲ ἀκριβεστέρην τινὰ, ἢ τὸ πρότερον διαιτᾶν, καὶ πλείω χρόνον, τεκμαίρεσθαι δὲ πρὸς τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρὶ, τὴν ῥώμην ὁρῶν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ διὰ πώρου συνδεῖσθαι τὰ κατεαγμένα μέρη τοῦ συντριβέντος ὀστοῦ κρατύνεσθαι, κέκληκεν, ὡς καὶ πρόσθεν, ἐπὶ τοῦ πήχεος. ὅσῳ δὲ μεῖζόν ἐστι τὸ τοῦ βραχίονος ὀστοῦν, τοσούτῳ δηλονότι, καὶ ὁ χρόνος αὐτοῦ τῆς πωρώσεως, μακρότερος γίγνεται. τὰ δ' ἄλλα πάντα, διὰ τῶν ἐπὶ τοῦ πήχεος εἰρημένων ἐστὶ δῆλα, μηδεμιᾶς οὖν ἐξηγήσεως δεόμενα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζʹ.

Προσξυνιέναι δὲ χρὴ καὶ τάδε, ὅτι βραχίων κυρτὸς πέφυκεν ἐς τὸ ἔξω μέρος, καὶ διαστρέφεσθαι φιλεῖ, ἐπὴν μὴ καλῶς ἰητρεύηται. ἀτὰρ καὶ τἄλλα πάντα ὀστέα, εἰς ὅπερ πέφυκε διεστραμμένα, ἐς τοῦτο καὶ ἰητρευόμενα φιλεῖ διαστρέφεσθαι ἐπὴν καταγῇ. χρὴ τοίνυν, ἐπὴν τοιοῦτό τι ὑποπτεύηται, ταινίῃ πλατείῃ προσπεριλαμβάνειν τὸν βραχίονα, κύκλῳ περὶ τὸ στῆθος περιδέοντα. καὶ ἐπὴν ἀναπαύεσθαι μέλλῃ, μεσηγὺ τοῦ ἀγκῶνος καὶ τῶν πλευρέων, σπλῆνά τινα πολύπτυχον πτύξαντα ὑποτιθέναι, ἢ ἄλλο τι ὃ τοιοῦτον ἐστιν. οὕτω γὰρ ἂν ἰθὺ τὸ κύρτωμα τοῦ ὀστέου γένοιτο. φυλάσσεσθαι μέντοι χρὴ, ὅπως μὴ ἦ ἄγαν ἐς τὸ ἔσω μέρος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ κατὰ τὴν ῥῆσιν ὅλην, ἄχρι τῆς τελευτῆς τοῦ κατὰ τὸν βραχίονα λόγου, πάντ' ἐστὶ σαφῆ. καὶ γὰρ τὴν αἰτίαν αὐτὸς εἶπε, τῆς ἐπὶ τοὐκτὸς διαστροφῆς, καὶ τὴν ἐπανόρθωσιν, ἐκ τῆς ἐπὶ τοὐναντία περιτροπῆς. ἐδίδαξε δὲ τὸν πολύπτυχον σπλῆνα, καὶ μεταξὺ τῶν πλευρῶν τι, καὶ τοῦ ἀγκῶνος, ἐκέλευσε τιθέναι χάριν τοῦ, τὸν βραχίονα μὴ ψαύειν τῶν πλευρῶν, ἀλλ' ἐν τῷ μεταξὺ χώρας οὔσης, κἂν εἰς ἐκείνην ὠθούμενον, ὑπὸ τῆς περὶ τὸ στῆθος περιαγούσης αὐτὸν ταινίας, ἀδιάστροφον γίγνεσθαι, τῆς φυσικῆς αὐθοτέρως, εἰς τὴν ἔξωθεν χώραν ἐκτροπῆς, ἐπανορθουμένης ὑπὸ τῆς ἔσω ῥοπῆς.

Ποὺς δὲ ἀνθρώπου, ἐκ πολλῶν, καὶ μικρῶν ὀστέων ξύγκειται, ὥσπερ καὶ χεὶρ ἄκρη. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀναλογία τίς ἐστι τοῖς τῆς χειρὸς ὅλης μέρεσι, πρὸς τὰ τοῦ σκέλους. ὁποῖον μὲν γὰρ ἐν τῇ χειρὶ βραχίων ἐστὶ, τοιοῦτον ἐν τῷ σκέλει μηρός. ὁποῖον δὲ ἐν ἐκείνῃ πῆχυς, ἐν σκέλει κνήμη. καὶ δὴ τὸ λοιπὸν μέρος, ἡ ἄκρα χεὶρ, ἀνάλογόν ἐστι ποδὶ, περὶ ὃν οὐδὲν ἴδιον ὄνομα τοιοῦτον ἔχομεν, ἄκρας χειρὸς, ὁποῖον ποῦς ἐστι, χωρὶς τοῦ σκέλους. εἰκότως οὖν καὶ πόδα μὲν ἁπλῶς εἶπε, μὴ προσθεὶς ἄκρον. C χεῖρα δὲ οὐκέθ᾽ ἁπλῶς ὠνόμασεν, ἀλλ᾽ ἄκραν προσέθηκε. ταῦθ᾽ ἡμῖν ὑπὲρ τῆς τῶν ὀνομάτων χρήσεως αὐτάρκως εἴρηται. περὶ δὲ τῶν πραγμάτων αὐτῶν, ἐφεξῆς λέγομεν. ἀκόλουθος μὲν ἦν οἷς ἔμπροσθεν διῆλθεν ὁ περὶ τῆς ἄκρας χειρὸς λόγος. ὁ δὲ, οὐ περὶ ταύτης μόνης, ἀλλὰ καὶ περὶ τοῦ ποδὸς ἅμα διδάσκει, καὶ πλείω λόγον ὑπὲρ ἐκείνου ποιεῖται, διότι πλείονος ἐπιμελείας δεῖται. φησὶν οὖν, ἐκ πολλῶν, καὶ μικρῶν ἄμφω συγκεῖσθαι τὰ μέρη, προσθείητες δὴ ἡμεῖς, εἴπομεν αὖ, καὶ σκληρῶν. ἀμύελά τε γάρ D ἐστι, καὶ ἥκιστα σηραγγώδη, λιθιδίοις ἐοικότα μικροῖς. ἔστι δὴ ὅλης τῆς χειρὸς ἀναλογία, πρὸς ὅλῳ τῷ σκέλει, ὥσπερ καὶ τοῖς ἄκροις αὐτῶν. ὁποῖος μὲν γάρ ἐστιν ἐν χειρὶ καρπὸς, τοιοῦτος ἐν ποδὶ ταρσὸς, ὁποῖον δὲ μετακάρπιον ἐν χειρὶ, τοιοῦτον τὸ πεδίον ἐν ποδί. περὶ δὲ τῆς τῶν δακτύλων ἀναλογίας, κἂν ἐγὼ μὴ λέγω, δῆλον. ἔξωθεν δὲ τῶν εἰρημένων ἐστὶν, ἐν τῷ ποδὶ, τὰ κατὰ τὴν πτέρναν ὀστᾶ, διὸ καὶ τοῦ ποδὸς ὁ λόγος, αὐτῷ γίγνεται μακρότερος, ἢ περὶ τῆς ἄκρας χειρός. ἔνια μὲν γὰρ πρὸς ἐκείνην αὐτῷ κοινὰ, προειπὼν διῆλθεν, ὅσα δὲ ἴδια, προσέθηκεν ἐκείνοις ἐφεξῆς. ὁ μὲν οὖν καρπὸς, ἐξ ὀκτὼ πάντων ὀστῶν σύγκειται. E τὸ δὲ μετακάρπιον, ἐκ τεττάρων. ἕκαστος δὲ τῶν δακτύλων, ἐκ τριῶν, ὡς εἶναι τὰ πάντα τῆς ἄκρας χειρὸς, ἑπτὰ καὶ εἴκοσι. τὰ γε μὴν τοῦ ποδὸς, αὐτῶν μὲν τῶν δακτύλων, εἰσὶ τεσσαρεσκαίδεκα. δύο γὰρ ὀστᾶ μέγας ὁ δάκτυλος αὐτῶν ἔχει, τὸ δὲ πεδίον ἐκ πέντε σύγκειται. καὶ διὰ τοῦτ᾽ ἀμφοτέρων τῶν μορίων, ἐννεακαίδεκά ἐστιν ὀστᾶ, ὥσπερ ἐν ἄκρᾳ χειρὶ, μετακαρπίου τε, καὶ δακτύλων. ἐπεὶ μὲν γὰρ ἀπολείπεται τὸ μετακάρπιον ὀστῷ, τοῦ πεδίου. ἐπεὶ δὲ, οἱ δάκτυλοι τῆς χειρὸς, ὀστῷ, πλεονεκτοῦσι τῶν ἐν F τῷ ποδί. καὶ διὰ τοῦτο, συναμφότερα συναμφοτέροις ἴσον ἔχει τὸν ἀριθμόν. λοιπὸν, ἐν χειρὶ μὲν, ὁ καρπὸς, ἐξ ὀκτὼ τῶν πάντων ὀστῶν ἐστιν. ἐν ποδὶ δὲ ταρσὸς, ἅμα τῇ πτέρνῃ τε, καὶ ἀστραγάλῳ, τῶν πάντων ὀκτώ. τῆς γὰρ τῆς πτέρνης ὀστοῦ, μεγίστου ὄντος ἁπάντων τῶν ἐν ἄκροις, ἀμφοτέροις τοῖς κώλοις, ὑπεστηριγμένου τε τῷ ἀστραγάλῳ, καὶ τῇ κνήμῃ, καὶ σχεδὸν ὅλον τὸ σῶμα βαστάζοντος, ὁπότε μὲν ὀρθοὶ στῶμεν. ἐν

Pes hominis ex multis minutiſque oſſibus conſtat, quemadmodum & manus.

GALENI COMMENTARIUS.

Similitudinem quandam habent inter ſe totius cruris, & brachii partes: qualis enim eſt humerus in brachio, tale eſt in crure femur: quale item in brachio eſt id, quod eſt inter cubitum & manum, tale in crure id, quod inter genu eſt & pedem: reliqua verò pars, ſcilicet manus, pedi reſpondet. Cæterùm manus apud Græcos proprium nomen non inveni diſtinctum à toto brachio, ſicut pes, qui nomen habet diſtinctum à toto crure; quare Hippocrates meritò pedem ſimpliciter, πόδα vocavit, ἄκρον vocabulo non adjecto: manum verò non uno verbo expreſſit, ſed χεῖρα dixit, quod brachium ſignificat, ἄκραν adjiciens, quo extremum notatur. Sed ſatis dixi de uſu nominum, venio ad res. Iis, quæ ſuperiùs tractavit, proximus erat ſermo de manu; ipſe verò non tantùm agit de hac, ſed etiam de pede, ſermonemque de ipſo dilatat, quod majorem diligentiam requirat. Dicit ergo utramque partem ex multis, minutiſque oſſibus conſtare; nos autem adjungimus, & duris; quandoquidem medulla carent, cava minimum ſunt, & à lapillis parvis non abhorrent. Simile igitur eſt totum brachium toti cruri, atque itidem unius extremum extremo alterius; qualis n. in manu primæ palmæ pars eſt, tale eſt in pede id, quod inter talos eſt & plantam: tum qualis in manu palma, talis planta in pede eſt: ſimilitudo autem, quæ inter digitos eſt, vel me tacente, clara eſt; præter hæc in pede ſunt oſſa juxta calcem, atque ideirco de pede plura verba fecit, quod de manu; quæ quidem pes habet, communia quoque ipſius manus primum enarrat, deinde illa ſubdit, quæ propriè ad pedem pertinent. Primam igitur palmæ partem complent octo oſſa, palmam quatuor; at ſinguli digiti ternis oſſibus continentur, ut in univerſum oſſa manus ſeptem ſint & viginti: ſed in pede quatuordecim ſunt digitorum: nam magnus digitus ex binis conſtat, planta ex quinis. Quocirca in utraque partæ ſunt decem & novem. Totidem in manu palmam & digitos explent, quum planta uno oſſe palmam excedat: ac digiti manus pedis digitos æquè uno oſſe exuperent; quocirca, ſi utraque pars ad utramque conferatur, idem erit oſſium numerus. Reſtant in manu oſſa octo, quæ primam palmæ partem conſtituunt: in pede autem ea pars, quæ inter talos & plantam ſita eſt, cum calce ac talo, quæ omnia oſſibus octo continentur. Calcis autem os, omnium, quæ in utriuſque extremitate ſunt, maximum, ſuſtinet talum & crus, ac propè corpus fert univerſum, ubi ſtamus: à

membri extremitate, ita, ut docendi modo, non natura ipſa rerum inter ſe diſcrepent, qui viginti ſeptem, & qui viginti ſex oſſa pedis eſſe affirmant. Erunt enim vigintiſeptem, ubi talus non annumeretur cruris oſſibus; ſed ſine hoc viginti ſex. Rectè igitur ſcribit: pes hominis ex multis, minutiſque oſſibus conſtat, quemadmodum & manus; agit enim cum his, qui prima elementa didicerunt, & incidendis corporibus operam dederunt, in memoriam revocans, quæ perceperunt ad hunc locum facientia; quum non ſolum ſcire conveniat propoſitarum partium utramque ex multis duris, minutiſque oſſibus conſtare, ſed meminiſſe etiam habitus & magnitudinis ſingulorum & qua ratione cum proximis connectantur: quod θέσιν, id eſt poſitionem vocant, ut, ubi aliquod ex oſſibus, quæ his partibus ſita ſunt, ſuo loco movetur, promptè reſtituamus.

πέρατι τῶν κώλων, ὥστε εἴπερ διδασκαλίας, οὐκ αὐτῇ τῶν πραγμάτων τῇ φύσει διαφέρεσθαι τοὺς ζ΄. καὶ κ΄. εἶναι λέγοντας ὀστᾶ πρὸς τοὺς ϛ΄. καὶ κ΄. εἰπόντας.
B οἱ μὲν γὰρ προστιθέμενοι ἄχρι τῶν σκελῶν τὸν ἀστράγαλον, ζ΄. καὶ κ΄. εἶναι. χωρὶς δὲ ἐκείνου, τὰ πάντα τοῦ ποδὸς ϛ΄. καὶ κ΄. ὀστᾶ γίνεται. διὰ τοῦτ' οὖν, ὀρθῶς προσεῖπεν, ποὺς δὲ ἀνθρώπου, ἐκ πολλῶν, καὶ μικρῶν σύγκειται ὀστῶν, ὥσπερ καὶ χεὶρ ἄκρη. τὸν μὲν λόγον ποιούμενος, ὡς πρὸς εἰσαγομένους, καὶ ἀνατετμηκότας. ἀναμιμνήσκων δὲ, ὧν ἐμάθομεν εἰς τὰ παρόντα χρησίμων· οὐ γὰρ δὴ τοῦτο μόνον εἰδέναι προσήκει, ὡς ἐκ πολλῶν, καὶ σκληρῶν, καὶ μικρῶν ὀστῶν ἑκάτερον ὧν εἴπομεν σύγκειται. προσδιαμεμνῆσθαι δὲ χρὴ,
C καὶ τὸ σχῆμα, καὶ τὸ μέγεθος ἑκάστου, καὶ τὴν πρὸς τὰ πλησιάζοντα σχέσιν, ὅπερ ὀνομάζεται θέσις, ἵν' ὅταν ἐκ τῆς ἰδίας χώρας κινηθῇ τι τῶν ἐν τούτοις τοῖς μέρεσιν ὀστῶν, ἑτοίμως αὐτὸ καταρτύωμεν.

HIPPOCRATIS TEXTUS IX.

Oſſa hæc ferè non rumpuntur, niſi acuta vel gravi quapiam re carnoſæ partes vulnerentur. De vulneratis autem dicemus, ubi ulcerum curationem perſequemur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ΄.

Κατάγνυται μὲν οὐ πάνυ τι ταῦτα τὰ ὀστέα, ἢν μὴ ξὺν τῷ χρωτὶ τιτρωσκομένῳ ὑπὸ ὀξέος τινὸς, ἢ βαρέος. τὰ μὲν οὖν τιτρωσκόμενα, ἐν ἑλκέων μέρει
D εἰρήσεται ὡς χρὴ ἰητρεύειν.

GALENI COMMENTARIUS.

Carnoſas partes χρῶτα nuncupavit, quo vocabulo vocant Iones, quicquid in noſtro corpore carnoſum eſt; cujus generis præcipuè ſunt, cutis, & muſculi, tum viſcera; oſſa verò, cartilaginem & ligamenta χρωτὸς vocabulo non ſignificant. Ad hoc etiam exemplum videtur uſurpari ab Homero, quum cutem χρῶτα vocat his verſibus:

Αἰεὶ τῶν ἔσται χρὼς ἔμπεδος ἢ καὶ ἀρείων.

Et iterum:

Ὡς ἂν κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃς.

Propoſitarum igitur partium oſſa ait ferè non perfringi ſine ulcere. Illud enim, niſi carnoſæ partes vulnerentur, idem ſibi vult, quod ſine ulcere; nihil autem intereſt, quod ad hunc locum attinet, ulcuſne an vulnus nominetur; atqui carnoſa pars extremis membris minima eſt, plurima autem in humero & femore. Ea igitur tota facile læditur, ubi externum aliquid ſuper manum vel pedem incidat, quod frangere aliquid poſſit ex ipſorum oſſibus. Abrumpitur autem os quatuor de cauſis maximè generalibus; ſuper ipſum enim vehementi impetu incidit, aut aliquid conterendi vim habens, quod planè neceſſe eſt naturâ durum eſſe, & mole non exiguum: aut aliquid, quod non tantùm cutem, & quæ inter cutem ſunt & oſſa, ſed hæc quoque ſecare poſſit, quem morbum Hippocrates in libro de vulneribus capitis ἕδραν ap-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Χρῶτα καλοῦσιν οἱ Ἴωνες, ὃ ἦν τοῦ σώματος ἡμῶν σαρκῶδες, ἐν ᾧ μάλιστα γένει, τὸ δέρμα, καὶ οἱ μύες εἰσιν, ἐφεξῆς δὲ, οἱ ὑμένες, καὶ σπλάγχνα. τὸ δὲ τῶν ὀστῶν γένος, οὐκ ὀνομάζουσι χρῶτα, καθάπερ οὐδὲ τοὺς χόνδρους, οὐδὲ τοὺς συνδέσμους. οὕτως οὖν καὶ Ὅμηρος φαίνεται τῇ προσηγορίᾳ χρώμενος, ἐν οἷς φησιν,

E Αἰεὶ τῶν ἔσται χρὼς ἔμπεδος ἢ καὶ ἀρείων.

καὶ ἔμπαλιν.

Ὡς ἂν μὴ κλαίουσα, κατὰ χρόα καλὸν ἰάπτῃς.

Ὁ τοίνυν προσεῖπεν ἐπὶ τῶν προειρημένων μορίων, ἅπερ ἦν πούς τε καὶ ἄκρα χεὶρ, οὐ πάνυ τι κατάγνυσθαι φησὶ τὰ ὀστᾶ χωρὶς ἕλκους. τὸ γὰρ σὺν χρωτὶ τιτρωσκομένῳ, τὸ αὐτὸ σημαίνει τῷ, μεθ' ἕλκους, οὐδὲ διαφέρειν οἴεται κατὰ τὸν ἐνεστῶτα λόγον, ἕλκους εἰπεῖν, ἢ τραύματος· ὀλίγιστον δὲ ἐστιν ἐν ἄκροις τοῖς κώλοις. τὸ γὰρ σαρκῶδες, ὥσπερ πλεῖστον ἐν βραχίονί τε, καὶ μηρῷ, τοῦτ' οὖν τὸ ὅλον ἑτοίμως πάσχει, προσπεσόντος
F τινὸς ἔξωθεν, ἄκρᾳ χειρὶ καὶ ποδὶ, τοῦ δυναμένου κατάξαι τι τῶν ἐν αὐτοῖς ὀστῶν. αἰτίαι γάρ εἰσι γενικώταται τέσσαρες ὀστῶν κατάγματος, ἤτοι θλάσαι τι δυνάμενον ἰσχυρῶς ἐμπεσόν. ἔστι δὲ δῆλον, ὅτι χρὴ τὸ τοιοῦτον σῶμα, σκληρὸν μὲν κατὰ τὴν οὐσίαν, οὐ σμικρὸν δὲ κατὰ τὸν ὄγκον, ἢ διατεμνόμενον τὸ δέρμα μόνον, ἢ τι τῶν μετ' αὐτὸ, τὸ μέχρι τῶν ὀστῶν, ἀλλὰ καὶ αὐτὰ τὰ ὀστᾶ. καὶ καλεῖ γ' ἕδραν αὐτὸς, τὸ τοιοῦτον πάθημα τῶν ὀστῶν, ἐν τῷ περὶ τῶν ἐν τῇ κεφαλῇ

B b

ὑποβεβλημένης τῷ τοῦ παλαίοντος κώλῳ, καταναγκαζομένων αὐτῆς κάτω τῶν περάτων ἀμφοτέρων, παραπλήσιον συμβαίνοντος τῷ γιγνομένῳ, ὥσπερ περὶ τὰ κλώμενα ξύλα κατὰ προαίρεσιν, ἐφ' ἡμῶν αὐτῶν. ἐπιτιθέντες γὰρ αὐτὰ καθ' ἑκατέρου μηροῦ λοξὰ, κἄπειτα ταῖς χερσὶν ἑκάτερον τὸ ἄκρον, ἰσχυρῶς ἀναγκάζοντες κάτω, κατὰ τὸ μέσον αὐτῶν ἐργαζόμεθα ῥῆγμα.

Ὥσπερ οὖν, οὔτε μέγα ξύλον, οὔτ' εὔτονον, ἀλλὰ καὶ σμικρὸν, καὶ ἄρρωστον ἐν τούτῳ τῷ τρόπῳ κλώμενον, οὕτως, ἐπειδὰν ὀστοῦν ἀσθενὲς ᾖ φύσει, κατὰ τὰς εἰρημένας ἐνεργείας διαρρήγνυται μέσον τοιοῦτον. ἀλλ' ὁ τοιοῦτος τρόπος τῶν παλαισμάτων, ἐν ἄκροις τοῖς κώλοις ἐστὶν, οὐδ' ὅταν ἀφ' ὑψηλοῦ πηδήσαντες, ἢ καταφερόμενοι προσπίπτωσιν ἐπὶ τῆς γῆς, ἢ βιαίως τὸν πόδα διαστρέψαντες. μᾶλλον γὰρ, ἐν ταῖς τοιαύταις πληγαῖς, οἱ σύνδεσμοι τῶν ὀστῶν, ἢ τὰ ὀστᾶ αὐτὰ κατάγνυται. τοῦτο δὲ αὐτοῖς συμβαίνει, καὶ διὰ τὴν σμικρότητα μὲν, ἀλλὰ καὶ διὰ τὴν σκληρότητα μᾶλλον. οὐ μὴν οὐδὲ τοῖς ἔξωθεν αὐτοῖς ἐμπεσόντων σφοδρῶς, δύναται ῥᾳδίως συντρίψαι, μὴ σκληρότερόν τε τῶν ὀστῶν ὑπάρχον, ἀξιόλογον δὲ τῷ μεγέθει. τὸ δὲ τοιοῦτον, οὐδὲ τοῦ δέρματος φείδεται, καθάπερ οὐδ' ὅταν ὀξὺ τὸ πλῆττον ᾖ. καὶ γὰρ καὶ τοῦτο, φθάνει προδιατέμνον ἃ τοῖς ὀστοῖς ἐπίκειται, πρὶν ἐντυχεῖν αὐτοῖς, ὅθεν εὐλόγως εἶπε, μὴ πάνυ τι κατάγνυσθαι τὰ ὀστᾶ ταῦτα, χωρὶς ἕλκους. ἀλλ' ἐπεὶ μέλλει περὶ τῶν μεθ' ἕλκους καταγμάτων ἰδίαν ποιεῖσθαι τὴν διδασκαλίαν, ἐν τοῖς ἐφεξῆς, εἰς ἐκεῖνο τοῦ βιβλίου χωρίον ἀνέβαλε, καὶ τὸν περὶ τούτων λόγον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι.

ΗΝ δέ τι κινηθῇ ἐκ τῆς χώρης, ἢ τῶν δακτύλων ἄρθρον, ἢ ἄλλο τι τῶν ὀστέων τοῦ ταρσοῦ καλεομένου, ἀναγκάζειν μὲν χρὴ ἐς τὴν ἑωυτοῦ χώρην ἕκαστον, ὥσπερ καὶ τὰ ἐν τῇ χειρὶ εἴρηται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥχ ὡς προειρηκὼς τι περὶ τῶν ἐν τῇ χειρὶ συνισταμένων ὀστῶν, εἶπε τὸ, ὥσπερ καὶ τὰ ἐν τῇ χειρὶ, ἀλλ' εἰ καὶ οὕτως ἔτυχεν εἰπών. ἀναγκάζειν μὲν χρὴ εἰς τὴν ἑαυτοῦ χώραν, ἕκαστον τῶν ἐν τῷ ποδὶ, κατὰ δὲ τὸν αὐτὸν τρόπον, χρὴ καὶ τὰ ἐν τῇ χειρί. γέγραπται δὲ ἔν τισι μὲν, ἀναγκάζειν, ἔν τισι δὲ, καταναγκάζειν εἴρηται. σημαίνει δὲ ἡ λέξις τοιόνδε, εἰ εἴποι μὲν τιθέντα ἐν τῇ οἰκείᾳ χώρᾳ τὸ κινηθὲν ὀστοῦν. κινεῖται δὲ, ἀπορρηγνυμένων τῶν συναπτόντων αὐτὰ, πρὸς τὰ πλησιάζοντα συνδέσμων, ἀλλὰ οὔτε πάντες οἱ περιέχοντες ἐγκύκλως σύνδεσμοι, τὸ κινηθὲν ὀστοῦν, ἀπορρήγνυνται. σπάνιον γὰρ ἀκριβῶς, τὸ τοιοῦτον καταλιπὸν ἅπαντα τὴν ἑαυτοῦ χώραν, τὸ βλαβὲν οὕτως, ἀναπηδᾶν πρὸς τὸ δέρμα, καὶ μάλιστα εἰς ὅσοι χαλαρὸν, ὥστε γε σύντομον αὐθίστασθαι τὴν ἑαυτοῦ χώραν τοῦ κινηθέντος ὀστοῦ. διὰ τοῦτο οὖν, οὐδὲ

mum, tam quod à genu, quàm quod à pede eſt, deorſum verſus cogitur. Evenit hujuſmodi tale lignis, quæ nos de induſtria rumpimus: impoſita enim ſuper utrumque femur obliqua, & manibus ab utroque extremo in inferiorem partem coacta effringi media videmus.

A

Quemadmodum igitur neque magnum lignum, neque validum; ſed parvum & infirmum hac ratione frangitur, ita, quum os infirmum natura fuerit, medium ſub propoſitis palæſtræ generibus perrumpitur. At oſſa quibus extrema membra continentur, ſub hujuſmodi palæſtræ generibus, ſive ex ſuperiori loco ſaltantes deorſum ferantur, & in terram incidant, ſive pes vehementer convellatur, non facilè rumpuntur; his enim ictibus franguntur ligamenta oſſium magis, quàm ipſa oſſa: cujus cauſa eſt, eorum non tam exiguitas, quam durities; ſed neque externa, quum magna vi ſuperincidunt, poſſunt hæc oſſa facilè perfringere, niſi duriora illis ſint, & grandia; at quod tale eſt, neque carnem inviolatam relinquit, quemadmodum, nec ictus ab acuta re: nam & hic priuſquam attingat oſſa, quæ ipſis ſuperinjecta ſunt diſcutit; quare meritò dixit oſſa hæc ferè non abrumpi ſine ulcere. Sed quoniam in ſequentibus ſeorſum de fracturis aget, quibus carnis quoque vulnus accedit, hæc ad eum hujus libri locum reſervavit.

HIPPOCRATIS TEXTUS X.

SI quid erumpat ex digitorum articulis, vel aliud quidpiam ex iis oſſibus, quibus continetur pars pedis, quæ inter talos ad plantam eſt, compellere ſingula in ſuam ſedem oportet, quemadmodum in manu.

GALENI COMMENTARIUS.

QUod ait, quemadmodum in manu, accipiendum eſt, non quaſi aliquid præfatus ſit de oſſibus, quæ in manu ſita ſunt, ſed quaſi ita ſcripſerit, ſingula oſſa pedis in ſuam ſedem compellenda ſunt: id quod etiam fieri debet in manu. Cõpellere autem Hippocrates dixit ἀναγκάζειν, vel, ut alia exemplaria habent, καταναγκάζειν, quod idem ſibi vult, ac ſi dicat, os ſuo loco reſtituere; movetur autem, ubi ligamenta, per quæ cum proximis annectitur, abrumpuntur; non tamen abrumpuntur omnia ligamenta, quæ prolapſum os in orbem comprehendunt, rarò enim id ex toto accidit; in quo caſu os, quod ita læditur, ſuam ſedem relinquens ad cutem prorumpit, præſertim quibus ea laxior eſt, ita, ut oſſi, quod prolabitur, parum renitatur; ea verò de cauſa ferè nonſo-

tias habeat admodum aſperas, acutaſve. Quæcunque igitur undique prorſus reſoluta ſunt, ubi ſuâ ſede mota in ſuperiorem, vel inferiorem pedis regionem veniunt, ægrè reconduntur: ſi quando autem quod rarò accidit, recondantur, ſemper magno negotio in ſua ſede ſervantur; namque ubi os rurſus vehementer moveatur, nihil erit quod ipſum contineat, utpote ſolutum ligamentis, quibus alligabatur: quæ ſi non fuerint ex toto abrupta, ſed aliqua ex parte integra, ſicut evenit, quibus procidere ſolet, diſtendentes totum pedem urgebimus.

HIPPOCRATIS TEXTUS XI.

TUm cerato mederi pannis, faſciiſque non ſecus, atque ubi frangitur, excepto quod omittendæ ferulæ ſunt: eodemque modo adſtringere, ac tertio quoque die alligare. Is autem qui devincitur, ſimiliter atque in fracturis, adſtringi ſe reſpondeat, vel laxari.

GALENI COMMENTARIUS.

QUalem curationem ad fracturas tradidit, talem nunc ad oſſa, quæ extremis membris moventur, præcipit adhiberi. Primò, ſi quidem extendere convenit, ad hoc, ut oſſa, quæ prolapſa ſunt, in ſuam ſedem compellantur: tum ubi repoſita fuerint, devincire, conſilio ad idem directo: propoſitum enim eſt membrum ab inflammatione tueri, & ſub linteis adſtringere, continereque os, quod reſtitutum eſt. In ſuperioribus autem oſtenſum eſt hæc nullo modo rectè fieri poſſe, niſi ſanguis qui in affecta ſede ſubſiſtit, ad ſummum, atque imum membrum depellatur: prohibeaturque quominùs alter concurrat. Hæc itaque ſi in memoria habeamus, ſpectantes, univerſam vinciendi rationem fracturis idoneam inveniemus, quam hic utendam dixit, niſi quod ferulæ non debent circundari, quandoquidem loci natura eas non patitur; nam partes, quibus ferulæ injiciendæ ſunt, æquè planæ eſſe debent, cujuſmodi non eſt ea pars pedis, quæ inter talos, & plantam ſita eſt.

HIPPOCRATIS TEXTUS XII.

OMnia hæc viginti diebus perfectè ad ſanitatem perducuntur, niſi, quæ cum cruris oſſibus junguntur: vel ex ejus regione ſita ſunt. Interim verò jacere convenit, non tamen id ſuſtinent, qui morbum parvi faciunt, ſed ingrediuntur priuſquàm convaleſcant; eoque fit, ut plerique non benè ſanentur, ſed ſubinde languoris ſenſu aliquo tententur, atque id quidem

πηδήσεται. τὰ μὲν οὖν τελείως ἀπολυθέντα τελέως, ὁκότερ᾽ ἂν τῆς ἑαυτῶν χώρας, εἴτε κάτω τοῦ ποδὸς, εἴτ᾽ ἄνωθεν χωρήσῃ, χαλεπώτερόν ἐστιν εἰς τὴν οἰκείαν ἐμβαλεῖν χώραν. εἰ δὲ γε καὶ ῥᾳδίως τυχεῖν τινὰ, τὸ ἔργον, ἀλλὰ καὶ τὸ φυλάξαι γε
B τὴν χώραν ἀεὶ χαλεπόν. ἔνθα γὰρ ὁσονοῦν πάλιν σφοδρότερον κινηθῇ, κλίνεσθαι τοῖς κρατοῦσιν αὐτὸ συνδέσμοις, οὐκ ἔχοντα δὲ, ἐκ μέρους μὲν ἐχόμενα, φυλαττομένων ἡμῖν τῶν συνδέσμων, ἐκ μέρους δ᾽ ἀπολελυμένα καθάπερ αἱ ἀπορραγεῖσιν εἰ προκύπτειν εἴωθε, διατείνοντας οὖν ὅλον τὸν πόδα, κατορθοῦν σπουδάζειν αὐτὸν προσήκει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιαʹ.

C ΚΑὶ ἰητρεύειν δὲ κηρωτῇ, καὶ σπλήνεσι, καὶ ὀθονίοισιν, ὥσπερ καὶ τὰ κατήγματα, πλὴν τῶν ναρθήκων. τὸν μὲν αὐτὸν τρόπον πιεζοῦντα, διὰ τρίτης δὲ, ἐπιλύοντα. ἀποκρινέσθω δὲ ὁ ἐπιδεόμενος παραπλήσια, οἷάπερ καὶ ἐν τοῖσι κατήγμασι, καὶ περὶ τοῦ πεπιέχθαι, καὶ περὶ τοῦ χαλαρὸν εἶναι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΠοίας ἐπὶ τῶν καταγμάτων ἐκέλευσε θεραπείας, τοιαύτην ἀξιοῖ σε ποιεῖσθαι καὶ νῦν, ἐπὶ τῶν ἐν ἄκροις τοῖς κώλοις κινηθέντων ὀστῶν. καὶ γὰρ ἀπὸ
D διατάσεως ἄρξασθαι χρὴ, χάριν τοῦ καλῶς διαπλάσαι τὰ κεκινημένα τῶν ὀστῶν, καὶ μετὰ τὴν διάπλασιν ἐπιδοῦντα, τῶν αὐτῶν στοχάζεσθαι σκοπῶν. ἀφλέγμαντόν τε μὲν γὰρ εἶναι βουλόμεθα τὸ μόριον, ἐσφίγχθαι τε, καὶ διακρατεῖσθαι τὸ πεπλασμένον ὀστοῦν, ὑπὸ τῶν ὀθονίων. ἐδείχθη δ᾽ ἔμπροσθεν, ταῦτα οὐ δυνάμενα γενέσθαι καλῶς, ἄνευ τοῦ, τὸ μὲν ἐν τοῖς πεπονθόσι μορίοις αἷμα, πρὸς τὴν ἀρχὴν τοῦ κώλου, καὶ τὸ πέρας, ἐκθλίβεσθαι,
E κωλύεσθαι δ᾽ ἐπιρρεῖν ἄλλο. πρὸς ταῦτα δ᾽ οὖν, εἴ τι μεμνήμεθα, σκοποῦντες, εὑρήσομεν ἅπασαν τὴν καταγματικὴν ἐπίδεσιν, ἣν κελεύει ποιεῖσθαι, πλὴν τῶν ναρθήκων, ἐπεὶ τοῦ μέρους ἡ φύσις, οὐ προσίεται τὴν τούτων ἐπίθεσιν. ὁμαλὴν γὰρ εἶναι δεῖ τὴν ἐπιφάνειαν τῶν μερῶν, οἷς μέλλομεν νάρθηκας, οὐ μὴν τοιοῦτός ἐστιν ὁ ταρσὸς τοῦ ποδός.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβʹ.

ΥΓιέα δὲ γίνεται ἐν εἴκοσιν ἡμέρῃσι τελέως ἅπαντα, πλὴν ὁκόσα κοινωνέει τοῖσι τῆς κνήμης ὀστέοισι, καὶ αὐτίκα τῇ ἴξει. ξυμφέρει δὲ κατακεῖσθαι τοῦτον τὸν χρόνον· ἀλλὰ γὰρ οὐ τολμέουσιν ὑπεροροῦντες τὸ νόσημα, ἀλλὰ περιέρχονται πρὶν ὑγιέες γενέσθαι. διὰ τοῦτο καὶ οἱ πλεῖστοι οὐκ ἐξυγιαίνουσι τελέως, ἀλλὰ πολλάκις ἐπιβάλλειν αὐτοῖς ὁ πόνος ὑπομιμνήσκει εἰκότως· ὅλον γὰρ τὸ ἄχθος τοῦ σώματος οἱ πόδες ὀχέουσιν. ὁκότερ᾽ οὖν μήπω ὑγιέες

ΛΕγει τῆς ὅλης κνήμης, εἴγε καὶ τὸ κατὰ τὴν ἴξιν αὐτῆς, σημαίνει τὸ καθ' ἴθυ, πολλάκις ἐν πολλοῖς εἰρημένον, ἀλλὰ καὶ κατωτέρω, τρὶς ἐφεξῆς κέχρηται τῷ ὀνόματι, περὶ κνήμης διαλεγόμενος, ἐν τῇ ῥήσει. τοῦ γὰρ μηροῦ ἡ κεφαλή, ὑπερέχει τὸ ὕπερθεν τοῦ σώματος, αὕτη τε ἔσωθεν πέφυκε τοῦ σκέλους, καὶ οὐκ ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῦ ἀντικνημίου ἴξιν, ἅμα δὲ τὸ ἄλλο ἥμισυ τοῦ σώματος γειτνιᾶται μᾶλλον ταύτῃ τῇ ἴξει, ἀλλ' οὐχὶ τῇ εἴσωθεν. ἅμα δὲ, ὅτι παχύτερον τὸ ἔσω, τοῦ ἔξωθεν, ὥσπερ καὶ τὸ ἐν τῷ πήχει, τὸ κατὰ τὴν τοῦ μικροῦ δακτύλου ἴξιν, λεπτότερον, καὶ μακρότερον.

CRuris oſſa intelligit tam ſuram, quàm tibiam; volens autem ſignificare è regione, κατ' ἴξιν dixit, quam loquutionem ſæpiùs, variiſque in locis uſurpavit; ſed & paulò inferiùs eadem ter ex ordine utitur, de crure pertractans, quum ait, Femoris enim caput ſuperius corpus fert; id autem ab interiori cruris parte ſitum eſt, at non ab exteriori, ſed è regione tibiæ, tum quia pars altera corporis è regione huc propius accedit, quam ad exterius os; adde quòd os interius plenius eſt, quàm exterius, non ſecùs atque in brachio, ubi os quod è regione minimum digitum ſpectat, tenuius eſt, & longius.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

ΟΘονίοισι δὲ πλείοσι χρέεσθαι, καὶ σπλήνεσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕἼθισται, ὡς κατὰ χώραν μένειν τὰ ἐμβληθέντα τῶν ὀστῶν, καὶ τοῖς ὀθονίοις, καὶ τοῖς σπλήνεσι χρῆσθαι, καὶ μάλιστα, ὅταν νάρθηκας ἐπιδεῖν οὐκ ἐφίεται τὸ χωρίον, ἀνώμαλον ὑπάρχον.

HIPPOCRATIS TEXTUS XIII.

PLurimis autem faſciis, plurimiſque pannis utendum eſt.

GALENI COMMENTARIUS.

VT oſſa quæ repoſita ſunt, ſuo loco maneant, ſolent tum faſciis, tum pannis circundari, præſertimque quum loci inæqualitas alligari ferulas non ſinit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

ΚΑὶ ἐπὶ πολὺ ἔνθεν καὶ ἔνθεν ἐπιδέειν· πιέζειν δὲ ὥσπερ καὶ τἄλλα πάντα, ταύτῃ μάλιστα ᾗ ἐκινήθη, καὶ τὰς πρώτας περιβολὰς τῶν ὀθονίων κατὰ ταῦτα ποιέεσθαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΜπροσθεν ἐκέλευσεν ἡμᾶς, ἐν ταῖς ῥοπαῖς τῶν κατεαγότων, ἵν', εἰ μὲν ἐπὶ τῇ δεξιᾷ ῥέποιεν, εἰς τὰ ἀριστερὰ, περιβάλλωμεν. εἰ δὲ εἰς ἐκεῖνα, πρὸς τὴν δεξιὰν ἐπανάγωμεν. ἐν δὲ τοῖς κατὰ τὸν πόδα, τὴν ῥοπὴν ἰσόρροπον ποιεῖσθαι χρὴ τῇ ἐπιδέσει, ἐπειδὴ τὰ τὴν ἰδίαν χώραν ἐξιστάμενα τῶν ὀστῶν, οὐκ εἰς τὰ πλάγια ποιεῖται τὴν ῥοπὴν, ἀλλ' εἰς τὸν ἄνω τόπον, ἢ τὸν κάτω.

HIPPOCRATIS TEXTUS XIV.

FErè autem hinc atque hinc vincire convenit, adſtringereque, ſicut cætera omnia, ea parte potiſſimum, qua os prolapſum eſt, primùmque ibi faſcias circumagere.

GALENI COMMENTARIUS.

IN prioribus imperavit ut fractum os in aliquam partem convertatur, ſi ad dextram inclinet, ut ad ſiniſtram adducatur: ſi ad hanc ſpectat, urgeatur ad dextram. At ubi alligare pedem oportet, in neutram partem debet vinculum inclinari, quum oſſa, quæ ſuâ ſede excidunt, non ad latera, ſed ad ſuperiorem partem convertantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

ΕΝ δὲ ἑκάστῃ τῶν ἀπολυσίων, ὕδατι πολλῷ θερμῷ χρέεσθαι. ἐν πᾶσι δὲ, πολλὸν ὕδωρ θερμὸν καταχέειν τοῖσι κατ' ἄρθρα οὖσιν. αἱ δὲ πιέξιες, καὶ αἱ χαλάσιες, ἐν τοῖσιν αὐτέοισιν χρόνοισι, τὰ αὐτὰ σημεῖα δεικνυόντων ἅπερ ἐπὶ τοῖσι πρόσθεν, καὶ τὰς μετεπιδέσιας, ὡσαύτως χρὴ ποιέεσθαι. ὑγιέες δὲ τελέως

HIPPOCRATIS TEXTUS XV.

QVotieſcunque vinculum ſolvitur, multa aqua calida fovendum. In omnibus autem qui juxta articulos ſunt, affectibus, liberaliter calida aqua perfundenda eſt. Quod ad laxandum vel adſtringendum pertinet, iiſdem temporibus eadem indicia ſe oſtendant, quæ in ſupe-

QUum leniendus dolor eſt, & corpora, quæ adſtricta ſunt, laxanda, tunc præcipit ut multa calida aqua perfundatur; id potiſſimum accidit in affectibus articulorum, quum hæ partes oſſibus magis & nervis contineantur. Comprimuntur igitur cum inflammatione, & magis dolorem ſentiunt, quod magis nervoſæ ſint. Appellavit autem affectus σίνεα, quoniam affici σίνεσθαι dicit.

ΕΝθα πραΰνειν μὲν ὀδύνην, χαλάσαι δὲ τὴν τάσιν βούλεται τῶν σωμάτων, ἐνταῦθα πλείονι χρῆσθαι καταιονήσει B θερμοῦ ὕδατος, ἔστι δὲ μάλιστα ἐν τοῖς κατ' ἄρθρα, διότι τὰ παθήματα· νευρωδέστερα τε γὰρ, καὶ ὀστωδέστερα ταῦτα τὰ μόρια. θλίβεται οὖν ὑπὸ τοῦ φλεγμαίνοντος, καὶ μᾶλλον αἰσθάνεται τῆς ὀδύνης, ὅτι νευρωδέστερα ἐστί. σίνεα δὲ εἶπε, τὰ οἷον βλάμματα, διότι καὶ τὸ βλάπτεσθαι, σίνεσθαι καλεῖ.

DE CALCE.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΠΤΕΡΝΑΝ.

C

HIPPOCRATIS TEXTUS XVI.

QVicunque ex ſuperiori loco ſaltantes, calci vehementer inſiſtunt, his oſſa diducuntur: venæ ſanguinem effundũt, carne circa os attrita: tumor magnus oritur, & dolor. Hoc enim os exiguum non eſt, extatque è regione ſub tibia.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛʹ.

ΟΣοι δὲ πηδήσαντες ἀφ' ὑψηλοῦ τινὸς, ἐστηρίξαντο τῇ πτέρνῃ ἰσχυρῶς, τουτέοισι διΐστανται μὲν τὰ ὀστέα, φλέβια δὲ ἐκχυμοῦνται, ἀμφιθλασθείσης τῆς σαρκὸς ἀμφὶ τὸ ὀστέον, οἴδημα δὲ ἐπιγίνεται, καὶ πόνος πουλύς. τὸ γὰρ ὀστέον τοῦτο, οὐ σμικρόν ἐστι, καὶ ὑπερέχει μὲν ὑπὸ τὴν ἰθυωρίην τῆς κνήμης.

GALENI COMMENTARIUS.

EKχυμῶσθαι dixit venas, ſignificare volens effundere ſuccum quem continent, nempe ſanguinem: quod fit quum colliditur earum tunica; corpora enim quæ colliduntur, naturalem unitatem amittunt, quum pluribus exiguiſque partibus divellantur, quibus ſanguis ſuffunditur. Hunc igitur effuſum ſanguinem recipiunt loca, quæ venam cingunt: quibus non ſervatur, qualis recipitur, tempore ſiquidem nigreſcit, perinde atque ubi extra corpus effuſus diu manet: concreſcit inſuper, quam rem Græci θρόμβωσιν appellant; hinc factum eſt ut ſanguis propterea quod concreſcat, θρόμβος jam, & dicatur, & ſit, prius autem nigreſcit, deinde redditur admodum putris. Atqui non poſſunt graviſſima hæc accidere ſanguini, qui à venis in corpore funditur; namque ubi natura vincit, hunc non ſecus mutat atque alium, qui in inflammatione ſuppurante continetur, vertitque in pus. Ad hoc autem, ut partium natura ſanguinem ſuperet, duo obſervanda ſunt: alterum, ne inflammatio corpori ſuperveniat, id qua ratione fiat, ſupra habuimus: alterum, ut ſanguis, qui effuſus eſt, repellatur. In hæc itaque incumbens Hippocrates, omnia, quæ ſubjiciuntur, præcepta ſigillatim tradit. Diducuntur, inquit, oſſa his, qui ita ſaltant, abruptis nimirum ligamentis, quibus ipſa nectebantur, ſicut paulò ſuprà de ea parte, quæ inter talos & plantam eſt, dicebamus; jungitur autem cum calce à ſuperiori parte talus: à priori id os, quod à cubi ſimilitudine græcè κυβοειδὲς vocatur: ſicuti cum talo à priori parte id oſſis committitur, quod à ſcaphæ ſimilitudine σκαφοειδὲς græcè

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D ΕΚχυμοῦσθαι τὰς φλέβας εἶπε, σημῆναι βουλόμενος, ἐκχεῖσθαι τὸν ἐν ἑαυταῖς περιεχόμενον ἰχῶρα χυμὸν, ὅπερ ἐστὶ τὸ αἷμα. γίνεται δὲ τοῦτο, θλασθέντος αὐτῶν τοῦ χιτῶνος· ὅσα γὰρ θλάπτεται σώματα, τὴν φυσικὴν ἕνωσιν ἀπόλλυται, κατὰ πολλὰ μέρη, καὶ μικρὰ, διασπώμενα, καθ' ἃ καὶ περιεκχεῖται τὸ αἷμα. τοῦτο οὖν τὸ ἐκχυθὲν αἷμα, δέχονται μὲν αἱ περιεχόμεναι χῶραι τὴν φλέβα, δεξάμεναι δὲ, οὐ φυλάττουσιν οἷον ἐδέξαντο. μελαίνεται μὲν γὰρ ἐν τῷ χρόνῳ, καθάπερ εἰ καὶ ἐκτὸς ἐκχυθὲν E ἐχρόνισε, καὶ τὸ πάθος, ὃ καλεῖται θρόμβωσις, ἐξ οὗ παθήματος ἐγγινομένου τῷ αἵματι, θρόμβος μὲν ἤδη τὸ αἷμα καλεῖται, καὶ ἔστι. μέλαν δὲ γίνεται τὴν χρόαν, καὶ σήπεται ἐντεῦθεν μοχθηρῶς. ἀλλὰ ταῦτα μὲν οὐχ οἷόν τε χαλεπώτατα συμπίπτειν τοῖς ἐκχύμασιν, ἢν ὅταν ὑπὸ τῆς φύσεως κρατεῖται, μεταβάλλει, καθάπερ καὶ ἄλλο κατὰ τὰς πεττομένας φλεγμονὰς αἷμα, καὶ γίνεται πύον. ἵνα δὲ κρατήσῃ τοῦ αἵματος, ἡ ἐν τοῖς μορίοις φύσις, ἐστοχάσθαι χρὴ δυοῖν τούτοιν, ἑτέρου μὲν, ὡς μὴ φλεγμαίνωσι τὰ σώματα, καὶ ὅπως τοῦτο γίνεται, πρόσθεν ἐμάθομεν, ἑτέρου δὲ, τοῦ διαφορῆσαι F τὸ περιεκκεχυμένον αἷμα. τούτου οὖν στοχαζόμενος ὁ Ἱπποκράτης, κατὰ μέρος ἐφεξῆς πάντα συμβουλεύει. διΐσταται δὲ, ἔφη, τὰ ὀστέα τῶν οὕτω πηδησάντων, ἀπερρηγνυμένων δηλονότι τῶν συμφυόντων αὐτὰ συνδέσμων, ὥσπερ ὀλίγον ἔμπροσθεν, ἐφ' ὧν κατὰ τὸν ταρσὸν, ἐλέγομεν. ἔζευκται δὲ τῇ πτέρνῃ κατὰ τὸ ἄνω μέρος, ὁ ἀστράγαλος. ἔμπροσθεν δὲ, τὸ καλούμενον κυβοειδὲς, ὥσπερ γε καὶ τῷ ἀστραγάλῳ, κατὰ τὰ πρόσω μέρη, συνήρθρωται τὸ σκαφοειδὲς

Καὶ ὁ τένων δὲ ὁ ὄπισθεν, τούτῳ προσηρτημένος τῷ ὀστέῳ, τούτους χρὴ ἰητρεύειν μὲν κηρωτῇ, καὶ σπλήνεσι, καὶ ὀθονίοισιν. ὕδατι δὲ θερμῷ πλείστῳ τουτέοισιν χρῆσθαι, καὶ ὀθονίοισι πλείοσιν· ἐπὶ τουτέοισι δὲ, καὶ ἄλλως ὡς βελτίστων καὶ προσηνεστάτων. B

[c]atoribus, poſteriorque chorda huic oſſi innectitur. Hos igitur curare oportet cerato, pannis, faſciiſque ad hæc calidam aquam largè infundere, faſciarumque numerum augere, tum aliis uti optimis præſidiis ac maximè lenibus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῷ τῆς πτέρνης, φησὶν, ὀστέῳ, κοινωνεῖ μὲν νεῦρα μεγάλα, τοῦτο γὰρ αὐτὸ νῦν δηλοῖ τὸ, ἐπίκαιρα, καθάπερ δὲ καὶ φλέβες οὐ μικραί. συμπέφυκε δὲ ὄπισθεν τένων, ὁ ἐκ τῶν κατὰ τὴν γαστροκνημίαν μυῶν γενόμενος. εἴρηται δὲ καὶ περὶ τούτων αὐτάρκως, ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι, καὶ τῇ τῶν μυῶν ἀνατομῇ. καὶ χρὴ ταῦτά γε ἀκριβῶς μεμαθηκέναι, τὸν ἀκολουθεῖν βουλόμενον οἷς νῦν ὁ Ἱπποκράτης διδάσκει. C

GALENI COMMENTARIUS.

Conjungitur, inquit, os calcis nervis quos nominat ἐπικαίρους, id eſt grandiores, tum venis non parvis. Innectitur item huic oſſi poſterior chorda, quæ diducitur à muſculis, qui ſiti ſunt in parte cruris, quæ carnoſa à poſteriori parte prominet. De his autem abunde diximus, tam in eo libro, qui de corporum, quàm in eo qui de muſculorum incidendorum ratione eſt; ea autem tenere ad unguem debet, qui aſſequi vult, quæ nunc ab Hippocrate traduntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

Καὶ ἢν μὲν τύχῃ ἁπαλὸν τὸ δέρμα φύσει ἔχων τὸ ἀμφὶ τῇ πτέρνῃ, ἐᾶν οὕτως. ἢν δὲ παχὺ, καὶ σκληρὸν, οἷα μετεξέτεροι ἴσχουσι, καταταμεῖν χρὴ ὁμαλῶς, καὶ διαλεπτύνειν, μὴ διατιτρώσκοντα. D

HIPPOCRATIS TEXTUS XVIII.

Quòd ſi cutis quæ calcem tegit, naturaliter tenera eſt, relinquenda eſt, quomodo ſe habet: ſin dura & craſſa, qualis in quibuſdam conſpicitur, æqualiter ſuccidenda eſt, atque extenuanda, non tamen vulneranda.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῶν προειρημένων παθημάτων, περὶ τὴν πτέρναν τε καὶ κατὰ τὰ συνεχῆ μόρια γινομένων, κίνδυνός ἐστιν, ὀδύνας τε μεγάλας ἀκολουθήσειν, καὶ φλεγμονὴν οὐ σμικράν. ὅτι δή τε γὰρ τὰ χωρία, καὶ οὐκ ἐκ τῶν ἐπιτυχόντων ὀστῶν, ἀλλ' ἐκ πάνυ μικρῶν συντεθειμένα, ὥστε, ἐὰν καὶ βραχέα τινὰ γένηται φλεγμονῆς, μεγάλας ὀδύνας ἔσεσθαι διὰ τὴν θλίψιν. ὁ δὴ ἐμφυόμενος τῇ πτέρνῃ τένων, ἀξιόλογος ὢν τὸ μέγεθος, εἰ φλεγμήνῃ, κίνδυνον ἕξει σπασμοῦ. καὶ μὴν καὶ νεῦρα, κατὰ τὸ μόριον τοῦτο, μεγάλα τέτακται, ψαύοντα τῶν ὀστῶν, ὡς καὶ τοῦτ' ἔμαθες ἐν τῇ τῶν νεύρων ἀνατομῇ, ταῦτα οὖν τἄλλα τῆς θεραπείας ἁπάσης, ἠκριβῶσθαι χρὴ, κατά τε τὴν τῆς διαίτης λεπτότητα, καὶ τὸ πλῆθος τοῦ καταντλουμένου θερμοῦ. καὶ μέντοι καὶ τὸ δέρμα τὸ κάτω, ὃ προσαγορεύουσιν ἴχνος, ἐπὶ πολλοῦ χρή. σύμμετρον δὲ, ἐφ' ὧν σκληρόν ἐστι, ὅρον τοῦ βάθους τῆς τομῆς, ποιούμενος τὴν σκληρότητα. τυλοῦται γὰρ ἐπ' ἐνίων, ὡς μηδ' ἐπὶ βραχὺ προχεῖν αἵματος, ἢν μὴ μέχρι βάθους ἱκανοῦ, καθιῇς τὴν σμίλην, αὐτὸ μὲν δὴ τοῦτο αὐτὸ προσήκει τέμνειν τὸ μέρος, ὃ οὔπω προχεῖ τι τοῦ αἵματος. ἐκείνου δὲ φείδεσθαι, καθὸ τεμνόμενον εὐθέως αἱμάσσει, καὶ γὰρ ὀδυνᾶται τεμνόμενον. ἐκεῖ δὲ, οὐχ ἁπλῶς τέμνειν, ἀλλ' ὁμαλῶς τὸ σκληρὸν τοῦ δέρματος, ἔχεις δὴ αἱ τρεῖς σκο- E F

GALENI COMMENTARIUS.

Propoſitis vitiis circa calcem, atque adjunctas partes: periculum eſt, ne ingens dolor atque inflammatio non modica ſuperveniat; hujuſmodi enim partes oſſibus continentur, non quibuſlibet, ſed valde minutis inter ſe commiſſis, ita ut vel levis inflammatio magnum dolorem poſſit comprimendo excitare; chordæ verò quà calci à poſteriori parte innectitur, cùm grandior ſit, ubi inflammatur, periculum erit ne nervorum diſtenſio ſuperveniat; quin & cum hac parte iunguntur multi nervi, qui oſſa contingunt, quod in libro de incidendis nervis oſtendimus. Reliqua igitur univerſa curatio diligentem animadverſionem requirit, & quod ad victum tenuem pertinet, & quod ad modum aquæ calidæ perfundendæ; ſed & cutis, quæ pedi ſubjecta eſt, ἴχνος græcè dicitur, incidenda eſt magna cum moderatione; ubi dura eſt, altitudo plagæ debet duritiei altitudinem æquare; occaleſcit enim quibuſdam, ita ut ne paululum quidem ſanguinis fundat, niſi ſcalpellus altè admodum demittatur. Illa igitur ſecanda eſt, quæ ſanguinem non fundit: quæ verò ſtatim cruentatur, relinquenda eſt; nam ſi ſecetur, dolet. At neque in illa quæ dura eſt, quovis modo, ſed æqualiter incidere convenit id quod ex ipſa cute durum eſt; ſpectare autem tria de-

idcirco inflammationem augeri, & nervorum diſtenſionem excitari. Quemadmodum igitur liberalis aquæ calidæ perfuſio, cui oleum copioſè ſit adjectum, ſaluberrima eſt, ita etiam ſecandam cutem dixit ſcalpello eatenus altè demiſſo, ut hæc minimè cruentetur. Utiliter autem excogitavit hujuſmodi ſectionem, quandoquidem in aliis partibus, ubi vehementer inflammantur, cogimur cutem ſcalpello exaſperare, partim educentes aliquid ejus ſanguinis, qui in inflammatione ſuperat: partim expirationem efficientes: partim laxantes, quæ ſub inflammatione diſtendebantur. At in pede inflammatione nondum orta, feſtinabimus ad cutem incidendam, eo quòd duriſſima ſit: ubi verò talis eſt, nequit ſub inflammatione ampliùs extendi; quamobrem dolebit hæc, & vehementiſſime premet intenſione quadam proximas partes, præcipueque latam chordam, quæ illi juncta eſt, cujuſque initium eſt ex fine unius ex muſculis ſitis in poſteriori parte cruris, quæ carnoſa prominet. Igitur, ubi hæc dolore, atque inflammatione tenetur, periculum eſt, ne totus muſculus eadem ſentiat; id ſi accidat, nervorum diſtenſionem ſequi veriſimile eſt. Ob hæc itaque omnia cutem, quæ ſub pede eſt, ſecare, ut dictum eſt, convenit: deinceps, ut retulit, extenuare, hoc eſt tenuem reddere; id autem fiet, ſi molliatur ipſius durities, & multitudo exhauriatur. Ad hæc ambo valet oleum & aqua calida, ſi copioſè infundatur: à perfuſione verò priuſquàm vinculum detur, olei, quod nullam adſtringendi vim habeat, inunctio.

... οἷον ἡ πολλὴ κατάντλησις ὕδατος θερμοῦ, προκεχρισμένου δαψιλεῖ ἐλαίῳ, τὴν τάσιν ἐκλύουσα, μεγάλως ὀνίνησιν, οὕτω καὶ τὰς τομὰς ἐπιπολῆς ποιεῖσθαι, τοσοῦτον καθηκούσας
B εἰς τὸ βάθος, ὡς μηδέπω τιτρώσκειν τὸ ἐντεῦθεν τοῦ δέρματος, ἐπινενοῆσθαι χρησίμως αὐτῷ τὰς ἀμυχάς, ἐπεὶ κἀπὶ τῶν ἄλλων μορίων, ὅταν γε μεγάλως φλεγμήνῃ, χαράζειν ἀναγκαζόμεθα τὸ δέρμα. τοῦτο μὲν κενοῦντές τι τῆς περιουσίας τοῦ κατὰ τὴν φλεγμονὴν αἵματος, τοῦτο δὲ, καὶ διαπνοὰς ἐργαζόμενοι, καὶ πρὸς τούτῳ τὴν τάσιν ἐκλύοντες, ἣν ἐκ τῆς φλεγμονῆς ἴσχει. ἐπὶ δὲ τοῦ ποδὸς, ἐπειδὴ καὶ μᾶλλον, ἐπὶ τὸ χαράζειν τὸ δέρμα παραγινόμεθα, κἂν μηδέπω φλεγμαίνῃ, διότι σκληρότατον ὄν, ἐφ' ὅσον τοιοῦτόν ἐστιν, οὐ δύναται
C προσεπεκτείνεσθαι κατὰ τὰς φλεγμονάς· αὐτό τε οὖν ὀδυνᾶται, πιεζόμενον ἰσχυρῶς, θλᾶται δὲ τῇ περιτάσει τὰ ὑποκείμενα, καὶ μάλιστα τὸν συμπεφυκότα τένοντα, πλατὺν, ἐκ μιᾶς ἀπονευρώσεως εἰς τὸν κατὰ τὴν γαστροκνημίαν μυῶν, ἐχόντα τὴν γένεσιν. ἐὰν οὖν οὗτος, εἰς ὀδύνην τε, καὶ φλεγμονὴν ἀφίκηται, κίνδυνος ὅλῳ τῷ μυῒ συμπαθεῖν ταὐτά. τούτου δὲ εἰ γένοιτο, καὶ σπασμὸν ἀκολουθῆσαι εἰκός. διὰ ταῦτ' οὖν ἅπαντα, τέμνειν μὲν, ὡς εἴρηται, προσήκει τὸ ἴχνος, ἑξῆς δὲ, λεπτύνειν, ὡς ἔφην, τουτέστι λεπτὸν
D ἐργάζεσθαι. γένοιτο δ' ἂν τοῦτο, τῆς μὲν σκληρότητος αὐτοῦ μαλαττομένης, τοῦ δὲ πλήθους κενουμένου. γίνεται δὲ ἄμφω ταῦτα, καταντλούντων ἔλαιόν τε, καὶ ὕδωρ θερμὸν, οὐκ ὀλίγον. εἶτ' ἐπὶ τῇ καταντλήσει πρὸ τῶν ἐπιδέσμων, ὑπαλειφόντων ἔλαιον μηδεμίαν ἔχον στύψιν.

HIPPOCRATIS TEXTUS XIX.

Hæc bene alligare non cujuſvis eſt. Nam ſi quis vinciat eo modo, quo cætera circa talos vinciuntur, faſcia modo ad pedem data, modo ad ipſam chordam, circumactæ faſciæ compreſſio, calcem quà ictus fuit, expellet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθʹ.

Ἐπιδεῖν δὲ ἀγαθῶς, οὐ παντὸς ἀνδρός ἐστι τὰ τοιαῦτα.
E ἢν γάρ τις ἐπιδέῃ, ὥσπερ καὶ τὰ ἄλλα, τὰ κατὰ τὰ σφυρὰ ἐπιδεῖται, ὅτε μὲν περὶ τὸν πόδα περιβαλλόμενος, ὅτε δὲ, περὶ τὸν τένοντα, αἱ ἀποσφίγξιες αὗται χωρίζουσι μὲν τὴν πτέρνην, ᾗ τὸ θλάσμα ἐγένετο.

GALENI COMMENTARIUS.

Dictionem bene ἀγαθῶς dixit, ſæpe enim ab aliis veteribus ita uſurpatur; præcipit autem, ut vitia quæ circa calcem ſunt, vinciantur eâ ratione, quâ fracturæ eos reprehendens, qui eo modo deligant, quo deligare ſæpiùs conſuevimus, ut medicamenta, ſeu cataplaſmata, ſeu quædam ex perfuſione madentia, eâ parte teneantur. Vinciendi modus, quem damnat, ſic ſe habet.

A
A Initium faſciæ, &c.

B
A Initium faſciæ, &c.

Faſcia ab altera parte talorum orſa, obliqua fertur à priori parte extremi cruris, quâ talus extat, quem ἀστράγαλον vocant: inde tranſ-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν ἀγαθῶς, ἀντὶ τοῦ καλῶς, οὗτός τε, καὶ οἱ ἄλλοι παλαιοὶ πολλάκις εἰρήκασιν. ἀξιοῖ δὲ καὶ τὰ περὶ τὴν πτέρναν, ἐπιδεῖν τῷ καταγματικῷ τρόπῳ, μεμφό-
F μενος τοὺς οὕτως ἐπιδοῦντας, ὡς ἐπιδεῖν εἰθίσμεθα πολλάκις ἕνεκα τοῦ κρατεῖσθαί τι τῶν ἐπικειμένων αὐτοῖς φαρμάκων, ἢ καταπλασμάτων, ἢ καί τινας ἐπιβροχάς. ἔστι δὲ ὁ τρόπος τῆς ἐπιδέσεως, ᾧ μέμφεται, τοιόσδε.

Τῆς ἀρχῆς τοῦ ἐπιδέσμου, λοξῆς ἀνατεταμένης κατὰ τὸ σφυρὸν, ἡ νομὴ τῆς ἐπιδέσεως, γίνεται πρὸς τὸ κάτω τοῦ ποδὸς, ἔμπροσθεν τοῦ περάτους τῆς κνήμης ὑφ' ᾧ ἐστιν, ὃ καλοῦσιν ἀστράγαλον. ἐντεῦθεν δὲ πάλιν ἀποστρε-

ἃς ἐπιβάλλουσιν ὡς ἐπὶ τὴν ἀρχὴν αὖθις ἀνελθεῖν, εἶτ᾽ ἐντεῦθεν, εἴς τε τὸ πλάγιον ἑλιχθέντα, κατὰ τὴν αὐτὴν νομὴν, ἐπὶ τὴν ἀρχὴν ἀφικέσθαι πάλιν, ἐντεῦθέν τε, περὶ τὸ σφυρόν. ἔνιοι δὲ ὅταν ἑλίξωσι τὴν ὑπὸ τὸ ἴχνος ἐγκαρσίαν, οὐκ εὐθέως ἀνάγουσι λοξὸν, ἐπὶ τὸ σφυρὸν ἄνω, τὸν ἐπίδεσμον, ἀλλὰ κυκλοτερῶς πρότερον ἑλίττουσιν ἐπὶ τὸν ταρσὸν, ὥσπερ γε καὶ τὸ σφυρόν. ἔνιοι κυκλοτερῶς, ὡς διαλαμβάνεσθαι τὰς λοξὰς ὑπὸ τῶν κυκλοτερῶν. αἱ μὲν οὖν συνήθως γιγνόμεναι περιβολαὶ τῶν ἐπιδέσμων, ἐνταῦθα μύες εἰσίν. ἐν δὲ τοῖς προκειμένοις πάθεσι τοιαῦται. ἔξω μήτε προϋποβάλλεταί τι πρὸ τῶν ἐπιδέσμων, ὅπερ ἦν ἀναγκαίως ἐν ἐκείνῃ ἐπιδέσει γίγνεσθαι. μήτ᾽ ἀπαθής ἐστιν ἡ πτέρνα, καθάπερ ἦν ἐκεῖ, ἀλλ᾽ αὐτὴ πρώτη πέπονθεν, ὥστε ὁ προειρημένος τρόπος τῆς ἐπιδέσεως, ἐπὶ τὴν πτέρναν ἐκθλίβειν τὸ αἷμα, χρεία δ᾽ αὐτῇ τῆς ἐπιδέσεως. χρὴ δὲ τὸ ἐναντίον ὑπὸ γίγνεσθαι τῆς ἐπιδέσεως, ἐκ τῆς πτέρνης, πρὸς τὰ πλησιάζοντα χωρία τὸ αἷμα διωθουμένης, ὃ δὴ ὁ κατὰ τὰ κατάγματα τρόπος τῆς περιβολῆς τῶν ὀθονίων, ἐργάζεται μόνος, ὡς ἔμπροσθεν ἐμάθομεν· ἐκείνῳ τοιγαροῦν, καὶ νῦν κέχρηται.

pede faſciam dederunt, non protinus obliquam ſurſum attrahunt ad talos; ſed ante per ſuperiorem partem pedis in orbem ipſam adducunt: quemadmodum alii in orbem circa talos, ſic, ut obliqui circuitus ab iis qui in orbem ſunt, comprehendantur. Hæ quidem vinciendi rationes uſitatæ ſunt, ubi muſculi ſint; ſed ad propoſita vitia minime accommodantur, quod ante faſcias nihil ibi imponatur, quod illis continendum ſit: neque calx vitio vacet, ſicut in eo caſu qui illas requirit, ſed primò læſus ſit; quare propoſita vinciendi ratio, quum ad calcem ſanguinem exprimat, ipſum expellit; at contrarium fieri debet: ſanguis enim à calce ad partes quæ juxta ſunt, per vinculum expellendus eſt: quam rem ea duntaxat vinciendi ratio præſtat, quæ ad fracturas pertinet, quam ſuprà demonſtravit; eadem igitur nunc utitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ΄.

Καὶ ὑπὸ κίνδυνος σφακελίσαι τὸ ὀστέον τὸ τῆς πτέρνης.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν ὅλης τῆς οὐσίας ἑκάστου μορίου φθορὰν ὀνομάζουσιν οἱ παλαιοὶ σφάκελον, ἀλλὰ ἐν τῇ μὲν τῶν σαρκωδῶν μορίων, καὶ ἄλλοις ὀνόμασι χρῶνται. λέγει οὖν αὐτὸς, καὶ σαπρὰν σάρκα, καὶ μυδῶσαν, καὶ σηπομένην, καὶ ἄλλα τοιαῦτα ὀνόματα. κατὰ δὲ τῶν φθειρομένων δι᾽ ὅλης αὐτῆς οὐσίας ὀστῶν, σφάκελον ἐπιφέρει. συμβαίνει δὲ τοῦτο τὸ πάθημα τοῖς ὀστοῖς, ὅταν ἡ περικειμένη σὰρξ αὐτοῖς, μοχθηροὺς ἰχῶρας γεννῶσα, καὶ διαβρέξασα τούτοις αὐτὰ, διαφθείρῃ.

HIPPOCRATIS TEXTUS XX.

Atque hoc pacto periculum eſt, ne os calcis corrumpatur.

GALENI COMMENTARIUS.

Corrumpatur dixit σφακελίσαι, nam quum pars ex toto corrumpitur, veteres dicere id vitium ſolent σφάκελον, quod ubi carnoſis partibus accidit, aliis nominibus appellant. Vocat item Hippocrates carnem, quæ putreſcit, σαπρὰν, μυδῶσαν, σηπομένην, atque aliis etiamnum vocabulis. At ubi os ex toto corrumpitur, σφάκελον uſurpat: quod vitium oſſibus accidit, ubi à ſuperjecta carne pernicioſa ſanies profluit quæ hæc ipſa irrigando corrumpit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα΄.

Καίτοι ἢν σφακελίσῃ, τὸν αἰῶνα πάντα ἱκανὸν ἀντίσχειν τὸ νόσημα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φανερώτερον ἂν εἰρήκει, τὸν ὅλον βίον τοῦ ἀνθρώπου, καί ἐστιν ὁ λόγος αὐτοῦ τοιοῦτος. ἄν ποτε ἡ πτέρνα σφακελίσῃ, ἀνίατον γίγνεται τὸ πάθημα, καὶ παραμένει παρ᾽ ὅλον τὸν βίον πρώτη ἡ ἐξ αὐτοῦ κάκωσις.

HIPPOCRATIS TEXTUS XXI.

Quod ubi corrumpitur, morbus ævum durat.

GALENI COMMENTARIUS.

Apertiùs dixiſſet totam ætatem hominis. Habet autem ipſius oratio hanc mentem: ſi quando calx corrumpatur, caſus curationem non recipit, quodque ex eo ſequitur malum, totam ætatem hominis durat.

HIPPOCRATIS

crus iam diu grave vulnus acceperit, quod calx etiam ſenſit: vel vitiati femoris, aut alterius affectus cauſâ, diu jacuerit: diuturna tamen res eſt, & moleſta. Tum ſubinde recrudeſcit, niſi ſumma diligentia, & longa quiete attendatur. Quare quæcunque hoc modo corrumpuntur, præter aliam noxam, corpori ſummum quoque periculum afferunt.

COMMENTARIUS GALENI.

CAlcis os, inquit, non modo ex propoſitis affectibus vitiari ſolet; ſed ex eo, quòd calx diu jacuerit, quam rem ὑπτιασμὸν dixit, nigreſcit ſæpe, quando negligenter fuerit collocatus; id autem evenit, ubi ſuper quapiam re dura continetur, neque ſubinde attollitur: ſed iis quæ ſubjecta ſunt, continenter calefit, premiturque. Quocirca attollendus eſt, mutanduſque orbiculus ex lana molli, quem nonnulli ex Græcis τύφιον dicunt; ejus autem cavum reſpondere debet magnitudini calcis; quo orbiculo ita calx fulcitur, ut imum ejus attollatur, ne comprimatur, ne incaleſcat, ne expirare prohibeatur.

HIPPOCRATIS TEXTUS XXIII.

SEquuntur enim febres acutæ admodum, continenteſque cum tremore, ſingultu, mentis alienatione, quæ paucis diebus hominem præcipitant.

GALENI COMMENTARIUS.

HÆc fieri inquit, ubi calx corrumpitur, non ea de cauſa quia os alienatur: ipſum enim, ſi per ſe circunſcribatur, nullam ſuperiorum partium afficit: ſed quia ad partes, quæ ipſum cingunt, ipſique alligantur, ejus vitium pertinet, idcirco ſuperiores quoque corporis partes læduntur. Chorda igitur quæ calci annectitur, ubi inflammatione teneatur, muſculos quidem poſterioris partis cruris, quæ carnoſa prominet, propter conſortium afficiet, quum ab ipſis oriatur; quibus muſculis affectis, nervi, qui per eos diſtribuuntur, prompte læduntur, quemadmodum & arteriæ, per quas cor noxas ſentit, ſicut per nervos cerebrum. Sed quoniam cor innati caloris fons eſt: cerebrum verò per ſe rationis domicilium habet, & per muſculos partes movet motu, quem voluntarium dicunt: conſequens eſt ut propter cor febris oriatur: mentis alienatio propter cerebrum: tremor, nervorumque diſtenſio, propter muſculos: ſingultus, propter ſtomachum, qui pluſimùm nervoſus eſt.

γινομένου, ἐπικαίρου τε χρονίου, καὶ κοινοῦ τῇ πτέρνῃ, ἢ ἐν μηρῷ, ἢ ἐπὶ ἄλλῳ νοσήματι, ὑπτιασμοῦ χρονίου γινομένου, ὅμως καὶ τοῖσι τοιούτοισι χρόνια, καὶ ὀχλώδεα, τε πολλάκις ἀναῤῥηγνύμενα, ἢν μὴ χρηστῇ μετὰ μελέτης θεραπευθῇ, πολλῇ δὲ ἡσυχίῃ, ὥστε ἐκ τοῦ τοιούτου τρόπου σφακελίζοντα κινδύνους μεγάλους τῷ σώματι παρέχει, πρὸς τῇ ἄλλῃ λύμῃ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ μόνον, φησὶν, ἐκ τῶν προειρημένων διαθέσεων, εἴωθε κακοῦσθαι τὸ τῆς πτέρνης ὀστοῦν, ἀλλὰ καὶ τῇ χρονίᾳ ἐπικλίσει, ἃς ὑπτιασμοὺς ὠνόμασεν, ἀμελῶς κειμένη, μελαίνεσθαι πολλάκις ἡ πτέρνα. τοιαύτη δὲ θέσις ἐστὶν, ὅταν ἐπὶ σκληροῦ τινος κέηται, καὶ μὴ συνεχῶς ἐπαίρηται, μηδ' ἀεὶ θερμαινομένη τε, καὶ πιλουμένη πρὸς τῶν ὑποκειμένων. διό τι αἰρεθεὶς μεταπιθέσθω τροχίσκον ἐξ ἐρίου μαλακοῦ. καλοῦσι δὲ ἔνιοι τύριον αὐτὸν, ἀνάλογον τῷ μεγέθει τῆς πτέρνης ἔχοντα τὴν ἐντὸς ἑαυτοῦ κοιλότητα, καθ' ὃν κυκλίσκον στηρίζομεν οὕτως τὴν πτέρναν, ὡς αἰωρεῖσθαι τὸ κάτωθεν αὐτῆς μέρος, ὅπως ἄθλιπτός τε ἅμα, καὶ διαπνεόμενος, καὶ ἀθέρμαντος φυλάττοιτο.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

ΚΑὶ γὰρ πυρετοὶ ὑπεροξέες, ξυνεχέες, τρομώδεες, λυγγώδεες, γνώμης ἁπτόμενοι, καὶ ὀλιγήμεροι, κτείνοντές τε.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ δὲ σφακέλῳ τῆς πτέρνης, ταῦτα γίνεσθαί φησιν, οὐ διότι τὸ ὀστοῦν αὐτῆς διαφθείρεται. τοῦτο γὰρ οὐδὲν τοῖς ἄνω συνυπάρχει, κατὰ τὸν αὐτὸν λόγον ἰδίαν ἔχοντι περιγραφὴν, ἐπεί τι τὰ πέριξ αὐτῆς σώματα τε ψαύοντα, καὶ τὰ συμπεφυκότα μεταλαμβάνειν τοῦ κατ' αὐτὴν πάθους. διὰ τοῦτο, καὶ τοῖς ἄνω τοῦ σώματος μορίοις αἱ κακώσεις γίγνονται. ὁ γὰρ τένων, ὁ συμπεφυκὼς αὐτῇ, φλεγμήνας, εὔδηλον ὅτι καὶ τοὺς κατὰ γαστροκνημίας μῦς ὅλους εἰς συμπάθειαν ἄξει, τὴν γένεσιν ἐξ αὐτῶν ἔχων. εἰ δὲ ἐκεῖνοι πάθοιεν οἱ μύες, ἕτοιμον ἤδη καὶ τοῖς εἰς τούτους διασπειρομένοις, παθεῖν, ὥσπερ γε καὶ τὰς ἀρτηρίας. ἀλλὰ διὰ μὲν τὰς ἀρτηρίας, ἡ καρδία συμπαθοῦσα, διὰ δὲ τὴν τῶν νεύρων οὐσίας, ὁ ἐγκέφαλος. ὥστε ἐν τῆς καρδίας αὐτῆς τοῦ ἐμφύτου θερμοῦ πηγῆς, τοῦ δὲ ἐγκεφάλου, καθ' ἑαυτὸν μὲν ἔχοντος τὸ λογίζεσθαι, διὰ δὲ τῶν μυῶν, κινεῖν τὰ μόρια, τὰς προαιρετικὰς ὀνομαζομένας κινήσεις, ἀκόλουθόν ἐστι, πυρετὸν μὲν γίνεσθαι διὰ τὴν καρδίαν, παραφροσύνας δὲ, διὰ τὸν ἐγκέφαλον, τρόμους τε, καὶ σπασμοὺς, διὰ τοὺς μύας, λύγγας δὲ, διὰ τὸν στόμαχον, ἐπεὶ πλεῖστον μετέχει νεύρων.

πολλῆς σπουδῆς τῆς μεγίστης, ἀλλ' ὅμως ὀρθῶς γε δεῖ χειρίζειν. ἐπὴν μέντοι ἰσχυρὸν δόξῃ εἶναι τὸ ἔρεισμα, τά τε εἰρημένα ποιεῖν χρή.

dum fuerit. Pleraque tamen leviter colliduntur, neque ita magnum ſtudium & diligen-
B *tiam exigunt; ſed curari nihilominus rectè debent. Quod ſi caſus videatur aſperior, fulcire oportet, aliaque efficere, quæ propoſui.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αἱμόῤῥοους μὲν φλέβας, ὀνομάζει τὰς μεγάλας, ἐπεὶ διαιρεθεισῶν αὐτῶν, αἱμοῤῥαγίαι γίγνονται, μὴ συμβαίνουσαι κατὰ τὰς μικράς. ὀλίγον τι γὰρ ἐπὶ τούτων ἐκχεῖται τὸ αἷμα, καὶ ταχέως περιπήγνυται τοῖς χείλεσι τῆς διαιρέσεως ὃ βλαβέν ἐστι. ναυσιώδεις ὠνόμασεν ἰδίως, ἀπὸ τῶν ναυτιώντων, καὶ διὰ τοῦτ' ἐμεούντων, ποιήσας τοὔνομα. ναυσίαν γὰρ, τὴν ναυτίαν ὀνομάζουσιν οἱ Ἴωνες, καὶ σχεδὸν ἃς ἔμπροσθεν ἐκχυμώσεις ἐκάλεσε, ταύτας νῦν ναυσιώδεις εἶπεν, ὅταν αἱ φλέβες ἀποπτύουσί τι, καὶ οἷον ἐμοῦσιν ἐξ αὐτῶν αἷμα, βαρυνόμεναι, διά τε τὴν σφῶν αὐτῶν ἀσθένειαν, ἣν ἐκ τοῦ φλεγμαίνειν ἴσχουσι, καὶ διὰ τὸ πλῆθός τε, καὶ τὴν κακίαν αὐτοῦ τοῦ αἵματος. πρόδηλον γὰρ, ὡς ἐν τῇ τοιαύτῃ διαθέσει διαφθείρεται. γαγγραινώδεις δὲ φλεβῶν εἶπε, τὰς δι' ὑπερβολὴν τῆς φλεγμονῆς, αὐταῖς ἀκολουθησάσας νεκρώσεις, τὰ δὲ σύμπαντα, φησὶ, διὰ τὴν μοχθηρὰν ἐπίδεσιν, ἧς καὶ αὐτῆς ἐστι δύο κεφάλαια, τό, τε χαλασθῆναι τὴν πτέρναν, ὑπ' αὐτῆς γυμνὴν γενομένην, καὶ τὸ θλιβῆναι σφοδρῶς, τὰ διαλαμβανόμενα ταῖς ἐπιβολαῖς τῶν ὀθονίων μόρια. μελέτης δὲ, πρόδηλον, ὅτι τῆς ἐπιμελείας, λέγει κατὰ συνήθειαν τοῖς Ἴωσι, καὶ πολλάκις, ἐπὶ τούτου σημαινομένου, καὶ αὐτὸς ἐχρήσατο τῇ προσηγορίᾳ.

GALENI COMMENTARIVS.

Sanguinem fundentes intellexit venas grandiores, quandoquidem his diviſis, ſanguis effunditur: quod exiguis venis non accidit: parum enim ab his ſanguinis profluit, celeriterque citra noxam in oris plagæ concreſcit. Nauſeæ nomen dixit à nauſeantibus, atque ea de
C cauſa vomentibus, quam appellavit ναυσίωσιν, cùm Iones ναυσίαν, id eſt nauſeam, ſic appellent; ac fere quod ante dixit χυμώσεις, vocat nunc ναυσιώδεις ubi venæ ſanguinem expuunt, & quaſi vomunt, oppreſſæ tum ſuâ imbecillitate, quam inflammatio attulit: tum multo vitioſoque ſanguine, quem conſtat ſub hujuſmodi affectibus vitiari. Gangrænam vocavit, quum venæ ex ingenti inflammatione emoriuntur. Quorum omnium cauſam eſſe affirmat alienam vinciendi rationem, quæ duplex caput habet, unum quod calcem non compre-
D hendit, ſed nudum relinquit: alterum quod partes quas complectitur, arctiùs adſtringit. Diligentiam expreſſit vocabulo μελέτης: ſic enim ab Ionibus appellari ſolet, & ab ipſo ſæpiùs nominatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κέ.

Καὶ τὴν ἐπίδεσιν τὴν πλείστην ποιεῖσθαι, ἀμφὶ τὴν πτέρνην περιβάλλοντα, ἄλλοτε πρὸς τὸ ἄκρον ποδὸς αὐτὴν περιβάλλοντα, ἄλλοτε πρὸς τὸ μέσον, ἄλλοτε πρὸς τὰ περὶ τὴν κνήμην. προσεπιδεῖν δὲ, καὶ τὰ πλησίον πάντα, καὶ ἔνθεν, καὶ ἔνθεν, ὥσπερ καὶ πρόσθεν εἴρηται, καὶ ἰσχυρὴν μὲν μὴ ποιεῖσθαι τὴν πίεσιν.

HIPPOCRATIS TEXTUS XXV.

E *Faſciamque maxima ex parte ad calcem dare, & modò circa extremum pedem, modo circa medium, modo etiam circa crus obvolvere: tum, quæ his proxima ſunt, hinc atque hinc omnia comprehendere, quemadmodum ſuprà oſtenſum eſt, neque arctè admodum alligare.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν ἐναντίαν ἐπίδεσιν ἐπαινεῖ, τῆς τοῖς πολλοῖς συνήθους, ἣν ἔμπροσθεν ἐμέμψατο, καθ' ἣν, ἐκ τῶν ἄλλων μερῶν τοῦ ποδὸς, ἐπὶ τὴν φλέβα ἐκτείνεται τὸ αἷμα. προσωθεῖ γὰρ ἐξ ἐκείνης τὰ ἄλλα, τὴν περιουσίαν τῶν χυμῶν πτέρνης ἐπιδουμένης, ὡς ἐπὶ τῶν καταγμάτων ἔμπροσθεν ἐπέδειξε, καὶ τὰς πλείστας ἐπιβολὰς τῶν ὀθονίων αὐτῆς περιβαλούσης, καὶ ἰσχυρὴν μὲν μὴ ποιεῖσθαι τὴν πίεσιν.

GALENI COMMENTARIUS.

Vinciendi rationem probat contrariam illi quam ſupra damnavit, quæque apud
F multos in uſu eſt, ſub qua ſanguis ex aliis partibus pedis ad calcem tranſmittitur; debemus enim ſuperantes ſuccos à calce ad alias partes depellere, hunc vincientes, quomodo ſuprà ad fracturas docuit, faſciamque maxima ex parte ipſi obvolventes, non tamen nimis arctantes.

GALENI COMMENTARIUS.

IN ſuperioribus etiam indicavimus Hippocratem velle ut vinculi firmitatem vel faſciarum numero moliamur, vel arctius adſtringendo.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηταί μοι καὶ πρόσθεν, ὅτι τὴν ἀσφάλειαν τῆς ἐπιδέσεως, ἢ τῷ πιέσαι καλῶς ποιεῖν, ἢ τῷ πλήθει τῶν ὀθονίων, ἐργάζεσθαι τὴν ἀσφάλειαν οὕτως τῆς τάσεως ἰσχυρᾶς.

B

HIPPOCRATIS TEXTUS XXVII.

PRæſtat veratrum eodem die epotum, vel certè poſteriori. Præterea tertio die reſolvere, & rurſus deligare.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ.

Ἄμεινον δὲ τὸν ἐλλέβορον πιπίσκειν αὐθήμερον, ἢ τῇ ὑστεραίῃ, ἀπολῦσαι δὲ τριταῖον, καὶ αὖθις μεταπιδῆσαι.

GALENI COMMENTARIUS.

C

VEratrum potui præſtat, non eo nomine tantùm, ut quæ ſuperſunt, purget; ſed & in aliam partem avertat. Conſtat autem dari ab Hippocrate album, quod vomitum excitat, & à toto corpore materiam in ventriculum avocat, priuſquam ad inteſtinorum ſinus deducatur. Quod autem album intelligi debeat, planè licet ex ſequentibus colligere. Inquit enim, ſed ſi homo vacat febre, per ſuperiora convenit purgare, ſicut dictum eſt. Quòd igitur ea, quæ ſuperant, utiliter educantur: quodque ad contrariam partem, atque affecta eſt, materiam depellere magnum momentum habeat, evidentiſſimè apparet: at num albo veratro moliri id expediat, nondum eſt manifeſtum, ſtrangulare enim interdum ſolet, ubi redundat in corpore glutinoſus ſuccus, aut craſſus. Quocirca hic prius diſſipari debet victu extenuandi vim habente, de quo totum librum compoſuimus. Fallaciſſimum ergo eſt veratrum dare, antequam corpus victu præparetur, quùm ſæpius non facile ſit, ut quales corpori ſuperſint ſucci, dignoſcantur. Hippocratis ſæculo veratrum album fortaſſe tutò ſumebatur ob rationem victus eorum hominum, qui curabantur: qui vitæ genus non ocioſum ſequebantur, aut intemperans; ſed laborioſum, paucìſque alimentis erant contenti, ſic, ut craſſos ſuccos nulla ratione contraherent. Neque enim nos latet fieri hos, cùm ocio, tum abundantia. Quòd ſi vim æſtimaveris corporum ejus ſæculi, quam ex ejuſmodi victu comparabant, magis adhuc dari veratrum permiſeris, quùm, quæ vomitus affert incommoda, ferre homines illi facilè potuerint.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ μόνον ἕνεκα τοῦ κενῶσαι τὸ περίττωμα, δίδωσιν ἐλλέβορον, ἀλλὰ καὶ τῆς ἀντισπάσεως χάριν. δῆλον γὰρ ὅτι τὸν λευκὸν δίδωσιν, ὃς ἐμέτους κινεῖ, φθάνων, εἰς τὴν ἄνω γαστέρα ἐξ ὅλου τοῦ σώματος ἐπισπᾶσθαι, πρὶν εἰς τὰς τῶν ἐντέρων ἕλικας αὐτὸν κατενεχθῆναι. ὅτι δὲ τὸν λευκὸν ἐλλέβορον δίδωσι, κἀξ ὧν ἐπιφέρει, δῆλον. ἐφεξῆς μὲν γάρ φησιν, ἀλλ' εἰ μὲν ἀπύρετος ᾖ, φαρμακεύειν ἄνω χρὴ, ὥσπερ εἴρηται. τὸ μὲν δὴ κενοῦσθαι τὰ περιττὰ τῶν οὕτως ἐχόντων, ἀντισπᾶσθαι δὲ πρὸς τἀναντία μέρη τῶν πεπονθότων

D

τοὺς χυμοὺς, ὅτι μεγάλως ὠφελεῖ, δῆλον. εἰ δὲ δι' ἐλλεβόρου λευκοῦ τοῦτο ποιητέον, οὐκέτι δῆλον. εἴωθε γὰρ ἐνίοτε πνίγειν, ὅταν χυμοὺς παχεῖς, ἢ γλίσχρους ἐν αὐτῷ πολλοὺς τὸ σῶμα περιέχῃ, διὸ καὶ προδιαχεῖσθαι αὐτοὺς, τῇ λεπτυνούσῃ διαίτῃ χρώμενοι, περὶ ἧς ὅλον ἔχεις ἡμέτερον ὑπόμνημα. τὸ τοίνυν διδόναι τὸν ἐλλέβορον, ἄνευ τοῦ προδιαιτῆσαι, σφαλερὸν, ἀδήλου γε ὄντος ἐπὶ πολλῶν, ὁποίους ἔχει τὸ σῶμα χυμούς. ἴσως οὖν ἐπὶ τῶν τότε σωμάτων, ἀκινδύνως ἐχρῆτο τῷ λευκῷ ἐλλεβόρῳ, διὰ τὴν δίαιταν ὧν ἐθεράπευεν ἀνθρώπων, οὐκ ἀπο-

E

λαυστικὴν, καὶ ἀργὸν οὖσαν, ἀλλ' ἐν πόνοις μὲν πολλοῖς, ἐδέσμασι δὲ ὀλίγοις, ὡς μὴ πάχος ἀθροίζεσθαι χυμῶν. ἴσμεν γὰρ ὅτι τοὺς τοιούτους, ἀργίαι τε, καὶ πλησμοναὶ γεννῶσιν. εἰ δὲ καὶ τὴν ἰσχὺν ἐννοήσεις τῶν τότε σωμάτων, ἐκ τῆς εἰρημένης διαίτης γενομένην, ἔτι καὶ μᾶλλον, αὐτῷ συγχωρήσεις ἐλλέβορον αὐτοῖς διδόναι, δυναμένων γε τῶν τότε ἀνθρώπων, ἀντέχειν πρὸς τὰς τῶν ἐμέτων ταλαιπωρίας.

F

HIPPOCRATIS TEXTUS XXVIII.

EX eo autem intelligitur, futurum necne ſit, ut hi affectus recrudeſcant. Namque, ubi ſanguis à venis transfuſus, nigrities, & quæ his proxima ſunt, ſubrubicunda ſunt & ſubdura, periculum eſt ne recrudeſcant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη.

Σημεῖα δὲ τάδε, ἢν παλιγκοτέῃ, ἢ μή. ὁπόσα μὲν τὰ ἐκχυμώματα τῶν φλεβῶν, καὶ τὰ μελάσματα, καὶ τὰ ἐγγὺς ἐκείνων, ὑπέρυθρα γὰρ, καὶ ὑπόσκληρα, κίνδυνος παλιγκοτῆσαι.

τι τῆς καθέδρας σχῆμα, βλάβην ἐσομένην, ἐλαχίστην μὲν γίνεσθαι τοῖς ὑψηλοῖς καθημένοις, μεγίστην δὲ τοῖς ταπεινοῖς. δῆλον οὖν, ὅτι διὰ τοῦτο χρῆται καὶ τῷ πλαγίῳ ξύλῳ κατὰ τὴν μασχάλην, ἵνα μὴ κατατεινομένης τῆς χειρὸς, ἀκολουθῶν ὁ B ἄνθρωπος, ἐκλύῃ τὴν τάσιν, ὅπερ ἡμεῖς εἰώθαμεν ἄνευ ξύλου πολλάκις ἐργάζεσθαι, διὰ βρόχων περιβεβλημένων τῇ μασχάλῃ. χρὴ δὲ δηλονότι τῶν βρόχων τούτων τὰ πέρατα, τείνεσθαι πρὸς τοὐπίσω, καθάπερ πάλιν ἑτέρων βρόχων περιθέσει, διατεινομένων ἐφ' ἑκάτερον τὸ κατεαγὸς ὀστοῦν, ὅταν ἡ διὰ τῶν χειρῶν κατάτασις ἐνδεεστέρα τοῦ προσήκοντος ᾖ. ταύτης δέ ποτε μόνης ἐλπὶς εἰς αὐτὸ τὸ δέον, ὥσπερ ἐπὶ τῶν παιδίων, οὐδεμία χρεία βρόχων. ἔτι δὲ μᾶλλον, οὐδ' ὀργάνων ἐχόντων ἄξονας, οἷς περιβάλλοντες τὰ πέρατα τῶν βρόχων, ἰσχυροτέραν ἐργαζόμεθα τὴν ἀντίτασιν, καὶ μάλιστά γε, τούτῳ τῷ τρόπῳ τῆς C ἀντιτάσεως, ἐπὶ τῶν ἐξαρθρημάτων χρώμεθα. τῆς δὲ νῦν ἀξιουμένης γίνεσθαι τρόπου κατατάσεως οἷόν τι, καὶ τοῦτ' ἐστιν, ἐρηρεῖσθαι βούλεται τὸν πῆχυν ἐπί τινος, ὃ οὗτος ὀνόμασεν ἔφεδρον, τουτέστιν ἐπί τινος τοιούτου, ἐφ' οὗ καθεζόμενος ἑδραίως, ἐπικειμένων αὐτῷ σκυτίνων ἐπικεφαλαίων, εἶτ' ἐξαπτέσθαι κατὰ τὸ κάτω πέρας τοῦ βραχίονος, τὸ κατ' ἀγκῶνα, τὸ βάρος ἐχόντων τι σωμάτων. αὐτὸς δ' εἶπε, τὸ σταθμίον τι, ταῦτα δέ ἐστιν οἷς χρώμεθα συνήθως, ἐξ ὕλης χαλκοῦ, καὶ σιδήρου, καὶ μολύβδου γεγονός. καὶ μέντοι καὶ ὡς ἱμάντα χρὴ πλατὺν, καὶ μαλθακὸν, ἢ ταινίας εὐτόνου δηλονότι, περιβεβλῆσθαι τῷ κάτω D πέρατι τοῦ βραχίονος, ἐξ οὗ τῶν σταθμίων ἡ ἐξάρτησις ἔσται.

Ceſſionis mutatione minimum læduntur, qui ſublimiori inſident ſedili, plurimùm, qui humiliori. Conſtat itaque tranſverſum lignum ab Hippocrate ea de cauſa ſub alam demitti, ne brachio ab inferiori parte intenſo, æger ſequatur, atque intenſionem ſolvat; quod nos ſine ligno ſoliti ſumus ſæpius facere per laqueos alæ circundatos, quorum extrema verſus poſteriorem partem extendenda ſunt: non ſecus etiam aliis laqueis circunligatis fractum os in diverſa diducimus, ubi intenſio, quæ per manus adhibetur, imbecillior ſit, quam oporteat. Verùm, ſi hanc credamus per ſe poſſe effectum præſtare, ut in puerili corpore, non opus eſt ampliùs laqueis, & multò minùs machinamentis habentibus axes, ad quos extremos laqueos alligantes valentiùs in diverſa contendamus: quo extendendi modo ad luxata potiſſimum utimur. In ea autem extendendi ratione, quam nunc probat, præcipit ut brachium rei cuipiam hæreat, quàm ipſe vocat ἔφεδρον, hoc eſt, hujuſmodi quidpiam, cui firmiter inſideat, ſcorteis pulvinis ſubjectis: deinde ab imo humero juxta cubiti articulum grave aliquod corpus ſuſpendatur, quæ pondera σταθμίον nuncupavit: hæc ſunt, quibus uti conſuevimus, ex ferro, ære, aut plumbo confectis; præterea lorum molle, latum, vel habena valida imo humero circundetur, unde pondera ſuſpendantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

Ο Δὲ ἰητρὸς, ὀρθὸς μὲν ἐὼν χειριζέτω, τὸν ἕτερον πόδα ἐπὶ ὑψηλοτέρου τινὸς ἔχων. κατορθώσας δὲ τοῖσι θέναρσι τὸ ὀστέον, ῥηϊδίως δὲ κατορθώσεται. ἀγαθὴ γὰρ ἡ κατάτασις, ἤν τις καλῶς παρασκευάσηται. ἔπειτα ἐπιδείτω, τάς τε ἀρχὰς βαλλόμενος ἐπὶ τὸ κάτηγμα, καὶ τἄλλα πάντα, ὥσπερ πρότερον προείρηται, χειριζέτω, καὶ ἐρωτήματα ταὐτὰ ἐρωτάτω, καὶ σημείοισι E χρήσθω τοῖσιν αὐτέοισιν, ἢν μετρίως ἔχῃ, ἢ οὔ. καὶ διὰ τρίτης ἐπιδείτω, καὶ ἐπὶ μᾶλλον πιεζέτω.

HIPPOCRATIS TEXTUS IV.

Debet autem Medicus curare, ſtans altero pede ſuper quapiam re ſublimiori collocato: componere autem os prominentioribus palmarum partibus: facilè autem componitur; ea enim extendendi ratio optima eſt, ſi quis convenienter ipſam adhibeat: poſt faſcias injicere à fractura orſus, reliqua verò omnia, ut anteà juſſus eſt, exequi, eademque de homine requirere: tum ex iiſdem indiciis intelligere, moderata necne ſint: ac tertio quoque die ſolvere, & rurſus deligare, arctiuſque adſtringere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ως ἑδραιότερον, αἱρεῖται τοῦτο σχῆμα τοῦ χειρουργοῦντι, καθάπερ ἐν τῷ κατ' ἰητρεῖον ἠξίωσε, γράφας. ἑστεῶτα δὲ δεῖ ἐπ' ἀμφοτέρων βεβηκότα ἐξ ἴσου τοῖν F ποδοῖν ἄλις, δρῆν γε τῷ ἑτέρῳ ἐπιβεβηκότα, μὴ τῷ κατὰ τὴν δρῶσαν χεῖρα.

GALENI COMMENTARIUS.

Eligit hunc Chirurgici habitum tanquam firmiorem; idem in opere de Officina Medici præcepit, quum inquit; Stantem verò oportet pariter ambobus pedibus bene inſidere; ſed agere altero inſiſtentem, at non ejus partis, cujus manus agit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε'.

ΚΑὶ ἑβδομαῖον, ἢ ἐναταῖον, ἐν νάρθηξι δησάτω. καὶ ἢν ὑποπτεύσῃ μὴ καλῶς κεῖσθαι τὸ

HIPPOCRATIS TEXTUS V.

Dein ſeptimo, aut nono die ferulas alligare: quòd ſi vereatur ne rectè oſſa con-

citer juſſit ferulas circundari: in ſermone verò de humero, conjunctionem, quam disjungentem appellamus, uſurpavit: ait enim, ſeptimo aut nono die ferula alligare, eo quod in humero ob muſculorum, quibus continetur magnitudinem, quæ circa fracturam ſunt, diuturniori tempore ex toto gracilia fiant, laxaque. Ubi verò talia eſſent, oſtendimus opportunè tunc ad ferulas venire.

HIPPOCRATIS TEXTUS VI.

Humeri os ferè quadraginta diebus conſervet: quos ubi exceſſerit, ſolvere oportet, & pauciores faſcias dare, leviſſique arctatas: ac diutiùs uti victu magis exquiſito, quàm antè: intueri autẽ manus tumorẽ, & vires. C

GALENI COMMENTARIUS.

Conſervere, κρατύνεσθαι, dixit, intelligit, ubi fracti oſſis partes callo firmantur, ut in ſuperioribus etiam, quà de brachio. Quo autem grandius eſt humeri os, eo longiori tempore per callum glutinatur. Reliqua omnia, ex iis, quæ dicta ſunt de brachio, plana ſunt; nulla igitur opus eſt explanatione. D

HIPPOCRATIS TEXTUS VII.

Illud etiã ignorare non oportet, quod humerus natura ab exteriori parte gibbus eſt, & perverti facilè ſolet, ubi malè curetur. Quin & alia oſſa omnia, quæ naturaliter aliquâ parte gibba ſunt, ubi comminuta curantur, facilè ab ea pervertuntur. Ego, ubi tale quidpiam timetur, lata faſcia humerum excipiens in orbem circa pectus agatur; &, quum quieſcere humerum oporteat, pannus multiplex implicitus inter cubitum & latus ſubjiciatur, vel quidpiam hujus generis aliud; hac enim via os gibbum dirigetur. Eſt autem cavendum, ne nimis in interiorem partem convertatur. E

GALENI COMMENTARIUS.

Quæ in ſermone de humero uſque ad finem ſcribuntur, omnia clara ſunt, namque ipſe cauſam exponit, cur in exteriorem partem convertatur, & quo pacto in contrariam coactum dirigi debeat. Juſſit autem, ut multiplex pannus inter latus & cubitum demitteretur, ne humerus attingat latus, ſed in medio ſpatium ſit, quo compulſus habena ad pectus adducente minimè depravetur, quum natura in exteriorem partem ſpectans ad interiorem converſus dirigitur. F

ἁπλῶς ἐκέλευσε νάρθηξι δεσμεῖν, ἐπὶ δὲ τοῦ βραχίονος, τοῦ καλουμένου παρὰ διαζευκτικῷ συνδέσμῳ, τὴν ἑρμηνείαν ἐποιήσατο. φησὶ μὲν, ὡς ἑβδομαῖον, ἢ ἐνναταῖον ἐν νάρθηξι δησάτω. διὰ γὰρ τὸ μέγεθος τῶν περὶ τὸν βραχίονα μυῶν, ἐν πλείονι χρόνῳ τελείως ἰσχνὰ καὶ λαγαρὰ γίνεται τὰ περὶ τὸ κάταγμα μόρια. τοιούτων δὲ ὄντων αὐτῶν, ἐδείχθη καιρὸς εἶναι τῆς τῶν ναρθήκων ἐπιθέσεως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ΄.

Κρατύνεται δὲ μάλιστα βραχίονος ὀστέον ἐν τεσσαράκοντα ἡμέρῃσιν. ἐπὴν δὲ ταύτας ὑπερβάλλῃ, λύειν χρή, καὶ ἐπὶ ἔλασσον πιέζειν τοῖσιν ὀθονίοισι, καὶ ἐπὶ ἐλάσσοσιν ἐπιδεῖν. διαιτᾶν δὲ ἀκριβεστέρως ἢ τὸ πρότερον διαιτᾶν, καὶ πλείω χρόνον, τεκμαίρεσθαι δὲ πρός τε τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρί, τὴν ῥώμην ὁρῶν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ διὰ πώρου συνδεῖσθαι τὰ κεχωρισμένα μέρη τοῦ συντριβέντος ὀστοῦ κρατύνεσθαι, κέκληκεν, ὡς καὶ πρόσθεν, ἐπὶ τοῦ πήχεος. ὅσῳ δὲ μεῖζόν ἐστι τὸ τοῦ βραχίονος ὀστοῦν, τοσούτῳ δηλονότι, καὶ ὁ χρόνος αὐτοῦ τῆς πωρώσεως, μακρότερος γίνεται. τὰ δ᾽ ἄλλα πάντα, διὰ τῶν ἐπὶ τοῦ πήχεος εἰρημένων ἐστὶ δῆλα, μηδεμιᾶς οὖν ἐξηγήσεως δεόμενα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ΄.

Προσξυνιέναι δὲ χρὴ καὶ τάδε, ὅτι βραχίων κυρτὸς πέφυκεν ἐς τὸ ἔξω μέρος, καὶ διαστρέφεσθαι φιλεῖ, ἐπὴν μὴ καλῶς ἰητρεύηται. ἀτὰρ καὶ τἄλλα πάντα ὀστέα, εἰς ὅπερ πέφυκε διεστραμμένα, ἐς τοῦτο καὶ ἰητρευόμενα φιλεῖ διαστρέφεσθαι ἐπὴν καταγῇ. χρὴ τοίνυν, ἐπὴν τοιοῦτό τι ὑποπτεύηται, ταινίῃ πλατείῃ προσπεριλαμβάνειν τὸν βραχίονα, κύκλῳ περὶ τὸ στῆθος περιδέοντα. καὶ ἐπὴν ἀναπαύεσθαι μέλλῃ, μεσηγὺ τοῦ ἀγκῶνος καὶ τῶν πλευρέων, σπλῆνά τινα πολύπτυχον πτύξαντα ὑποτιθέναι, ἢ ἄλλο τι ὃ τουτέῳ ἔοικεν. οὕτω γὰρ ἂν ἰθὺ τὸ κύρτωμα τοῦ ὀστέου γένοιτο. φυλάσσεσθαι μέντοι χρή, ὅπως μὴ ἦ ἄγαν ἐς τὸ ἔσω μέρος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ κατὰ τὴν ῥῆσιν ὅλην, ἄχρι τῆς τελευτῆς τοῦ κατὰ τὸν βραχίονα λόγου, πάντ᾽ ἐστὶ σαφῆ. καὶ γὰρ τὴν αἰτίαν αὐτὸς εἶπε, τῆς ἐπὶ τοὐκτὸς διαστροφῆς, καὶ τῆς ἐπανορθώσεως, ἐκ τῆς ἐπὶ τἀναντία περιτροπῆς. ἐδίδαξε καὶ τὸν πολύπτυχον σπλῆνα, καὶ μεταξὺ τοῦ πλευροῦ τε, καὶ τοῦ ἀγκῶνος, ἐκέλευσε τιθέναι χάριν τοῦ, τὸν βραχίονα μὴ ψαύειν τοῦ πλευροῦ, ἀλλ᾽ ἐν τῷ μεταξὺ χώρας οὔσης, κἂν εἰς ἐκείνην ὠθούμενον, ὑπὸ τῆς περὶ τὸ στῆθος περιαγούσης αὐτὸν ταινίας, ἀδιάστροφον γίνεσθαι, τῆς φυσικῆς αὐτοῦ ῥοπῆς, εἰς τὴν ἔξωθεν χώραν ἐκτροπῆς, ἐπανορθουμένης ὑπὸ τῆς εἴσω ῥοπῆς.

Πούς δὲ ἀνθρώπου, ἐκ πολλῶν, καὶ μικρῶν ὀστέων ξύγκειται, ὥσπερ καὶ χεὶρ ἄκρη.

Pes hominis ex multis minutiſque oſſibus conſtat, quemadmodum & manus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀναλογία τίς ἐστι τοῖς τῆς χειρὸς ὅλης μέρεσι, πρὸς τὰ τοῦ σκέλους. ὁποῖον μὲν γὰρ ἐν τῇ χειρὶ βραχίων ἐστὶ, τοιοῦτον ἐν τῷ σκέλει μηρός. ὁποῖον δὲ ἐν ἐκείνῃ πῆχυς, ἐν σκέλει κνήμη. καὶ δὴ τὸ λοιπὸν μέρος, ἡ ἄκρα χεὶρ, ἀνάλογόν ἐστι ποδὶ, περὶ ὃν οὐδὲν ἴδιον ὄνομα τοιοῦτον ἔχομεν, ἄκρας χειρὸς, ὁποῖον πούς ἐστι, χωρὶς τοῦ σκέλους. εἰκότως οὖν καὶ πόδα μὲν ἁπλῶς εἶπε, μὴ προσθεὶς ἄκρον. χεῖρα δὲ οὐκέθ' ἁπλῶς ὠνόμασεν, ἀλλ' ἄκραν προσέθηκε. ταῦθ' ἡμῖν ὑπὲρ τῆς τῶν ὀνομάτων χρήσεως αὐτάρκως εἴρηται. περὶ δὲ τῶν πραγμάτων αὐτῶν, ἐφεξῆς λέγομεν. ἀκόλουθος μὲν ἦν οἷς ἔμπροσθεν ἐδίδαξεν ὁ περὶ τῆς ἄκρας χειρὸς λόγος. ὁ δὲ, οὐ περὶ ταύτης μόνης, ἀλλὰ καὶ περὶ τοῦ ποδὸς ἅμα διδάσκει, καὶ πλείω λόγον ὑπὲρ ἐκείνου ποιεῖται, διότι πλείονος ἐπιμελείας δεῖται. Φησὶν οὖν, ἐκ πολλῶν, καὶ μικρῶν ἄμφω συγκεῖσθαι τὰ μόρια, προστιθέντες δὴ ἡμεῖς, εἴπωμεν ἂν, καὶ σκληρῶν. ἀμύελά τε γάρ ἐστι, καὶ ἥκιστα σηραγγώδη, λιθιδίοις ἐοικότα μικροῖς. ἔστι δὴ ὅλης τῆς χειρὸς ἀναλογία, πρὸς ὅλῳ τῷ σκέλει, οὕτως καὶ τοῖς ἄκροις αὐτῶν. ὁποῖος μὲν γάρ ἐστιν ἐν χειρὶ καρπὸς, τοιοῦτος ἐν ποδὶ ταρσὸς, ὁποῖον δὲ μετακάρπιον ἐν χειρὶ, τοιοῦτον τὸ πεδίον ἐν ποδί. περὶ δὲ τῆς τῶν δακτύλων ἀναλογίας, κἂν ἐγὼ μὴ λέγω, δῆλον. ἔξωθεν δὲ τῶν εἰρημένων ἐστὶν, ἐν τῷ ποδὶ, τὰ κατὰ τὴν πτέρναν ὀστᾶ, διὸ καὶ τοῦ ποδὸς ὁ λόγος αὐτῷ γέγονε μακρότερος, ἤπερ τῆς ἄκρας χειρός. ὅσα μὲν γὰρ πρὸς ἐκείνην αὐτῷ κοινὰ, πρότερον ἐδίδαξεν, ὅσα δὲ ἴδια, προσέθηκεν ἐκείνοις ἐφεξῆς· ὁ μὲν οὖν καρπὸς, ἐξ ὀκτὼ πάντων ὀστῶν σύγκειται. τὸ δὲ μετακάρπιον, ἐκ τεττάρων. ἕκαστος δὲ τῶν δακτύλων, ἐκ τριῶν, ὡς εἶναι τὰ πάντα τῆς ἄκρας χειρὸς, ἑπτὰ καὶ εἴκοσι. τά γε μὴν τοῦ ποδὸς, αὐτῶν μὲν τῶν δακτύλων, εἰσὶ τεσσαρεσκαίδεκα. δύο γὰρ ὀστᾶ μέγας ὁ δάκτυλος αὐτοῦ ἔχει, τὸ δὲ πεδίον ἐκ πέντε σύγκειται. καὶ διὰ τοῦτ' ἀμφοτέρων τῶν μορίων, ἐννεακαιδεκά ἐστιν ὀστᾶ, ὥσπερ ἐν ἄκρᾳ χειρὶ, μετακαρπίου τε, καὶ δακτύλων. ἑνὶ μὲν γὰρ ἀπολείπεται τὸ μετακάρπιον ὀστῷ, τοῦ πεδίου. ἑνὶ δὲ, οἱ δάκτυλοι τῆς χειρὸς, ὀστῷ, πλεονεκτοῦσι τῶν ἐν τῷ ποδί. καὶ διὰ τοῦτο, συναμφότερα συναμφοτέροις ἴσον ἔχει τὸν ἀριθμόν. λοιπὸν, ἐν χειρὶ μὲν, ὁ καρπὸς, ἐξ ὀκτὼ τῶν πάντων ὀστῶν ἐστιν. ἐν ποδὶ δὲ ταρσὸς, ἅμα τῇ πτέρνῃ τε, καὶ ἀστραγάλῳ, τῶν πάντων ὀκτώ. τοῦ γὰρ τῆς πτέρνης ὀστοῦ, μεγίστου ὄντος ἁπάντων τῶν ἐν ἄκροις, ἀμφοτέροις τοῖς κώλοις, ἐπιστηριζομένου τε τῷ ἀστραγάλῳ, καὶ τῇ κνήμῃ, καὶ σχεδὸν ὅλον τὸ σῶμα βαστάζοντος, ὁπότε μὲν ὀρθοὶ στῶμεν. ἐν

GALENI COMMENTARIUS.

Similitudinem quandam habent inter ſe totius cruris, & brachii partes: qualis enim eſt humerus in brachio, tale eſt in crure femur: quale item in brachio eſt id, quod eſt inter cubitum & manum, tale in crure id, quod inter genu eſt & pedem: reliqua verò pars, ſcilicet manus, pedi reſpondet. Cæterùm manus apud Græcos proprium nomen non inveni diſtinctum à toto brachio, ſicut pes, qui nomen habet diſtinctum à toto crure; quare Hippocrates meritò pedem ſimpliciter, πόδα vocavit, ἄκρον vocabulo non adjecto: manum verò non uno verbo expreſſit, ſed χεῖρα dixit, quod brachium ſignificat, ἄκραν adjiciens, quo extremum notatur. Sed ſatis dixi de uſu nominum, venio ad res. Iis, quæ ſuperiùs tractavit, proximus erat ſermo de manu; ipſe verò non tantùm agit de hac, ſed etiam de pede, ſermonemque de ipſo dilatat, quod majorem diligentiam requirat. Dicit ergo utramque partem ex multis, minutiſque oſſibus conſtare; nos autem adjungimus, & duris; quandoquidem medulla carent, cava minimum ſunt, & à lapillis parvis non abhorrent. Simile igitur eſt totum brachium toti cruri, atque itidem unius extremum extremo alterius; qualis n. in manu primæ palmæ pars eſt, tale eſt in pede id, quod inter talos eſt & plantam: tum qualis in manu palma, talis planta in pede eſt: ſimilitudo autem, quæ inter digitos eſt, vel me tacente, clara eſt, præter hæc in pede ſunt oſſa juxta calcem, atque idcirco de pede plura verba fecit, quod de manu; quæ quidem pes habet, communia quoque ipſius manus primum enarrat, deinde illa ſubdit, quæ propriè ad pedem pertinent. Primam igitur palmæ partem complent octo oſſa, palmam quatuor; at ſinguli digiti ternis oſſibus continentur, ut in univerſum oſſa manus ſeptem ſint & viginti: ſed in pede quatuordecim ſunt digitorum: nam magnus digitus ex binis conſtat, planta ex quinis. Quocirca in utraque partæ ſunt decem & novem. Totidem in manu palmam & digitos explent, quum planta uno oſſe palmam excedat: ac digiti manus pedis digitos æquè uno oſſe exuperent; quocirca, ſi utraque pars ad utramque conferatur, idem erit oſſium numerus. Reſtant in manu oſſa octo, quæ primam palmæ partem conſtituunt: in pede autem ea pars, quæ inter talos & plantam ſita eſt, cum calce ac talo, quæ omnia oſſibus octo continentur. Calcis autem os, omnium, quæ in utriuſque extremitate ſunt, maximum, ſuſtinet talum & crus, ac propè corpus fere univerſum, ubi ſtamus: à

membri extremitate, ita, ut docebat modo, non natura ipſa rerum inter ſe diſcrepent, qui viginti ſeptem, & qui viginti ſex oſſa pedis eſſe affirmant. Erunt enim vigintiſeptem, ubi talus non annumeretur cruris oſſibus, ſed ſine hoc viginti ſex. Rectè igitur ſcribit: pes hominis ex multis, minutiſque oſſibus conſtat, quemadmodum & manus; agit enim cum his, qui prima elementa didicerunt, & incidendis corporibus operam dederunt, in memoriam revocans, quæ perceperunt ad hunc locum facientia; quum non ſolum ſcire conveniat propoſitarum partium utramque ex multis duris, minutiſque oſſibus conſtare, ſed meminiſſe etiam habitus & magnitudinis ſingulorum & qua ratione cum proximis connectantur: quod θέσιν, id eſt poſitionem vocant, ut, ubi aliquod ex oſſibus, quæ his partibus ſita ſunt, ſuo loco movetur, promptè reſtituamus.

HIPPOCRATIS TEXTUS IX.

Oſſa hæc ferè non rumpuntur, niſi acuta vel gravi quapiam re carnoſæ partes vulnerentur. De vulneratis autem dicemus, ubi ulcerum curationem perſequemur.

GALENI COMMENTARIUS.

Carnoſas partes χρῶτα nuncupavit, quo vocabulo vocant Iones, quicquid in noſtro corpore carnoſum eſt; cujus generis præcipuè ſunt, cutis, & muſculi, tum viſcera; oſſa verò, cartilaginem & ligamenta χρωτὸς vocabulo non ſignificant. Ad hoc etiam exemplum videtur uſurpari ab Homero, quum cutem χρῶτα vocat his verſibus:

Αἰεὶ τῷ γ᾽ ἔσται χρὼς ἔμπεδος ἢ καὶ ἀρείων.

Et iterum:

Ὡς ἂν κλαίουσα κατὰ χρόα καλὸν ἰάπτῃς.

Propoſitarum igitur partium oſſa ait ferè non perfringi ſine ulcere. Illud enim, niſi carnoſæ partes vulnerentur, idem ſibi vult, quod ſine ulcere; nihil autem intereſt, quod ad hunc locum attinet, ulcuſne an vulnus nominetur; atqui carnoſa pars extremis membris minima eſt, plurima autem in humero & femore. Ea igitur tota facile læditur, ubi externum aliquid ſuper manum vel pedem incidat, quod frangere aliquid poſſit ex ipſorum oſſibus. Abrumpitur autem os quatuor de cauſis maximè generalibus; ſuper ipſum enim vehementi impetu incidit, aut aliquid conterendi vim habens, quod planè neceſſe eſt naturâ durum eſſe, & mole non exiguum: aut aliquid, quod non tantùm cutem, & quæ inter cutem ſunt & oſſa, ſed hæc quoque ſecare poſſit, quem morbum Hippocrates in libro de vulneribus capitis ἕδραν ap-

τῇ τῶν πραγμάτων τῇ φύσει διαφέρεσθαι τοὺς ζ´. καὶ κ´. εἶναι λέγοντας ὀστᾶ πρὸς τοὺς ς´. καὶ κ´. εἰπόντας.
B εἰ μὲν γὰρ προστιθεῖμεν ἄκρῳ τῷ σκέλει τὸν ἀστράγαλον, ζ´. καὶ κ´. ἔσται. χωρὶς δὲ ἐκείνου, τὰ πάντα τοῦ ποδὸς ς´. καὶ κ´. ὀστᾶ γίνεται. διὰ τοῦτ᾽ οὖν, ὀρθῶς προσπίπτει, ποὺς δὲ ἀνθρώπου, ἐκ πολλῶν, καὶ μικρῶν σύγκειται ὀστῶν, ὥσπερ καὶ χεὶρ ἄκρη. τὸν μὲν λόγον ποιούμενος, ὡς πρὸς εἰσαγομένους, καὶ ἀνατετμηκότας. ἀναμιμνήσκων δὲ, ὧν ἐμάθομεν εἰς τὰ παρόντα χρησίμων· οὐ γὰρ δὴ τοῦτο μόνον εἰδέναι προσήκει, ὡς ἐκ πολλῶν, καὶ σκληρῶν, καὶ μικρῶν ὀστῶν ἑκάτερον ὧν εἴπομεν σύγκειται. προσμεμνῆσθαι δὲ χρὴ, καὶ τὸ σχῆμα, καὶ τὸ μέγεθος ἑκάστου, καὶ τὴν πρὸς τὰ πλη-
C σιάζοντα σχέσιν, ὅπερ ὀνομάζεται θέσις, ἵν᾽ ὅταν ἐκ τῆς ἰδίας χώρας κινηθῇ τι τῶν ἐν τούτοις τοῖς μέρεσιν ὀστῶν, ἑτοίμως αὐτὸ καταρτιζώμεθα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ´.

Κατάγνυται μὲν οὐ πάνυ τι ταῦτα τὰ ὀστέα, ἢν μὴ ξὺν τῷ χρωτὶ τιτρωσκομένῳ ὑπό ὀξέος τινὸς, ἢ βαρέος. τὰ μὲν οὖν τιτρωσκόμενα, ἐν ἑλκωσίων μέρει
D εἰρήσεται ὡς χρὴ ἰητρεύειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Χρῶτα καλοῦσιν οἱ Ἴωνες, ὅ ἐστιν τοῦ σώματος ἡμῶν σαρκῶδες, ἐν ᾧ μάλιστα γένει, τὸ δέρμα, καὶ οἱ μύες εἰσιν, ἐφεξῆς δὲ, οἱ ὑμένες, καὶ σπλάγχνα. τὸ δὲ τῶν ὀστῶν γένος, οὐκ ὀνομάζουσι χρῶτα, καθάπερ οὐδὲ τοὺς χόνδρους, οὐδὲ τοὺς συνδέσμους. οὕτως οὖν καὶ Ὅμηρος φαίνεται τῇ προσηγορίᾳ χρώμενος, ἐν οἷς φησιν,

Αἰεὶ τῷ γ᾽ ἔσται χρὼς ἔμπεδος ἢ καὶ ἀρείων.

E καὶ ἔμπαλιν.

Ὡς αὖ μὴ κλαίουσα, κατὰ χρόα καλὸν ἰάπτῃς.

Ὀ τοίνυν προσπίπτειν ἐπὶ τῶν προειρημένων μορίων, ἄκρον ἐν ποῦς τι καὶ ἄκρη χεὶρ, οὐ πάνυ τι κατάγνυσθαί φησι τὰ ὀστᾶ χωρὶς ἕλκους. τὸ γὰρ σὺν χρωτὶ τιτρωσκομένῳ, τὸ αὐτὸ σημαίνει τῷ, μεθ᾽ ἕλκους, οὐδὲ διαφέρει οἶμαι κατὰ τὸν ἐνεστῶτα λόγον, ἕλκους εἰπεῖν, ἢ τραύματος· ὀλίγιστον δέ ἐστιν ἐν ἄκροις τοῖς κώλοις. τὸ γὰρ σαρκῶδες, ὥσπερ πλεῖστον ἐν βραχίονί τε,
F καὶ μηρῷ, τοῦτ᾽ οὖν τὸ ὅλον ἑτοίμως πάσχει, προσπεσόντος τινὸς ἔξωθεν, ἄκρᾳ χειρὶ καὶ ποδὶ, τοῦ δυναμένου κατάξαι τι τῶν ἐν αὐτοῖς ὀστῶν. αἰτίαι γάρ εἰσι κοινοῦ γενικώταται τέσσαρες ὀστῶν καταγμάτος, ἤτοι θλάσαι τι δυνάμενον ἰσχυρῶς ἐμπεσόν. ἔστι δὲ δῆλον, ὅτι χρὴ τὸ τοιοῦτον σῶμα, σκληρὸν μὲν κατὰ τὴν οὐσίαν, οὐ σμικρὸν δὲ κατὰ τὸν ὄγκον, ἢ διατεμνόμενον τὸ δέρμα μόνον, ἢ τι τῶν μετ᾽ αὐτὸ, τὸ μέχρι τῶν ὀστῶν, ἀλλὰ καὶ αὐτὰ τὰ ὀστᾶ. καὶ καλεῖ γ᾽ ἕδραν αὐτὸς, τὸ τοιοῦτον πάθημα τῶν ὀστῶν, ἐν τῷ περὶ τῶν ἐν τῇ κεφαλῇ

αὐτοῖς καίτοι τῶν ἄκρων ἀμφοτέρων, παραπλησίου συμβαίνοντος τῷ γινομένῳ, ὥσπερ περὶ τὰ κλάσματα ξύλων κατὰ προαίρεσιν, ἐφ' ἡμῶν αὐτῶν. ἐπιθέντες γὰρ αὐτὰ καθ' ἑκατέρου μηροῦ λοξὰ, καὶ ταῖς χερσὶν, ἑκάτερον τὸ ἄκρον, ἰσχυρῶς ἀναγκάζοντες κάτω, κατὰ τὸ μέσον αὐτῶν ὁρῶμεν ῥηγνύμενα.

B

Ὥσπερ οὖν, οὔτε μέγα ξύλον, οὔτ' εὔτονον, ἀλλὰ καὶ σμικρὸν καὶ ἄρρωστον ἐν τούτῳ τῷ τρόπῳ κλᾶται, οὕτως, ἐπειδὰν ὀστοῦν ἀσθενὲς ἡ φύσις, κατὰ τὰς εἰρημένας ἐνεργείας διάγνυται μέσον τοιοῦτον. ἀλλ' ὅ γε αὐτὸς τρόπος τῶν παλαισμάτων, ἐν ἄκροις τοῖς κώλοις ἐστὶν, οὐδ' ὅταν ἀφ' ὑψηλοῦ πηδήσωμεν, ἢ καταρριφθέντες περιπέσωσιν ἐπὶ τῆς γῆς, ἢ βιαίως τὸν πόδα διασπάσαντες.

C

μᾶλλον γὰρ, ἐν ταῖς τοιαύταις πληγαῖς, οἱ σύνδεσμοι τῶν ὀστῶν, ἢ τὰ αὐτὰ κατάγνυνται. τοῦτο δὴ αὐτοῖς συμβαίνει, καὶ διὰ τὴν σμικρότητα μὲν, ἀλλὰ καὶ διὰ τὴν σκληρότητα μᾶλλον. οὐ μὴν οὐδ' ἔξωθεν αὐτοῖς ἐμπεσόντα σφοδρὰ, δύναιντ' ἂν ῥᾳδίως συντρίψαι, μὴ σκληρότερά τε τῶν ὀστῶν ὑπάρχοντα, ἀξιόλογον δὲ τῷ μεγέθει. τὸ δὲ τοιοῦτον, οὐδὲ τοῦ δέρματος φείδεται, καθάπερ οὐδ' ὅταν ὀξὺ τὸ πλῆσσον ᾖ. καὶ γὰρ καὶ τοῦτο, φθάνει περιδιατέμνειν τὰ τοῖς ὀστοῖς ἐπικείμενα, πρὶν ἐντυχεῖν αὐτοῖς, ὅθεν εὐλόγως εἶπε, μὴ πάνυ τι κατάγνυσθαι τὰ ὀστᾶ ταῦτα, χωρὶς ἕλκους. ἀλλ' ἐπεὶ μέλλει περὶ τῶν μεθ' ἕλκους καταγμάτων ἰδίαν ποιεῖσθαι τὴν διδασκαλίαν, ἐν τοῖς ἐφεξῆς, εἰς ἐκεῖνο τοῦ βιβλίου χωρίον ἀνέβαλε, καὶ τὸν περὶ τούτων λόγον.

D

mum, tam quod a genu, quam quod a pede eſt, deorſum verſus cogitur. Evenit hujuſmodi tale lignis, quæ nos de induſtria rumpimus: impoſita enim ſuper utrumque femur obliqua, & manibus ab utroque extremo in inferiorem partem coacta effringi media videmus.

A

Quemadmodum igitur neque magnum lignum, neque validum; ſed parvum & infirmum hac ratione frangitur, ita, quum os infirmum natura fuerit, medium ſub propoſitis palæſtræ generibus perrumpitur. At oſſa quibus extrema membra continentur, ſub hujuſmodi palæſtræ generibus, ſive ex ſuperiori loco ſaltantes deorſum ferantur, & in terram incidant, ſive pes vehementer convellatur, non facilè rumpuntur; his enim ictibus franguntur ligamenta oſſium magis, quàm ipſa oſſa: cujus cauſa eſt, eorum non tam exiguitas, quam durities; ſed neque externa, quum magna vi ſuperincidunt, poſſunt hæc oſſa facilè perfringere, niſi duriora illis ſint, & grandia; at quod tale eſt, neque carnem inviolatam relinquit, quemadmodum, nec ictus ab acuta re: nam & hic priuſquam attingat oſſa, quæ ipſis ſuperinjecta ſunt diſcutit; quare meritò dixit oſſa hæc ferè non abrumpi ſine ulcere. Sed quoniam in ſequentibus ſeorſum de fracturis aget, quibus carnis quoque vulnus accedit, hæc ad eum hujus libri locum reſervavit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι.

Ἢν δέ τι κινηθῇ ἐκ τῆς χώρης, ἢ τῶν δακτύλων ἄρθρον, ἢ ἄλλο τι τῶν ὀστέων τοῦ ταρσοῦ καλεομένου, ἀναγκάζειν μὲν χρὴ ἐς τὴν ἑωυτοῦ χώρην ἕκαστον, ὥσπερ καὶ τὰ ἐν τῇ χειρὶ εἴρηται.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ ὡς προειρηκώς τι περὶ τῶν ἐν τῇ χειρὶ συνισταμένων ὀστῶν, εἶπε τὸ, ὥσπερ καὶ τὰ ἐν τῇ χειρὶ, ἀλλ' εἰ καὶ οὕτως ἔτυχεν εἰπών. ἀναγκάζειν μὲν χρὴ εἰς τὴν ἑαυτοῦ χώραν, ἕκαστον τῶν ἐν τῷ ποδὶ, κατὰ δὲ τὸν αὐτὸν τρόπον, χρὴ καὶ τὰ ἐν τῇ χειρί. γέγραπται δὲ ἔν τισι μὲν, ἀναγκάζειν, ἔν τισι δὲ, καταναγκάζειν εἴρηται. σημαίνει δὴ ἡ λέξις ἴσον, εἰ εἶπε μὲν τιθέντα ἐν τῇ οἰκείᾳ χώρᾳ τὸ κινηθὲν ὀστοῦν.

F

κινεῖται δὲ, ἀπορρηγνυμένων τῶν συνδεόντων αὐτὰ, πρὸς τὰ πλησιάζοντα συνδέσμων, ἀλλὰ οὔτε πάντες οἱ περιέχοντες ἐγκύκλως σύνδεσμοι, τὸ κινηθὲν ὀστοῦν, ἀπορρήγνυνται. σπάνιον γὰρ ἀκριβῶς, τὸ τοιοῦτον καταλιπὸν ἅπασαν τὴν ἑαυτοῦ χώραν, τὸ βλαβὲν οὕτως, ἀναπηδᾶν πρὸς τὸ δέρμα, καὶ μάλιστα οἷς ἐστι χαλαρὸν, ὥστε γε σύντομον ἀνθίστασθαι τὴν ἑαυτοῦ φορὰν τοῦ κινηθέντος ὀστοῦ. διὰ τοῦτο οὖν, οὐδὲ

HIPPOCRATIS TEXTUS X.

Si quid erumpat ex digitorum articulis, vel aliud quidpiam ex iis oſſibus, quibus continetur pars pedis, quæ inter talos ad plantam eſt, compellere ſingula in ſuam ſedem oportet, quemadmodum in manu.

GALENI COMMENTARIUS.

Quod ait, quemadmodum in manu, accipiendum eſt, non quaſi aliquid præfatus ſit de oſſibus, quæ in manu ſita ſunt, ſed quaſi ita ſcripſerit, ſingula oſſa pedis in ſuam ſedem compellenda ſunt: id quod etiam fieri debet in manu. Cōpellere autem Hippocrates dixit ἀναγκάζειν, vel, ut alia exemplaria habent, καταναγκάζειν, quod idem ſibi vult, ac ſi dicat, os ſuo loco reſtituere; movetur autem, ubi ligamenta, per quæ cum proximis annectitur, abrumpuntur; non tamen abrumpuntur omnia ligamenta, quæ prolapſum os in orbem comprehendunt, ratò enim id ex toto accidit; in quo caſu os, quod ita læditur, ſuam ſedem relinquens ad cutem prorumpit, præſertim quibus ea laxior eſt, ita, ut oſſi, quod prolabitur, parum renitatur; ea verò de cauſa ferè nonſo-

Quæcunque igitur undique prorſus reſoluta ſunt, ubi ſuâ ſede mota in ſuperiorem, vel inferiorem pedis regionem veniunt, ægrè reconduntur: ſi quando autem quod rarò accidit, reconduntur, ſemper magno negotio in ſua ſede ſervantur; namque ubi os rurſus vehementer moveatur, nihil erit quod ipſum contineat, utpote ſolutum ligamentis, quibus alligabatur: quæ ſi non fuerint ex toto abrupta, ſed aliqua ex parte integra, ſicut evenit, quibus procidere ſolet, diſtendentes totum pedem urgebimus.

τῶν τῆς ἑαυτοῦ χώρας, εἴτε κάτω τοῦ ποδὸς, εἴτ' ἄνωθεν χωρήσῃ, χαλεπώτερόν ἐστιν εἰς τὴν οἰκείαν ἐμβαλεῖν χώραν. εἰ δὲ γε καὶ ῥᾳδίως τυχηθείη ποτὲ, τὸ ἔργον, ἀλλὰ καὶ τὸ φυλάξαι γε τὴν χώραν ἀεὶ χαλεπόν. ἔνθα γὰρ ὀστοῦν πάλιν σφοδρότερον κινηθῇ, κλήσονται οὐκ οὐδὲν οἱ κρατοῦντες αὐτὸ σύνδεσμοι, οὐκ ἔχοντα δὲ, ἐκ μέρους μὲν ἐχόμενα, φυλαττομένων ἡμῶν τῶν συνδέσμων, ἐκ μέρους δ' ἀπολελυμένα καθάπερ αἱ ἀπορραγῶσιν οἷς προκύπτειν εἴωθε, διατείνοντας οὕτως ὅλον τὸν πόδα, καταρραγεῖσαν αὐτὸν προσήκει.

HIPPOCRATIS TEXTUS XI.

TVm cerato mederi pannis, faſciiſque non ſecus, atque ubi frangitur, excepto quod omittendæ ferulæ ſunt: eodemque modo adſtringere, ac tertio quoque die alligare. Is autem qui devincitur, ſimiliter atque in fracturis, adſtringi ſe reſpondeat, vel laxari.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια′.

ΚΑὶ ἰητρεύειν δὲ κηρωτῇ, καὶ σπλήνεσι, καὶ ὀθονίοισιν, ὥσπερ καὶ τὰ κατήγματα, πλὴν τῶν ναρθήκων. τὸν μὲν αὐτὸν τρόπον πιέζοντα, διὰ τρίτης δὲ, ἐπιδέοντα. ἀποκρινέσθω δὲ ὁ ἐπιδεόμενος παραπλήσια, οἷάπερ καὶ ἐν τοῖσι κατήγμασι, καὶ περὶ τοῦ πεπιέχθαι, καὶ περὶ τοῦ χαλαρὸν εἶναι.

GALENI COMMENTARIUS.

QUalem curationem ad fracturas tradidit, talem nunc ad oſſa, quæ extremis membris moventur, præcipit adhiberi. Primò, ſi quidem extendere convenit, ad hoc, ut oſſa, quæ prolapſa ſunt, in ſuam ſedem compellantur: tum ubi repoſita fuerint, devincire, conſilio ad idem directo: propoſitum enim eſt membrum ab inflammatione tueri, & ſub linteis adſtringere, contineteque os, quod reſtitutum eſt. In ſuperioribus autem oſtenſum eſt hæc nullo modo rectè fieri poſſe, niſi ſanguis qui in affecta ſede ſubſiſtit, ad ſummum, atque imum membrum depellatur: prohibeaturque quominùs alter concurrat. Hæc itaque ſi in memoria habeamus, ſpectantes, univerſam vinciendi rationem fracturis idoneam inveniemus, quam hic utendam dixit, niſi quod ferulæ non debent circundari, quandoquidem loci natura eas non patitur; nam partes, quibus ferulæ injiciendæ ſunt, æquè planæ eſſe debent, cujuſmodi non eſt ea pars pedis, quæ inter talos, & plantam ſita eſt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΠοίαν ἐπὶ τῶν καταγμάτων ἐκέλευσε θεραπείαν, τοιαύτην ἀξιοῖ σε ποιεῖσθαι καὶ νῦν, ἐπὶ τῶν ἐν ἄκροις τοῖς κώλοις κινηθέντων ὀστῶν. καὶ γὰρ ἀπὸ διατάσεως ἄρξασθαι χρὴ, χάριν τοῦ καλῶς διαπλάσαι τὰ κεκινημένα τῶν ὀστῶν, καὶ μετὰ τὴν διάπλασιν ἐπιδοῦντα, τῷ αὐτῷ ὑποστοχάζεσθαι σκοπῷ. ἀφλέγμαντόν τε μὲν γὰρ εἶναι βουλόμεθα τὸ μόριον, ἐσφίγχθαι τε, καὶ διακρατεῖσθαι τὸ πεπλασμένον ὀστοῦν, ὑπὸ τῶν ὀθονίων. ἐδείχθη δ' ἔμπροσθεν, ταῦτα οὐ δυνάμενα γίνεσθαι καλῶς, ἄνευ τοῦ, τὸ μὲν ἐν τοῖς πεπονθόσι μορίοις αἷμα, πρὸς τὴν ἀρχὴν τοῦ κώλου, καὶ τὸ πέρας, ἐκθλίβεσθαι, κωλύεσθαι δ' ἐπιρρεῖν ἄλλο. πρὸς ταῦτα δ' οὖν, εἴ τι μεμνήμεθα, σκοποῦντες, εὑρήσομεν ἅπασαν τὴν καταγματικὴν ἐπίδεσιν, ἣν κελεύει ποιεῖσθαι, πλὴν τῶν ναρθήκων, ἐπεὶ τοῦ μέρους ἡ φύσις, οὐ προσίεται τὴν τούτων ἐπίθεσιν. ὁμαλὴν γὰρ εἶναι δεῖ τὴν ἐπιφάνειαν τῶν μερῶν, οἷς μέλλομεν νάρθηκας, οὐ μὴν τοιοῦτός ἐστιν ὁ ταρσὸς τοῦ ποδός.

HIPPOCRATIS TEXTUS XII.

OMnia hæc viginti diebus perfectè ad ſanitatem perducuntur, niſi, quæ cum cruris oſſibus junguntur: vel ex ejus regione ſita ſunt. Interim verò jacere convenit, non tamen id ſuſtinent, qui morbum parvi faciunt, ſed ingrediuntur priuſquàm convaleſcant; eoque fit, ut plerique non benè ſanentur, ſed ſubinde languoris ſenſu aliquo tententur, atque id quidem

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ′.

ΥΓιέα δὲ γίνεται ἐν εἴκοσιν ἡμέρῃσι τελέως ἅπαντα, πλὴν ὁκόσα κοινωνέει τοῖσι τῆς κνήμης ὀστέοισι, καὶ αὐτίκα τῇ ἴξει. ξυμφέρει δὲ κατακεῖσθαι τοῦτον τὸν χρόνον· ἀλλὰ γὰρ οὐ τολμέουσιν ὑπεροράοντες τὸ νόσημα, ἀλλὰ περιέρχονται πρὶν ὑγιέες γενέσθαι. διὰ τοῦτο καὶ οἱ πλεῖστοι οὐκ ἐξυγιαίνουσι τελέως, ἀλλὰ πολλάκις ἐπιβάλλειν αὐτοῖς ὁ πόνος ὑπομιμνήσκει εἰκότως. ὅλον γὰρ τὸ ἄχθος τοῦ σώματος οἱ πόδες ὀχέουσιν. ὁκότερον οὖν μήπω ὑγιέες

Λέγει τῆς ὅλης κνήμης, εἴγε καὶ τὸ κατὰ τὴν ἴξιν αὐτῆς, σημαίνει τὸ κατ᾽ εὐθύ, πολλάκις ἐν πολλοῖς εἰρημένον, ἀλλὰ καὶ κατωτέρω, τρεῖς ἐφεξῆς χρήσεται τῷ ὀνόματι, περὶ κνήμης διαλεγόμενος, ἐν τῇ ῥήσει. τοῦ γὰρ μηροῦ ἡ κεφαλὴ, ὑποχεῖ τὸ ὕπερθεν τοῦ σώματος, αὕτη τε ἔσωθεν πέφυκε τοῦ σκέλεος, καὶ οὐκ ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῦ ἀντικνημίου ἴξιν, ἅμα δὲ τὸ ἄλλο ἥμισυ τοῦ σώματος γειτονεύεται μᾶλλον ταύτῃ τῇ ἴξει, ἀλλ᾽ οὐχὶ τῇ ἔσωθεν. ἅμα δὲ, ὅτι παχύτερον τὸ ἔσω, τοῦ ἔξωθεν, ὥσπερ καὶ τὸ ἐν τῷ πήχει, τὸ κατὰ τὴν τοῦ μικροῦ δακτύλου ἴξιν, λεπτότερον, καὶ μακρότερον.

Cruris oſſa intelligit tam ſuram, quàm tibiam; volens autem ſignificare è regione, κατ᾽ ἴξιν dixit, quam loquutionem ſæpiùs, variiſque in locis uſurpavit; ſed & paulò inferiùs eadem ter ex ordine utitur, de crure pertractans, quum ait, Femoris enim caput ſuperius corpus fert; id autem ab interiori cruris parte ſitum eſt, at non ab exteriori, ſed è regione tibiæ, tum quia pars altera corporis è regione huc propius accedit, quam ad exterius os; adde quòd os interius plenius eſt, quàm exterius, non ſecùs atque in brachio, ubi os quod è regione minimum digitum ſpectat, tenuius eſt, & longius.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ΄.

Ὀθονίοισι δὲ πλείοσι χρέεσθαι, καὶ σπλήνεσιν.

HIPPOCRATIS TEXTUS XIII.

Plurimis autem faſciis, plurimiſque pannis utendum eſt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴθισται, ὡς κατὰ χώραν μένειν τὰ ἐμβληθέντα τῶν ὀστῶν, καὶ τοῖς ὀθονίοις, καὶ τοῖς σπλήνεσι χρῆσθαι, καὶ μάλιστα δ᾽, ὅταν νάρθηκας ἐπιδεῖν οὐκ ἐφίεται τὸ χωρίον, ἀνώμαλον ὑπάρχον.

GALENI COMMENTARIUS.

Ut oſſa quæ repoſita ſunt, ſuo loco maneant, ſolent tum faſciis, tum pannis circundari, præſertimque quum loci inæqualitas alligari ferulas non ſinit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ΄.

Καὶ ἐπὶ πολὺ ἔνθεν καὶ ἔνθεν ἐπιδέειν· πιέζειν δὲ ὥσπερ καὶ τἄλλα πάντα, ταύτῃ μάλιστα ᾗ ἐξεκινήθη, καὶ τὰς πρώτας περιβολὰς τῶν ὀθονίων κατὰ ταῦτα ποιέεσθαι.

HIPPOCRATIS TEXTUS XIV.

Ferè autem hinc atque hinc vincire convenit, adſtringereque, ſicut cætera omnia, ea parte potiſſimum, qua os prolapſum eſt, primùmque ibi faſcias circumagere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔμπροσθεν ἐκέλευσεν ἡμᾶς, ἐν ταῖς ῥοπαῖς τῶν κατεαγότων, ἵν᾽, εἰ μὲν ἐπὶ τὰ δεξιὰ ῥέποιεν, εἰς τὰ ἀριστερὰ, περιτρέπωμεν. εἰ δ᾽ εἰς ἐκεῖνα, πρὸς τὴν δεξιὰν ἐπανάγωμεν. ἐν δὲ τοῖς κατὰ τὸν πόδα, τοὐπίπαν ἰσόρροπον ποιεῖσθαι χρὴ τὴν ἐπίδεσιν, ἐπειδὴ τὰ τῆς ἰδίας χώρας ἐξιστάμενα τῶν ὀστῶν, οὐκ εἰς τὰ πλάγια ποιεῖται τὴν ῥοπὴν, ἀλλ᾽ εἰς τὸν ἄνω τόπον, ἢ τὸν κάτω.

GALENI COMMENTARIUS.

In prioribus imperavit ut fractum os in aliquam partem convertatur, ſi ad dextram inclinet, ut ad ſiniſtram adducatur: ſi ad hanc ſpectat, urgeatur ad dextram. At ubi alligare pedem oportet, in neutram partem debet vinculum inclinari, quum oſſa, quæ ſuâ ſede excidunt, non ad latera, ſed ad ſuperiorem partem convertantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε΄.

Ἐν δὲ ἑκάστῃ τῶν ἀπολυσίων, ὕδατι πολλῷ θερμῷ χρέεσθαι. ἐν πᾶσι δὲ, πλεῖον ὕδωρ θερμὸν καταχέειν τοῖσι κατ᾽ ἄρθρα οὖσιν. αἱ δὲ πιέξιες, καὶ αἱ χαλάσιες, ἐν τοῖσιν αὐτέοισι χρόνοισι, τὰ αὐτὰ σημεῖα δεικνύονται ἅπερ ἐπὶ τοῖσι πρόσθεν, καὶ τὰς μετ᾽ ἐπιδέσιας, ὡσαύτως χρὴ ποιέεσθαι. ὑγιέες δὲ τελέως

HIPPOCRATIS TEXTUS XV.

Quotieſcunque vinculum ſolvitur, multa aqua calida fovendum. In omnibus autem qui juxta articulos ſunt, affectibus, liberaliter calida aqua perfundenda eſt. Quod ad laxandum vel adſtringendum pertinet, iiſdem temporibus eadem indicia ſe oſtendant, quæ in ſupe-

QUum leniendus dolor eſt, & corpora, quæ adſtricta ſunt, laxanda, tunc præcipit ut multa calida aqua perfundatur; id potiſſimum accidit in affectibus articulorum, quum hæ partes oſſibus magis & nervis contineantur. Comprimuntur igitur cum inflammatione, & magis dolorem ſentiunt, quod magis nervoſæ ſint. Appellavit autem affectus σίνεα, quoniam affici σίνεσθαι dicit.

Ἔνθα πραΰνειν μὲν ὀδύνην, χαλάσαι δὲ τὴν τάσιν βούλεται τῶν σωμάτων, ἐνταῦθα πλείονι χρῆται καταντλήσει
B θερμοῦ ὕδατος, ἔστι δὲ μάλιστα ἐν τοῖς κατ' ἄρθρα, τοιαῦτα παθήματα· νευρωδέστερά τε γὰρ, καὶ ἐστωδέστερα ταῦτα τὰ μόρια. θλίβεται οὖν ὑπὸ τῆς φλεγμονῆς, καὶ μᾶλλον αἰσθάνεται τῆς ὀδύνης, ὅτι νευρωδέστερα ἐστί. σίνεα δ' εἶπε, τὰ δὴ βλάμματα, διότι καὶ τὸ βλάπτεσθαι, σίνεσθαι καλεῖ.

DE CALCE.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΠΤΕΡΝΑΝ.

C

HIPPOCRATIS TEXTUS XVI.

QVicunque ex ſuperiori loco ſaltantes, calci vehementer inſiſtunt, his oſſa diducuntur: venæ ſanguinem effundũt, carne circa os attrita: tumor magnus oritur, & dolor. Hoc enim os exiguum non eſt, extatque è regione ſub tibia.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛʹ.

Ὅσοι δὲ πηδήσαντες ἀφ' ὑψηλοῦ τινος, ἐπηρείσαντο τῇ πτέρνῃ ἰσχυρῶς, τουτέοισι διΐστανται μὲν τὰ ὀστέα, φλέβια δ' ἐκχυμοῦνται, ἀμφιθλασθείσης τῆς σαρκὸς ἀμφὶ τὸ ὀστέον, οἴδημα δ' ἐπιγίνεται, καὶ πόνος πολύς. τὸ γὰρ ὀστέον τοῦτο, οὐ σμικρόν ἐστι, καὶ ὑπερέχει μὲν ὑπὸ τὴν ἰθυωρίην τῆς κνήμης.

GALENI COMMENTARIUS.

EKχυμοῦσθαι dixit venas, ſignificare volens effundere ſuccum quem continent, nempe ſanguinem: quod fit quum colliditur earum tunica; corpora enim quæ colliduntur, naturalem unitatem amittunt, quum pluribus exiguiſque partibus divellantur, quibus ſanguis ſuffunditur. Hunc igitur effuſum ſanguinem recipiunt loca, quæ venam cingunt: quibus non ſervatur, qualis recipitur, tempore ſiquidem nigreſcit, perinde atque ubi extra corpus effuſus diu manet: concreſcit inſuper, quam rem Græci θρόμβωσιν appellant; hinc factum eſt ut ſanguis propterea quod concreſcat, θρόμβος jam, & dicatur, & ſit, prius autem nigreſcit, deinde redditur admodum putris. Atqui non poſſunt graviſſima hæc accidere ſanguini, qui à venis in corpore funditur; namque ubi natura vincit, hunc non ſecus mutat atque alium, qui in inflammatione ſuppurante continetur, vertitque in pus. Ad hoc autem, ut partium natura ſanguinem ſuperet, duo obſervanda ſunt: alterum, ne inflammatio corpori ſuperveniat, id qua ratione fiat, ſupra habuimus: alterum, ut ſanguis, qui effuſus eſt, repellatur. In hæc itaque incumbens Hippocrates, omnia, quæ ſubjiciuntur, præcepta ſigillatim tradit. Diducuntur, inquit, oſſa his, qui ita ſaltant, abruptis nimirum ligamentis, quibus ipſa nectebantur, ſicut paulò ſuprà de ea parte, quæ inter talos & plantam eſt, dicebamus; jungitur autem cum calce à ſuperiori parte talus: à priori id os, quod à cubi ſimilitudine græcè κυβοειδὲς vocatur: ſicuti cum talo à priori parte id oſſis committitur, quod à ſcaphæ ſimilitudine σκαφοειδὲς græcè

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Ἐκχυμοῦσθαι τὰς φλέβας εἶπε, σημῆναι βουλόμενος, ἐκχεῖσθαι τὸν ἐν ἑαυταῖς περιεχόμενον ἔξω χυμὸν, ὅπερ ἐστὶ τὸ αἷμα. γίνεται δὲ τοῦτο, θλασθέντος αὐτοῦ τοῦ χιτῶνος· ὅσα γὰρ θλάττεται σώματα, τὴν συνεχῆ ἕνωσιν ἀπόλλυται, κατὰ πολλὰ μέρη, καὶ μικρὰ, διασπώμενα, καθ' ἃ καὶ περιεκχεῖται τὸ αἷμα. τοῦτο οὖν τὸ ἐκχυθὲν αἷμα, δέχονται μὲν αἱ περιεχόμεναι χῶραι τὴν φλέβα, δεξάμεναι δὲ, οὐ φυλάττουσιν οἷον ἐδέξαντο. μελαίνεται μὲν γὰρ ἐν τῷ χρόνῳ, καθάπερ εἰ καὶ ἐκτὸς ἐκχυθὲν
Axes ſolitus eſt appellare ὄνους, quemadmodum, ubi ſcribit, axis verſatio. Nunc verò axiculos nominavit ὀνίσκους uſus nomine diminutivo, ſicut in ſuperioribus verbis, trabeculam δοκίδα dixit, parvam trabem ſignificans. Exerceri autem debes, non ſolùm in iis quæ prompta ſunt, excogitandis, atque admovendis; ſed etiam in machinamentis, quæ parantur à Medicis ad has intendendi rationes.

C

Axes itaque collocandi ſunt, non recti in longitudinem corporis; ſed tranſverſi ab iis, quæ hinc atque hinc ſunt, partibus corporis quod curatur. Id autem non aliud ſignificat, quàm alterum ab inferiori parte à pedibus, alterum à ſuperiori à capite, collocandum eſſe. Poſt hæc injecta lora extrema ad axes danda, qui verſati crus quod curatur, in diverſas partes diducant.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

Ἄριστον δὲ, ὅς τις ἐν πόλει μεγάλῃ ἰητρεύει, κεκτῆσθαι ἐσκευασμένον ξύλον, ἐν ᾧ πᾶσαι αἱ ἀνάγκαι ἔσονται, πάντων μὲν καταγμάτων, πάντων δὲ ἄρθρων ἐμβολῆς ἐκ κατατάσιος, καὶ μοχλεύσιος. ἀρκέει δὲ, τὸ ξύλον, ἢν ᾖ τοιοῦτον οἷοι οἱ τετράγωνοι στύλοι, οἷοι δρύϊνοι γίνονται, μῆκος καὶ πλάτος, καὶ πάχος.

HIPPOCRATIS TEXTUS LI.

Optimum autem eſt, ſi quis medicinam in magna urbe exerceat, paratum habere lignum, per quod vim omnem adhibeamus ad fracta, & luxata omnia reſtituenda, tum extendentes, tum impellentes. Abundè autem erit lignum tale, quales ſunt quadratæ columnæ quernæ, quod ad longitudinem, latitudinem, & craſſitudinem pertinet.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὀργάνου τινὸς, καὶ μηχανήματος, οὗ, τινος αὖ ἐθέλει ἐμνημόνευσεν. ἐν δὲ τῷ λόγῳ περὶ οὗ τὴν κατασκευὴν αὐτοῦ διδάξει κατὰ τὸ περὶ τῶν ἄρθρων βιβλίον, ἑπόμενον τῷδε· καὶ ἡμεῖς οὖν ἐν ἐκείνῳ τὴν ἐξήγησιν ὧν ἀσαφῶς εἶπε, ποιησόμεθα· νυνὶ δὲ, ἐπὶ τὰ συνεχῆ τοῦ λόγου μεταβαίνωμεν, τὰ προσεχῆ.

GALENI COMMENTARIUS.

Organi cujuſdam, ſeu machinamenti, quod haberi voluit, mentionem facit; in libro autem de articulis, qui huic ſubjicitur, docet ejus fabricationem. Nos ibi ſi quid obſcurum fuerit, exponemus: nunc primum eſt ad ea tranſire, quæ ſubdit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

Ἐπὴν δὲ ἱκανῶς κατατανύσῃς.

HIPPOCRATIS TEXTUS LII.

F

Ubi ſatis extenderis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ σκέλος δηλονότι, περὶ γὰρ τῶν τῆς κνήμης, περὶ τὸν ἀστράγαλον ἐξαρθρημάτων, ὁ λόγος ἦν αὐτῷ, κἂν τῷ μεταξὺ περὶ τῆς ἀντιτάσιος διδάξας, οὕτω πάλιν ἐπὶ τὸν τῆς ἀρχῆς λόγον ἐπανῆλθεν.

GALENI COMMENTARUS.

Crus videlicet: de crure enim agens circa talum prolapſo inſeruit extendendi rationem: ſicque rurſus ad ſermonem revertitur, quem initio propoſuit.

partim, quod extat attollentibus, partim infra talum repellentibus. Eo reſtituto crus, ſi fieri poteſt, extentum alligandum eſt: ſin lora prohibeant, ea ſolvenda, & dum vinculum injicitur, in contrarias partes extendendum.

πρὸς τῷ σφυρῷ ἀντερείδοντα. ἐπὴν δὲ ἐμβάλῃς, ἢν μὲν οἷόν τε ᾖ, κατατεταμένῳ ἐπιδεῖν χρή. ἢν δὲ κωλύηται ὑπὸ τῶν ἱμάντων, ἐκείνους λύσαντα ἀντικατατείνειν ἐς τὴν ἐπίδεσιν.

B

GALENI COMMENTARIUS.

Hippocrates articulum ἄρθρον dixit: quo moventur, qui volunt ſic apud ipſum vocari extrema oſſa, quæ in cavis recipiuntur, ſic, utrotum id appelletur διάρθρωσις, ubi committuntur extrema oſſium, quæ in flexu atque porrectione moventur. Ex utroque autem oſſe id quod inſeritur, ἄρθρον: cavum, quod recipit κοτύλη, vel γλήνη ab Hippocrate dicatur. Sed hæc nominum diſceptatio rejicienda eſt. Deinceps verò oſtendit luxati reſtituendi rationem univerſam, ſicuti nos in primo horum Commentariorum ſtatim diximus, ubi intendendi uſum explicavimus, demonſtrantes non poſſe luxata commodè reſtitui, niſi ita diducantur, ut alterum alteri non inhæreat. Protinus autem terminum habes, ad quem uſque extendere conveniat: nanque, ubi jam videbuntur eatenus extenta eſſe, ut altero alteri non inhærente, diducantur, extendere deſines.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐκ τῆς τοιούτων αὐτοῦ λέξεων ἑρμηνεύουσί τινες, ἄρθρον καλεῖν αὐτὸν φάσκουσι, τὰ πέρατα τῶν διαρθρουμένων πρὸς τὰς κοιλότητας ὀστῶν, ὥστε τὸ μὲν σύμπαν, διάρθρωσιν καλεῖσθαι, καθ᾽ ὃ συντέτακται πρὸς ἀλλήλοις, τὰ πέρατα τῶν κινουμένων ὀστῶν, ἐν τῷ ἐκτείνεσθαί τε, καὶ κάμπτεσθαι. αὐτοῦ δὲ τῶν ὀστῶν ἑκατέρου, τοῦ μὲν ἐμβαίνοντος τὸ πέρας, ἄρθρον, τοῦ δ᾽ ὑποδεχομένου τὴν κοιλότητα, κοτύλην, ἢ γλήνην ὀνομάζειν αὐτόν. ἀλλὰ ταῦτα μὲν ὀνόματα, τὴν ἔκθλιψιν ἔχει. μετὰ ταῦτα δὲ, ἐνδείξει κοινὴν ἁπάσης ἐμβολῆς μέθοδον, ὡς κατ᾽ ἀρχὰς ἡμεῖς εἰρήκαμεν, ἐν τῷ πρώτῳ τῶνδε τῶν ὑπομνημάτων, ἔνθα περὶ τῆς χρείας ἐδιδάξαμεν ἐν ἐκείνοις τοῖς λόγοις, ὡς οὐχ οἷόν τέ ἐστιν ἐμβάλλειν αὐτὰ προσηκόντως, πρὶν τῆς παραχωρήσεως. ἐφεξῆς δὲ, καὶ τὸν ὅρον διδάξει, μέχρι πόσου χρὴ κατατείνειν. ὅταν γὰρ ἤδη δόξῃς ἱκανῶς ἔχειν, ὡς παραχωρῆσαι δύνασθαι, παύσαι τῆς ἀντιτάσεως.

C

D

HIPPOCRATIS TEXTUS LIV.

Dandum inſuper eodem modo vinculum eſt, equè capitibus ea parte, quæ extat, impoſitis: ibique primò & plurimùm circundandum, & pannis plurimis injectis potiſſimum adſtringendum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νδ'.

Ἐπιδεῖν δὲ τὸν αὐτὸν τρόπον, καὶ τὰς ἀρχὰς ὡσαύτως βαλλόμενον κατὰ τὸ ἐξεστηκὸς, καὶ τὰς περιβολὰς τὰς πρώτας, πλείστας κατὰ τοῦτο ποιεῖσθαι, καὶ τοὺς σπλῆνας πλείστους κατὰ τοῦτο, καὶ τὴν πίεσιν μάλιστα κατὰ ταυτί.

GALENI COMMENTARIUS.

Capita ſummatim commemoravit illius vinculi ad fracturas pertinentis, quod antè declaravimus. Meminiſſe autem oportet ea, quæ in manu, pede, calce, taliſque, ſuo loco excidunt, eo modo vincienda eſſe, quo fracturæ, atque idcirco in hoc libro omnia comprehendi. Cauſam verò, quamobrem ita viciendum ſit, ſive fractum os ſit, ſive prolapſum, in ſuperioribus habuimus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E

Τὰ κεφάλαια συντεμὼν, ἀνέμνησε τῆς καταγματικῆς ἐπιδέσεως, ἣν ἔμπροσθεν ἐδείξαμεν. καὶ μέντοι, καὶ μεμνῆσθαι χρὴ, ὅτι, καθ᾽ ἅπερ ἂν τὴν χεῖρα, καὶ τὰ κατὰ τὸν πόδα, καὶ τὰ κατὰ τὴν πτέρναν, καὶ προσέτι ταῦτα τὰ κατὰ τὰ σφυρὰ ἐξαρθρήματα, τῷ καταγματικῷ τρόπῳ τῆς ἐπιδέσεως τυχεῖν, διὸ, κἂν τούτῳ τῷ βιβλίῳ περιέχεται πάντα. τὴν δ᾽ αἰτίαν, τοῦ χρῆναι τὴν ἐπίδεσιν οὕτως ποιεῖσθαι, κἂν ἐξάρθρημα, κἂν κάταγμα τὸ γεγονὸς ᾖ, πρόσθεν μεμαθήκαμεν.

F

HIPPOCRATIS TEXTUS LV.

Tum hinc atque hinc plurimùm.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νε'.

Προσεπιδεῖν δὲ καὶ ἔνθεν καὶ ἔνθεν, ἐπὶ συχνόν.

GALENI COMMENTARIUS.

Hoc etiam docuit in libro de officina Medici, quum inquit, Comprehendatque vinculum integræ partis quamplurimum, cauſa in prioribus poſita eſt: ſatius enim eſt ſuc-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦτ᾽ ἐν τῷ κατ᾽ ἰητρεῖον, διὰ τῆσδε τῆς λέξεως ἐδήλωσεν. ἢν δὲ ἐπιδέῃ, πολλὸν τοῦ ὑγιέος προσλαμβάνοντα, καὶ ἡ αἰτία πρόσθεν εἴρηται. ἄμεινον γὰρ, ἐκθλί-

M ... ἐν τῇ σφυρῷ ἐπιδέσει, ἢ τὸ ἐν τῇ χειρί.

... timus, comprimere ... quàm in manu.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κατὰ τὰ μεγέθη τῶν ἄρθρων, ποιεῖται τὸ μέτρον τῆς πιέσεως, καὶ τὸ πλῆθος τῶν ὀθονίων, προσεπισκοπούμενος τὸ νευρῶδες αὐτῶν, καὶ δυσαίσθητον, ἧττον γὰρ ἀποθλίβεσθαι βούλεται.

GALENI COMMENTARIUS.

Modum comprimendi, & faſciarum numerum, conſtituit pro magnitudine articulorum, intuitus etiam, quàm nervis contineantur, & quàm acris ſenſus ſint: hos ſiquidem minùs comprimi jubet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. νζ.

Ἐπὴν δὲ ἐπιδήσῃς, ἀνωτέρω μὲν τοῦ ἄλλου σώματος ἐχέτω τὸ ἐπιδεθέν, τὴν δὲ θέσιν, δεῖ ποιέεσθαι οὕτως, ὅκως ἥκιστα ἀπαιωρηθήσεται ὁ πούς. C

HIPPOCRATIS TEXTUS LVII.

Injecto vinculo pars deligata, reliquo corpore ſublimior habeatur. Sic tamen continenda eſt, ut pes minimè ſuſpendatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν, ἐπὶ βραχὺ χρὴ μετεωρότερον εἶναι τὸν πόδα, τοῦ ἄλλου σκέλους, εἴρηται καὶ πρόσθεν. εἴρηται δὲ καὶ ὅτι τοσοῦτον ὑψοῦσθαι προσήκει αὐτόν, ὡς μηδὲ τῇ ἀντιτάσει κάμνειν τοὺς μύας. νυνὶ δὲ προσέθηκε περὶ τῆς κατὰ τὴν ἀπόθεσιν, ἀσφαλείας παράγγελμα, μηδὲ μόλις κελεύων αἰωρεῖσθαι τὸν πόδα· τοῦτο δὲ ἐστι, D μαλακοῦ ἐρίου πανταχόθεν αὐτοῦ περιτεθειμένου. καὶ δὴ καὶ τὸ κατὰ τὸ πτέρνας, ἔνθα τὸ ἴχνος ἐστί, στηρίζεσθαί τινος μαλακοῦ, ἢ ὑπαυχενίου, ἢ καὶ ξύλου ὀρθοῦ, ᾧ καὶ προσδεδεμένος ἔσται μαλακαῖς ταινίαις.

GALENI COMMENTARIUS.

Pedem continendum eſſe reliquo crure paulò ſublimiorem, ſuprà quoque dictum eſt. Dictum eſt inſuper ipſum eatenùs excitandum, quatenùs extenti muſculi non laborant. Nunc præceptum adjungit, quod ad tutò continendum pertinet, ut pes ne minimùm quidem ſuſpendatur: id autem fit, ubi lana molli undique cingitur: quin & pars ejus extrema, qua cutis eſt, ipſi ſubjecta, molli aliquo, ut pulvino, fulcienda eſt, tum ligno aliquo erecto, ad quod per mollem habenam vinciatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νη΄.

Τὸν δὲ ἰσχνασμὸν τοῦ σώματος, οὕτως ποιέεσθαι, ὁκοίην τινὰ δύναμιν ἔχει, καὶ τὸ ὀλίσθημα, τὰ μὲν γὰρ σμικρόν, τὰ δὲ μέγα ὀλισθάνει.

HIPPOCRATIS TEXTUS LVIII.

Extenuari autem corpus debet, prout oſſa graviter ſuo loco excidant. Nonnulla enim leviter, nonnulla plurimum moventur.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πρόδηλον οὖν, ὅτι τὰ μὲν σμικρὸν ὀλισθήσαντα, μετριωτέρας δεῖται τῆς ἐπιμελείας, τὰ δὲ ἐπὶ πλεῖον ἐκστάντα, καὶ τῆς διαίτης ἀκριβεστέρας, καὶ τῶν ἄλλων οἷς ἰσχναίνεται τὸ σῶμα.

GALENI COMMENTARIUS.

In aperto ſanè eſt, quæ paululum exceſſerunt, parvam curam exigere: quæ plurimum prolapſa ſunt, & majorem abſtinentiam, & cætera, quæ corpus extenuant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νθ΄.

Τὸ ἐπίπαν δὲ ἰσχναίνειν μᾶλλον, καὶ ἐπὶ πλείω χρόνον χρὴ ἐν τοῖσι κατὰ τὰ σκέλεα τρώμασιν, ἢ ἐν τοῖσι κατὰ τὰς χεῖρας· καὶ γὰρ μείζω καὶ παχύτερα ταῦτα ἐκείνων· καὶ δὴ καὶ ἀναγκαῖον ἐλινύειν τὸ σῶμα, καὶ κατακεῖσθαι. μεταπιδῆσαι δὲ τὸ ἄρθρον, οὔτε τι κωλύει τεταρταῖον, οὔτε κατεπείγει· καὶ τὰ ἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὥσπερ καὶ τὰ προειρημένα. καὶ ἢν μὲν F

HIPPOCRATIS TEXTUS LIX.

Magis omninò, ac diutius extenuare corpus oportet, ubi crus, quàm ubi brachium læditur, quùm illud majus ſit, & craſſius quàm hoc. Neceſſe item eſt corpus quieſcere, atque jacere: ſed ſolvere articulum tertio quoque die, & rurſus alligare, nihil prohibet, nihil item cogit. Reliqua omnia eadem fieri debent, quæ in prioribus poſita ſunt. Quod ſi ho-

... quam hoc: quibus tertium adjicit, quod homo cubans conſaneſcat, non ingrediens, ſicut ubi brachium offenditur. Hæc igitur in univerſum pertinere ad omnes articulos arbitramur.

... τὸ, κατακείμενον ὀγκιάζεσθαι τὸ ἄρθρον, οὐχ ὥσπερ ἐπὶ
B τὸν κατὰ χεῖρα, περιερχόμενον. ταῦτ' οὖν ἐν τῷ καθόλου περὶ πάντων ἡμᾶς τῶν ἄρθρων εἰρῆσθαι νομίζομεν.

HIPPOCRATIS TEXTUS LX.

VErùm, ubi oſſa ex toto in ſuam ſedem non revertuntur, ſed aliquid abeſt, tempore extenuatur coxa, femur, & crus: ac ſi in interiorem partem excidant, exterior pars tenuatur: ſi in exteriorem, interior.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξ'.

ΟΚόσα μέντοι τῶν ὀστέων μὴ τελέως ἴζει ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τι ἐπιλείπει, τῷ χρόνῳ λεπτύνεται ἰσχίον, καὶ μηρὸς, καὶ κνήμη. καὶ ἢν μὲν εἴσω ὀλισθῇ, τὸ ἔξω μέρος λεπτύνεται, ἢν δὲ ἔξω, τὸ εἴσω.

C

GALENI COMMENTARIUS.

SI qua integris partibus diu quieſcat, vel leviter moveatur, tenuior fit quàm prius eſſet: motus enim corpora calefacit, eorumque vim firmat, ob quam partes melius nutriuntur; ſed, ubi luxatum aliquid non fuerit perfectè reſtitutum, deteriùs perficiuntur motus, præcipuéque à contraria parte illi, in quam venit, quandoquidem locus ea vacuus relinquitur, quùm os in contrariam moveatur. Homo igitur facilius illi parti inhæret, in quam articulus excidit. Superiores enim partes ſedem requirunt, quam inanis locus non exhibet; ſed plenus, quùm nihil poſſit inani loco hærere: atque ea de cauſa crus ab ea parte, in quam articulus erumpit, ſuſtinere corpus ſolet, & tantùm muſculis, qui ea continentur, ſuo munere fungi, hi ſiquidem benè nutriuntur: inexercitatis verò non ſatis alimenti ſubminiſtratur; hi autem in contraria parte continentur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙ καὶ τῶν ὑγιαινόντων μορίων, ἐν ἡσυχίᾳ πολυχρονίῳ φυλαττομένοις, ἢ βραχείαις κινήσεσι, λεπτότερα ἑαυτῶν γίγνεται. θερμαίνει τε γὰρ ἡ κίνησις τὰ σώματα, καὶ ῥώννυσι τὴν ἐν αὐτοῖς δύναμιν, ὑφ' ἧς εἰς εὐτροφίαν ἐπιδίδωσι τὰ μέρη. ἑκάστου δὲ μὴ καλῶς ἐμβληθῇ τῶν ὀλισθησάντων τι, χείρους αἱ κινήσεις ἐπιτελοῦνται, καὶ μᾶλλον δὲ, κατὰ τὰ ἀντικείμενα μέρη τῶν ὀλισθημάτων. ἐπειδὴ κενὸς ὁ τόπος καταλείπεται τοῦ μέρους, κινηθέντος ὀστοῦ, πρὸς τοὐναντία. ῥᾷον οὖν, ἐπ' ἐκεῖνο στηρίζεται
D τὸ μέρος, εἰς ὃ μετέστη τὸ ἄρθρον. ἕδρας μὲν γὰρ δεῖται τὰ ὑπερκείμενα μόρια. ταύτας δὲ αὐτοῖς, οὐ κεναὶ χῶραι παρέχουσιν, ἀλλ' αἱ πεπληρωμέναι· κατὰ γάρ τοι τὰς κενὰς χώρας, οὐδὲν στηρίζεσθαι δύναται. διὰ τοῦτ' οὖν, καὶ τὸ σκέλος εἴωθε περιφέρειν, ἔνθα τὴν ἔκπτωσιν ἔχει, καὶ τοῖς κατ' ἐκεῖνο τὸ μέρος ἐνεργεῖν μυσίν. αὐτοὶ γὰρ οὖν καὶ τρέφονται καλῶς, οἱ δὲ ἀργοῦντες, ἐνδεῶς, οἵπερ εἰσὶν ἐκ τῶν ἀντικειμένων μερῶν.

HIPPOCRATIS TEXTUS LXI.

PLeraque tamen in interiorem partem promoventur. Sed, ſi integra cute utrumque cruris os comminuatur, validius intendendum eſt. Si una pars fracturæ valdè ſuper alteram excedat, aliquo utendum eſt ex propoſitis intendendi modis. Abundè quoque eſt, & per homines extendere: ferè autem ſatis ſunt duo homines robuſti, qui in diverſa contendant, unus ab una parte, alter ab altera. Extendere autem rectà ſecundum naturam oportet, & è regione cruris, ac femoris, tam ſi hujus, quàm ſi illius fracti oſſa extendantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξα'.

E ΤΑ πλεῖστα δὲ, ἐς τὸ εἴσω ὀλισθάνει. ἢν δὲ κνήμης ὀστέα ἀμφότερα κατεαγῇ ἄνευ ἑλκώσιος, κατατάσιος ἰσχυροτέρης δεῖται. τείνειν δὲ τουτέων τῶν τρόπων ἐνίοισι τῶν προειρημένων τισὶ, ἢν μεγάλαι αἱ παραλλάξιες ἔωσιν· ἱκαναὶ δὲ καὶ ἀπὸ τῶν ἀνδρῶν κατατάσιες. τὰ πλεῖστα γὰρ ἀρκέοιεν, οἱ δύο ἄνδρες ἐρρωμένοι, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν ἀντιτείνοντες. τείνειν δὲ ἐς τὸ ἰθὺ χρὴ κατὰ φύσιν, καὶ κατὰ τὴν ἰθυωρίην τῆς κνήμης, καὶ τοῦ μηροῦ. καὶ ἢν κνήμης ὀστέα κατεηγότα κατατείνῃς, καὶ ἢν
F μηροῦ.

GALENI COMMENTARIUS.

QUæ excidunt ab inferiori parte, qua cum talo committuntur, in interiorem partem magis prorumpunt. Cujus rei cauſa eſt ſuræ proceſſus, qui ab exteriori parte talum magis complectitur, quàm tibiæ proceſſus ab interiori.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ κάτω, πρὸς τὴν τοῖς σφυροῖς διάρθρωσιν ἐξαρθρήματα, μᾶλλον ἔσω ὀλισθάνει. αἰτία δὲ, ἡ τῆς περόνης ἀπόφυσις, ἔξωθεν ἀκριβέστερον περιλαμβάνουσα τὸν ἀστράγαλον, ἢ ἡ τῆς κνήμης ἔσωθεν.

... ἡ χείρ. καὶ ἢν ἐκτεταμένα ἐπιδήσῃς, τὰ σχήματα τῶν σαρκῶν, ἑτεροιοῦνται ἐν τῇ ξυγκάμψει τοῦ ἀγκῶνος. ἀδύνατος γὰρ ὁ ἀγκὼν ἐκτετάσθαι πουλὺν B χρόνον, οὐ γὰρ πολλάκις ἐν τούτῳ εἴθισται, ἀλλ' ἐν τῷ ξυγκεκάμφθαι. καὶ δὴ καὶ ἅτε δυνάμενοι οἱ ἄνθρωποι περιιέναι, ἐπὴν κατὰ χεῖρα τρωθῶσι, ξυγκεκάμφθαι κατὰ τὸν ἀγκῶνα δέονται. σκέλος δὲ, ἔν τε τῇσιν ὁδοιπορίῃσιν, καὶ ἐν τῷ ἑστάναι εἴθισται, ὅτε μὲν ἐκτετάσθαι, ὅτε δὲ μικροῦ δεῖν ἐκτετάσθαι ἐς τὸ κάτω κατὰ φύσιν. καὶ δὴ καὶ πρὸς τὸ ὀχέειν τὸ ἄλλο σῶμα, διὰ τοῦτο εὔφορον αὐτῷ ἐστι τὸ ἐκτετάσθαι, ὅταν ἀνάγκη ἔχῃ. καὶ δὴ καὶ ἐν τῇσι κοίτῃσι, πολλάκις ἐν τῷ σχήματι τούτῳ ἐστὶν ἐν τῷ C ἐκτετάσθαι. ἐπὴν δὲ δὴ τρωθῇ, ἀνάγκη καταδουλοῦται τὴν γνώμην, ὅτι ἀδύνατοι μετεωρίζεσθαι γίνονται, ὥστε οὐδὲ μέμνηνται περὶ τοῦ συγκαμφθῆναι, καὶ ἀναστῆναι, ἀλλὰ ἀτρεμέουσιν, ἐν τούτῳ τῷ σχήματι κείμενοι.

ſuſpenditur: atque, non extenſum magis [illegible] ro alio modo figuratur, dum cubitus flectitur. B *Nequit enim cubitus extenſus diu haberi: non enim ſolitus eſt ſæpe in hoc habitu detineri; ſed curvatus. Quin, quùm homines ingredi poſſint brachio comminuto, neceſſe habent cubitum curvare. Crus verò, quia ambulando, & ſtando in inferiorem partem, nunc ex toto nunc propè ex toto, intendi ſecundum naturam, & ferre etiam reliquum corpus conſuevit, idcircò ſine moleſtia extenditur, quùm opus eſt. Quid quòd & in lecto ſæpius hoc modo continetur figuratum? Sed, ubi* C *frangitur, neceſſitas hominis animum ſubigit: nequit enim excitari, quare de curvando crure, aut de ſurgendo nullum verbum facit; ſed ita figuratus quieſcit, & cubat.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΑν τε κνήμην, ἐάν τε μηρὸν ἐπιδέῃς, ἑκατέραν τῶν διαρθρώσεων ἐκτετάσθαι κελεύει, τήν τε κατ' ἰσχίον, καὶ τὴν κατὰ γόνυ. τὴν δ' αἰτίαν τοῦ σχήματος, ἐφεξῆς ἐρεῖ σαφῶς, ἀποδείξει χρώμενος, καὶ ἑτοίμως νοήσεις τὸν νοῦν. ἔστι δὲ D τούτων τὰ κεφάλαια, προσειθίσθαι μὲν τὸ σκέλος ἑστώτων, καὶ βαδιζόντων, ἐκτετάσθαι. πρὸς γὰρ τὸ βαδίζειν, τὸ σῶμα γεγονὸς ὑπὸ τῆς φύσεως, εἰς τοῦτο σχῆμα παρεσκεύασται πρὸς αὐτῆς, καὶ διὰ τοῦτο, καὶ κατακειμένων, ἐκτεταμένον ἐστὶν ὡς τὰ πολλά. τὰς χεῖρας δὲ, καὶ κατὰ τὰς ὁδοιπορίας, καὶ ἄλλως, ὡς τὸ πολὺ, κεκλασμένας μετρίως ἔχομεν. οὐδεὶς γὰρ ἀποτετακὼς αὐτὰς περιέρχεται, διὰ τοῦτο, κἂν ἐπιδεθῇ τις χεῖρα, δυνατόν ἐστιν αὐτῷ περιέρχεσθαι, ταινίας ὑποτεινούσης τὸν πῆχυν. σκέλους δὲ κατεαγότος, ἀδύνατον ἐπιβαίνειν, πρὶν ἀκριβῶς πωρωθῆναι.

GALENI COMMENTARIUS.

SIve femur, ſive crus alligetur, præcipit, ut utraque commiſſura extendatur, ſcilicet, quæ in coxa eſt, & quæ in genu. Cur ita figurari debeat, ipſe deinceps adjicit evidenti demonſtratione uſus, cujus mentem facilè comprehendes. D Horum itaque verborum capita ſunt. Conſuevit crus, & eorum qui ſtant, & eorum qui ambulant, extendi; à natura enim, corporis ferendi gratia factum, ab eadem ad hunc habitum præparatum eſt: atque ea de cauſa in cubando plerumque extenſum ſervatur; ſed brachia, in ingreſſu, & alioquin ferè modicè curvata continentur, quandoquidem nemo extentis brachiis ambulat: ac propterea brachio etiam devincto mitella cubitum excipiente ambulare æger poteſt: at crure perfracto, priuſquam callo firmetur, ingredi minimè licet.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξγ.

ΔΙὰ δύο ταύτας τὰς προφάσιας, χειρὸς καὶ σκέλεος, οὔτε ἡ κατάτασις, οὔτε ἡ ἐπίδεσις τοῦ σχήματος, ξυμφέρει αὐτή. ἢν μὲν οὖν ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν ᾖ, οὐδὲν δεῖ μάτην πονέεσθαι, καὶ γὰρ σολοικότερον μηχανοποιέειν μηδὲν δέον. ἢν δὲ μὴ ἱκανὴ ἡ κατάτασις, ἡ ἀπὸ τῶν ἀνδρῶν, καὶ τῶν ἄλλων τινὰ τῶν ἀναγκέων προσφέρειν, ἥ τινά γε προχωρέῃ. F ὅταν δὲ δὴ ἱκανῶς κατατανυσθῇ, ῥηΐδιον ἤδη κατορθῶσαι τὰ ὀστέα, καὶ ἐς τὴν φύσιν ἀγαγεῖν, τοῖσι θέναρσι τῶν χειρέων ἀπευθύνοντα, καὶ διακρίνοντα. ἐπὴν δὲ κατορθώσῃ, ἐπιδεῖν τοῖσιν ὀθονίοισιν κατατεταμένα, ἤν τ' ἐπὶ δεξιὰ, ἤν τ' ἐπ' ἀριστερὰ παραφέρειν ξυμφέρῃ, αὐτόσισι τὰ πρῶτα ὀθόνια. βαλλέσθω δὲ τὴν ἀρχὴν κατὰ τὸ κάτηγμα, καὶ περιβαλλέσθω κατὰ τοῦτο, τὰς πρώτας περιβολὰς, κἄπειτα νεμέσθω ἐπὶ τὴν ἄνω κνήμην ἐπιδέων,

HIPPOCRATIS TEXTUS LXIII.

OB has igitur evidentiſſimas cauſas non convenit eodem habitu brachium, atq; crus, extendere, & vincire. Quòd ſi abundè fuerit per duos homines adhibita vis, fruſtra laborandum non eſt: jactantiæ enim eſt uti machinamentis, ubi res non exigit. At ſi duo F *homines non ſatis extendant, confugiendum ad eum ex propoſitis intendendi modis, qui expeditiſſimus ſit. Intenſione ſatis adhibita oſſa facilè reſtituuntur, & in ſuam ſedem compelluntur, prominentioribus palmarum partibus directa, atque diducta. Poſtquàm reſtituta fuerint, extenta faſciis alliganda ſunt, quæ ſive à dextra, ſive à ſiniſtra parte, magis attrahi debeant, illis primò involvendæ ſunt.*

Ordiantur

[illegible]
latus depravetur, neve in anteriorem, neve in poſteriorem partem pervertatur.

GALENI COMMENTARIUS.

Evidentiſſimas cauſas appellavit προφάσεις, quamvis cauſæ, quas propoſuit, veræ ſint, neque id vocabuli ad falſas cauſas ſignificandas, (ut uſurpari ſolet) mutuatur. Paulo infra etiam eodem modo ipſum accipit, quùm inquit, ob has igitur evidentiſſimas cauſas ſi os, quod ab exteriori parte eſt, confringatur, maturè homo ingreditur. Id quod de ſura dixit, veram cauſam reddens, cur eâ fractâ crus celeriter moveatur: atque, ubi tibia perfringitur, longo ſpacio opus ſit ad hoc, ut homo uti crure poſſit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B Φανερωτάτας μὲν εἴρηκε τὰς αἰτίας, προφάσεις, καίτοιγε ἀληθεῖς, ἃς προείρηκεν, οὐχ ὡς ἐν τῇ συνηθείᾳ, πρόφασις εἴωθε λέγειν τὰς ψευδεῖς αἰτίας, καὶ μικρὸν δὲ κατωτέρω πάλιν, οὕτω κέχρηται τῷ ὀνόματι, κατὰ τήνδε τὴν ῥῆσιν. διὰ οὖν ταύτας τὰς προφάσιας, τὸ μὲν ἔξωθεν τοῦ ὀστέου καταγέντος, ταχεῖαι αἱ ἐπιβάσιες. εἴρηκε δὲ τοῦτο περὶ περόνης, ἀληθὲς ἐπιδεικνὺς, ταχεῖαν μὲν ἐπ' ἐκείνῃ κατεαγείσῃ τὴν τοῦ σκέλους γίνεσθαι κίνησιν. εἰ δὲ κνήμη συντριβῇ, μετὰ C πλείονα χρόνον δύνασθαι χρῆσθαι τοὺς οὕτως παθόντας.

HIPPOCRATIS TEXTUS LXIV.

Maximè autem pro valetudine eſt, cervical ſubjicere ex lino, aut lana, non durum, latum, quod medium in longitudinem molle ſit, vel quodpiam tale.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξδ'.

Μάλιστα δὲ ξυμφέρει προσκεφάλαιον, ἢ λίνεον, ἢ εἰρίνεον, μὴ σκληρὸν, λαπαρὸν, μέσον κατὰ μῆκος ποιήσαντα, ὑποθεῖναι, ἢ ἄλλο τι ὃ τούτῳ ἔοικεν.

GALENI COMMENTARIUS.

Crus fulciri juſſit eo modo, quem poſuit, cervical magis quàm canalem adhibens. Proximè autem ſubdit, cujus rei illos accuſet, qui canali utuntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Τὴν κνήμην ἀξιοῖ στηρίζειν ὃν εἶπε τρόπον, προσκεφαλαίῳ μᾶλλον ἢ σωλῆνι, ἐφεξῆς γράφων, ἃ μέμφεται τοὺς χρωμένους αὐτῷ πρὸς τὰ τοιαῦτα.

HIPPOCRATIS TEXTUS LXV.

De canali, qui fracto cruri ſubjicitur, incertus ſum quid dem conſilii, ſubjici necne debeat. Prodeſt quidem, ſed non quantum exiſtimant, qui illum admovent: non enim quieſcere cogit, ut arbitrantur. Nam neque ſi reliquum corpus in hanc, vel illam partem convertatur, prohibet canalis, quominus ſequatur crus, niſi ipſe homo caveat. Neque item prohibet, quominus ſine corpore crus in hanc, vel illam partem moveatur. Sed & ſubjectum lignum immite eſt, niſi molle aliquid in ipſum indatur: eſt tamen commodiſſimum, quando vel ſterni lectum, vel deſidere hominem oportet. Licet igitur, & cum canali, & ſine eo curationem benè vel malè admovere. Vulgo ſibi perſuaſum habent medicum culpa magis vacare, ſi canalem ſubjiciat, quanquam res minus artificioſa eſt. Crus enim rectum prorſus jaceat, oportet, & ſuper plana, ac molli aliqua re, quùm neceſſe ſit, cõtineri vin-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξε'.

Περὶ γὰρ τῶν σωλήνων, τῶν ὑποτιθεμένων ὑπὸ τὰ σκέλεα τὰ κατεηγότα, ἀπορέω ὅ, τι ξυμβουλεύσω, ἢ ὑποτιθέναι χρὴ, ἢ οὔ. ὠφελέουσι μὲν γὰρ, οὐχ ὅσον δὲ οἱ ὑποτιθέντες οἴονται, οὐ γὰρ ἀναγκάζουσιν οἱ σωλῆνες ἀτρεμέειν, E ὡς οἴονται. οὔτε γὰρ τοῦ ἄλλου σώματος στρεφομένου, ἢ ἔνθα, ἢ ἔνθα, οὐ ἐπαναγκάζει ὁ σωλὴν μὴ ἐπακολουθέειν τὸ σκέλος, ἢν μὴ ἐπιμελῆται αὐτὸς ὁ ἄνθρωπος, οὔτε αὖ τὸ σκέλος ἄνευ τοῦ σώματος κωλύει ὁ σωλὴν κινηθῆναι, ἢ τῇ, ἢ τῇ. ἀλλὰ μὴν ἀηδέστερον ξύλον ὑποτετάσθαι, ἢν μὴ ὁμοῦ αὖ τις μαλθακόν τι ἐς αὐτὸ ἐντιθῇ. ἀρηγότατον δέ ἐστιν ἐν τῇσι μεθυποστρώσεσιν, καὶ ἐν τῇσιν ἐς ἄφοδον προχωρήσεσιν. ἔστιν οὖν σὺν σωλῆνι, καὶ ἄνευ σωλῆνος, καὶ καλῶς, καὶ αἰσχρῶς κατασκευά-F ζεσθαι. πιθανώτερον δὲ τοῖσι δημότῃσίν ἐστιν, καὶ τὸν ἰητρὸν ἀναμαρτητότερον εἶναι, ἢν σωλὴν ὑποκέηται, καίτοι ἀτεχνότερόν γέ ἐστιν. δεῖ μὲν γὰρ ἐφ' ὁμαλοῦ καὶ μαλθακοῦ κεῖσθαι, πάντῃ πάντως ἐς ἰθύ. ἐπείτοι γε ἀνάγκη κρατηθῆναι τὴν ἐπίδεσιν ὑπὸ τῆς διαστροφῆς τῆς ἐν τῇ διαθέσει, ὅπῃ ἂν ῥέπῃ, καὶ ὁκόσα ἂν ῥέπῃ. ὑποκεινέσθω δὲ ὁ ὑποδεδεμένος ταῦτα, ἅπερ

ἤν γὰρ ὀρθῶς μὲν ἐπιδεδέσθαι, κατὰ λόγον δὲ τὸ οἴδημα χωρέῃ, ἔτι μὲν λεπτότερον, καὶ ἰσχνότερον τὸ ἐπιδεόμενον χωρίον ἔσται, ἔτι δὲ καὶ εὐπαραγωγότερα τὰ ὀστέα, ἐπακούοντα δὲ τῆς κατατάσιος μᾶλλον. ἐπὴν δὲ ἑβδομαῖος ἢ ἐνναταῖος γένηται, ἐς νάρθηκας περιτεθῆναι, ὥσπερ καὶ ἐπὶ τοῖς ἄλλοισι κατήγμασιν εἴρηται. B

& pluribus linteis uti, pedemque non arctè comprehendere, niſi fractura ad genu proximè accedat. Debent etiam oſſa modicè extendi, ac dirigi, quotteſcunque vinculum injicitur: Nam, ſi curatio idonea fuerit, & tumor, ut convenit, procedat, alligata ſedes tenuior eſt, atque gracilior, & oſſa facilius tractantur, & ducentibus magis parent. Septimo autem, vel nono die ad ferulas veniendum eſt, quemadmodum dictum eſt in aliis fracturis.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔτι καὶ νῦν οἶδα τινὰς ἰατροὺς ὑποτιθέντας τῷ C σκέλει σωλῆνας, ἢ γλωσσόκομον, κνήμης τι, ἢ μηροῦ πεπονθότος, ἐπὶ μὲν τοῦ μηροῦ, παντὶ τῷ σκέλει. τῆς κνήμης δὲ πεπονθυίας, ἔνιοι μὲν, καὶ τοῦθ' ὑποβάλλουσιν ὅλῳ τῷ σκέλει τὸ ξύλον, ἔνιοι δὲ, τὴν κνήμην μόνην στηρίζοντες ἐν τῷ γλωσσοκόμῳ. βλάπτουσι δέ τι καὶ οἱ μετ' αὐτῆς τὸν μηρὸν, ἀλλ' ἧττον ἐκείνων. τὰς βλάβας δὲ, αὐτὸς ὁ Ἱπποκράτης ἐδήλωσε σαφῶς, ὥστ' αὐτὰς οὐδὲν ἐμὲ δεῖν ἔτι λέγειν, ἀλλ' εἴ πού τι κατὰ τὴν λέξιν ἀσαφὲς ἔσεσθαί ποι νομίσω, τοῦτο ἐξαπλώσω, καὶ πρῶτόν γε πάντων, ὅτι διαφέρει D γλωσσόκομον σωλῆνος. εἴρηται μὲν οὖν παρὰ τοῖς ἀττικοῖς γλωσσόκομον, τὸ σκεῦος τοῦτο. ἴσως οὖν εἰς πολλὰ μὲν τῶν χρησίμων γραμμάτων, ἐμβάλλουσιν οἱ ἄνθρωποι, πολλὰ δὲ τῶν ἀποθέτων γραμμάτων. ἔνιοι δὲ εἰς ὁδοιπορίας αὐτῷ χρῶνται, διοίσει δὲ οὐδὲν, εἴτε γλωσσοκόμιον, εἴτε γλωσσόκομον τις ὀνομάζοι αὐτὸ, καθάπερ οὐδὲ διὰ τοῦ δυοῖν τι, ἢ διὰ τοῦ δυοῖν σι. τὸ δὲ ὑποτιθέμενον τῷ σκέλει γλωσσόκομον, εὔδηλον ὅτι προμηκέστερόν τι, καὶ στενότερον εἶναι δεῖ, τῶν συνήθων. δεῖ γὰρ αὐτὸ, μὴ πολλῷ πλατύτερον εἶναι τοῦ κατὰ τὸ E σκέλος εὔρους, ἢ πάχους, ἢ ὅπερ ἂν ὀνομάζειν ἐθέλεις, ἵνα περιβληθέντων ἑκατέρωθεν ἐρίων, ἐσφιγμένον ᾖ τὸ σκέλος, ὡς μηδὲ, ἂν ὁ κάμνων βούληται μετακλίνειν αὐτὸ συγχωρεῖν τὴν στενοχωρίαν. ἀλλὰ τὴν μὲν ἐπὶ τὸ δεξιὸν, ἢ τὸ ἀριστερὸν μέρος περιστροφὴν τοῦ σκέλους, δύναται ἡ τῶν ἐρίων παράθεσις ἀποκωλῦσαι, τὴν δὲ ἄνω, καὶ κάτω, καὶ εἰς ὕψος αὐτοῦ κίνησιν, οὐ δύναται. διὸ καὶ ὁ Ἱπποκράτης, οὐκ ἀρέσκεται τῇ χρήσει τοῦ τοιούτου ξύλου, πρὸς τοῖς ἄλλοις, καὶ ἀπηνοῦς ὄντος. τὸ γὰρ ἀργότερον εἶναι ἀπηνέστερον, ἢ ἀηδέστερον δῆλον, διὰ τὸ μηδὲν εἴκειν, ὥσπερ καὶ τὰ ὑπαυχένιά τι, καὶ τὰ ὑπαγκώ- F νια περικαλύμματα. ταῦτα γὰρ εἴκοντα μετρίως, οὐκ εἰσὶν ἀνιαρὰ τῷ σκέλει· χρησίμου δ' ὄντος τοῦ τοιούτου μηχανήματος, ὅταν ἀφοδεῦσαι δεηθῶσιν οἱ κάμνοντες, ἢ μετακομισθῆναί ποτε, ἀπὸ τῆς ἑτέρας μετακλίσεως, ἐφ' ἑτέραν, ἕνεκα τοῦ ἐργασθῆναι, διὰ τοῦτο μάλιστα, τὴν χρῆσιν αὐτοῦ προσιέμεθα, καίτοι κἂν οἵ τινες ὑπ' αὐτοῦ τὸ ὑπαυχένιον χρῶνται, καὶ κατ' ἀρχὰς εὐθέως, ὑποβάλλουσιν αὐτῷ ταινίας ἐγκαρσίας, ὅταν

GALENI COMMENTARIUS.

Et nunc etiam quoſdam medicos novi, qui etiam nunc cruri, vel femori affecto canalem, vel gloſſomum ſubjiciunt, ubi femur quidem læſum eſt, univerſo cruri: ſed, ſi quod inter genu, & pedem eſt, lædatur, nonnulli univerſo cruri lignum ſubjiciunt, nonnulli eam partem dumtaxat gloſſocomo fulciunt. Lædunt, qui unà femur etiam comprehendunt, ſed minus quàm alii. Noxas docuit Hippocrates ſic apertè, ut mea explanatione non egeant: verùm, ſi quid judicavero in verbis ejus fore cuipiam obſcurum, illud explicabo, atque ante omnia, quid inter canalem, & gloſſocomum interſit. Gloſſocomum ab Atticis appellatur arcula illa, in qua ſervare homines ſolent eas res, quas in pretio habent, & ſcripta, quæ recondi volunt: qua nonnulli ad itinera utuntur. At nihil refert, ſive gloſſocomium, ſive gloſſocomum nominetur, ſicut neque ſive per duplex τι ſive per duplex σι. Conſtat autem gloſſocomum, quod cruri ſubjiciendum eſt, longius eſſe debere, & anguſtius, quàm quæ in uſu ſunt. Ejus enim latitudo parum excedere debet cruris latitudinem, ſeu craſſitudinem, ſeu quomodocunque libeat appellare: ut lana undique adjecta benè crus firmetur, ſic ut loci anguſtia, etiamſi æger velit, crus moveri non patiatur; ſed, ne in dextram partem, vel ſiniſtram moveatur, poteſt impoſita lana efficere: at, quominus in ſuperiorem, vel inferiorem feratur, aut excitetur, prohibere non poteſt. Quocirca Hippocrati hujuſmodi ligni uſus non placet, quoniam præter cætera incommoda durum eſt: nam immite, quod ipſe dixit ἀργότερον, durum ſignificat, & inſuave, quod nihil cedat, quemadmodum cervical, & ille pulvinus, qui cùm cubito ſubjiciatur, ὑπαγκώνιον græcè dicitur: hæc enim modicè cedentia cruri minimè infeſta ſunt. Commodum autem eſt machinamentum hoc, quùm deſidere homo debet, vel ad lectum alterum transferri, ut ille in quo jacet, ſternatur, qua potiſſimum cauſa ejus uſum admittimus. Quanquam alii cervical adhibentes habena tranſverſa initio illi protinus ſubjecta: atque, ubi crus in id conjectum fuerit, habenæ

… ad ſuperiora enim ferri, vinculum non patitur: ad inferiora verò, lignum, quod plantæ adjicitur. Verùm, ut hæc à medicis ſtabiliter præparentur, non tamen prohibetur motio articulorum, quùm languens poſſit articulum tali, ac genu paulatim dimovere. De coxæ enim articulo nihil attinet dicere, quùm nec à vinculo nec à gloſſocomo comprehendatur. Canalis verò in cæteris gloſſocomo ſimilis eſt, ſed figura ipſa differt, quùm ab exteriori parte teres ſit, ab interiori cavus, ad exemplum fictilis canalis, undè nomen traxit. Videtur autem hic ad propoſitum uſum maximè idoneus: namque univerſum crus in orbem complectitur, magis quam gloſſocomum, in quo nonnulla loca inania relinquuntur, poſtquàm demiſſum crus fuerit. Quidam verò medici plures canales paratos habent, ut ad ſingula membra eo utantur, qui idoneus ſit, id lignum conquirentes, ex quo cavare eos poſſint firmos, albos, & molles. Apud nos autem quidam medicus ejuſmodi canales complures habebat ex tilia confectos, ſic, ut ad ſingula crura eos adhiberet, qui magnitudini membri reſponderent, non ſine vinculis, quæ (ut recenſui) à quibuſdam cervicalibus ſuperdantur. Sed vincula in cervicalibus laxantur, & compoſitum crus corrumpunt: canales verò, dum homo ex uno lecto ad alterum transfertur, ob ligni mollitudinem, ſine ulla compreſſione id continent.

GLOSSOCOMIUM &c.

Ad continendum autem firmiter, gloſſocomum inſtrumentum à junioribus medicis inventum eſt, ſeu femur, ſeu crus fractum ſit, cujus ſtructuram uſumque ſubjiciam. Id autem non abs re mihi videtur fuiſſe excogitatum: & tam ſi femur, quàm ſi crus comminutum ſit, ubi callus circundatur, commodiſſimè adhibetur. Habeat ab ima parte axem, ad quem extremi laquei in diverſa extendentes deligantur; injiciantur laquei extremis partibus oſſis quod curatur, fiantque ex duabus habenis, ſic, ut quatuor uterque capita habeat, bina à dextra parte, totidem à ſiniſtra. Ex iis capitibus, quæ inferioris laquei ſunt, per foramina facta in inferiori parte gloſſocomi, ad axem duci debent, quæ ſuperioris, primò procedere ad ſuperiora: deinde ipſa quoque per latera gloſſocomi perforata trajici, quibus foraminibus trochleæ incluſæ ſint: utrinque autem ab exteriori parte gloſſocomi ſuperioris laquei capita ferenda ſunt ad axem. His enim ita conſtitutis, una axis converſio pariter ambos laqueos extendit, deorſum verſus illum, qui ad inferiora fracti oſſis alligatur; ſurſum alterùm, ſic, ut ubi crus jacet, liceat in poſterum quotidie hanc laqueorum in diverſas partes intenſionem corrigere, valentius vel lenius extendendo. Laqueum igitur, qui in inferiori parte eſt, directa ductione axis

… μήτε ἄνω ἕλκεσθαι ὑπὸ τοῦ κάμνοντος, μήτ' ἀποτείνεσθαι κάτω. τὴν μὲν γὰρ ἀνάτασιν ὁ δεσμὸς κωλύει, τὴν δὲ ἐπὶ τὸ κάτω φορὰν, τὸ προσηρτισμένον τῷ πέλματι ξύλον. ἀλλὰ καίτοι τούτων ἀσφαλῶς παρασκευαζομένων τοῖς ἰατροῖς, ὅμως ἡ κατὰ τὰς διαρθρώσεις κίνησις οὐ κωλύεται, δυναμένου τοῦ κάμνοντος, καὶ τὸ κατὰ σφυρὸν ἄρθρον, καὶ τὸ κατὰ γόνυ διακινεῖν κατὰ βραχύ. περὶ μὲν γὰρ τοῦ κατ' ἰσχίον, οὐδὲ λέγειν δεῖ, μηδ' ὅλως αὐτοῦ, μήθ' ὑπὸ τοῦ γλωσσοκόμου, μήθ' ὑπὸ τῆς ἐπιδέσεως περιλαμβανομένου. ὁ γε μὴν σωλὴν, τὰ μὲν ἄλλα ἔχει τὰ αὐτὰ τῷ γλωσσοκόμῳ, ἀλλ' αὐτῷ δὲ τῷ σχήματι διαφέρει. περιφερὴς γὰρ ὢν ἔξωθεν, εἴσωθέν ἐστι κοῖλος, ὁμοίως τοῖς ἐπὶ τῶν κεράμων σωλῆσιν, ὅθεν αὐτοῦ τοὔνομα. δοκεῖ δὲ οὗτος ἐπιτηδειότατος εἶναι πρὸς τὴν προκειμένην χρείαν, ἐπειδὴ περιλαμβάνει τὸ σκέλος ὅλον ἐν κύκλῳ, μᾶλλον τοῦ γλωσσοκόμου. λείπονται γὰρ ὅπου τινες ἐν ἐκείνῳ χῶραι κεναὶ μετὰ τὴν ἔνθεσιν τοῦ σκέλους. καί τινες ἰατροὶ παρεσκευασμένους ἔχουσι πλείστους σωλῆνας, ἵνα κατὰ χρείαν καθ' ἕκαστον κῶλον ἁρμόττειν τι τοιοῦτον ξύλον εὑρίσκοντες, ἐκ τοῦ πιέσουσιν αὐτοῖς, ἀντιτόνοις τε ἅμα, καὶ λευκοῖς, καὶ μαλακοῖς, ἐγγλύφοντες δηλονότι τὸ ξύλον. καὶ παρ' ἡμῖν γέ τις ἰατρὸς ἐκ φιλύρας γεγονότας εἶχε πλείους τοιούτους σωλῆνας, ὡς τῷ χρῆσθαι καθ' ἕκαστον σκέλος τῷ προσήκοντι κατὰ τὸ μέγεθος, μὴ ἀδέσμοις, οἵους ἔφην περιλαμβάνεσθαι πρός τινων ἐπὶ τῶν ὑπαυχενίων. ἀλλ' ἐπ' ἐκείνων μὲν, οἱ δεσμοὶ χαλαροὶ γινόμενοι, οὐ διαφθείρουσιν, ἀθλίπτως τε κρατοῦσι τὸ σκέλος, ἐν τῷ μετακομίζεσθαι, διὰ τὴν μαλακότητα τοῦ ξύλου. προσεξεύρηταί γε μὴν ὑπὸ τῶν νεωτέρων ἰατρῶν, γλωσσόκομον ὀργανικὸν, εἰς ἀσφαλῆ κράτησιν, ὁπότερον ἂν ᾖ πεπονθὸς τῶν ὀστῶν.

Εἰ τοίνυν μηρὸς, ἢ κνήμη, κατασκευὴν καὶ χρῆσιν ἔχει τὴν ὑπογεγραμμένην. Περὶ τοῦ ὀργανικοῦ γλωσσοκόμου, οὐκ ἀλόγως εὑρῆσθαί μοι δοκεῖ τοῖς νεωτέροις ἰατροῖς γλωσσόκομον, ὄργανον ἐπιτήδειον εἰς τὰς πωρώσεις, ἐάν τε μηρὸς, ἐάν τε κνήμη συντρίβωνται. προσέσχηται γὰρ αὐτῷ κατὰ τὸ πέρας, ἄξων, ἐφ' ὃν αἱ τελευταὶ τῶν ἀντιτεινόντων τὸ κῶλον βρόχων, ἀχθεῖσαι, περιβάλλονται. τοὺς δὲ αὐτοὺς βρόχους περιτίθεσθαι χρὴ κατὰ τὰ πέρατα τοῦ θεραπευομένου τῶν ὀστῶν. ἔστωσαν δὲ ἐκ δυοῖν διπλῶν ἱμάντων, ὡς εἶναι σκέλη δ΄ τῶν βρόχων ἑκατέρου, δύο μὲν ἐκ τῶν δεξιῶν, δύο δὲ, ἐκ τῶν ἀριστερῶν. ταῦτ' οὖν τὰ σκέλη, τὰ μὲν ἐκ τοῦ κάτω βρόχου διεκβάλλοντα, διὰ τρημάτων τινῶν, ἐν τῷ κάτω πέρατι τοῦ γλωσσοκόμου γεγονότων, ἐπὶ τὸν ἄξονα φέρειν χρή. τὰ δὲ, ἐκ τοῦ ἄνω, βρόχου πρότερον ἀπάγοντα πρὸς τὸ ἄνω χωρίον τοῦ γλωσσοκόμου, διεκβάλλειν καὶ αὐτὰ, τρημάτων τινῶν, ἐν τοῖς πλαγίοις αὐτοῦ μέρεσι γεγονότων· ἐχέτω δὲ τὰ τρήματα τροχιλίας ἐν ἑαυτοῖς. ἑκατέρωθεν δὲ, ἐκ τῶν ἔξω μερῶν, κατάγοντα χρὴ φέρειν ἐπὶ τὸν ἄξονα, τὰ εἰρημένα πέρατα τῶν βρόχων. τούτων γὰρ οὕτως σκευασθέντων, μία περιστροφὴ τοῦ ἄξονος, ὡσαύτως τείνει τοὺς δύο βρόχους. κάτω μὲν τὸν ἐν τῷ κάτω πέρατι τοῦ κατεαγότος ὀστοῦ περιβεβλημένον, ἄνω δὲ τὸν ἕτερον, ὥστε μετὰ τὴν ἀπόθεσιν, ἔτι [illegible], καθ' ἑκάστην ἡμέραν ἐπανορθοῦσθαι τὴν ἀντίτασιν τῶν βρόχων, ἤτοι γε ἐπιτείνοντι τὴν τάσιν αὐτῶν,

κατὰ τὸν τένοντα τὸν ἐν τῇ κνήμῃ τοῦ ποδός. ὀστέα δὲ κνήμης κρατύνεται ἐν τεσσαράκοντα ἡμέρῃσιν ἢν ὀρθῶς ἰητρεύηται. ἢν δὲ ὑποπτεύῃς τῶν ὀστέων τι διορθώσιος δεῖσθαι, ἢ ἕλκωσιν ὀρρωδέῃς, ἐν τῷ μεσηγὺ χρόνῳ χρὴ λύσαντα, καὶ διορθωσάμενον μετεπιδῆσαι. ἢν δὲ τὸ ἕτερον ὀστέον κατεαγῇ τῆς κνήμης, κατατάσιος μὲν ἀσθενεστέρης δεῖται, οὐ μὴν ἐπιλείπειν χρὴ, οὐδὲ βλακεύειν ἐν τῇ κατατάσει. μάλιστα μὲν ἐν τῇ πρώτῃ ἐπιδέσει κατατείνεσθαι ὅσον ἐφικνέεται αἰεί ποτε πάντα τὰ κατήγματα, εἰ δὲ μὴ, ὡς τάχιστα. ὅτι γὰρ ἂν μὴ κατὰ τρόπον διηρθρωμένων τῶν ὀστέων, ἐπιδέων τις πιέζῃ, ὀδυνηρότερον τὸ χωρίον γίνεται. ἡ δὲ ἄλλη ἰητρείη ἡ αὐτή. τῶν δὲ ὀστέων, τὸ μὲν ἔσω τοῦ ἀντικνημίου καλεομένου ὀχλωδέστερον ἐν τῇ ἰητρείῃ ἐστὶν, καὶ κατατάσιος μᾶλλον δεόμενον, καὶ ἢν μὴ ὀρθῶς τὰ ὀστέα τεθῇ, ἀδύνατον κρύψαι. φανερὸν γὰρ, καὶ ἄσαρκον πᾶν ἐστιν, καὶ ἐπιβαίνειν ἐπὶ τὸ σκέλος πολλῷ βραδύτερον δύνανται οὕτω κατεηγότος. ἢν δὲ τὸ ἔξω ὀστέον κατεηγῇ, πολὺ μὲν εὐφορώτερον φέρουσι, πολὺ δὲ εὐκρυπτότερον, καὶ ἢν μὴ καλῶς ξυντεθῇ. ἐπίσαρκον γάρ ἐστιν, ἐπὶ πόδας τε ταχέως ἵστανται, τὸ πλεῖστον γὰρ τοῦ ἄχθεος ὀχέει τὸ ἔσωθεν τοῦ ἀντικνημίου ὀστέον. ἅμα μὲν γὰρ αὐτῷ τῷ σκέλει, καὶ τῇ ἰθυωρίῃ τοῦ ἄχθεος τοῦ σκέλεος, τὸ πλεῖον ἔχει τοῦ πόνου τὸ ἔσω ὀστέον. τοῦ γὰρ μηροῦ ἡ κεφαλὴ ὑποφέρει τῇ ὕπερθεν τοῦ σώματος, αὕτη δὲ εἴσωθεν πέφυκε τοῦ σκέλεος, καὶ οὐκ ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῦ ἀντικνημίου ἴξιν. ἅμα δὲ τὸ ἄλλο ἥμισυ τοῦ σώματος γειτονεύεται ταύτῃ μᾶλλον τῇ ἴξει, ἀλλ' οὐχὶ τῇ εἴσωθεν. ἅμα δὲ ὅτι παχύτερον τὸ εἴσω τοῦ ἔξωθεν, ὥσπερ καὶ τὸ ἐν τῷ πήχει, τὸ κατὰ τὴν τοῦ μικροῦ δακτύλου ἴξιν, λεπτότερον καὶ μακρότερον.

B *curentur: ſed, ubi ſuſpicio ſit, ne quid oſſis dirigi debeat, neve aliqua interim facta fuerit exulceratio, infra hoc tempus ſolvere oportet, tum dirigere, & rurſus alligare. At ſi alterum os abrumpatur, lenius intendendum eſt; ſed non propterea omittenda intenſio eſt, aut negligenda. Potiſſimum autem, vel cùm fractura primò deligatur, vel certè quam celerrimè, extendenda ſemper oſſa ſunt, dum in ſuum locum revertantur. Quodcunque autem* C *membrū oſſibus non rectè compoſitis ſub vinculo adſtringitur, magis indoleſcit. Reliqua curatio eadem eſt. Ex oſſibus cruris interius, quod conſpicitur in priori parte cruris, quam græci* ἀντικνήμιον *dicunt, curationem ægrius admittit, & intenſionem poſtulat valentiorem: neque latere poteſt, ubi non rectè oſſa concurrant, totum enim ſe oſtendit, & ſine carne eſt: multoque tardius homo ingreditur, ubi hoc fractum eſt. Quod ſi exterius* D *os abrumpatur, caſus longè tolerabilior eſt, neque id ita facilè deprehenditur, quùm minus rectè componitur, quoniam carnoſum eſt: maturius item æger pedibus conſiſtit. Maximam enim oneris partem ſuſtinet os, quod ab interiori parte ſitum eſt, tum quia magis laborat, & ob ipſum crus, & ob pondus, quod è regione eſt: femoris enim caput ſuperius corpus fert, id autem ab interiori cruris parte ſitum eſt, at non ab exteriori; ſed è regione* E *partis tibiæ: tum quia altera pars totius corporis è regione huc propius accedit, quàm ad exterius os. Adde, quòd os interius plenius eſt, quàm exterius, non ſecus atque in brachio, cujus os, quod è regione minimum digitum ſpectat, tenuius eſt, & longius.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ ἐξέχοντα μέρη τῶν ὀστῶν, ὁποῖα τῆς κνήμης ἐστὶ, καὶ τῆς περόνης τὰ κάτω πέρατα, τὰς ἐπιθέσεις τῶν ναρθήκων οὐ φέρει, ταῦτ' οὖν ἀξιοῖ φυλάττεσθαι. ἐνέδρας δὲ εἶπεν, ὡς εἰ καὶ ἕδρας εἰρήκει μετὰ τῆς, ἐν, προθέσεως, τὸ σημαινόμενον ἐκ τῆς λέξεως ἐναργέστερον ἡμῖν ποιήσειν. ταῦτα μὲν οὖν τὰ ὀστᾶ, διότι προπετῆ, καὶ γυμνὰ σαρκῶν ἐστιν, ὑπὸ τῆς τῶν ναρθήκων ἕδρας θλίβεται), μᾶλλον δὲ οὐκ αὐτὰ θλίβεσθαι χρὴ λέγειν, ἀλλὰ τοὺς ἐφ' ἐκείνοις τε μῦς, καὶ τινας ἀπονευρώσεις, καὶ τὸ δέρμα. ταῦτα γὰρ ἐν τῷ μεταξὺ γινόμενα δυοῖν σκληροῖν σωμάτων, ἔξωθεν μὲν τοῦ νάρθηκος, ἔσωθεν

GALENI COMMENTARIUS.

EXtantes oſſium partes, cujuſmodi ſunt tibiæ ſuræque extrema, ferulas non patiuntur: F cautio igitur eſſe debet, ne his locis circundentur. Imponantur, dixit ἐνέδρας quaſi ἕδρας, adjecta præpoſitione ἐν, ut clarius rem ipſam exprimeret. Hæc itaque oſſa, quùm extent, & carne minimè tegantur, impoſitis ferulis premuntur. Magis autem premi dicuntur, non ipſa, ſed muſculi illis ſuperinjecti, tum quidam muſculorum fines, & cutis. Hæc enim collocata inter duo corpora dura, nempè inter ferulas ab exteriori parte, & os ab interiori,

[illegible] tuberculis ſuperinjecta ſunt ob duritiem eorum, quibus (ut dictum eſt) excipiuntur, compreſſa eatenus læduntur, ut exulcerentur. Summæ autem cutis exulcerationes ſub comprimentibus ortæ, ἐκθλίμματα ab Hippocrate vocantur.

[illegible] φόρων σώματα, διὰ τὴν σκληρότητα τῶν περιλαμβανόντων αὐτὰ, καθότι προσείρηται, θλιβόμενα πάρα
B μέχρι τοῦ καὶ ἐκθλίμματος, κατεργάζεσθαι. καλεῖ γὰρ ὁ Ἱπποκράτης οὕτω, τὰς ἐκ τῶν θλιβόντων, ἐπιπολῆς ἑλκώσεις τοῦ δέρματος.

HIPPOCRATIS TEXTUS LXVI.

VErùm longioris oſſis ſtructura in inferiori articulo diſſimilis eſt. Non enim ſimiliter flectitur cubitus, & poples. Ob has igitur evidentiſſimas cauſas, ſi os quod ab exteriori parte eſt, perfringatur, maturè homo C *ingreditur: ſi, quod ab interiori, tardè.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξϛ.

ΕΝ μέντοι τῷ ἄρθρῳ τῷ κάτω, οὐχ ὁμοίη ἡ ὑπόστασις τοῦ ὀστέου τοῦ μακροτέρου· ἀνομοίως γὰρ ὁ ἀγκών τε καὶ ἡ ἰγνύη κάμπτεται. διὰ οὖν ταύτας τὰς προφάσιας, τοῦ μὲν ἔξωθεν ὀστέου καταγέντος, ταχεῖαι αἱ ἐπιβάσιες· τοῦ δὲ εἴσωθεν καταγέντος, βραδεῖαι αἱ ἐπιβάσιες.

GALENI COMMENTARIVS.

QUum ipſe in prioribus dixerit, ſuræ os longius, quemadmodum & in brachio os cubiti: utrunque autem è regione minimum digitum ſpectare, & tenuius eſſe, quàm id, cum quo jungitur: deinceps addidit, qua ratione inter ſe diſtent. Explicavimus autem in commentario de oſſibus præter alia, quomodo ſe habeat utriuſque commiſſura: atque inſuper radium in brachio cum interiori tuber- D culo humeri committi, ac circa ipſum moveri in exteriorem, vel interiorem brachii partem converſum; ſed in crure, tibiam ſolam cum femore committi, quia ſura nullum motum præſtat. Nam neque hic articulus in latera ullo modo movetur, ſicut articulus cubiti, ſed curvantur duntaxat, idque non eadem ratione, qua articulus cubiti, vel humeri ambitus trochleam referens in cavo cubiti recipitur: at in genu proceſſus femoris in ſinus tibiæ ſe inſerunt. Adde, quòd ex cubiti proceſſibus roſtrum referentibus, poſterior in poſteriori ſinu hume- E ri recipitur, ubi maximè articulus extenditur: prior in priori, ubi maximè curvatur: quorum neutrum tibiæ accidit, quum nullum penitùs proceſſum habeat roſtro ſimilem: non enim ſimiliter flectitur cubitus, ac poples. Cubiti verò eminentiam clarum eſt vocaſſe ἀγκῶνα, quo nomine uſus eſt etiam in ſuperioribus, de cubito agens, quum dixit: eſt autem idem cum illo eminentia cubiti, cui præcipuè innitimur. Eandem eminentiam, & ὀλέκρανον dicunt & κυ- F βιτὸν. Sed nunc ait: non enim ſimiliter flectitur cubitus, & poples, idem ſignificans, ac ſi dixiſſet; illa commiſſura, quæ juxta cubiti eminentiam eſt, & illa, quæ juxta poplitem, diſſimiliter curvantur: cujus rei exemplum infra habet, quâ de luxatis, ubi aſſerit, quæ in cubiti articulo ſunt, moleſtiora eſſe. Illud autem multis in locis meminiſſe oportet, exquiſitam nominum rationem, ne ab uno quidem ex vetuſtis Græcis ſervari, quum quibuſdam

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΡοειρηκὼς αὐτὸς ἀνωτέρω, μακρότερον ἰσχνοῦ εἶναι, τὸ τῆς περόνης, ὥσπερ καὶ ἐν χειρὶ, τὸ τοῦ πήχεος. εἰρηκὼς δὲ, ὅτι κατὰ τὴν εὐθυωρίαν ἐστὶν ἑκάτερον τοῦ μικροῦ δακτύλου, καὶ μέντοι καὶ ὅτι λεπτότερον τοῦ συνεζευγμένου, προστέθεικεν ἐφεξῆς, ᾗ διαφέρουσιν ἀλλήλων. εἴρηται δὲ σαφῶς ὑφ' ἡμῶν, ἐν τῷ περὶ τῶν ὀστῶν ὑπομνήματι, D τά τε ἄλλα, καὶ ἡ διάρθρωσις, ὅπη τε τίς ἐστιν ἀμφοτέρων αὐτῶν, καὶ ὅτι κατὰ τὴν χεῖρα κατὰ τὸν ἔξω κόνδυλον τοῦ βραχίονος, ἡ κερκὶς διαρθρουμένη κινεῖται περὶ αὐτὸν, ἐπιστρεφομένη πρός τε τὴν ἔξω χώραν τῆς χειρὸς, καὶ τὴν ἔσω. κατὰ δὲ τὸ σκέλος, ἡ κνήμη μόνη διαρθροῦται τῷ μηρῷ, τῆς περόνης οὐδεμίαν ἐχούσης κίνησιν. οὐδὲ γὰρ ὅλως ἐφ' ἑκάτερα στρέφεται τὸ ἄρθρον τοῦτο, καθάπερ τὸ κατ' ἀγκῶνα. κάμπτεται δὲ μόνον, οὐδὲ τοῦτο πάρα ὁμοίως τῷ κατ' ἀγκῶνα· ἐκεῖ μὲν γὰρ, τοῦ βραχίονος τὸ τροχιλιῶδες, διαρθροῦται τῷ βαθμῷ τοῦ E πήχεος. ἐν γόνατι δὲ, οἱ δύο δάκτυλοι τοῦ μηροῦ, ἐν ταῖς ἐπιβαινούσαις κοιλότησι τῆς κνήμης, ἡ μὲν ὄπισθεν, ὁπότ' ἐκτείνοιτο τελέως· ἡ δὲ ἔμπροσθεν, ὁπότε κάμπτοιτο. κατὰ δὲ τὸν μηρὸν, οὐδέτερα τούτων ἐστὶ, οὐδὲ γὰρ ὅλως κορώνας ἔχει ἡ κνήμη. ἀνομοίως γὰρ ἀγκών τε, καὶ ἰγνύη κάμπτεται· αὐτὸς ἀνωτέρω περὶ πήχεος διαλεγόμενος, εἶπεν οὕτως. ἔστι δὲ ἐκ φύσιος τὸ ὀστέον τοιοῦτον. ἀγκὼν καλεόμενος, ᾧ ποτὶ στηριζόμεθα. σαφῶς ἐνδεικνύμενος, ὅτι τὸ τοῦ πήχεος ὀξύτατον, ὀνομάζει ἀγκῶνα. καλοῦσι δὲ F αὐτὸν, καὶ ὀλέκρανον, καὶ κυβιτόν. ἀλλὰ νῦν γέ φησιν· ἀνομοίως ἀγκών τε, καὶ ἰγνύη κάμπτεται. δυνάμει πάλιν κἀνταῦθα λέγων, ὅτι ἀνομοίως, ἥ τε κατ' ἀγκῶνα διάρθρωσις, καὶ ἰγνύη κάμπτεται, ἀμέλει καὶ αὐτὸς, ἐν τοῖς κατωτέρω, φησί. τὰ δὲ κατ' ἀγκῶνα, καὶ ὀχλωδέστερα τοῖς κακοῖς, περὶ ἐξαρθρημάτων ὁ λόγος ἐστί. τούτου τοίνυν χρὴ μεμνῆσθαι πρὸς πολλὰ, τὴν ἀκρίβειαν τῶν κυρίων ὀνομάτων, οὐδὲ παρ' ἑνὶ τῶν παλαιῶν Ἑλλήνων, ἀλλ' οἷς

παῖμά φασιν ἐν τῷ γόνατι γεγονέναι, καθάπερ γε καὶ αὐτὸ τὸ τῆς μύλης παθεῖν σῶμα. καλοῦσι δ' αὐτὴν οὐχ οὕτως μόνον, ἀλλὰ καὶ ἐπιγονατίδα· καὶ μήν τι καὶ τὰ πλάγια μέρη τοῦ σώματος ἑρμηνεύοντες, λέγουσί ποτε μὲν ἔξω, ποτὲ δὲ ἔσω τοῦ γόνατος γεγονέναι τὸ ἕλκος. ὅλον γὰρ τὸ χωρίον, ἐν πλάτει, γόνυ καλοῦσιν, ὥσπερ τὴν ἰγνύαν, τὴν μασχάλην, καὶ ὦμον. οὕτως οὖν τὸν ἀγκῶνα, καὶ σφυρά, καὶ καρπόν, ὅλον τὸ χωρίον ὀνομάζει, πολλάκις δ' αὐτὸ προστιθεὶς), τὸ κατ' ὦμον ἄρθρον, τὸ κατ' ἀγκῶνα, τὸ κατὰ γόνυ, τὸ κατ' ἰσχίον, τὸ κατὰ σφυρόν. πρόδηλον οὖν ὅπως ποικίλως χρῆται τοῖς ὀνόμασιν, ὥσπερ ἔφην καὶ τοὺς ἄλλους παλαιούς, καταφρονῶν τῆς ὕστερον ἀσκηθείσης περὶ αὐτὸ μικρολογίας, ἣν οἱ μεταχειρισάμενοι, καλοῦσιν ἀκρίβειαν.

B λω, & ἐπιγονατίδα vocant. Ad hæc, qui latera corporis exprimunt, modò ab interiori parte genu, modò à poſteriori, ulcus ortum aiunt. Univerſum enim hunc locum à lateribus, genu vocabulo appellant: eadem ratione, & poplitem, & alam, & humeri caput: ſic etiam cubitum, & talos, & primam palmæ partem ad totum locum ſignificandum uſurpant; ſæpe etiam adjiciunt, articulum capitis humeri, aut cubiti, genu, coxæ, vel talorum. Conſtat igitur Hippocratem variè nominibus uti, aliorum majorum exemplo (ut retuli) contempta, quam C juniores excolunt, curioſa verborum ratione: quæ ab iis, qui in ea verſantur, exquiſita diligentia dicitur.

ΠΕΡΙ ΜΗΡΕΟΣ.

DE FEMORE.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξη'.

ΗΝ δὲ τὸ τοῦ μηροῦ ὀστέον καταγῇ, τὴν κατάτασιν χρὴ ποιέεσθαι περὶ πάντας, ὅκως μὴ ἐνδεεστέρως σχήσει. πλεονασθεῖσα μὲν γὰρ, οὐδὲν ἂν σίνοιτο, οὐδὲ γὰρ εἰ διεστεῶτα τὰ ὀστέα ὑπὸ τῆς ἰσχύος τῆς κατατάσιος ἐπιδέοι τις, οὐκ ἂν δύναιτο κρατέειν ἡ ἐπίδεσις, ὥστε διεστάναι, ἀλλὰ συνέλθοι ἂν πρὸς ἄλληλα τὰ ὀστέα, ὅτι τάχιστα ἂν ἀφιεῖεν οἱ τείνοντες.

HIPPOCRATIS TEXTUS LXVIII.

D *AT ſi femoris os fractum eſt, valenter omninò extendi debet, ne nimis quàm res poſtulat, id fiat: ſiquidem plus juſto intenſum non læditur: Nam oſſa hæc, quæ per vim diducta ſunt, ſi ſic recedentia inter ſe vinciantur, non ſanè poterunt, ita diducta, vinculis contineri, quin celerrimè concurrant, quum primum, qui extendunt, ex opere ſe receperint.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠΕΙΔΗ μέγιστοι μύες εἰσίν, οἱ περὶ τὸν μηρόν, εἰκότως εὐλαβεῖται, μὴ κατατείνοντες τὸ κῶλον, ἐλλίπωμεν τοῦ συμμέτρου, καὶ γὰρ γίγνεται πολλάκις οὕτως. ὅπως οὖν ἀδεέστερον ἀντιτείνωμεν, οὐδ' ἂν πλεονάσωμεν, βλάψειν φησὶ τὴν τάσιν. ὃ γὰρ ἐπ' ἄλλων μορίων ὑποπτεύσειεν ἄν τις, ἐνταῦθα συμβαίη. τί δὲ τοῦτ' ἐστί, ἐπιδεθῆναι τὸ καταγὸς ὀστοῦν, διεστώτων αὐτοῦ τῶν κεχωρισμένων μερῶν, ἅπερ ἐχρῆν ψαύειν ἀλλήλων, ὡς ὁπότε κατὰ φύσιν εἶχε τοῦτο τὸ κῶλον, οὐδεμιᾶς μεταξὺ χώρας ἀπολειπομένης κενῆς, ἐν ᾗ τῶν ἰχώρων ἀθροιζομένων, κίνδυνος ἢ σφακελίσαι τὸ ὀστοῦν· εἰ γὰρ καὶ διεστῶτα ποτὲ δεθείη τὰ μέρη τοῦ καταγέντος ὀστοῦ, πλεονασθείσης τῆς ἀντιτάσεως, οὐκ ἂν διαμεῖναι μετὰ τὴν ἐπίδεσιν, ὡς ἐπ' ἀλλήλων μορίων, ἐν οἷς ἡ ἐπιβολὴ τῶν ἐπιδέσμων, ἀκινήτους φυλάττει τοὺς μύας. ἀλλ' οὐκ ἐν γε τῷ μηρῷ φησι χρῆναι, δεδιέναι τοῦτο, διὰ τὸ μέγεθος τῶν μυῶν. οὐ γὰρ κρατήσει αὐτῶν τὴν ἐπίδεσιν, ἀλλὰ κρατηθήσεται. τοῦτο δὲ εἶπεν, ἐπεὶ τῇ μὲν ἐπιδέσει, πρόκειται φυλάττειν οὕτως ἔχοντα τὸν μηρόν, ὡς ἐπιδούμενος εἶχε, τοῖς δὲ μυσίν,

COMMENTARIUS GALENI.

E QUia maximi ſunt muſculi, qui femur circundant, non immeritò veretur, ne (quod ſæpe contingit) non ſatis membrum extendatur. Ergo, ut audacter extendamus: intenſio, ait, juſto valentior non lædit: fieri enim in hac parte poteſt, quod ſuſpectum eſſet in aliis. At quid hoc eſt? ut devinciatur os fractum, dum ipſius partes, quæ pertractantur, inter ſe recedunt: quas non ſecus, atque ubi membrum naturaliter ſe habet, coïre oportebat, nullo relicto inani ſpatio, in quo ex contracta ſanie periculum ſit, ne os corrumpatur. Si quando F enim fracti oſſis partes, quum vehementiùs intentæ fuerint, diductæ vinciantur, non poterunt poſt injectum vinculum, ut in cæteris locis contineri, in quibus circumactæ faſciæ muſculos immobiles ſervant: quod in femore monet pertimeſcendum non eſſe ob magnitudinem muſculorum, quum hoc vinculum non ſuperet, ſed cedat; quam rem propterea dixit, quod proprietas eſt vinculi quidem femur tueri, quomodo deligatum accepit: muſculi verò

HIPPOCRATIS TEXTUS LXIX.

CRaſsa enim, ac robuſta caro vinculum ſuperabit, at non ſuperabitur. Id ergo, quo de agitur, extendi valenter oportet, ſicque, ut in neutram partem convertatur, neve minor vis, quàm ipſum exigat, adhibeatur: quum turpe magnopere ſit, atque incommodum, femur brevius reddere. Brachium nanque, ſi brevius fiat, celari poterit, neque noxa magna erit: crus ſi brevius reddatur, hominem claudum demonſtrabit: ab integro enim, quod longius, erit prodetur, adeo, ut illi, qui malè curandus, ſatius fuerit utrunque crus frangi quàm alterum, æquè enim in utranque partem inclinaretur. Vbi verò extenſum ſit abundè, prominentioribus palmarum partibus eodem modo, quo ſupra poſitum eſt, dirigatur, ac deligetur: faſciaque capiti injiciatur, ut ante indicavimus, ipſaque ſurſum verſus porrigatur: tum itidem reſpondeat, ut in ſuperioribus: prætereà, & magis urgeatur, & laxiùs vinculum ſentiat iis partibus, quæ ſuprà poſitæ ſunt: ad hæc ſimiliter reſolvatur, ac rurſus deligetur, ferulaque eodem modo ſuperaccommodentur. Conſervet autem femur quinquaginta diebus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξθʹ.

B ΠΑχεῖαι γὰρ, καὶ ἰσχυραὶ αἱ σάρκες ἐοῦσαι, κρατέουσι τῆς ἐπιδέσιος, ἀλλ' οὐ κρατέονται. δεῖ οὖν, ὅθεν ὁ λόγος, διατείνειν εὖ καὶ ἀδιαστρέπτως χρὴ, μηδὲν ἐλλείποντα· μεγάλη γὰρ ἡ αἰσχύνη καὶ βλάβη, βραχύτερον τὸν μηρὸν ἀποδεῖξαι. χεὶρ μὲν γὰρ βραχυτέρη γενομένη, καὶ ξυγκρυφθείη ἂν καὶ οὐ μέγα τὸ σφάλμα. σκέλος δὲ βραχύτερον γενόμενον, χωλὸν ἀποδείξει τὸν ἄνθρωπον. τὸ γὰρ ὑγιὲς C ἐλέγχει μακρότερον ἐὸν, ὥστε λυσιτελεῖ, τὸν μέλλοντα κακῶς ἰητρεύεσθαι, ἀμφότερα κατεαγῆναι τὰ σκέλεα μᾶλλον, ἢ τὸ ἕτερον. ἰσόρροπος γοῦν ἂν εἴη αὐτὸς ἑωυτῷ. ἐπὴν μέντοι ἱκανῶς κατατανύσῃς, κατορθωσάμενον χρὴ τοῖσι θέναρσι τῶν χειρῶν, ἐπιδεῖν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρόσθεν γέγραπται, καὶ τὰς ἀρχὰς βαλλόμενον, ὥσπερ εἴρηται, καὶ νεμόμενον ἐς τὸ ἄνω τῇ ἐπιδέσει, καὶ ἀποκρινέσθω ταῦτα ὥσπερ καὶ πρόσθεν, καὶ πονείτω κατ' αὐτὰ, D καὶ ῥηιζέτω, καὶ μεταπιδείσθω ὡσαύτως, καὶ ναρθήκων προσθέσιος ἡ αὐτή. κρατύνεται δὲ ὁ μηρὸς ἐν πεντήκοντα ἡμέρῃσιν.

GALENI COMMENTARIUS.

HIppocrates uſitato vocabulo carnem appellavit, quos in ſuperioribus muſculos diximus: nam quæcunque caro ſentit, muſculi pars eſt, atque hæc in mediis muſculis potiſſimum ſe oſtendit, quum in extremitatibus muſculi nervoſi magis quodammodo ſint, minuſque carnis habeant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E ΟΥς ἡμεῖς μῦς εἴπομεν, ἐν τῷ προγεγραμμένῳ λόγῳ, τούτους ὀνόμασε σάρκας, συνήθει χρώμενος τῇ προσηγορίᾳ. διότι πᾶσα σὰρξ αἰσθητὴ, μυός ἐστι μέρος, ἐν τοῖς μέσοις μάλιστα μέρεσιν αὐτῶν, τοιαύτη φαινομένη. κατὰ γὰρ τὰ πέρατα, νευρωδέστεροί πως οἱ μύες φαίνονται, τὸ σαρκῶδες ἔλαττον ἔχοντες.

HIPPOCRATIS TEXTUS LXX.

ILlud etiam ſcire licet, quòd femur ab exteriori parte gibbum eſt magis quàm ab interiori, & à priori magis quàm à poſteriori. In has igitur partes convertitur, ubi non rectè curatur. Quin, & in his partibus minus carnoſum eſt, quàm in aliis: ut quando pervertitur, latere minimè poſſit. Ergo ſi quid ejuſmodi ſuſpectum ſit, tale quidpiam moliri oportet, quale traditum eſt ad humerum perverſum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οʹ.

ΠΡοσξυνιέναι δὲ χρὴ καὶ τόδε, ὅτι μηρὸς γαυσός ἐστιν ἐς τὸ ἔξω μέρος, μᾶλλον ἢ ἐς τὸ F ἔσω, καὶ ἐς τὸ ἔμπροσθεν μᾶλλον, ἢ ἐς τοὔπισθεν. ἐς ταῦτα τοίνυν τὰ μέρεα, καὶ διαστρέφεται ἐπὴν μὴ καλῶς ἰητρεύηται. καὶ δὴ καὶ κατὰ ταῦτα ἀσαρκότερος αὐτὸς ἑωυτοῦ ἐστιν, ὥστε οὐδὲ ξυγκρύπτειν δύναται ἐν τῇ διαστροφῇ. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, μηχανοποιέεσθαι χρὴ οἷάπερ ἐν τῷ βραχίονι τῷ διαστρεφομένῳ προείρηται.

φωνή. κατὰ τὴν ἀναλογίαν, ἔνιοι μὲν περισπᾶσθαι κελεύουσιν αὐτό, παραπλησίως τῷ καῦσος, καὶ μαῦρος, καὶ γαῦρος. ἔνιοι δὲ ὀξυτονεῖσθαι, δηλονότι πάντα, πάθη δηλοῦντα δισύλλαβα, τῇ ὀξείᾳ φαίνεσθαι κεχρημένα τάσει. χωλός, λορδός, στρεβλός, κυρτός, βλαισός, ῥαιβός. οὐ μόνον δὲ τὰ δισύλλαβα, ἀλλὰ καὶ σχεδὸν ἅπαντα τὰ κατὰ πάθη λεγόμενα, ἀρθριτικός, πλευριτικός, ἡπατικός. ὁποτέρως οὖν τις θέλει φθέγγεσθαι, συγχωρῶ, κἂν ποτέ σοι καὶ τὴν ὀξεῖαν τάσιν εἴποντι, γαυσός. ἐπὶ τοῦτο γὰρ μόνον ἐπηνέχθην ῥεπόντων τῶν ἀναγινωσκόντων τὸ βιβλίον, αὖ τ' εἴπῃ τις ἀξιῶν περισπᾶν, ὡς ἂν ἐκεῖνος ἐθέλῃ, καὶ σὺ φθέγγου, καὶ πάλιν ἂν ἑτέρῳ συντύχῃς, ὀξυτονεῖν ἐθέλοντι, καὶ αὐτὸς οὕτω πρᾶττε, καταφρονῶν καὶ τόνων, καὶ ὀνομάτων, ὡς οὔτε πρὸς φιλοσοφίαν συντελούντων. πολύ γε μᾶλλον, οὔτε πρὸς γεωμετρίαν, ἢ ἀριθμητικήν, ἢ μουσικήν, ἢ ἀστρονομικήν, ὥστε, εἰ μηδεμία τέχνη δεῖται πρὸς τὸ ἑαυτῆς τέλος, τῆς περὶ ἐπιτετάσεων τούτων ὀνομάτων μακρολογίας, οὐ μόνον οὐ χρὴ προσίεσθαι τὸ ἐπιτήδευμα τῶν ἀνδρῶν, ἀλλὰ καὶ καταγελᾶν ὡς μάλιστα.

apud Græcos id verbi. quidam à multitudine
B
ducti penultimam circunflecti volunt, quemadmodum καῦσος, μαῦρος, γαῦρος quibuſdam verò magis placet ultimam ſyllabam acutam eſſe, quoniam omnia nomina duarum ſyllabarum, quæ affectum ſignificant, acuto ſunt accentu in ultima, χωλὸς, λορδὸς, στρεβλός, κυρτὸς, βλαισός, ῥαιβός: nec ſolùm, quæ duabus ſyllabis conſtant, ſed ferè quæcunque affectum notant, ἀρθριτικός, πλευριτικός, ἡπατικός. Concedito igitur, utro quis velit modo pronunciare. At γαυσὸς, efferenti tibi ultima acuta (eos enim, qui librum legunt, ire in hanc ſententiam tantùm comperi) ſi quiſpiam adverſetur, exiſtimans debere penultimam circumflecti, tu quoque, utcunque illi placet, pronunciato. Quòd ſi alium rurſus nactus fueris, qui malit ultimam acui, tu itidem facito, nomina, atque accentus parvipendens, ut potè, quæ nihil ad Philoſophiam conferant, & multò minùs ad geometriam, arithmeticen, muſicen, aſtronomiam. Quare, ſi nulli arti ad ſuum finem importuna contemnendaque nominum inquiſitione opus eſt, non modò horum hominum non probare ſtudium convenit, ſed quammaximè deridere.
C
D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. οα΄.

Προσπεριβάλλειν δὲ χρὴ ὀλίγα τῶν ὀθονίων κύκλῳ ἀμφὶ τὸ ἰσχίον, καὶ τὰς ἰξύας, ὅκως ἂν οἵ βουβῶνές τε, καὶ τὸ ἔνερθεν, τὸ κατὰ τὴν πληχάδα καλεομένην, περιπιδέηται. καὶ γὰρ ἄλλως ξυμφέρει, καὶ ὅκως μὴ τὰ ἄκρεα τῶν ναρθήκων σίνηται, πρὸς τὰ ἀνεπίδετα προσβαλλόμενα.

HIPPOCRATIS TEXTUS LXXI.

Circundare autem aliquot lintea oportet, eaque in orbem circa coxam, & ilia: ut inguina etiam, & quod inter anum, & naturale eſt (πληχάδα Græci vocant) involvantur. Quod, & ob aliam cauſam utile eſt, & ne extremæ ferulæ nudam partem offendant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E

Τὸ μὲν ὑποδεχόμενον ὀστοῦν τὴν τοῦ μηροῦ κεφαλὴν, ἰσχίον ὀνομάζεται, καθάπερ καὶ ἡ κοιλότης αὐτοῦ, κοτύλη. κέχρηται δὲ τοῖς ὀνόμασιν ἀμφοτέροις ὁ ποιητὴς, εἰπών,

ἔνθα τε μηρὸς
Ἰσχίῳ ἐνστρέφεται, κοτύλην δέ τε μιν καλέουσιν.

Ἰξύας, τινὲς μὲν τὰ τῶν λαγόνων ἤκουσαν ὀστᾶ, τινὲς δὲ, τὸ ὑπὲρ αὐτῶν, ὅπερ ἰδίως ὀνομάζεται λαπάρα, καὶ γέγραπται παρὰ τῷ ποιητῇ τοῦτο τοὔνομα, κατ' ἐκεῖνο τὸ ἔπος ἔνθα φησι,

οὖτα κατὰ λαπάρην.

Ἐγὼ δὲ, τὸ μὲν τῆς λαπάρας ἔχοιμ' ἂν ἀποφήνασθαι, κἀκ τῆς πείρας αὐτῆς, κἀκ τῆς χρήσεως Ἱπποκράτους τε, καὶ τοῦ ποιητοῦ, καὶ αὐτοῦ τοῦ νοσήματος, ὅτι τὸ μεταξὺ τῶν τε τοῦ θώρακος ὀστῶν, καὶ τῶν ἰδίως καλουμένων λαγόνων, ὀστῶν ἐστί, καὶ ῥηθήσε-

GALENI COMMENTARIUS.

Coxa, id eſt os illud, in quod ſe inſerit femoris caput, ἰσχίον Græcè nuncupatur, ſicut, & ipſius cavum κοτύλη: utroque nomine utitur Poëta in hoc carmine:

Ἔνθα τε μηρὸς
Ἰσχίῳ ἐνστρέφεται, κοτύλην δέ τε μιν καλέουσιν.

Ilia dixit ἰξύας, quæ nonnulli accipiunt pro ilium oſſibus, nonnulli pro parte, quæ ſuper ipſa eſt, quæ λαπάρα propriè vocatur: quod verbum apud Poëtam reperitur in eo carmine,
F

Οὖτα κατὰ λαπάρην.

Equidem de vocabulo λαπάρας dicere poſſem, adductus experimento, & Hippocratis, ac Poëtæ uſu, tum ipſo morbo, eam ſignificare partem, quæ inter oſſa pectoris, & quæ propriè appellantur oſſa ilium, eſt interjecta: de quo

quod Hippocrates multitudinis numero ἰξύας dixit, quodque ad ilium oſſa voluit vinculum pertinere, jure arbitrabitur aliquis ἰξύας hæc ipſa nuncupari.

A

Deligatio, &c.

Quod ad hunc locum attinet, quando ſuperior femoris pars comminuitur, faſcia non ſolum uſque ad inguina ferri debet; ſed ultrà aliquam ex ſuperioribus partibus comprehendere. Tales ſunt primùm coxa, deinde oſſa ilium, poſtremò ea pars, quæ ſine oſſe eſt (λαπάραν vocant) quam, ubi vis, complecti licet, dum ilium oſſa etiam devinxeris: quibus omiſſis, faſciam protinùs ad hanc ſedem, porrigendam eſſe minimè puto, quum Hippocrates maximi fecerit, nullum relinqui locum nudum, ſed æquè perpetuâ, donec ex integra parte comprehenſum aliquid eſſe videatur, omnia faſciis alligari. Πληχάδα quidam per χ ſcribunt: quidam per γ, πληγάδα, eo vocabulo ſignificatur, quod inter utrunque crus ſpatium eſt: unde Hippocrates divaricari vocat ἐκπεπλῆχθαι καὶ διαπεπλῆχθαι. Nam & Poëta τοὶ δ᾽ ἐκπλήσσοντο πόδες, dixit, ſignificare volens, divaricabant pedibus.

νων, ἀπὸ τούτου τοῦ σώματος, ἰξύας ἄν τις ὀνομάζεσθαι νομίζῃ, καθόσον δὲ πάλιν ὁ Ἱπποκράτης, τῇ προκειμένῃ λέξει πληθυντικῶς εἶπεν, ἰξύας εἰρῆσθαι, διὰ τοῦτο, περὶ τὰ λαγόνων ὀστᾶ, τὴν ἐπίδεσιν ἐπαναβαίνειν, βουλόμενος αὐτὸς, αὐτὰ ταῦτα νομίζειν ἰξύας εἰρῆσθαι.

Τὸ δ᾽ οὖν εἰς τὰ παρόντα χρήσιμόν ἐστι, ὅταν ἐν τοῖς ἄνω μέρεσι τοῦ μηροῦ γένηται τὸ κάταγμα, μὴ μόνον ἄχρι τοῦ βουβῶνος ἐπιδεῖν, ἀλλὰ καὶ προσυπερβαίνειν, ἐπιλαμβάνοντά τινα τῶν ὑψηλοτέρων χωρίων. ἔστι δὲ ταῦτα πρῶτον μὲν ἰσχίον, εἶθ᾽ ἑξῆς, τὸ τῶν λαγόνων ὀστοῦν, εἶθ᾽ ἡ μετ᾽ αὐτὸ κενὴ χώρα τῶν ὀστῶν, ἣν λαπάραν ὀνομάζουσιν. ἣν μὲν οὖν τις βούληται, καὶ μέχρι ταύτης ἀνιέναι, συγχωρητέον· ἐὰν δὲ περιπηδήσας τὰ τῶν λαγόνων ὀστᾶ, τοῦτο παρατείνῃ, ταῦτα δὲ ὑπερβαίνοι, περιβάλλειν εὐθέως τῇ λαπάρᾳ τὸν ἐπίδεσμον οὐκ ἀξιῶ, πεπεισμένος γε τῷ Ἱπποκράτους, μηδεμίαν ἐν τῇ ἐπιδέσει ἀπολείπεσθαι χώραν, κἂν ἀνεπίδετον, ἀλλ᾽ ἐξ ἴσου ἅπαντα τὰ μέλη κατειλῆφθαι συνεχῶς τοῖς ὀθονίοις, ἄχρις ἂν ἐπιλαμβάνειν δόξῃ τῶν ὑγιῶν. πληχάδα δέ, τινὲς μὲν διὰ τοῦ γ γράφουσι πληγάδα, τινὲς δέ, διὰ τοῦ χ πληχάδα. δηλοῖ δὲ τοὔνομα, τὸ μεταξὺ τῶν δύο σκελῶν χωρίον, ἐντεῦθεν καὶ τὸ ἐκπεπλῆχθαι, καὶ διαπεπλῆχθαι παρ᾽ αὐτῷ λέγεται, καὶ παρὰ τῷ ποιητῇ, τοῖς δ᾽ ἐπλήκοντο πόδεσσι.

HIPPOCRATIS TEXTUS LXXII.

Aqua ſemper utrinque ſatis recedere debent. Semper autem cautio ſit, ne imponantur ſuper oſſa in articulis naturaliter prominentia, neque in articulorum vicinia ſuper nervum.

GALENI COMMENTARIUS.

Solet Hippocrates, ubi de una ſpecie pertractat, complura docere ex iis quæ communia ſunt, ac generalia, monens ea non eſſe propria unius ſpeciei, ſed ad omnes, vel multas, vel aliquot pertinere. Adjicit autem orationi modò particulam, ſemper, ut in propoſitis verbis: modò, quod intellexiſſe pertinet ad multa loca, interdum, Hoc ad omnia utile eſt: eſt enim re vera, quod nunc ab ipſo proponitur, ſemper commodiſſimum, non in femore duntaxat, ſed in univerſum in omnibus fracturis, quæ ferulas poſtulant: breviores enim ſint oportet, quàm ut ad eam ſedem perveniant, quæ faſcia non excipitur: quod potiſſimum obſervandum ait, ubi ferularum extremitates proximæ ſunt oſſium tuberculis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οβ΄.

Ἀπολείπειν δὲ χρὴ ἀπὸ τοῦ γυμνοῦ αἰεὶ τοὺς νάρθηκας, καὶ ἔνθεν καὶ ἔνθεν ἱκανῶς, καὶ τὴν θέσιν αἰεὶ τῶν ναρθήκων προμηθεῖσθαι χρή, ὅκως μήτε κατὰ τὸ ὀστέον τῶν ἐξεχόντων παρὰ τὰ ἄρθρα φύσει πεφυκότων μήτε κατὰ τὸ ἄρθρον νεῦρον ἔσται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πολλὰ τῶν κοινῶν, καὶ γενικῶν, ἐφ᾽ ἑνὸς τῶν κατ᾽ εἶδος ἑρμηνεύων, εἴωθε διδάσκειν ὁ Ἱπποκράτης, ἐπισημαινόμενος ὅτι μὴ μόνου τοῦ εἴδους ἐστίν, ἀλλὰ καὶ πάντων, ἢ πλειόνων, ἢ τινῶν. προστίθησι δὲ τῷ λόγῳ, ποτὲ μὲν τὸ αἰεί, καθάπερ καὶ νῦν. ἐνίοτε δὲ εἰς τὸ πολλὰ χρηστὸν τοῦτο συνιέναι, ἐνίοτε δέ, ὅτι πρὸς πάντα τοῦτο χρήσιμον. ἔστι γὰρ ὄντως αἰεὶ καὶ τὸ νῦν εἰρημένον ὑπ᾽ αὐτοῦ χρήσιμον, οὐκ ἐπὶ μηροῦ μόνον, ἀλλ᾽ ἐπὶ πάντων ἁπλῶς τῶν λαμβανόντων καταγμάτων τοὺς νάρθηκας. οὕτως γὰρ αὐτοὺς ἔχειν μῆκος προσήκει, ὡς μὴ ψαύειν τοῦ γυμνοῦ, καὶ μάλιστα δὲ αὐτὸ φυλάττεσθαί φησι δεῖν, ὅταν ἐξοχαῖς ὀστῶν πλησιάζῃ τὰ τῶν ναρθήκων πέρατα.

ἐς τὰς νάρθηκας ὀθονίοισιν ἰσχνοῖσιν ἐπιδέοις τὰ οἰδήματα, ἀρξάμενος ἀπὸ τοῦ κατωτάτω, ἐπὶ δὲ ἄνω νεμόμενος.

geant, citiùs laxentur. Extenuarentur autem tumores, ſi ſurſum verſus ad ferulas tenues B *faſciæ vincirentur, quæ ab imis partibus orſæ ad ſuperiores intenderent.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ ἐξαειρόμενά, φησιν, οἰδήματα πρὸς τῆς πιέσιος, ὅπερ ἐστὶν ἐξαιρόμενα, διὰ τὴν ἐκ τῶν χυμῶν θλίψιν, ἐκθλιβέντων σφοδρῶς, θεραπευτέον, ἐπιδέοντα ἔρια πολλά, ῥυπαρά, καλῶς κατειργασμένα, ῥαίνοντας ἐλαίῳ, καὶ οἴνῳ. προϋποχρίειν δὲ ἀξιοῖ τὸ δέρμα, καθ' ὃ ταῦθ' ὑποτίθεται, κηρωτῇ, καὶ τὴν αὐτὴν ἐπίδεσιν ἀπὸ τῶν οἰδημάτων ἐπὶ τὰ ἄνω ποιεῖσθαι. περὶ μὲν τοῦ τρόπου τῆς ἐπιδέσεως αὐτὸς ἐδίδαξεν εἰπών, πόθεν μὲν ἄρξεταί τις ἐπιδεῖν, ἐκ τοῦ αὐτοῦ παραπέμπεσθαί τε, καὶ ἀγαγεῖν. περὶ δὲ τῶν φαρμάκων οἷς χρῆται, τῆς δυνάμεως, εἴρηται μὲν ἐπὶ πλέον ἐν τῇ περὶ αὐτῶν πραγματείᾳ· εἰρήσεται δὲ καὶ νῦν τὰ κεφάλαια τῶν ἐν ἐκείνοις δεδειγμένων. τὸ μὲν οὖν ἔλαιον, ἀνώδυνόν τε, καὶ διαφορητικῆς ἐστι δυνάμεως, ὁ δὲ οἶνος, ξηραντικῆς τε, καὶ ἀποκρουστικῆς, πεπτικῆς, μαλακτικῆς, διαφορητικῆς δυνάμεως. εὔδηλον δὲ, ὅτι καὶ τὰ ῥυπαρὰ ἔρια, τὰ πρὸς ἐνίων οἰσυπηρὰ καλούμενα, καὶ ἡ κηρωτὴ μετὰ τοῦ παρηγορικοῦ, διαφορητικόν τί τι, καὶ ἀποκρουστικὸν ἔχει. προσηκόντως δὲ, ἐκ τοιούτων φαρμάκων συνεστήσατο τὴν θεραπείαν. ἐπεὶ γὰρ τὸ οἴδημα μεῖζον τοῦ προσήκοντος γέγονεν, ὑπὸ τῶν κατὰ τὴν ἐπίδεσιν ἐκθλιβέντων αὐτόθι, πρῶτος μὲν ἔστω σοι σκοπὸς τῆς θεραπείας, ἐκκενωθῆναι τὸ παρὰ φύσιν, ἐν τῷ οἰδισκομένῳ μορίῳ. διὰ τίνων δὲ, πολὺ ἐν τοῦτο διαπραξόμεθα; τῶν τ' ἀποκρούεσθαι, καὶ τῶν διαφορεῖν, καὶ τῶν παρηγορεῖν. τὸ μὲν ἀποκρούεσθαι, καὶ διαφορεῖν, ὡς ἄντικρυς κενοῦνται, τὸ δὲ παρηγορεῖν, ὅπως μὴ διὰ τὴν ὀδύνην ῥευματίζοιτο τὸ πεπονθὸς μόριον, διὰ τοῦτο γοῦν, τοῖς ἧττον ἀποκρουστικοῖς τε, καὶ διαφορητικοῖς, ἐπὶ τῶν φλεγμαινόντων χρώμεθα. τὰ γὰρ ἰσχυρῶς ἑκάτερα τούτων δρῶντα, παροξύνει τὰς ὀδύνας. τούτοις μὲν οὖν τοῖς λογισμοῖς χρώμενος ὁ Ἱπποκράτης, τά τε ἔρια ῥυπαρά, τουτέστιν οἰσυπὸν ἔχοντα, παραλαμβάνει μετὰ τῆς θεραπείας, ἔλαιόν τε, καὶ οἶνον, καὶ κηρωτὴν αὐτὰ δὲ τὰ ἔρια, καλῶς κατειργάσθαι κελεύει, τουτέστιν ἐξάνθαι, χάριν τοῦ προσηνοῦς τε, καὶ παρηγορικοῦ. τὰ μὲν γὰρ πεπλυμμένα, ῥᾳδίως μαλάττεται ξαινόμενα, τὰ δὲ οἰσυπηρά, διὰ τὸν ῥύπον, οὐκ εὐμεταχείριστα τοῖς ξαίνουσι, ὥστ' οὐ κατείργασται γοῦν. διὸ πολλάκις ἀμελέστερον κατεργασθέντα, ξηρὰ προσπίπτει τοῖς ὀδυνωμένοις μορίοις. εἰδὼς οὖν τοῦτο προειρημένον ἐστί, προσέγραψεν εὖ κατειργασμένοις. καὶ μέντοι καὶ πολλοῖς αὐτοῖς χρῆσθαι, χάριν τοῦ φυλάττειν τὴν ἐκ τοῦ οἴνου καὶ ἐλαίου, νοτίδα. τὰ γὰρ ὀλίγα, ῥᾳδίως ξηραίνεται, τοῦ πρώτου δὲ ἔχεται σκοποῦ, καὶ ὁ τῆς ἐπιδέσεως τρόπος, ὡς εἴρηται, τῶν οἰδισκομένων μορίων ἀπάγων τὸ αἷμα πρὸς τὰ ὑπερκείμενα.

GALENI COMMENTARIUS.

TUmores (inquit) ſub conſtringentibus vinculis aſſurgentes (quos ἐξαειρομένους dixit) propterea, quod ſucci expreſſi magno impetu ferantur, curati debent alligando multum lanæ ſuccidæ benè carptæ, item vino, atque oleo reſperſæ, cutem verò, cui hæc ſuperimponuntur, jubet cerato inungi, atque ad ean- C dem rationem vinculum adhiberi à tumoribus ſurſum procedens. Faſciandi rationem ipſe aperuit, docens à qua parte quis inceperit devincire, ab eadem tranſmitti materiam, atque depelli. At de facultate medicamentorum quibus utitur, abundè dictum eſt in operibus, quæ de illis ſunt: dicentur & nunc capita eorum, quæ in illis fuerunt oſtenſa. Ergo oleum dolorem levat, & diſcutiendi vim habet. Vinum ſiccare poteſt, repellere, & concoquere, item mollire, & digerere. Conſtat autem lanam ſuc- D cidam, quam nonnulli οἰσυπηρὰν vocant, & ceratum, præter leniendi vim, digerendo quoque eſſe & repellendo. Non ſine ratione igitur ab ejuſmodi medicamentis præſidium petiit: quoniam verò tumor fit juſto major ab iis quæ ſub vinculis eò exprimuntur, curatio primùm dirigi debet ad id exhauriendum, quod in tumida parte præter naturam ſubſiſtit. At, quum multa ſint, quæ hoc efficiunt, quibuſnam utemur? è digerentibus, repellentibus, lenientibus: digerentibus quidem, ac reprimentibus, quoniam apertè exhauriunt: at lenientibus eo no- E mine, quòd prohibent ne materia præ dolore ad vitiatam ſedem concitetur: atque ob hanc cauſam leniùs digerentia, ac reprimentia ad inflammatam partem admovemus: nam, quæ horum utrunque fortiter præſtant, dolorem irritant. His ratiocinationibus ductus Hippocrates, lana ſuccida uſus, hoc eſt, œſypo redundante, curationi adjicit oleum, vinum, ac ceratum, lanamque ipſam benè carptam eſſe vult, quo lenior ſit, & dolorem levet: quæ elota quidem eſt, carpta facile mollitur: at ſuccida ob ſordem non facilè tractatur, carpi- F turque, eoque fit, ut negligenter carpta, dura dolenti parti inhæreat. Quod Hippocrates, quum aliquando neglectum animadverteret, addidit, benè carpta. Jam verò copioſè ipſam adhibet, ut vino, atque oleo madens conſervetur, quum facilè ſiccefcat, quæ exigua imponitur. Ad primum etiam conſilium pertinet ratio vinciendi tumoris, quæ ex tumidis partibus, ut dictum eſt, ad ſuperiora ſuccos expellit.

[illegible], non tumorem, qui propriè loqueretur. Danda ſiquidem opera eſt, ut tumor ex toto evaneſcat: majores tamen complura ſic loquuntur, præſertim, qui eloquentiſſimi ſunt, contempta, quam juniores excolunt, curioſa nominum inquiſitione, non exquiſita diligentia, ut ipſi nuncupant, qui in ea verſantur. Sed digni utique eſſent, quos laudaremus, ſi hac vel exquiſita, vel propria (utcunque ipſi nominent) verborum inquiſitione, rem clariùs aperirent, quàm Hippocrates: ſin obſcura atque humilis eſt eorum oratio, præſtat majorum æmulari negligentiam.

Κυρίως μὲν ἑρμηνευόντων τὸ οἰδηκὸς μᾶλλον, ἰσχνὸν ἂν ἥκιστα λέγοιτο, ἤ γοῦν τὸ οἴδημα. τοῦτο γὰρ ἀφανίσαι παντάπασιν ἡμῖν πρόκειται. πολλὰ δὲ οὕτω λέγουσιν οἱ
B
παλαιοί, καὶ μάλιστα, οἱ λέγειν δεινότατοι, καταφρονοῦντες τῆς ὕστερον ἀσκηθείσης μακρολογίας ἐν τοῖς ὀνόμασιν, οὐχ ὡς οἱ μεταχειριζόμενοι περιεργάζονται αὐτὴν ἀκριβολογίαν, ὥς, εἰ μὲν σαφέστερον ἑρμηνεύοιεν τὰ τῶν παλαιῶν ἐκ τῆς τοιαύτης ἀκριβολογίας, εἴτε κυριολογίας ἐθέλοιεν ὀνομάζειν, ἐπαινεῖν προσῆκον. εἰ δὲ ἀσαφῶς, καὶ ταπεινῶς, ἄμεινόν ἐστι τὴν τῶν παλαιῶν ἀμέλειαν αἱρεῖσθαι.

C

HIPPOCRATIS TEXTUS LXXV.

ET ad priorem juncturam ſuperferretur. Ad quem deligandi modum veniendum non eſt, niſi tumor, aut puſtulis, aut nigritie periclitetur. Sed nihil tale ſequitur, niſi quis fracturam vehementer adſtrinxerit, aut ſiverit dependere, aut manu ſcalpſerit, aut aliquid cutem attigerit, quod ipſam irritaverit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οε'.

Καὶ ὑποθεῖεν ἂν παρὰ τὰ ἀρχαῖα ἐπιδέσματα, ἀλλ' οὐ χρὴ τούτῳ τῷ τρόπῳ χρῆσθαι τῆς ἐπιδέσιος, ἢν μὴ κίνδυνος ᾖ ἐν τῷ οἰδήματι φλυκταινώσιος, ἢ μελασμοῦ. γίνεται δὲ οὐδὲν τοιοῦτο, ἢν μὴ ἄγαν τις πιέζῃ τὸ κάτηγμα, ἢ κατακεκρεμασμένον ἔχῃ, ἢ κνῆται τῇ χειρί, ἢ ἄλλο τι προσάπτηται ἐρεθιστικὸν πρὸς τὸν χρῶτα.

D

GALENI COMMENTARIUS.

VNa quidem hæc ſcriptura eſt, & ad priorem juncturam ſuperferretur: putant tamen expreſſo tumore alii materiam depelli ſuper juncturam, alii ad loca, quæ juxtà ſunt: quorum controverſiam dijudicare facile eſt, ſi antè vinciendi ratio conſtituatur. Ubi enim ferulis relaxatis, tumida pars (ut ſuprà oſtenſum eſt) alligetur, aliquid ſanguinis ad loca, quæ juxta juncturam ſunt, depelletur: ſed, ſi ferulis ſummotis, atque omni vinculo penitus reſoluto, de integro vinciamus, ſimul & eam juncturam adhibentes, quæ fracturis accommodatur, & eam, quæ à tumore incipit, ſuccus hac via expreſſus ulera partem priùs deligatam ad ſuperiora transferetur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μία μὲν αὕτη γραφή· τινῶν μὲν οἰδημάτων βουλομένων ἐπὶ τὴν ἐπίδεσιν ἀνιέναι τὸν ἐκθλιβομένων τῶν οἰδημάτων χυμόν, ἐνίων δὲ, εἰς τὰ κατὰ τὴν ἐπίδεσιν χωρία παραγίνεσθαι. κρῖναι δὲ οὐ χαλεπόν ἐστι, τὴν διαφωνίαν αὐτῶν, ἐκτεθείσης τῆς ἐπιδέσεως. εἰ μὲν γὰρ ὑπομένοντες τοὺς νάρθηκας, ἐπιδήσαιμεν ὡς εἴρηται, τὸ οἰδηκὸς, ἀφίκοιτ' ἄν τι τοῦ αἵματος εἰς τὰ κατὰ τὴν ἐπίδεσιν χω-
E
ρία. εἰ δὲ ἀφελόντες τοὺς νάρθηκας, καὶ λύσαντες ὅλην τὴν ἐπίδεσιν, αὖθις ἐξ ἀρχῆς ἐπιδήσαιμεν, ἅμα μὲν τῷ καταγματικῷ τρόπῳ χρώμενοι τῆς ἐπιδέσεως, ἅμα δὲ, καὶ μὴ μιγνύντες αὐτὴν τὴν ἀπὸ τῶν οἰδημάτων ἀρχομένην, ὑπερέχειν οὕτως τὴν ἀρχαίαν ἐπίδεσιν, ὁ ἐκθλιβόμενος χυμὸς, ἐπὶ τὰ τῆς ἐπιδέσεως ὑψηλὰ χωρία.

HIPPOCRATIS TEXTUS LXXVI.

SI quis femori canalem ſubjiciat breviorem, quàm ut ultrà poplitem pertineat, noxam magis quàm opem afferet, quandoquidem prohibere non poterit quin corpore, aut crure moto, femur quoque moveatur. Popliti item infeſtiſſimus erit, ubi adhibeatur, cogetque id fieri, quod minimè eſt opus: minimè nanque opus eſt curvari genu, omnia enim devincti cruris, ac femoris vincula neceſſariò moverentur, ſi quis genu curvaret: neque fie-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ος'.

F Σωλῆνα δὲ, ἢν μέν τις ὑπ' αὐτὸν τὸν μηρὸν ὑποθείη, μὴ ὑπερβάλλοντα τὴν ἰγνύην, βλάπτοι ἂν μᾶλλον, ἢ ὠφελέοι. οὔτε γὰρ, ἂν τὸ σῶμα κωλύοι, οὔτε τὴν κνήμην, ἄνευ τοῦ μηροῦ κινέεσθαι. ἀτηρὸν γὰρ εἴη πρὸς τὴν ἰγνύην προσβαλλόμενον, καὶ ὃ ἥκιστα δεῖ, τοῦτ' ἂν ἐποτρύνοι ποιέειν. ἥκιστα γὰρ δεῖ κατὰ τὸ γόνυ κάμπτειν. πᾶσαν γὰρ ἂν τύρβην παρέχοι τῇσιν ἐπιδέσεσιν, καὶ μηροῦ ἐπιδεδεμένου, καὶ κνήμης, ὅς τις κατὰ τὸ γόνυ κάμπτοι, ἀνάγκη

Ἐφεξῆς τῷ τῶν οἰδημάτων λόγῳ, ἔγραψε περὶ τοῦ σωλῆνος ταυτί. εἴρηται δ' αὖ ἡμῖν ἔμπροσθεν, ὡς, ἤτοι διαμπερῆ, τουτέστι δι' ὅλου τοῦ σκέλους, ὑποτίθεσθαι τὸν σωλῆνα προσήκει, ἢ μηδ' ὅλως ὑποτίθεσθαι. λέλεκται δὲ καὶ περὶ τοῦ μηχανικοῦ γλωσσοκόμου, τοῖς νεωτέροις ἰατροῖς ἐπινοηθέντος ὀρθῶς.

A tumoribus ad canalem aggreſſus eſt, quem evidenter expoſuit: mox autem adſcribet canalem vel διαμπερῆ, hoc eſt qui totum crus excipiat, vel nullo modo ſubjiciendum eſſe. Gloſſocomum verò machinamentum diximus rectè fuiſſe à junioribus repertum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οζ'.

Καὶ ἄλλως κατ' ἰγνύην, ταινίην χαλαρῶς περιβάλλειν ξὺν τῷ σωλῆνι, ὥσπερ τὰ παιδία ἐν τῇσι κοίτῃσι σπαργανοῦνται, εἶτα ἢν ὁ μηρὸς ἐς τὸ ἄνω διαστρέφοιτο, ἢ ἐς τὸ πλάγιον, εὐκατασχετώτερον εἴη ἂν ξὺν τῷ σωλῆνι οὕτως. ἢν διαμπερὴς εἴη, ποιητέος ὁ σωλὴν, ἢ οὐ ποιητέος.

HIPPOCRATIS TEXTUS LXXVII.

Detur item faſcia lenta juxta poplitem cum canali, quomodo & infantes involvuntur in cunis: ſic enim ubi femur in ſuperiorem partem, ſive in latus vertatur, cum canali alligatum meliùs continebitur. Canalis igitur, vel totum excipere crus debet, vel nullo modo adhiberi.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ σὺν τῷ σωλῆνι ἤκουσαν, ἔνιοι μὲν ἔξω τοῦ σωλῆνος περιβάλλεσθαι τὴν ταινίαν ἀξιοῦντες, ὡς εἶναι τὸ λεγόμενον, ταινίαν περιβάλλειν χαλαρῶς προσήκει σὺν ἀμφοτέροις, τῇ τε ἰγνύῃ τοῦ κάμνοντος, καὶ τῷ ἔξω ἐν αὐτῇ σωλῆνι, τουτέστιν, ὥστε μὴ τηνικαῦτα αὐτὴν, ἀλλὰ σὺν τῷ σωλῆνι κατειλῆφθαι. τινὲς δ' ἔξωθεν ἀξιοῦσι, περὶ αὐτὴν τὴν ἰγνύαν περιβεβλῆσθαι τὴν ταινίαν, ὅπως σφίγξῃ καὶ αὐτὸ τὸ σκέλος, ἅμα τῷ σωλῆνι, τουτέστι σὺν τῆς τοῦ σωλῆνος χρήσεως, μήτ' αὐτῆς μόνης ἱκανῆς οὔσης εἰς ἀσφάλειαν, μήτε τοῦ σωλῆνος, ἀλλ' ἀμφοῖν ἅμα συνιόντων.

GALENI COMMENTARIUS.

Quod inquit, cum canali duobus modis exponitur; nonnulli exiſtimant canalem extrinſecus faſcia circundandum, itaut hæc ſit Hippocratis ſententia: Faſciam dare laxam convenit, quæ utrunque complectatur, & hominis poplitem, & canalem qui ipſum excipit, id eſt, ut ipſe poples non ſeorſum, ſed unà cum canali comprehendatur. Alii circunligandum eſſe poplitem intelligunt, ut crus immobile cum canali contineatur, hoc eſt, ſubjecto etiamnum canali: quum neque vinculum per ſe poſſit ſatis fideliter continere, neque canalis, ſed ambo ſimul.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οη'.

Πτέρνης δὲ ἄκρης κάρτα χρὴ ἐπιμελέεσθαι, ὡς εὐθέτως ἔχῃ, καὶ ἐν τοῖσι κατὰ κνήμην, καὶ ἐν τοῖσι κατὰ μηρὸν κατήγμασιν. ἢν μὲν γὰρ ἀπαιωρῆται ὁ ποὺς τῆς ἄλλης κνήμης ἡρμασμένης, ἀνάγκη κατὰ τὸ ἀντικνήμιον τὰ ὀστέα κυρτὰ φαίνεσθαι. ἢν δὲ, ἡ μὲν πτέρνη ὑψηλοτέρη, ἢ τοῦ μετρίου ἡρμοσμένη, ἡ δὲ ἄλλη κνήμη ὑπομετεωροτέρη ᾖ, ἀνάγκη τῷ ὀστέῳ τούτῳ, κατὰ τὸ ἀντικνήμιον τοῦτο, κοιλότερον φαίνεσθαι τοῦ μετρίου, προσέτι καὶ ἢν ἡ πτέρνη τυγχάνῃ ἐοῦσα τοῦ ἀνθρώπου φύσει μεγάλη. ἀτὰρ καὶ κρατύνεται πάντα τὰ ὀστέα βραδύτερον, ἢν μὴ κατὰ φύσιν κείμενα ᾖ, καὶ τὰ μὴ ἀτρεμέοντα ἐν τῷ αὐτέῳ σχήματι, καὶ αἱ πωρώσιες ἀσθενέστεραι.

HIPPOCRATIS TEXTUS LXXVIII.

Item maximè videndum eſt, ut in fractura tam femoris, quàm cruris, quantum poteſt, imus calx optimè contineatur: nam ſi dependente pede, crus reliquum fulciatur, neceſſe eſt oſſa gibba in priori parte cruris conſpici: ſin calx juſto ſublimior collocetur, reliquo crure leniter ſuſpenſo, os in priori parte cruris juſto magis ſimum neceſſariò ſe oſtendet, idque adeò, ſi calx hominis naturaliter eſt grandior. Ad hæc omnia oſſa tardiùs conferuent, ubi non figurantur naturaliter, neque in eodem habitu detinentur: præterea callus infirmior circundatur.

rò id, quòd fideliter ſuſtinetur. De crure autem, quod fulcitur, ἡρματισμένης dixit, ducto vocabulo à fulcris, quæ dicuntur Græcè ἕρματα, quorum meminit Poëta in eo carmine.

ὑπὸ δ' ᾕρεον ἕρματα νηῶν.

Sic igitur accipitur vocabulum ἡρματισμένης.

ἐρείσματος ἀποβεβλημένου, εἰ δ' ἔμπαλιν, ἐπί τινος ὀχουμένης ἐπί τινος ἕδρας ἀσφαλῶς. ἡρματισμένης δὲ, παρὰ τὰ ἕρματα, τουτέστι τὰ ἐρείσματα πεποίηκε τοὔνομα. μνησόμεθα δέ που καὶ τὰ ἕρματα, καὶ παρὰ τῷ ποιητῇ γεγραμμένα κατ' ἐκεῖνο τὸ ἔπος, ἔνθα φησίν,

ὑπὸ δ' ᾕρεον ἕρματα νηῶν.

Εἴη ἂν οὕτω τὸ ἡρματισμένης, ἀντὶ τοῦ ἠρτημένης.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΙΠΠΟΚΡΑΤΗΝ
ΠΕΡΙ ΑΓΜΩΝ
ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ.

GALENI IN HIPPOCRATEM
DE FRACTURIS
COMMENTARIUS TERTIUS.

Η ΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Τὴν θεραπείαν τῶν ἀγμῶν, ἐν οἷς τὰ ὀστᾶ γυμνωθέντα, ἢ τὰ μέρη ἑλκωθέντα, τῶν τε σινέων γαυσοὶ, ἀγκῶνες, καὶ γόνυ, ἐπιπλεῖ.

ARGVMENTVM LIBRI.

Curationem earum Fracturarum, in quibus oſſa denudata ſunt, aut partes exulceratæ, noxarumque gibbi, cubiti, & genu, abſolvit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α΄.

Ταῦτα μὲν δὴ, ὅσοισι τὰ μὲν ὀστέα κατέηγε, ἐξέσχε δὲ μὴ, μηδὲ ἄλλως ἕλκος ἐγένετο.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῶν ἁπλῶν καταγμάτων ἄχρι δεῦρο διηγήσατο, καθ' ἃ, μηδὲ ὑπερέσχεν ὀστοῦν τοῦ δέρματος, εἰς τὸ συμφανὲς, ὡς βλέπεσθαι γυμνὸν, ἀλλὰ μηδὲ τὴν ἀρχὴν, ἕλκος ἐγένετο. πρόδηλον μὲν γὰρ ὀστᾶ μὴ ἐξέχοντα, ἢ γυμνούμενα τῶν ὀστῶν, οὐκ ἄνευ τοῦ διαιρεθῆναι τούς γε ἐπικειμένους μύας, καὶ τὸ δέρμα, δύνασθαι παθεῖν. χωρὶς μέντοι τοῦ γυμνωθῆναί τι τῶν κατεαγότων ὀστῶν, ἕλκος γενέσθαι δύναται. μεταβαίνει τοιγαροῦν ἤδη, καὶ διαλέγεσθαι περὶ τῶν μεθ' ἑλκώσεως καταγμάτων, ἤτοι μόνον γινομένων, ἢ καὶ μετὰ τοῦ γυμνωθῆναί τι τῶν ὀστῶν.

HIPPOCRATIS TEXTUS I.

Interveniunt hæc, quibus os quidem fractum eſt, at non excidit, nec alioquin vulnus acceſſit.

GALENI COMMENTARIUS.

Hactenus ſimplices fracturas propoſuit, in quibus neque os cute excidit, ſic, ut nudum ſe oſtendit, neque ullo modo vulnus acceſſit. Conſtat autem oſſa nec excidere, nec nudari, niſi cutis & ſuperiecti muſculi ſecentur: fieri tamen ulcus poteſt, etiam ſi nihil ex comminutis oſſibus detegatur. Tranſit ergo iam atque aggreditur ad fracturas, quibus carnis quoque vulnus acceſſit, ſive id ſolum ſit, ſive præter id, os etiam nudetur.

eſt, ut metuendum ſit ne teſta quæpiam ab oſſe abſcedat: his omnibus aptiſſima deligandi ratio eſt, quæ ſimplici fracturæ accommodatur.

GALENI COMMENTARIUS.

FRacturæ, ubi vulnus quoque adjicitur, duplicem curationem docet, alteram quatenùs aliquid fracti oſſis nudatur, vel teſta urget: quæ à contrito oſſe diducta eſt: alteram, quùm nihil tale eſt; ſed extra fracturam, quæ rectè compoſita eſt, uno vulnere ſolicitatur. Nam, ſi nudum os cute excidit, quod protinus benè compoſitum fuerit, & reſtitutum, mutandum eſſe ſuperius genus curationis non cenſet. Verùm alia requiritur curatio, ubi vulneri adjecta fractura os excedens reſtitutum eſt, neque ſuſpicio eſt, ne aliqua teſta à perfracto eſſe reſolvatur: alia, ubi os tegitur cute, ſed expectatur teſta, quæ reſoluta procedente tempore à natura per vulnus expellatur. In priori caſu utitur iunctura, quam poſuit convenire, ubi os integra cute perrumpitur: in altero variam curationem adſcribit, ut mox evidenter oſtendet: ſatiùs enim eſt ipſum audire.

HIPPOCRATIS TEXTUS III.

NOnnulli (atque hi non admodum proficiunt) ulceribus imponunt aliquod ex purgantibus medicamentis, ut ceratum, quod picem habet: vel quopiam ex iis, quæ cruentis vulneribus injiciuntur: vel quodvis aliud, quod componere ſoleant. Illos autem lauda, qui pannos ſuperdantes vino madefactos, aut lanam ſuccidam, vel ejus generis aliquid devinciunt: ubi verò ulcera pura ſunt, & jam glutinantur, tunc lintea complura adhibent, & per ferulas dirigunt. Hæc ratio curandi aliquid confert, neque multum lædit: oſſa tamen in ſuum locum non ſimiliter reponuntur. Sed hac via fiunt aliquanto tumidiora, quàm par ſit.

GALENI COMMENTARIUS.

REtuli ad eas fracturas, quibus carnis quoque vulnus adjicitur, curationem duplicem ab Hippocrate admoveri. Nunc orſus ab ea quam primo loco poſui, eos primùm reprehendit, qui malè ulceri illi medentur, in quo, quùm fractum os benè compoſitum eſt, nihil aliud quàm ipſum reſtat, neque ulla ſuſpicio

τ̄ κατάγματος τοιοῦτον, οἷος παρέξειν ὀστέων ἰσχυρὰς ἀπο-
B ξόσεις εἶ), ἁρμόζει τοῖς τοιούτοις.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ μὲν ἕλκεσι κατάγματα διττὸν τρόπον θεραπείας ἐπιδέχεται, τὸν μὲν ἕτερον, καθ' ὃν, ἤτοι γυμνόν τι μέρος ἐστὶ τοῦ καταγέντος, ἢ πρός γε τοῦ καταπεπηγότος, ἀπηγμένον τοῦ συντριβέντος ὀστοῦ, τὸν δ' ἕτερον, καθ' ὃν οὐδὲν πέπονθε μὲν τοιοῦτον ἐστίν, ἕλκος δὲ μόνον, ἅμα κατάγματι διαπεπλασμένῳ προσηκόντως. οὐδὲ γὰρ, εἰ καὶ αὐτὴν τὴν πληγὴν, μέρος τι τοῦ καταγέντος ὀστοῦ γυμνωθὲν, ἐξέχει τοῦ δέρματος, εἶτ' εὐ-
C θέως κατεστάθη, καὶ διεπλάσθη κατὰ τὸν προσήκοντα τρόπον, ἡγεῖται δ' ὑπαλλάττεσθαι τὴν θεραπείαν. ἀλλ' ἔστιν αὐτῶν, τὸ μὲν ἕτερον τῆς θεραπείας εἶδος, ὅταν ἕλκος ἅμα κατάγματι, διαπεπλασμένου τοῦ ἐξέχοντός τινος, ἢ ἀποστήσεσθαι προσδοκωμένου μορίου τοῦ κατεαγότος ὀστοῦ. τὸ δ' ἕτερον, ὅταν καλύπτηται μὲν ὑπὸ τοῦ δέρματος, τὸ καταγὲν, ἐπίδοξον δέ τι μέρος αὐτοῦ, τῷ χρόνῳ μεθιᾶθεν, ἀποκριθήσεσθαι πρὸς τῆς φύσεως, διὰ τὸ κατὰ τὸ ἕλκος χωρίον. ὅταν μὲν οὖν ἡ προτέρα διαφορὰ γένηται τοῦ παθήματος, ἀξιοῖ χρῆσθαι τῷ τρόπῳ τῆς ἐπιδέσεως, ὃν ἐδίδαξεν ἐπὶ τῶν χωρὶς ἕλκους καταγμάτων. ὅταν
D δὲ ἡ δευτέρα, μετατίθησί πως τὸν τρόπον τῆς θεραπείας, ὡς ἐφεξῆς μαθησόμεθα, βέλτιον γὰρ ἀκολουθεῖν αὐτῷ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

ΟΙ μὲν μήτε μέγα ἀγαθὸν, μήτε μέγα κακὸν ποιέοντες, ἰητρεύουσι τὰ μὲν ἕλκεα καθαρτικῶν τινι, ἢ πισσηρὴν ἐπιθέντες, ἢ ἔναιμον, ἢ ἄλλο τι ὧν
E εἰώθασι ποιέειν. ἐπαινέω δὲ τοὺς οἰνηροὺς σπλῆνας, ἢ εἴρια ῥυπαρὰ ὁκόσοι ἐπιδέουσιν, ἢ ἄλλο τι τοιοῦτον. ἐπὴν δὲ τὰ ἕλκεα καθαρὰ γένηται, καὶ ἤδη ξυμφύηται, τότε τοῖς ὀθονίοισιν συχνοῖσι πειρῶνται ἐπιδεῖν, καὶ νάρθηξιν κατορθοῦν. αὕτη μὲν ἡ ἴησις ἀγαθόν τι ποιεῖ, κακὸν δὲ οὐ μέγα. τὰ μέντοι ὀστέα, οὐχ ὁμοίως δύναται ἱδρύσασθαι ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τινι ὀγκηρότερα τὰ σώματα τοῦ καιροῦ ταύτῃ γίν.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΩν μεθ' ἑλκώσεως καταγμάτων, διττὴν ἔφην αὐτῷ γεγονέναι τῆς θεραπείας διδασκαλίαν. ἄρχεται δὲ νῦν ἀπὸ τῆς προτέρας, ὧν εἴπομεν, ἐλέγχων πρότερον, ὅσοι κακῶς μεταχειρίζονται τὸν τρόπον τῆς ἑλκώσεως ἐκείνης, ἐν ᾗ μετὰ τὸ διαπεπλάσθαι προσηκόντως τὸ κάταγμα, καὶ ἕλκος ἐστὶν, μηδεμιᾶς ὑποψίας

σιν ἔγραψε, μνημονεύσας πιττηρᾶς μὲν κηρωτῆς, ἐναίμου τε, καὶ καθαρτικοῦ φαρμάκου, καὶ σπλήνων οἰνηρῶν. τὸ μὲν οὖν ἔναιμον φάρμακον, ὅ λέγει; τὸ γὰρ νῦν ἔτι, συνηθέστατόν ἐστι τοὔνομα τοῖς ἰατροῖς, ἐπ' ἐκείνων λεγόμενον τῶν φαρμάκων, ὅσα τοῖς τραύμασιν ἐπιτιθέασιν εὐθὺς ἐξ ἀρχῆς, ἅμα τῷ γενέσθαι, μηδέπω ξηρῶν ἀκριβῶς ὄντων αὐτῶν, ἀλλ' αἱμασσομένων ἔτι, τουτέστι δροσοειδῶς ἐκπίπτοντος αἵματος, ἔκ τε τοῦ τετρωμένου δέρματος, ἢ καὶ τῆς σαρκός. τὸ δὲ καθαρτικὸν φάρμακόν ἐστιν, ὃ σὺν τῷ ξηραίνειν μετρίως, ὅπερ ἐδείχθη τὸ κεφάλαιον τῆς τῶν ἑλκῶν ἰάσεως, ἔτι καὶ ῥυπτικῆς τινος ἔχεται δυνάμεως, καθαρὰ ποιεῖν ἕλκη. τοιαῦτα δέ εἰσι φάρμακα τὰ διὰ λεπίδος καὶ ἰοῦ σκευαζόμενα, διττῶς συντιθέμενα, τινῶν μὲν ἑψόντων τὸν ἰόν, τινῶν δὲ, ὠμὸν μιγνυόντων; καὶ καλεῖται τὰ μὲν ὠμὸν ἔχοντα τὸν ἰὸν, χλωρὰ, τὰ δὲ ἑφθὸν, πυῤῥά. καὶ γὰρ καὶ φαίνεται τοιαῦτα τὴν ἰδέαν ἑκάτερα. ταυτὶ μὲν οὖν τὰ φάρμακα, καθαρτικὴν ἔχει ἑλκῶν δύναμιν, ἐπεὶ μετρίως πέφυκε ῥύπτειν. τοιαῦτα δ' ἐνδεδείξαμεν ὄντα, καθαίροντα ῥύπον ἑλκῶν, τὰ δὲ χωρὶς τοῦ ῥύπτειν ἔναιμα. ποικίλλεται δὲ ἐν ταῖς κατὰ μέρος ὕλαις, ὥσπερ καὶ τὰ πρότερα, καθάπερ ἐκείνων παραδείγματα, ἰὸν εἶπον, καὶ λεπίδα, δυνατὸν ὂν εἰπεῖν μοι, καὶ ἄλλα τοιαῦτα, κατὰ τὸν αὐτὸν τρόπον, καὶ νῦν ἀρκέσει φάναι χωρὶς τοῦ καθαίρειν, ἔναιμα καλεῖσθαι φάρμακα, τὰ δι' ἀσφάλτου σκευαζόμενα· παραδείγματος γὰρ ἕνεκεν τῶν τοιούτων μνημονεύσω, πάσης αὐτῶν τῆς ὕλης, ἐν τοῖς περὶ φαρμάκων, εἰρημένης. περὶ δὲ τῆς πιττηρᾶς κηρωτῆς, ὡμολόγηται σχεδὸν ἅπασι, ὡς ἀνώδυνόν τέ ἐστι, καὶ πυοποιὸν, ἁρμόττον ἐπειδὰν φθάσῃ φλεγμαίνειν ἤδη τὸ ἕλκος. ἄλλως γὰρ οὐκ ἄν τις αὐτῷ χρήσαιτο, μήτε καθαίρειν ῥύπον δυναμένῳ, μήτε κολλᾶν, ἢ ἐπουλοῦν ἕλκος. οἱ δὲ οἰνηροὶ σπλῆνες, ἀποκρουστικῆς μέν εἰσι δυνάμεως, διὰ τὸν οἶνον. ἀντιχειρίσματος δὲ παραλαμβάνονται πρὸς τῶν οὕτω θεραπευόντων, βουλομένων ἐπιδέσμοισι χρῆσθαι διὰ τὸ ἕλκος. ὅσα μὲν οὖν ἐπίστασθαι προσήκει τὸν ὀρθῶς ἕλκος ἰασόμενον, εἴρηται μὲν κἀν τῷ γ'. καὶ δ'. γράμματι τῆς θεραπευτικῆς μεθόδου, κατὰ τὴν προσήκουσαν ἑκάστου τάξιν. εἴρηται δὲ ἴσον ἥρμοττεν, καὶ κατὰ τὴν ἐξήγησιν τοῦ περὶ ἑλκῶν συγγράμματος. εἰς δὲ τὸν ἐνεστῶτα λόγον, ἀρκεῖ καὶ τὰ νῦν εἰρημένα. δεήσει γὰρ ἡμᾶς καὶ αὖθις εἰπεῖν περὶ θεραπείας τῶν προκειμένων παθῶν, ὅταν αὐτὸς ὁ Ἱπποκράτης αὐτὰ θεραπεύῃ. νῦν γὰρ ἑτέρων ἰατρῶν μέμνηται, καί φησιν αὐτοὺς οὐδὲν ἀξιόλογον ἁμαρτάνειν, ὥσπερ ἐκείνους ὧν μνημονεύει. τί τοίνυν ἐστὶν

B picem accipit; tum medicamentorum, & quæ protinus cruentis vulneribus injiciuntur, & quæ purgandi vim habent, item panni vino madentis. Rectè autem medicamenta, quæ cruentis vulneribus injiciuntur, ἔναιμα vocat. Namque etiam nunc apud medicos id vocabuli eſt uſitatum, quo ea medicamenta nuncupare ſolent, quæ vulneribus ſuperdantur, ut primùm illata ſunt, & nondum ex toto ſicca; ſed adhuc cruenta, hoc eſt, cum cruor (græcè αἷμα dicitur) ex cute ipſa vulnerata, ſeu etiam ex carne, in roris ſpeciem deſtillat. Purgans verò medica-
C mentum eſt, quod modicè ſiccat (quam rem demonſtratum eſt caput eſſe in ulcerum curatione) ac detergendi facultatem habet, qua ulcera pura reddit. Hujus generis ſunt mixturæ, quæ ex ærugine æris & ſquama componuntur; quarum duplex ratio eſt, ſiquidem ærugo ab alijs coquitur, ab alijs adjicitur cruda: quæ crudam accipiunt, virides dicuntur: quæ coctam rufæ, à colore, qui in utriſque ſe oſtendit. Igitur hæc medicamenta purgare ulcera poſſunt, quùm mediocrem habeant detergendi fa-
D cultatem. Hujuſcemodi eſſe, quæ ſordem ab ulceribus detrahunt, ſicut contrà, quæ cruentis vulneribus protinus injiciuntur, carere detergendi facultate, indicavimus. Variè autem miſcentur ſicuti priora. At, quemadmodum in illis exempli gratiâ, æris æruginem attuli, ſquamam, potui & alia ſimilia eadem ratione proponere. Nunc autem abundè ſit illud indicaſſe, quod ἔναιμα vocata, quibus ab eſt detergendi facultas, ſunt, quæ ex bitumine componuntur. Horum exempli gratia mentionem faciam, quùm omnia,
E quæ id præſtant, in opere de medicamentis fuerint explanata. Ceratum autem, quod picem habet, inter omnes ferè convenit, lenire dolorem, & pus movere. Tunc verò confert, quùm ulcus jam inflammatione tenetur: alioquin ipſum nemo imponeret, quùm neque detergere ſordem poſſit, neque ulcus glutinare, aut ad cicatricem perducere; at panni vino madentes ob vinum ipſum repellunt, dantur enim ad continendum ab iis, qui hoc modo medentur, qui adhibere volunt ulceris cauſa eas faſcias, quibus antè injectis aliæ ſuperdantur. Quæ autem ſcire oporteat eum qui rectè ulcera cura-
F turus ſit, poſita à nobis ſunt, quo ordine ſingula requirebant, in tertio, & quarto libro de ratione curandi, atque etiam abundè in expoſitione libri de ulceribus. Quod ad hunc locum pertinet, ſatis eſt hæc retuliſſe; nam de curatione propoſitorum affectuum rurſus tractandum nobis erit, quùm Hippocrates illam exequetur: nunc meminit aliorum medicorum, quos ait non ſimiliter gravem noxam afferre, atque illos, quorum mentionem facit. Quid igitur eſt, quod

… jam futurum eſt ut ulcera glutinentur, tunc, qui ſic medentur, incipere deligare eo modo, quo fracturæ convenit. Conſtat autem ulcera ſuppurare, deinde purgari, priuſquam glutinanda ſunt, quod triduo fieri nequit, aut quatriduo.

νόσας, εἴρηται φησὶν, ὁπόταν ἤδη τὰ ἕλκη συμφύεσθαι μέλλῃ, τηνι-
B καῦτα, τοὺς οὕτω θεραπεύοντας ἰατροὺς, ἄρχεσθαι τῆς καταγματικῆς ἐπιδέσεως ἐπίδηλον, ὅτι διαπυΐσκεσθαι, καὶ πρότερον αὐτὰ καὶ καθαρθῆναι, πρὶν μέλλειν συμφύεσθαι, τοῦτο δὲ οὐ κατὰ γ'. ἢ δ'. ἡμέρας ἀριθμόν ἐστι.

HIPPOCRATIS TEXTUS IV.

Quibus tam cruris, quàm brachii utraque oſſa fuerint cõminuta, breviora etiã fiunt.

GALENI COMMENTARIUS.

Brevitatis Hippocratis proprium eſt id, quod in propoſito ſermone deſideratur, apertè ex eo quod ſubjicitur, indicare: quam rem nunc feciſſe perſpicuum eſt: præfatus enim eorum, qui ſuperiori ratione curantur, oſſa reddi tumidiora, non definivit, omniumne, an aliquorum: at nunc ex propoſitis verbis evidenter colligitur, non omnium; ſed eorum duntaxat, quibus alterum fractum eſt, quùm partes, quæ juxta fracturam ſunt, minimè ipſum contineant, ut, quæ per omne tempus curationis, nec adſtrictæ fuerint, nec coarctatæ. Membrum tamen brevius non redditur, quandoquidem alterum os integrum manet, quo naturalis longitudo ſervatur. Sed, ubi utrumque comminuitur, muſculi (ut antè expoſuimus) contracti, ad ſuperiores partes vitiata quoque oſſa contrahunt. Quamobrem extendi ea jubet, antequam componantur. Sed, quia ſine convenienti junctura compoſita oſſa nequeunt contineri, ea de cauſa, donec increſcat callus, curioſè deligat. Quam rem qui negligunt, & ulceris curationi inſiſtunt, non ſolùm tumidum magis, quàm naturaliter conveniat, membrum reddunt; ſed brevius etiam efficiunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

Γένοιτο δὲ ἂν καὶ βραχύτερα, ὧν ἀμφότερα τὰ ὀστέα κατέηγεν, ἢ πήχεος, ἢ κνήμης.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Ἴδιον ἐστὶ τῆς Ἱπποκράτους βραχυλογίας, ἅμα σαφηνείας, διὰ τῶν ἐπιφερομένων, ἐπιδείκνυσθαι τὸ παραλελειμμένον ἐν τῷ προειρημένῳ λόγῳ, τοῦτ' οὖν ἐποίησε νῦν. εἰρηκὼς γὰρ ὀγκηρότερα γίνεσθαι τὰ ὀστέα τῶν θεραπευομένων διὰ τῆς προτέρας ἀγωγῆς, οὐ προσωρίσατο πότερον ἁπάντων, ἢ τινῶν, ἀλλ' ἔν γε τῇ νῦν ῥήσει, σαφῶς ἐδήλωσεν, ὅτι μὴ πάντων, ἀλλ' ἐκείνων μόνων, ὅσων τὸ ἀμφότερον ὀστοῦν ἔπαθεν ὄγκον. μήτ' ἄρ' ἴσχει τὰ μέρη τοῦ κατάγματος, ὡς ἂν μὴ πι-
D ληθέντα, καὶ σφιγχθέντα διὰ παντὸς τοῦ χρόνου τῆς θεραπείας, οὐ μὴν βραχύτερόν γε γίνεται τὸ κῶλον, ὡς ἔνθα θατέρου τῶν ὀστῶν, ὅσον ἀπαθὲς ἔμεινε, διαφυλάττοντος αὐτοῦ τὸ κατὰ φύσιν μέγεθος, ἀλλ' ἐφ' ὧν γε τὰ δύο κατάγῃ, συμβαίνει δηλονότι συνανασπασθῆναι τοῖς μυσὶν, ὡς ἔμπροσθεν ἐδιδάχθη, τὰ ὑψηλότερα μέρη τῶν παθόντων ὀστῶν, οὗπερ ἕνεκα, καὶ τὴν κατάτασιν ἐποιεῖτο πρὸ τῆς διαπλάσεως. ἀλλ' ἐπεὶ χωρὶς τῆς προσηκούσης ἐπιδέσεως, οὐκ ἂν ἡ σύνθεσις τῶν ὀστῶν φυλαχθείη, διὰ τοῦτ' ἀκριβοῦς ἐπιδέσεως προνοεῖται μέχρι τῆς πωρώσεως. οἱ τοίνυν ἀμελοῦντες μὲν ταύτης, ἑλκώσεως δὲ
E προσεσχηκότες, οὐ μόνον εἰς ὄγκον μείζονα τοῦ κατὰ φύσιν, ἄγουσι τὸ κῶλον, ἀλλὰ καὶ μικρότερον ἀποφαίνουσιν.

HIPPOCRATIS TEXTUS V.

Rurſus alii reperiuntur, qui lintea in ejuſmodi caſibus à principio protinus circundantes utrinque devinciunt; ulcus verò ipſum relinquunt, & nudum eſſe patiuntur: deinde ſuper ipſum imponunt aliquod ex purgantibus medicamentis: tum pannis ex vino madentibus, ac lana ſuccida medentur. Hæc quidem curatio aliena eſt: qua qui & in his fracturis, & in aliis utuntur, longè aberrare veriſimile eſt. Maximè enim ad rem pertinet noſſe, quo pacto injici primo linteum debeat, & quà valentiſſimè coarctari: item quid conferas, qua potiſſimum parte convenit, cum faſciæ caput ſuper-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε'.

Ἄλλοι δὲ αὖ τινές εἰσιν οἳ ὀθονίοισι τὰ τοιαῦτα ἰητρεύουσιν εὐθέως, καὶ ἔνθεν μὲν καὶ ἔνθεν ἐπιδέουσι τοῖς ὀθονίοισι, κατὰ δὲ τὸ ἕλκος αὐτὸ διαλείπουσι, καὶ ἐῶσιν ἀναψύχεσθαι, ἔπειτα ἐπιτιθέασιν ἐπὶ τὸ ἕλκος τῶν καθαρ-
F τικῶν τι, καὶ σπλήνεσιν οἰνηροῖσιν, ἢ εἰρίοισι ῥυπαροῖσι θεραπεύουσιν· αὕτη ἡ ἴησις κακή. καὶ εἰκὸς τοὺς ἰητρεύοντας τὰ μέγιστα ἀσυνετεῖν, καὶ ἐν τοῖσιν ἄλλοισι κατήγμασι, καὶ ἐν τοῖσι τοιούτοισι. μέγιστον γάρ ἐστι, τὸ γινώσκειν καθ' ὁποῖον τρόπον χρὴ τὴν ἀρχὴν βάλλεσθαι τοῦ ὀθονίου, καὶ καθ' ὁποῖον μάλιστα πεπιέχθαι, καὶ οἷά τι ὠφελέονται, ἢν ὀρθῶς τις βάλληται τὴν ἀρχὴν, καὶ πιέζῃ ᾗ μάλιστα χρὴ, καὶ οἷα βλάπτονται, ἢν μὴ ὀρθῶς

Τῶν μεγάλως βλαπτόντων, ἐν τούτῳ τῷ λόγῳ μέμνηται, σαφῶς διδάσκων αὐτούς, ἃ πράττουσιν ἀπόμητα. καὶ μέντοι καὶ τὰς ἁμαρτίας αὐτῶν ἐξελέγχει σαφῶς, ὥστε μηδὲν ἂν ἐμοῦ δεῖσθαι τὸν ἐθέλοντα φιλοπόνως τοῖς λεγομένοις προσέχειν τὸν νοῦν. B

GALENI COMMENTARIUS.

Eorum nunc meminit, qui ſummopere lædunt, & quæ ab his admoveantur, planè docet: tum errores ipſorum apertè redarguit, ſic, ut meæ expoſitionis non egeant, qui in iis quæ ab ipſo afferuntur, laborare non recuſent.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ'.

Καὶ γὰρ εἰ ὑγιὲς χρῶς ἔνθεν καὶ ἔνθεν ἐπιδεθείη, ἐν μέσῳ δὲ διαλειφθῇ, μάλιστα κατὰ τὴν διάληψιν οἰδήσειεν ἄν, καὶ ἀχροιήσειεν, πῶς οὖν οὐχὶ ἕλκος γε ταῦτα ἂν πάθοι. C

HIPPOCRATIS TEXTUS VI.

Nam, ſi carnoſa pars, quæ ſana eſt, hinc atque hinc vinciatur, media non comprehenſa, ea pars quæ relicta ſine vinculo fuerit, maximè turgebit, minuſque erit ſui coloris. Quo pacto igitur ulcus hæc effugiet?

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι τὸ σαρκῶδες ἅπαν ὀνομάζει χρῶτα, λέλεκταί μοι καὶ πρόσθεν. ἀλλὰ νῦν γε πρόσεχέ μοι τὸν νοῦν, ὅπως ἂν ἦν ὁ λογικὸς εὑρίσκῃ τὸ προσῆκον, οὐ περιμένων μακρὰν πεῖραν ποιήσασθαι μὴ ἕλκος ἀνεπίδετον ἐῶντες, ἑκατέρωθεν δὲ αὐτοῦ περιβάλλοντες ἐπιδέσμους, οὐκ ἐξ ὧν αὐτοὶ πράττουσιν, D ἀλλὰ διὰ τὴν κακοήθειαν τοῦ παθήματος, ἐπιγίνεσθαι φλεγμονάς, καὶ μοχθηρῶς διατίθεσθαι τὸ ἕλκος, τοῦ μὲν πρώτου τὴν τοιαύτην θεραπείαν ἐπινοήσαντος, ἑαυτὸν παρακρουσαμένου λόγῳ μοχθηρῷ. τῶν διαδεξαμένων δὲ, αὐτὸ τὸ ἔθος πυλαξάντων, διὰ τὸ μὴ τολμᾶν ὑπαλλάξαι. τί δὲ εἰ τὸ μέγα κακὸν ἐργάσασθαι; τοῦτο γὰρ ἐπιεικῶς συμβαίνει, τοῖς ἀλόγῳ τριβῇ μεταχειριζομένοις τὰς τέχνας, ὥστε μόνος ὁ ἀπολογισμὸς, θαρρῶν, ἐξ αὐτῆς τῆς τοῦ πράγματος φύσεως ὁρμώμενος, ὑπαλλάττειν ἐπιχειρεῖ τὰ δι᾿ ἔθους μακροῦ πραττόμενα κακῶς. τίς οὖν ὁ λόγος ἐστὶ ᾧ θαρρήσας ὁ Ἱπποκράτης ὑπήλλαξε τὴν θεραπείαν αὐτῶν, οὐ μὰ Δία, πιθανῶν, οὐδὲ ξένων δεχομένων λημμάτων; ἀλλ᾿ ἐξ ἐπιστημονικῶν τε, καὶ ἀναγκαίων. εἰ γὰρ ἐπὶ τῶν ὑγιαινόντων σωμάτων, ὁ τοιοῦτος τρόπος τῆς ἐπιδέσεως, εἰς τὴν μεταξὺ τῶν ἐπιδουμένων χώραν ἐκθλίβων ἑκατέρωθεν τὸ αἷμα, φλεγμονὴν ἐργάζεται, πῶς οὐ πολὺ μᾶλλον ἐπὶ τῶν ἤδη πεπονθότων ἐργάσεται. E

GALENI COMMENTARIUS.

Hippocrates quamlibet carnoſam partem appellat χρῶτα, ut ſuprà quoque indicavimus. Nunc illud animadvertendum eſt, quod qui rationalem medicinam profitetur, ubi præſidium idoneum eſſe comperit, non expectat longum uſum. Putant autem, ubi ulcus ſine vinculo dimittentes, utrinque faſciam circumagunt, excitari inflammationem, & ulcus malè affici ex mala conditione affectus, at non ex ea, quam adhibent, curatione: cujus primus auctor ſe ipſum falſa ratione decepit: ſucceſſores verò uſitatam hanc curationem edocti ſervarunt, eò quòd mutare non auderent: Ex quo magnum malum ſequitur. Id illis merito evenit, qui artes uſu ſine ratione pertractant: una enim ratio eſt, qua fretus aliquis, rei natura demonſtrante, mutare tentat, quæ malè fuerant longo uſu recepta. Qua ergo ratione motus Hippocrates ipſorum curationem mutavit? non hercle probabili aſſumptione, aut aliena, ſed quæ ſcientiam faceret, ac neceſſaria eſſet. Quod ſi corporibus benè valentibus, ſub ea vinciendi ratione materia utrinque in medium ſpatium inter partes devinctas expreſſa, inflammationem excitat, quî non longè magis id faciet ægrotantibus?

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ'. F

Ἀναγκαίως οὖν ἔχει, ἄχροον μὲν, καὶ ἐκπεπιεσμένον τὸ ἕλκος εἶναι, δακρυῶδες δὲ καὶ ἀνεκπύητον εἶναι, ὀστέα δὲ, καὶ μὴ μέλλοντα ἀποστῆναι, ἀποστατικὰ γίνεσθαι.

HIPPOCRATIS TEXTUS VII.

Igitur neceſſe eſt, decoleretur ulcus, & materia ad ipſum exprimatur, tum lacrymet, ac minimè ſuppuret: oſſa verò, & quæ abſceſſura non eſſent, abſcedant.

... non injuria complectitur, quod & ipſum conſtat ex immodica inflammatione provenire. Deſtillat verò ab ulcere tenuis, & cruda ſanies, ſimiliter ac lachrymæ ab oculis inflammatis. Inde tranſlatione uſus, dixit lachrymare ulcus, ubi ſic afficitur. Prætereà ſucci, qui inflammationem excitarunt, crudi permanent, dum ea vinculi ratio admovetur. Sed & oſſa neceſſe eſt procedente tempore vitiari. His enim crudorum ſuccorum abundantia madefactis, mirum non eſt, ſi qua particula abſcedat, ubi qui ſic medetur, ab alieno vinculo non deſiſtat. Singula, quæ in univerſo ſermone reſtant, evidentiſſima fient, ſi quis (ut diximus) animum adjungat: cum in memoria habeat, quæ ſuprà oſtenſa ſunt: eò enim hæc omnia pertinent, & (quemadmodum ipſe Hippocrates admonet) his illa confirmantur.

πωμά ἐστι μεγάλης φλεγμονῆς. ἐξ αὐτοῦ δὲ τοῦ ἕλκους, ἰχὼρ λεπτὸς καὶ ἄπεπτος ῥεῖ, καθάπερ ἐπὶ τοῖς ὀφθαλμοῖς, ὅταν φλεγμαίνωσι, τὸ δάκρυον. ἐντεῦθεν μὲν ὠνόμασε κατὰ μεταφορὰν, τὸ οὕτω διακείμενον ἕλκος, δακρυῶδες. οὐχ οἷόν τε ἐνδέχεται, πέψιν ἀκολουθῆσαι τοῖς τὴν φλεγμονὴν ἐργαζομένοις χυμοῖς, ἄχρις ἂν οὕτως ἐπιδῶνται τὸ μόριον. ἀλλὰ καὶ τὰ ὀστᾶ ἀνάγκη τι τοῦ χρόνου βλαβῆναι, διαβρεχομένων ὑπὸ τῆς ἀφθονίας τῶν ἀπέπτων χυμῶν. οὐδὲν οὖν θαυμαστὸν ἀποστῆναί τι μέρος αὐτῶν, εἰ μὴ παύσαιντο, ὑπό τι τῆς μοχθηρᾶς ἐπιδέσεως, οὕτω θεραπεύων. τὰ δ᾽ ἄλλα κατὰ μέρος ἐν ὅλῳ τῷ λόγῳ σαφῆ πάντ᾽ ἐστὶ τοῖς προσέχουσι τὸν νοῦν, ὡς ἔφην, καὶ μεμνημένοις τῶν προδεδιδαγμένων. εἰς ἐκεῖνα γὰρ ἀναφέρεται πάντα, καὶ μαρτυρεῖ τοῖς καλῶς διδαχθεῖσιν, ὡς καὶ αὐτὸς Ἱπποκράτης ἐπισημαίνεται.

HIPPOCRATIS TEXTUS VIII.

Vlcus item pulſu affligetur, atque igneum erit, tumor item coget cataplaſmata ſuperdari: quod incommodum ſimiliter afferunt, qui utrinque deligant, quum præter alium pulſum, inutile quoque onus adjiciant. Faſcias tandem ſolvunt, ubi ulcus recrudeſcere conſpiciunt, & reliquo tempore ſine junctura medentur. Nec ſecus curant quoque, ſi aliud vulnus nacti ſint. Siquidem hæc evenire minimè cenſent, eò quòd hinc atque hinc deſigaverint, & nudum vulnus reliquerint, ſed aliquod aliud infortunium cauſantur. Quòd ſi hanc deligandi viam penitus alienã eſſe, frequentari verò à compluribus, tũ maximè ad rem pertinere eam dediſcere, apertè nõ cognoviſſem, non tã multa ſcripſiſſem. Adde, quòd hæc teſtantur, quæ ſuprà expoſita ſunt, maximène an minimè adſtringendũ ſit, rectè fuiſſe tradita. Oportet autem (ut ſummatim dicam) ubi nullũ expectatur os quod receſſurũ ſit, ſimiliter curare, atque ubi ſine ulcere fractura eſt. Extendenda enim æquè oſſa ſunt, ac dirigenda, & eodem modo vincienda: Ad hæc ulcus cerato quod picem habeat, inungendũ, tenuive panno duplici contegendũ, proximæque partes albo cerato illinendæ. Faſciæ vero, cæteraque ſcindenda paulo latiora, quam ſi ulcus non eſſet: & qua parte primum dantur, latiora multo danda, quam ulcus, quum, quæ anguſtiora ſunt inſtar zonæ ulcus cingant, quod minimè expedit. Primus enim circuitus totum ulcus complecti debet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

Σφυγματῶδές τε καὶ πυρετῶδες τὸ ἕλκος ἂν εἴη, ἀναγκάζονται δὲ διὰ τὸ οἴδος, ἐπικαταπλάσσειν. ἀσύμφορον δὲ καὶ τοῦτο τοῖσιν ἔνθεν καὶ ἔνθεν ἐπιδέουσιν. ἄχθος γὰρ ἀνωφελὲς πρὸς τῷ ἄλλῳ σφυγμῷ ἐπιγίνεται. τελευτῶντες δὲ ἀπολύουσι τὰ ἐπιδέσματα, ὁπότ᾽ ἄν σφιν ταλαιπωρέῃ, καὶ ἰητρεύουσι τὸ λοιπὸν, ἄνευ ἐπιδέσιος. οὐδὲν δ᾽ ἧσσον, καὶ ἤν τι ἄλλο τρῶμα τοιοῦτο λάβωσι, τὸν αὐτὸν τρόπον ἰητρεύουσιν. οὐ γὰρ οἴονται τὴν ἐπίδεσιν τὴν ἔνθεν καὶ ἔνθεν, καὶ τὴν ἀναψύξιν τοῦ ἕλκεος αἰτίην, ἀλλ᾽ ἄλλην τινὰ ἀτυχίην. οὐ μήν τοι γε ἂν ἔγραφον περὶ τούτου τοσαῦτα, εἰ μὴ εὖ μὲν ᾔδειν ἀσύμφορον ἐοῦσαν τὴν ἐπίδεσιν, συχνοὺς δὲ οὕτως ἰητρεύοντας, ἐπίκαιρον δὲ τὸ ἀπομάθημα. μαρτύριον δὲ τοῦ ὀρθῶς γεγράφθαι τὰ πρόσθεν γεγραμμένα, εἴτε μάλιστα πιεστέα τὰ κατήγματα, εἴτε ἥκιστα. χρὴ δὲ ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, οἷσιν ἂν μὴ ἐπίδοξος ᾖ, ἢ τῶν ὀστέων ἀπόστασις ἔσεσθαι, τὴν αὐτὴν ἰητρείην, ὥσπερ ἂν οἷσιν ὀστέα μὲν κατεηγότα εἴη, ἕλκος δὲ μὴ ἔχοντα. τάς τε γὰρ κατατάσιας, καὶ κατορθώσιας τῶν ὀστέων, τὸν αὐτὸν τρόπον ποιέεσθαι, τήν τε ἐπίδεσιν παραπλησίην. ἐπὶ μὲν γὰρ αὐτὸ τὸ ἕλκος πιττηρὴν κηρωτὴν χρίσαντα, σπλῆνα λεπτὸν διπλόον ἐπιδεῖν, τὰ δὲ πέριξ, κηρωτῇ λευκῇ χρίειν. τὰ δὲ ὀθόνια, καὶ τὰ ἄλλα, πλατύτερα χρὴ ἐσχισμένα ἔστω, ἢ εἰ μὴ ἕλκος εἶχεν. καὶ ᾗ ἂν πρῶτον ἐπιδέηται, συχνῷ ἢ τὸ ἕλκος πλατύτερα. τὰ γὰρ στενώτερα ἢ ζωστῆρος τοῦ ἕλκεος πλατύτερα. τὰ γὰρ στενώτερα ἢ ἕλκος ζώννυσι τὸ ἕλκος· ὃ δ᾽ οὐ χρή, ἀλλ᾽ ἡ πρώτη περιβολὴ ὅλον κατεχέτω τὸ ἕλκος.

εἶδός τι, καὶ οἴδημα, δι' ἔθους ἐστὶν ὀνομάζειν αὐτό. προσλαβὼν δὲ σφυγμὸν ὁ τοιοῦτος ὄγκος, καὶ θερμασίαν πυρώδη, τῆς ὀνομασθείσης πρόσθεν ἰδίως ἀπέλαυσε φλεγμονῆς. πάλαι γὰρ οὐχ οὕτως, ἀλλὰ τὰς φλογώσεις ἁπάσας ὠνόμαζον φλεγμονάς, ὡς πολλάκις ἡμῖν δέδεικται. ἀλλ' ἀπό γε τῶν Ἐρασιστράτου χρόνων, εἴθισται τὸ τῆς φλεγμονῆς ὄνομα λέγεσθαι κατὰ τῶν ὄγκων ἐκείνων, ἐν οἷς οὐ μόνον ἐστὶ θερμασία φλογώδης, ἀλλὰ καὶ ἀντιτυπία, καὶ σφυγμός. ἐξ ἀνάγκης δ' αὖ ἔχουσιν οὗτοι καὶ τὸ καλούμενον ἔρευθος. ἐκ μὲν γὰρ τῆς πλείονος θερμασίας, τοῦτο τὴν γένεσιν ἀναγκαίαν λαμβάνει, ἡ δ' ἀντιτυπία, καὶ ὁ σφυγμός, ἐκ τοῦ πεπληρῶσθαι. δυνάμενος οὖν εἰπεῖν ὁ Ἱπποκράτης, πυρετῶδες γίνεσθαι τὸ ἕλκος, πυρῶδες εἶπεν, ἀπὸ τοῦ πυρὸς ἐργασάμενος τὴν παράκλησιν, εἰς ἀνάμνησιν ἐμοὶ δοκεῖν, ὅτι καὶ αὐτὸς ὁ πυρετός, ἀπὸ τοῦ πυρὸς ὠνόμασται, καὶ τουτέστιν αὐτοῦ τοῦ πυρετοῦ εἶναι, τὸ θερμασίαν ἔχειν καπνώδη.

quùm pulſus accedit, atque ardor, inflammationem perficit, quæ propriè φλεγμονὴ ſuperiùs appellata eſt: quod vocabulum non ſic accipiebatur apud veteres, eo ſiquidem notabant omnem ardorem, quemadmodum ſæpenumerò declaravimus: ab Eraſiſtrati verò ſeculo conſuevit uſurpari ad illos tumores ſignificandos, quibus non modò ardor accedit, ſed renixus etiam & pulſus, neceſſarióque rubent. Ruborem efficit ingens ardor: renixus & pulſus à multitudine oritur. Poterat Hippocrates igneum ulcus dicere πυρετῶδες, quaſi febricitans: dixit autem πυρῶδες, ſumpto vocabulo ab igne, quem græci πῦρ vocant, quo ardorem (ut mea fert opinio) nobis reduceret in memoriam: quoniam & febris, quæ πυρετὸς græcè nuncupatur, ab eodem vocabulo ducitur, quùm nihil aliud ſit febris natura, quam igneus calor.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ΄.

Καὶ περιεχέτω τὸ ὀθόνιον, ἔνθεν τε καὶ ἔνθεν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σπανίως τοίνυν, τὸ ἄνωθεν καὶ κάτωθεν ὀνομάζεται πρὸς τῶν παλαιῶν, ἔνθεν καὶ ἔνθεν. ὡς τὰ πολλὰ γάρ, εἰώθασιν ἐπὶ τῶν κατὰ τὰ πλάγια μερῶν, τοιαύτῃ χρῆσθαι λέξει. νῦν μέντοι τῷ παλαιῷ τρόπῳ τῆς ἑρμηνείας ὁ Ἱπποκράτης ἐχρήσατο.

HIPPOCRATIS TEXTUS IX.

Feratur item faſcia præter ulcus ad partes etiam, quæ ſuprà ſunt, atque infrà.

GALENI COMMENTARIVS.

Veteres quùm ſuperiorem, atque inferiorem partem ſignificare volunt, raro ἔνθεν καὶ ἔνθεν ſcribunt; His enim vocabulis plerunque exprimunt partes utrinque à lateribus ſitas: Hippocrates tamen hic antiquam exponendi figuram uſurpavit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι΄.

Βάλλεσθαι μὲν οὕτω χρὴ τὸ ὀθόνιον κατ' αὐτὴν τὴν ἴξιν τοῦ ἕλκεος, πιέζειν δὲ ὀλίγῳ ἧσσον ἢ εἰ μὴ ἕλκος εἶχε· ἐπινέμεσθαι δὲ τῇ ἐπιδέσει ὥσπερ καὶ πρόσθεν εἴρηται. τὰ δὲ ὀθόνια αἰεὶ μὲν τῷ τρόπῳ τῷ μαλθακοῦ ἔστωσαν. μᾶλλον δέ τι δεῖ ἐν τοῖσι τοιούτοισιν, ἢ εἰ μὴ ἕλκος εἶχεν. πλῆθος δὲ τῶν ὀθονίων μὴ ἐλάσσω ἔστω τῶν πρόσθεν εἰρημένων, ἀλλὰ καὶ πλείω. ἢν δὲ ἐπιδεθῇ, δοκείτω τῷ ἐπιδεδεμένῳ, ἡρμόσθαι μὲν πεπιέσθαι δὲ μή. φάτω δὲ κατὰ τὸ ἕλκος μάλιστα ἡρμόσθαι. τοὺς δὲ χρόνους τοὺς αὐτοὺς μὲν χρὴ εἶναι ἐπὶ τὸ μᾶλλον δοκέειν ἡρμόσθαι. τοὺς αὐτοὺς δὲ ἐπὶ τὸ μᾶλλον δοκέειν χαλᾷν, ὥσπερ καὶ ἐν τοῖσι πρόσθεν εἴρηται. μεταπιδεῖν δὲ διὰ τρίτης, πάντα μεταποιέοντα ἐς τοὺς τρόπους τοὺς παραπλησίους, ὥσπερ καὶ πρόσθεν εἴρηται, πλὴν ἐς τὸ σύμπαν ἧσσόν τι πιέζειν ταῦτα, ἢ ἐκεῖνα. καὶ ἢν κατὰ λόγον τὰ εἰκότα γίνηται, ἰσχνότερον μὲν αἰεὶ εὑρεθήσεται τὸ κατὰ τὸ ἕλκος. ἰσχνὸν δὲ καὶ τὸ ἄλλο πᾶν τὸ ὑπὸ τῆς ἐπιδέσιος κατεχόμενον, καὶ αἵ τε ἐκπυήσιες ἔσονται θάσσους ἢ τῶν ἄλλων

HIPPOCRATIS TEXTUS X.

Ergo caput faſciæ injiciatur è regione ulceris, & laxius paulo attrahatur, quam ſi fractura eſſet citra ulcus. Circumagatur autem eo modo, quo ſuprà poſitum eſt: ſintque faſciæ molliores ſemper, quàm ſi integra cute, os eſſet abruptum: neque pauciores, quàm prius duximus, ſed aliquanto plures: homini verò, quum involutus fuerit, videantur aptiſſimè inhærentes, non tamen adſtrictæ, aſſeratque ſuper plagam maximè inhærere: tum eodem tempore, quo ſuprà indicavimus, ipſas & benè inſidentes, & laxiores ſentiat: deinde tertio quoque die ſolvantur, & rurſus alligentur. In cæteris ſimiliter agendum, ut in ſuperioribus: hic tantum latius, quàm ibi coarctentur. Quod ſi fiat, quæ rationi conſentanea ſunt, locus in quo plaga eſt, & reliqua etiam ſub vinculo comprehenſa ſemper graciliora ſe oſtendunt: jam verò & pus

IXin ſemper intelligit Hippocrates, è regione, modò in longitudinem corporis, modò in latitudinem: veluti nunc, quùm voluit primæ faſciæ caput dari ſuper dexteram, vel ſiniſtram ulceris partem, dein ſuper ipſum ulcus involvi, ſic, ut univerſum complectatur, neque ullam partem nudam relinquat.

B Ἴξιν ἀεὶ τὴν εὐθυωρίαν ὀνομάζει, ποτὲ μὲν τὴν κατὰ τὸ μῆκος τοῦ σώματος, ἔστι δ' ὅτε, τὴν κατὰ τὸ πλάτος, ὥσπερ νῦν, ἀξιῶν, τοῦ πρώτου τῶν ἐπιδέσμων τὴν ἀρχὴν, ἢ ἐκ τῶν δεξιῶν, ἢ τῶν ἀριστερῶν μερῶν τοῦ ἕλκους θεῖναι, ἐπιλίττειν ὅλον αὐτὸ καταλαμβάνουσαν, καὶ μηδὲν ἀπολειποῦσαν μέρος γυμνόν.

HIPPOCRATIS TEXTUS XI.

Reliqua curatio eſſe debet, perinde ac ſi oſſa citra plagã perfringantur, niſi quòd ferulæ non ſūt imponendæ. Quãobrem pluribus faſciis hîc opus eſt quàm alibi, quùm & minus adſtringendum ſit, & ferulæ tardius circundandæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιαʹ.

C Τὰ μὲν οὖν ἄλλα πάντα, παραπλησίως χρὴ ἰητρεύειν, ὥς τε ἄνευ ἑλκώσιος ὀστέα κατεηγνύμενα, τοὺς δὲ νάρθηκας οὐ χρὴ περιτιθέναι. διὰ τοῦτο, καὶ τὰ ὀθόνια χρὴ τουτέοισιν πλείω εἶναι, ἢ τοῖσιν ἑτέροισιν, ὅτι τε ἧσσον πιέζεται, ὅτι τε οἱ νάρθηκες βραδύτερον περιτίθενται.

GALENI COMMENTARIUS.

INterdicit, ne ferulæ imponantur, ubi fracto oſſi vulnus acceſſit, veritus ne comprimant: atque ob eam præcipit, ne arctiùs ſuper has faſciæ deligentur, ſed utraque de cauſa plures imponantur. Memento autem ipſum imperaſſe, ut plures injicerentur, propterea, quod & minùs coarctantur, & ad ferulas tardius venitur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοὺς νάρθηκας ἐπιβάλλειν φυλάττεται τοῖς ἡλκωμένοις κατάγμασι, δεδιὼς δηλονότι τὴν ἐξ αὐτῶν θλῖψιν. δι' αὐτὸ δὲ τοῦτο, καὶ τοῖς ὀθονίοις ταῦτα μὴ πιέζειν ἐκέλευσε, καὶ δι' ἄμφω δὲ ταῦτα, πλείοσιν αὐτοῖς χρῆσθαι. μέμνησο D τοιγαροῦν, ὡς αὐτὸς εἶπεν, ὀθονίοισι πλείοσι χρῆσθαι, διότι τε ἧσσον πιέζεται, καὶ οἱ νάρθηκες βραδύτερον περιτίθενται.

HIPPOCRATIS TEXTUS XII.

TAmen, ſi ferulæ ſuperaccommodentur, è regione ulceris minimè circumponantur: deturque opera, ut laxiores ſint, ne vehementer adſtrictæ premant, quam rem in ſuperioribus quoque propoſuimus. Tenuiori autem cibo diutiùs contenti ſint, quibus à principio carnis quoque vulnus acceſſit, vel oſſa cute exciderunt, & (ut una complexione complectar) graviſſimæ fracturæ rationem victus tenuiorem amant, & diuturniorem.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβʹ.

Ἢν μέντοι τοὺς νάρθηκας περιτιθῇς, μὴ κατὰ τὴν ἴξιν τοῦ ἕλκεος περιτιθέναι, ἀλλ' ὥς τε καὶ χαλαρῶς περιτιθέναι, προθυμεόμενος ὅκως μηδεμία σφίγξις μεγάλη ἔσται ἀπὸ τῶν ναρθήκων. εἴρηται δὲ τοῦτο καὶ ἐν τοῖσι πρότερον γεγραμμένοισιν· τὴν μέντοι δίαιταν E ἀκριβεστέρην, καὶ πλείω χρόνον χρὴ ποιέεσθαι, οἷσιν ἐξ ἀρχῆς ἕλκεα γίνεται, καὶ οἷσιν ὀστέα ἐξίσχει, καὶ τὸ ξύμπαν δὲ εἰρῆσθαι, ἐπὶ τοῖσιν ἰσχυροτάτοισι τρώμασιν, ἀκριβεστέρην, καὶ πολυχρονιωτέρην εἶναι χρὴ τὴν δίαιταν.

GALENI COMMENTARIUS.

E Regione nunc intelligit in longitudinem, in hanc ſiquidem ferulæ imponuntur. Suprà loquutus eſt, ut, qui ferulas ſummovebat: nunc, ut is, qui nonnunquam ipſas accipit. Inquit, tamen, ſi ferulæ ſuperaccommodentur. Quid ipſe in ejuſmodi caſibus facere conſueverit, & in ipſo crure etiam, non eſt, quod contendam, quùm rem minimè definiverit. Exponam tamen id, quod facio. In illis fracturis, quibus in longitudinem membri, carnis quoque vulnus accedit, ferulas utrinque à lateribus vulneris adhibeo; ſed ſi hoc tranſverſum fuerit, non patitur ferulas ſuperdari, præſertim ubi grandius ſit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν κατὰ τὸ μῆκος ἴξιν, ἀκούειν προσήκει νῦν, κατὰ ταύτην γὰρ οἱ νάρθηκες ἐπιβάλλονται. ἔμπροσθεν μὲν, ὡς κωλύων F νάρθηξι χρῆσθαι, τὸν λόγον ἐποιεῖτο, νῦν δὲ ὡς συγχωρῶν, ἐνίοτέ φησιν. ἢν μέντοι τοὺς νάρθηκας περιτιθῇς, ὅπερ ἐγὼ ποιεῖν ἐπὶ τῶν τοιούτων εἴωθα. καὶ ἐπὶ σκέλους πράττειν οὐκ ἔχω διατείνεσθαι, μηδένα αὐτοῦ διορισμὸν προστιθέντος. ὃ δ' ἐγὼ ποιῶ, καὶ δὴ φράσω· τῶν μετὰ κατάγματος ἑλκώσεων, ἐνίοτε κατὰ τὸ μῆκος τοῦ κώλου γιγνομένων, εἴωθα τοὺς νάρθηκας ἑκατέρωθεν τοῦ ἕλκους ἐπιβάλλειν. ὅταν δὲ ἐγκάρσιον γένηται τὸ ἕλκος, κωλύει τὴν ἐπίθεσιν τῶν ναρθήκων, καὶ μάλιστα, εἰ μεῖζον ᾖ.

ἕλκεος ὑπῇ τῇ τι ὀδύνῃ καὶ τοῖσι σφυγμοῖσι, καὶ τὸ οἴδημα τὸ ἐν τοῖσιν ἄκροισιν, σκληρὸν γίνεται τῶν τεινυτίων, καὶ εἰ τὸν δάκτυλον ἐπαγάγοις, ἐξαείρεται, ἀτὰρ καὶ αὖθις ἀποτρέχει ταχέως. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, λύσαντα χρή, ἢν μὲν ὁ κνησμὸς κατὰ τὰς ὑποδεσμίδας, ἢ ἐπὶ τὸ ἄλλο τὸ ἐπιδεδεμένον, πισσηρῇ κηρωτῇ, ἀντὶ τῆς ἑτέρης χρῆσθαι.

... tibus indureſcit: & ſi digito preſſeris, exprimitur, ac rurſus citò revertitur. Igitur, ſi quid tale B ſuſpectum ſit, ſolvere oportet: atque ubi, vel ea pars, cui ſuperdatur illæ faſciæ, quæ prima injicitur, vel altera, quæ devincta fuerit, pruriat, in vicem alterius cerati inungenda eſt, eo quod picem habeat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ο λόγος αὐτῷ νῦν ἐστι, περὶ τῶν ἐπιγινομένων ἑλκῶν τοῖς κατάγμασιν ἐν τῷ χρόνῳ, ἐκ τῆς τῶν ναρθήκων ἐπιδέσεως. ἐδίδαξεν οὖν τάς τε τῆς γενέσεως αὐτῶν αἰτίας, καὶ τὰ σημεῖα, δι' ὧν ἄν τις γνωρίσαι γεγονὸς ἕλκος. εἶτα συμβουλεύει, μὴ περιμένειν τὸν εἰθισμένον χρόνον τῆς ἐπιδέσεως, ἀλλὰ θᾶττον ἀφελόντα τοὺς ἐπιδέσμους, τὴν προσήκουσαν ποιεῖσθαι θεραπείαν, ἣν αὐτὸς σαφῶς ἔγραψεν. C

GALENI COMMENTARIUS.

DE ulceribus nunc agit, quæ procedente tempore fractò oſſi ob circumpoſitas ferulas ſuperveniunt. Docet ergo, quibus de cauſis fiant, quibuſque indiciis cognoſcantur, ubi jam orta ſunt: poſt hæc præcipit, ne per conſuetum tempus alligatas eſſe faſcias ſinamus, ſed celeriùs ſubtrahentes, idoneam curationem quam ipſe evidenter expoſuit, admoveamus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδʹ.

ΗΝ δὲ τούτων μὲν μηδὲν ᾖ, αὐτὸ δὲ τὸ ἕλκος ἠρεθισμένον, εὑρίσκεται μέλαν ἐπὶ πουλὺ, ἢ ἀκάθαρτον, καὶ τὴν μὲν σάρκα ἐκπυησομένην, τὰ δὲ νεῦρα προσεκπεσούμενα, τουτέους οὐδὲν δεῖ D ἀναψύχειν παντάπασιν, οὐδέ τι φοβεῖσθαι τὰς ἐκπυήσιας ταύτας, ἀλλ' ἰητρεύειν. τὰ μὲν ἄλλα παραπλήσιον τρόπον, ὥσπερ καὶ οἷσιν ἐξ ἀρχῆς ἕλκος ἐγένετο.

HIPPOCRATIS TEXTUS XIV.

AT ſi nihil eiuſmodi ſit, ſed ipſum ulcus irritatum, nigrum valdè, aut ſordidum reperiatur: tum caro purulenta, futurumque etiam ſit, ut nervi excidant: hos non convenit ex toto nudare, neque ſuppurata hæc timere; ſed in cæteris eadem ratione mederi, atque ubi initio vulnus adjectum eſt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΝαψύχειν, ἔοικεν ἐπὶ τοῦ γυμνῶσαι φέρειν, ὅπερ σημαίνει, τὴν καταγματικὴν ἐπίδεσιν ἀφελόντας, ὡς ἕλκος μὲν θεραπεύειν. οὐ γὰρ δὴ τό γε μηδὲν ἐπιτιθέναι, καὶ παντάπασιν ἐᾶν γυμνὸν, ἀναψύχειν ὠνόμασε προσγεγραμμένον, οὐδὲ τὸ ἀναψύχειν, τὸ παντάπασι δηλοῦταί τι, E διὰ μέσην ὁδὸν ἐπιμελείας. εἴη δ' ἂν μέση τοιάδε τις, εἰ τὸ ἕλκος, ὡς εἴρηκεν, ἔχει τι τῶν προειρημένων σημείων κινηθέντων, αὐτίκα τελευτῆσαι βούλεται τὴν καταγματικὴν ἐπίδεσιν, ἐπιμέλειάν τε ποιησαμένους τὴν κατὰ τὸ ἕλκος, ἡμέρα μιᾷ, καὶ δευτέρᾳ, πάλιν ἐπιδῆσαι μὲν τὸ κῶλον, ὡς αὐτὸς ἐκέλευσε, διὰ τῆς ἐχομένης λέξεως.

GALENI COMMENTARIUS.

NUdare dixit ἀναψύχειν, hoc eſt, vinculum detrahere fracturæ idoneum, ut ulcus nutriatur: non enim vult nullâ re impoſitâ, nudum prorſus ipſum relinqui; ſed adjiciens, non convenit ex toto nudare, mediam curationem indicat: eſſet autem media hujuſmodi quæpiam. Si in vulnere aliquod ex propoſitis ſignis apparet, imperat, ut quamprimùm ſolvatur junctura fractis oſſibus accommodata: & uno atque altero die curatio, quam ulcera poſtulant, adhibeatur: membrumque rurſus deligetur, quemadmodum ſubjecta verba demonſtrant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. ιεʹ.

F ΤΟῖσι δὲ ὀθονίοισιν ἄρχεσθαι χρὴ ἐπιδέοντα, ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν τοῖς ἄκροισι πάνυ χαλαρέοισιν, καὶ ἔπειτα ἐπινέμεσθαι τὴν ἐπίδεσιν αἰεὶ ἐς τὸ ἄνω, καὶ πιέζεσθαι μὲν μηδαμῇ. ἠρεῖσθαι δὲ μάλιστα κατὰ τὸ ἕλκος, τὰ δὲ ἄλλα ἐπὶ ἧσσον. τὰ δὲ ὀθόνια τὰ πρῶτα, ταῦτα μὲν καθαρὰ ἔστω καὶ μὴ στενά. τὸ δὲ πλῆθος τῶν ὀθονίων, ἔστω ὅσονπερ καὶ ἐν τῇσι νάρθηξιν εἰ ἐπιδέοιτο, ἢ ὀλίγῳ ἔλασσον.

HIPPOCRATIS TEXTUS XV.

TAntum faſciæ laxæ admodum ordiantur à tumore, qui in extremitatibus eſt, deinde ſemper ſurſum verſus circumagantur, neque ullo modo coarctentur, inſideant item ulceri commodiſſimè, alibi verò laxius vinciantur. Sin autem hæc prima lintea munda, non anguſta: & eorum, quæ circundari ſolent, ubi ferulæ imponuntur, vel numerum æquent, vel non multò pauciora ſint.

bet autem faſciam commodiſſimè ulceri inſidere, hoc eſt laxam eſſe catenus, ut nullo modo adſtringatur: ſuper cæteras verò partes, atque adeò juxta fracturam magis edicit, ut minimè coarctetur: perpetuum enim eſſe voluit arctiùs eam partem vinciri, unde ſanguis exprimi debet: monet autem ut in extremitatibus, quæ tumidæ ſunt, faſcia laxiùs alligetur, ad id conſilium dirigens, ut vinculum in unum committatur. At non propterea caput totius curationis illi committit: non enim id eſt, quod in hoc caſu remedio ſit fractis partibus, ubi nigræ ſunt, atque emoriuntur; ſed tumori, de quo ad verbum ſcripſit, tumor extremis partibus indureſcit, & ſi digito preſſeris, exprimitur, ac rurſus citò revertitur. Hæc tumoribus ſuperveniunt: jure igitur non æquè eos negligit, atque ubi molles ſint, nec ad eoſdem dirigit præcipuum totius curationis conſilium.

HIPPOCRATIS TEXTUS XVI.

Vlceri abundè eſt pannum inducere albo cerato imunctū, ſive caro, ſive nervus cadere debeat: his enim acria ſuperdare non expedit, ſed mitia, non ſecus, atque aduſtis. Inſuper tertio quoque die ſolvere convenit, ac rurſus devincire: tum ferulas vitare, & magis quàm antè conquieſcere, atque abſtinere. Scire etiam oportet, ubi futurum ſit: ut vel caro, vel nervus excidat, hac ratione vitium minus ſerpere, & celerius multo excidere, ac proximas partes fieri longè graciliores, quàm ſi ulcus linteis reſolutis, quopiam ex medicamentis purgantibus nutriatur. Jam verò, ubi excidat quod purulentum eſt, citius caro increſcet, & cicatrix maturius inducetur hoc pacto, quàm ſi alio ſuccurramus. Hæc omnia igitur eò pertinent, ut ſciamus rectè & cum moderatione deligare. Eò etiam confert idoneus habitus, reliqua victus ratio, & faſcia quamaptiſſima.

GALENI COMMENTARIUS.

Declaravit ipſe aduſtorum exemplo, cur acrium medicamentorum uſus ejuſmodi vulneribus noceat: ſi quidem orta ſunt ex calidiorum, atque acrium ſuccorum mixtura. Cum quo ſimul etiam oſtenditur, albo cerato acrius eſſe id, quod picem habet: pix enim eò eſt acrior cerâ, quò calidior.

συμπλευμένων. ἀξιοῖ δὴ αὐτὴν ἡρμόσθαι κατὰ τὸ ἕλκος, ὅσον
B ἐστὶ, χαλαρὰν, σφίγγειν δὲ οὐδέπω. τὰ δ' ἄλλα μέρη, τὰ κατὰ τὸ κάταγμα, κελεύει, [καθάπερ ἐπὶ τῶν χωρὶς τοῦ κατάγματος ἑλκῶν, ὅπου χρὴ, ἴσον πιέζεσθαι.] φυλάττει γὰρ ἀεὶ τὸ, μᾶλλον ἐκεῖνο πιέζεσθαι τὸ μέρος, ἐπὶ πάσης ἐπιδέσεως, ὅθεν ἐκθλίβεσθαι βούλεται τὸ αἷμα. τὰς δὲ ἐπὶ τῶν ἄκρων αὐτῶν, τῶν οἰδισκομένων, ἐπιβολὰς τῶν ὀθονίων, χαλαρωτέρας εἶναι κελεύει, τοῦτον αὐτῶν μόνον φροντίζων, ὡς εἰς μίαν ἕνωσιν ἐπιδέσεως ἀγαγεῖν. οὐ μὴν τὸ σύμπαν τῆς ὅλης θεραπείας κεφάλαιον, αὐτοῖς ἀνατίθησιν. οὐ γὰρ τοιαῦτά ἐστιν ἃ θεραπεύειν
C χρὴ τοῖς μελασμοῖς, καὶ νεκρώσεσιν ἀλλ' ἂν ἔοικεν. εἴρηκε γὰρ περὶ αὐτοῦ κατὰ λέξιν οὕτως. καὶ τὸ οἴδημα τὸ ἐν τοῖς ἄκροις, σκληρότερον γίνεται τῶν τοιούτων, καὶ εἰ τὸν δάκτυλον ἐπάγοις, τὸ ἔρευθος ἐξαίρεται, καὶ αὖθις ἐπιτρέχει ταχέως κατὰ τὸ μέγεθος. ταῦτ' οὖν συμπτώματα μέν ἐστιν οἰδημάτων, ὅθεν εἰκότως τὰ μέλη παντάπασιν αὐτῶν, ὥσπερ τὴν μαλθακὴν, οὔτε τὸ κῦρος ὅλης θεραπείας ἐπ' αὐτὰ μετατίθησιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

D Ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος, ἱκανὸν σπλήνιον τῇ λευκῇ κηρωτῇ κεχρισμένον, ἤν τε γὰρ σὰρξ, ἤν τε νεῦρον μελανθῇ, περιρρηγνῦται. τὰ γὰρ τοιαῦτα, οὐ χρὴ δριμέσιν ἰητρεύειν, ἀλλὰ μαλθακοῖσιν, ὥσπερ τὰ πυρίκαυτα, μεταπιδεῖν δὲ διὰ τρίτης, νάρθηκας δὲ μὴ προστιθέναι, ἀτρεμέειν δὲ ἐπὶ μᾶλλον ἢ τὸ πρόσθεν, καὶ ὀλιγοσιτέειν. Εἰδέναι δὲ χρὴ, εἴτε σὰρξ, εἴτε νεῦρον τὸ ἐκπεσούμενόν ἐστιν, ὅτι οὕτω πολλῷ μὲν ἧσσον νέμεται ἐπὶ πλέον, πολλῷ δὲ θᾶσσον ἐκπίπτει, πολλῷ δὲ ἰσχνότερα τὰ περιέχοντα ἔσται, ἢ εἴ τις ἀπολύσας
E τὰ ὀθόνια ἐπιθείη τι τῶν καθαρτικῶν φαρμάκων ἐπὶ τὸ ἕλκος. καίτοι καὶ ἢν ἐκπέσῃ τὸ ἐκπυησόμενον, θᾶσσόν τι σαρκοῦται ἐκείνως ἢ ἑτέρως ἰητρευόμενον, καὶ θᾶσσον οὐλοῦται. πάντα μὲν ἐστι ταῦτα ὀρθῶς ἐπιδεῖν καὶ μετρίως ἐπίστασθαι. προσσυμβάλλεται δὲ καὶ τὰ σχήματα ἢν οἷα χρὴ ἦ, καὶ ἡ ἄλλη δίαιτα, καὶ τῶν ὀθονίων ἡ ἐπιτηδειότης.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ τί μὲν γὰρ, οὐ χρὴ δριμέσι θεραπεύειν φαρμάκοις τοῖς τοιούτοις ἕλκεσιν, αὐτὸς εἶπεν, εἰκάσας πυρικαύτοις αὐτὰ, ἐπειδὴ γέγονεν ἐξ ἐπικεράσεως τῶν δριμέων, καὶ θερμῶν χυμῶν. εὐθέως δὲ συνενδείκνυται, καὶ πισσηρὰ κηρωτὴ, ὡς ἐστι δριμυτέρα τῆς λευκῆς. ἡ γάρ τοι πίσσα, ὅσον ἐστὶ θερμοτέρα κηροῦ, κατὰ τοσοῦτον καὶ δριμυτέρα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ χρή, φησι δεδιέναι τὸν καταγματικὸν τρόπον τῆς ἰατρείας, κἂν ἀποστάσιος ὀστῶν φαίνηται σημεῖα. τίνα δ' ἐστὶ ταῦτα, διὰ τῆς ἑξῆς ῥήσεως μαθήσῃ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

C Σημεῖον δὲ τόδε, ἢν μέλλῃ ὀστέων ἀπόστασις ἔσεσθαι ἐν τῷ τρόπῳ τούτῳ τῆς ἰήσιος, πύον γὰρ συχνὸν ῥεῖ ἐκ τοῦ ἕλκεος, καὶ ὀργᾷν φαίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅταν πλέον ἢ τὸ ἀπόρρεον πύον, ἢ κατὰ τὸ τοῦ ἕλκους μέγεθος, ὑποπτεύειν χρή, πεπονθέναι τὸ ὑποκείμενον ὀστοῦν. ἐὰν δὲ καὶ ὀργᾷν φαίνεται, τουτέστιν ἐπειγόμενον πρὸς τὴν ἀπόκρισιν, τὸ πεπονθὸς μέρος, ἔχεις αὖ ἤδη βεβαίαν τὴν γνῶσιν. πόθεν οὖν, ὅτι πρὸς τὴν ἀπόκρισιν ἐπείγεται; πρῶτον μὲν ἐξ αὐτῶν τῶν χειλῶν τοῦ ἕλκους, οὐκ ἐθελόντων συνιέναι πρὸς ἄλληλα, διεσταμένων τε, καὶ ἐκτετραμμένων, εἶτα καὶ τῆς τοῦ κάμνοντος αἰσθήσεως, ἐν τῷ βάθει, κινήσεώς τινος ἀμυδρᾶς αὐτῷ φαινομένης. ὅταν ἐστὶ αἱ, ἀπαγαγὼν τῶν ἄλλων ἁπάντων τὰς αἰσθήσεις, καὶ τὴν διάνοιαν, ἐκείνῳ μόνῳ τῷ μορίῳ προσέχῃ τὸν νοῦν, ἐν ᾧ τὰ προειρημένα συμπτώματα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

Πυκνότερον οὖν μεταπιδεῖσθαι διὰ τὴν πλάδην, ἐπεὶ ἄλλως τε καὶ πυρετοὶ γίνονται. καὶ ἢν μὲν κάρτα πιέζωνται ὑπὸ τῆς ἐπιδέσιος, καὶ τὸ ἕλκος, καὶ τὰ περιέχοντα ἰσχνά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὕτως οὖν εἴωθεν ὀνομάζειν τὰς περιττὰς ὑγρότητας, εἴτε λεπτῶν κατὰ τὴν σύστασιν ὑγρῶν, εἴτε καὶ παχυτέρων εἶεν, ὥσπερ νῦν ἐστι τὸ πύον, ὑφ' οὗ προείρηκεν, ὅτι συχνὸν εἴωθε ῥεῖν, ὅταν ἀφίστασθαι μέλλῃ μόριον ὀστοῦ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ'.

Ὅσα μὲν οὖν λεπτῶν πάνυ ὀστέων ἀποστάσιες ἔσονται, μὴ μεγάλης μεταβολῆς δέονται, ἀλλ' ἢ χαλαρωτέρως ἐπιδεῖν, ὡς μὴ ἀπολαμβάνηται τὸ πύον, ἀλλ'

B [illegible] *devincire.*

GALENI COMMENTARIUS.

Timere, inquit, non oportet modum alligandi fracturæ idoneum, quamvis receſſuri oſſis indicia ſe oſtendant. Quænam illa ſint, proximis verbis addiſces.

HIPPOCRATIS TEXTUS XVIII.

Denunciant autem futurum eſſe, ut ſub curatione hac oſſa recedant, quod pus ex ulcere amplius profluit, & videtur ad exitum feſtinare.

GALENI COMMENTARIUS.

Ubi copioſiùs, quàm pro ulceris modo, pus feratur, verendum eſt ne ſubjectum os vitiatum ſit: ſed, ſi præter id videtur ad exi-
D tum feſtinare, quod ὀργᾷν dixit, hoc eſt, ſi feſtinanter à viciata parte expellatur, jam certa res eſt. At undè cognoſcemus membrum feſtinare ad expellendum? primùm ex oris plagæ, quæ inter ſe non committuntur, ſed dehiſcunt, & in interiora vertuntur: deinde ex hominis ſenſu, qui exiguum quendam motum ſentire ſibi in altioribus partibus videtur, ubi cæteras non ſenſu, non animo advertens, hanc unam obſervet, cui hæc ſuperveniunt.

E

HIPPOCRATIS TEXTUS XIX.

Reſolvere igitur ac deligare frequentius oportet ob humoris abundantiam: cum alioquin febres excitentur, & ulcus cum his, quæ proxima ſunt, ſi nimium vinculis coarctentur, emarceſcant.

GALENI COMMENTARIUS.

F Humoris abundantiam (ut ſolitus eſt) appellat πλάδην, ſeu tenui habitu ſit, ſeu craſſo, quale nunc eſt pus, quod, quando pars quæpiam ab oſſe receſſura eſt, dixit copioſius evadere.

HIPPOCRATIS TEXTUS XX.

Ergo, ubi expectatio eſt tenuium partium, quæ ab oſſe recedant, haud multum expedit variare, faſcia tantum laxior circumligetur, ne pus

aut expedit variare, quandoquidem addita etiam particula, *multum*, dicet aliquis Hippocratem falſa prædicaſſe, proptereaquòd imperet nunc ut faſcia laxior involvatur, ut ſæpiùs reſolvatur, ac deligetur, ut ferulæ non imponantur, & quarto (id quod in univerſum ab ipſo præcipitur) ut faſciarum numerus augeatur, ubi vel laxiùs deligantur, vel ferulæ omittuntur. Sed, quod ſervatur, eſt modus ille vinciendi, qui pertinet ad fracturas, cujus habitâ ratione dixit in curatione, haud multùm expedit variare. Faſciis enim utendum, quæ primò injiciuntur, quarum una à vitiata parte orſa, ubi ter fuerit ſuper ipſam voluta, deſinat in ſuperiori parte, eoque modo feratur, quo antè propoſuit: altera item, quæ ſuper priorem fertur, ab eadem parte incipiat, tum deorſum ducta ad ſuperiora revertatur, minuſque arctetur. Panni quoque extrinſecus inducendi ad eundem modum, quo in prioribus declaravit, & ſuper hos faſciæ dandæ: quæ omnia docuit, ubi vinculum fracturæ idoneum indicavit. At, ſi ſuſpicio eſt ne grandior oſſis teſta recedat, non ampliùs ad quem modum fracturæ poſtulant, devincit, ut primis verbis ſubjiciet. Jure igitur hîc ſcripſit, haud multùm expedit variare. Quòd ſi detracta particula, *multum*, legamus, audiemus ipſum aſſerentem, non mutandam eſſe rationem deligandi, quæ ad fracturas poſita eſt. Nihil enim movet, quùm ſimiliter atque in ea faſciis illis utatur, quæ primò injiciuntur, & deligare incipiat, ac primò circumagat, poſteaque adducat, item pannos æquè injiciat, & alliget: quod nihil eſt aliud quàm eandem rationem ſervare.

ἔπος, οὐδεμιᾶς μεταβολῆς, ὅπου καὶ μετὰ τῆς προσθήκης ἴσως B τις ἐγκαλέσῃ, καὶ φήσῃ ψεύδεσθαι τὸν ἄνδρα, χαλαρώτερά τε κελεύοντα νῦν ἐπιδεῖν τὰ ὀθόνια, καὶ πυκνῶς λύοντα μεταπιδεῖν, καὶ νάρθηκας μὴ περιτιθέναι. καὶ τέταρτον, τὸ καθόλου δηλονότι προειρημένον ὑπ' αὐτοῦ, τὸ πλῆθος αὐξάνειν τῶν ὀθονίων, ὅταν ἐκλύσῃς αὐτοῖς τὴν τάσιν, ἢ νάρθηκας μὴ προσφέρειν. ἀλλ' ὅγε τρόπος τῆς ἐπιδέσεως, ὁ καταγματικὸς, ὅσπερ φυλάττεται, πρὸς ὃν ἀναφέρων τὸν λόγον, εἶπεν μὴ δεῖσθαι μεγάλης μεταβολῆς τὴν ἀγωγήν. ὑποδεσμίδι τε γὰρ χρήσῃ, καὶ ἄρξῃ μὲν ἀπὸ τοῦ πεπονθότος, ἐπειδὰν ἐπιδέσῃς τρὶς αὐτῷ περιβάλλων, ἄνω τελευτήσεις τοιαῦτα, μεταξὺ χρησάμενος τῇ C νομῇ τῶν ὀθονίων, ὁποίαν ἐδίδαξέ σε, καὶ τὴν β. ἐπιδεσμίδα πάλιν ἐπιβάλλειν μὲν ἐπὶ τῷ αὐτῷ τόπῳ. τὴν νομὴν δὲ, ἐπὶ τὸ κάτω ποιήσῃς, καὶ παλινδρομήσεις ἄνω, τὰς ἐπιβολὰς τῶν ὀθονίων χαλαρωτέρας ποιησάμενος. ἐπιθήσεις δὲ τοὺς σπλῆνας ἔξωθεν, ὡς ἔμαθες, ἐπιδέσμους τε κατ' αὐτῶν, ὡς ἐδιδάχθης ἅπαντα τῆς καταγματικῆς ἐπιδέσεως. ἐὰν μέν τοι μεγάλου ὀστοῦ παραχίδα ἀποστήσεσθαι προσδοκᾷς, τὸν καταγματικὸν νόμον τῆς ἐπιδέσεως, οὐκέτι φυλάξει καθ' ὅ, τι δηλώσει διὰ τῆς ἐχομένης ῥήσεως. Εἰκότως οὖν νῦν ἔφη, μηδεμιᾶς μεταβολῆς μεγάλης δεῖσθαι· εἰ δὲ καὶ χωρὶς τοῦ, μεγά- D λης, εἴη γεγραμμένον, ἀκουσόμεθα λέγοντος αὐτοῦ, μὴ μεταβάλλειν τὸν καταγματικὸν τρόπον τῆς ἐπιδέσεως. κατὰ μηδὲν γὰρ, καί γε ὑποδεσμίσι χρῆται ταῖς ὑπ' ἐκείνου, καὶ τὴν ἀρχὴν τῆς ἐπιδέσεως τὴν αὐτὴν ποιεῖται, καὶ τὰς πρώτας ἐπιβολὰς, καὶ τὴν ἐφεξῆς ἐπινομήν. καὶ μετὰ ταῦτα, τοὺς σπλῆνας ὡσαύτως ἐπιβάλλει, καὶ τούτους αὖθις ὁμοίως ἐπιδεῖ, τὸν αὐτὸν δηλονότι τρόπον φυλάττει.

HIPPOCRATIS TEXTUS XXI.

AT quibus grandius fragmentũ expectas ab oſſe receſſurum, ſive initio præſenſeris, ſive poſteà cognoveris, non amplius eadem medicina opus eſt; ſed quod ad intendendum membrum, ac dirigendum pertinet, idem fieri debet. Panni verò duplices ſint, non anguſtiores, quàm ut dodrantis dimidium æquent, qua in re contemplari quoque vulnus cuiuſmodi ſit, oportet: tum quod ad longitudinem paulò breviores, quàm ut bis fractũ membrũ complectantur, multò autem longiores, quàm ut ſemel: totq; numero ſint, quot res poſtulat. Tincti autẽ in vino nigro auſtero primũ medii ſuperdentur, perinde ac faſciæ, quæ à mediis orſæ in utramq; partem attrahuntur: poſt hæc ad figuram aſciæ dextrum caput ad ſiniſteriorem partem, ſiniſtrum ad dexteriorem, procedat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. κά.

E ΟΚόσοις δὲ, μείζονος ὀστέου ἀπόστασις ἐπίδοξος γενέσθαι, ἤν τε ἐξ ἀρχῆς προγνῷς, ἤν τε καὶ ἔπειτα μεταγνῷς, οὐκέτι τῆς αὐτῆς ἰητρείης δεῖται. ἀλλὰ τὰς μὲν κατατάσιας, καὶ τὰς διορθώσιας οὕτω ποιέεσθαι, ὥσπερ εἴρηται. σπλῆνας δὲ χρὴ διπλοῦς, πλάτος μὲν ἡμισπιθαμιαίους, μὴ ἐλάσσους. ὁκοῖον δέ τι καὶ τρῶμα ᾖ, πρὸς τοῦτο τεκμαίρεσθαι· μῆκος δὲ βραχυτέρους μὲν ὀλίγῳ, ἢ ὥστε δὶς περιικνέεσθαι περὶ τὸ σῶμα τὸ τε- F τρωμένον, μακροτέρους δὲ συχνῷ, ἢ ὥστε ἅπαξ περιικνέεσθαι. πλῆθος δὲ, ὁκόσους ἂν ξυμφέρῃ ποιησάμενον, τούτους ἐν οἴνῳ μέλανι αὐστηρῷ βρέχοντα, χρὴ ἐκ μέσου ἀρχόμενον, ὡς ἀπὸ δύο ἀρχῶν ὑποδεσμὶς ἐπιδεῖται, περιελίσσειν, κἄπειτα σκεπαρνηδὸν παραλλάσσοντα τὰς ἀρχὰς ἀφιέναι.

μένη πρὸς τὸ πλάγιον, ὥσπερ ἡ ἔσω λοξή, λέγουσα δὲ κατὰ τῶν τεκτόνων σκέπαρνα, διότι βραχὺ τῆς εὐθείας ἐξηγεῖται πρὸς ὑποκαμπτήν, οὕτως ὠνόμασται. τοὺς ὀθονίους οὖν κατὰ τοῦτο τὸ σχῆμα, ἀξιοῖ τῆς περιβολῆς, τὸ κατεαγὸς κῶλον περιλαμβάνειν, οὕτως περιτιθεμένους, ὡς ὑπὸ δυοῖν ἀρχῶν ἐπίδεσμος ἐπιδεῖται, τουτέστι τῆς μεσότητος τῶν ὀθονίων, πρώτως ἐπιβαλλομένης τῷ κώλῳ, εἶτα τῶν ἐφ' ἑκάτερα τῶν ὀθονίων, οὐ κυκλοτερῶς περιλαμβανόντων τὸ τεθραυσμένον μέρος, ἀλλὰ ἐγκεκλιμένων ὀλίγον, ὡς ἀλλήλων συμβάλλειν κατὰ τὸ ἀντικείμενον μέρος, ἢ ὅθεν ἤρξατο, καὶ γίνεσθαι τὴν συμβολὴν αὐτῶν τῷ χ. γράμματι παραπλησίαν, ὅπερ εἰ κυκλοτερῶς ἐπελείφθησαν, οὐκ ἂν ἐγένετο. συμβαίνει γὰρ τοσούτων περιλαμβανομένων, ἀπαντᾶν ἀλλήλοις ἀντικρύς. τὸ δὲ μῆκος τῶν ὀθονίων ἐδήλωσεν, ἐκ τοῦ φάναι, βραχυτέρους οὐκ ὀλίγῳ δεῖ ὑπάρχειν, ἢ ὥστε τὸ δὶς ἀλλήλων ἀπαντῆσαι. μακροτέρους δὲ πολλῷ, ἢ ὥστε ἅπαξ. βούλεται γὰρ πολλάκις ὑπ' αὐτῶν κρατεῖσθαι τὸ κῶλον, ἅπαξ ἑκάστου περιλαμβάνοντος αὐτό. γίνοιτο δ' ἂν οὐκ ἀσφαλὴς ἡ κράτησις, εἰ καθ' ὃν ἀπήντησεν ὁ ὀθόνιος αὑτῷ τόπον ἐπαύσατο, μὴ προσεκτείνας ἔτι, καὶ περιλαμβάνων τι μέρος τοῦ κώλου. σχεδὸν γὰρ, τὸ ἥμισυ βούλεται περιλαμβάνειν αὐτὸ τοὺς ὀθονίους, ἐκ τοῦ φάναι, μὴ ὀλίγῳ μὲν ἥττους εἶναι δεῖν αὐτούς, ἢ ὥστε δύνασθαι περιληφθῆναι τὸ κῶλον, συχνῷ δὲ μείζους, ἢ ὡς τὸ ἅπαξ. γένοιτο δ' ἂν τοῦτο κατὰ μέτρον αὐτῶν, παυσαμένου τοῦ κατὰ τὸ κῶλον κύκλου, ὥστ' εἴπερ ἔμελλεν ἔσεσθαι ποδιαῖοι τὸ μῆκος, ἅπαξ περιληψόμενοι, διπλασίους αὖθις γενομένους, δεῖ συμπεριλαμβάνειν. ἐὰν οὖν ἐν τῷ μέσῳ παύσωνται, τοσοῦτον ἔτι προστεθέντος τῷ ἅπαξ, ὅσον ἀπολειφθήσεται τοῦ, δι' ἑνὸς καὶ ἡμίσεος αὖθις ἔσεσθαι ποδός. ἀκριβῶς οὖν κατασκεψάμενος τὸ πάχος τοῦ κώλου, στοχάσασθαι τηλικαῦτα, τηλικούτους ποιῆσαι τῷ μήκει τοὺς ὀθονίους, ὡς μιᾶς καὶ ἡμισείας γίνεσθαι περιβολῆς. εἰ δὲ μὴ θαρρεῖς σὺ τῷ στοχασμῷ θατέρῳ ὁπόσῳ τῷ ὑγιεῖ προσπεριβάλλων αὐτοὺς, ἀκριβῶς ἂν εὕροις τὸ μῆκος. εὔδηλον δηλονότι συνεχεῖς ἀλλήλοις ἐπιβάλλειν χρὴ τοὺς ὀθονίους, ὡς μηδεμίαν αὐτῶν μεταξὺ λείπεσθαι κενὴν χώραν. οἴνῳ δὲ αὐτοὺς κελεύει βεβρέχθαι. κατὰ μὲν τὴν χροιὰν μέλανι, κατὰ δὲ τὴν γεῦσιν, αὐστηρῷ δηλονότι, καὶ κατὰ τὴν σύστασιν, ὁποῖός ἐστι παχύς. ὠφελιμώτατος γὰρ ἁπάντων οἴνων, εἰς τὰς τοιαύτας διαθέσεις, ὁ μέλας καὶ αὐστηρός. τὸ μὲν κοινὸν ἀγαθὸν ἔχων, οὗ χάριν εἰς ἐπιβολὰς ἑλκῶν παραλαμβάνεται. τῶν δ' ἄλλων οἴνων, τῶν στυφόντων, ἀδηκτότερος ὤν, ὅπερ οὐ τὸ τυχὸν ἀγαθόν ἐστιν ἐν ταῖς τοιαύταις θεραπείαις. ἐπειδὴ διὰ τὰς ὀδύνας ἐδιδάχθημεν αἱ φλεγμοναὶ γινόμεναι, διὰ τοῦτο, κἂν μὴ λίαν αὐστηρός, ἀλλὰ μετρίως ᾖ, ὁ τοιοῦτος ἀμείνων ἐστίν. ὀδύνην γὰρ ὁ λίαν αὐστηρὸς φέρει, συνάγων, καὶ πιλῶν τὴν σάρκα, περαιτέρω τοῦ προσήκοντος. ὅθεν

fabri utuntur: nanque à recta linea paulum recedens curvatur, unde nomen aſciæ traxit. In hanc igitur figuram præcipit ut panni ſuper fractum membrum imponantur: eorumque capita ducantur, non ſecus, atque ubi faſciæ à mediis orſæ vinciuntur: hoc eſt, ut panni ſuper membrum medii primùm dentur, deinde eorum capita per vitiatum locum ferantur, non in orbem; ſed paulum inclinati ſic, ut à contraria parte, atque inceperint, ad X literæ ſimilitudinem inter ſe committantur: quod non fieret, ſi circumagerentur in orbem: Nam, quæ ita procedunt, planè inter ſe coëunt. Pannorum longitudinem indicavit, quum inquit, paulò breviores, quàm ut bis fractum membrum complectantur, multò autem longiores, quàm ut ſemel: præcipit enim membrum ab his ſæpius excipi, ſic, ut ſinguli ſemel ipſum amplectantur. At non continerent firmiter, ſi qua parte committuntur, eadem finirentur, neque ultrà procederent, aliamque membri particulam complecterentur. Ferè autem totius membri dimidium ſecundò pannis involvendum eſſe intelligit, quum inquit, paulò breviores, quàm ut bis fractum membrum complectantur, multò autem longiores, quàm ut ſemel: quod ſanè continget, ubi hi dimidium membri ambitum amplexi deſinant. Quare ſi panni pedalis, utputà longitudinis totum membrum ſemel involvant, duplo longiores eſſe conveniet ad hoc, ut bis præſtare idem poſſint: ſed, ſi ſecundò ultrà dimidium non ferantur, eò longiores ſint, quam ut ſemel totum membrum excipiant, quo breviores ſunt, quàm ut idem bis efficiant: erunt autem ſic ſeſquipedales. Diligenter igitur contemplari membri craſſitudinem oportet, & de ipſa pannorum longitudinem conjectare, eoſque tantos admovere, ut primo circuitu totum, ſecundò dimidium duntaxat, complectantur. Ubi minùs tuæ conjecturæ confidas, ſi eos ſuper integrum membrum inducas, ad unguem longitudinem reperies. Dubium autem non eſt quin panni ita cohærere inter ſe debeant, ut nullum inter ipſos inane ſpatium relinquatur. Hos docet ex vino madefieri, quod colore nigrum ſit, guſtu auſterum, habitu verò, quale illiuſmodi vinum eſt, plenum videlicet: nam ex cunctis vini generibus, ad hæc vitia, id optimum eſt, quod nigrum & auſterum eſt: communis enim illi gratia eſt, ob quam in ulcerum vinculis ingeritur, præterquam, quia minùs mordet, quàm aliud vinum ex adſtringentibus: quod permagni in ejuſmodi curatione refert, oſtenſum enim eſt, ſub dolore inflammationem ſe concipere: quare potius eſt, quod modicè, quàm quod vehementer auſterum eſt, quandoquidem hoc dolorem movet, quum carnem ultra debitum cogat, comprimatque. Quamob-

rem, ubi velis etiam experimento comprobare, periculum faciens ejus facultatis in maximis, graviſſimiſque vulneribus, verùm dixiſſe me cognoſces. Dictum autem eſt etiam in ſuperioribus, oportere ulcus ex eo continenter madere: quandoquidem, ubi ſuperinjecta lintea paulatim ſiccentur, atque incaleſcant, ulcus inflammari neceſſe eſt, potiſſimùm æſtate. Quo tempore, quum pontifices Pergami apud nos ſemper gladiatores darent, eos, qui graviſſimè vulnerati fuerant, curavi, multiplicem pannum vulneribus inducens, iſtiuſmodi vino madentem: extrinſecùs verò ſuperimponens ſpongiam mollem: deinde totum ferè diem noctemque perfundens. Vulnerato autem membro pellem ſubjeci leniter à pedibus ſinuatam, per quam procederet infuſum vinum, & quaſi per canalem efflueret, atque inani pelvi receptum, regeſtumque rurſus infunderetur. Extra alios uſus, quos vinum hoc præſtat, ferè nullum odorem movet, id quod inter cætera commodiſſimum eſt: cùm ex aliis quod odoratum eſt, maximè caput tentet: nigrum & auſterum, neque etiam eo nomine officit, ſed ſi ullum excitat odorem, ille exiguus eſt, cùm naturâ frigidum ſit. Oſtendimus autem in libro de ſimplicium medicamentorum facultate, vinum auſterum naturâ frigidum eſſe, ac terreſtre. Tale igitur, quum ex mixtura conſtet frigida terreſtrique, calidos vapores ad ſuperiora minimè tranſmittit. At, quum pleriſque eorum, qui icti ſunt, hujus præſidii utendi copia non ſit, quo nos ad gladiatores uſi ſumus, diximus inter initia protinus horum commentariorum inungendum eſſe liquidum ceratum, quo ſimplices fracturæ illinuntur: quod vino longè imbecillius eſt, ſatis tamen efficere poteſt id, quod res exigit.

HIPPOCRATIS TEXTUS XXII.

***I**mponantur autem hi ſuper ipſum ulcus, & hinc, atque hinc, neque ullo modo adſtringantur, ſed eatenus inſidant, ut ulcus fulciant.*

GALENI COMMENTARIUS.

NUnc rurſus, hinc, atque hinc, ἔνθεν καὶ ἔνθεν, dixit, ut longitudinem membri, non ut latitudinem indicet: ſervat autem commune præceptum, ut vincula non parum ſuper integram partem ferantur: ubi ingens vitium eſt, ut cùm maximè.

μυρτώδη τῷ μέλανι, καὶ αὐστηρῷ τὴν πεῖραν δὲ, εἰ βουληθείης
B βασανίσαι τὴν δύναμιν αὐτοῦ, κατὰ τῶν μεγίστων τε, καὶ χαλεπωτέρων τραυμάτων χρησάμενος, εὑρήσεις ἀληθεύοντά με. λέλεκται δὲ καὶ πρόσθεν, ὡς ἀεὶ χρὴ τέγγεσθαι τὸ ἕλκος ὑπ' αὐτοῦ. ξηρανθέντων γὰρ ἐπ' ὀλίγον, καὶ θερμανθέντων, ὑποβεβλημένων ὀθονίων τῷ ἕλκει, φλεγμονὴν ἀναγκαῖον ἀκολουθῆσαι, καὶ μάλιστα ἐν θέρει, καθ' ὃν καιρὸν, ὅτε παρ' ἡμῖν ἐν Περγάμῳ, τῶν ἀρχιερέων τὰς καλουμένας μονομαχίας ἐπιτελούντων, τοὺς κάκιστα τρωθέντας ἐθεράπευσα, πτύγματα μὲν ὀθονίων ἐπιθεὶς τοῖς τραύμασιν, οἴνῳ τοιούτῳ βεβρεγμένα, κατ' αὐτῶν δὲ ἔξωθεν, σπόγγους καθεὶς
C μαλθακοὺς, εἶτα δι' ὅλης σχεδὸν ἡμέρας τε καὶ νυκτὸς, ἐπιβρέχων. περιϋποβάλλων δὲ τῷ τετρωμένῳ κώλῳ, δέρμα κοιλαῖον ἠρέμα, κατὰ τὴν τῶν ποδῶν χώραν, ὡς δι' αὐτοῦ φέρεσθαι τὸν ἐκ τῆς βροχῆς οἶνον. κενοῦσθαι δὲ, καθάπερ δι' ὀχετοῦ, δεχομένης αὐτὸν τῆς ἐκροῆς, λεκάνης κενῆς, ὥστ' ἀναλαμβανομένου αὖθις τὸν ἀθροιζόμενον οἶνον ἐν αὐτῇ, καταντλῆσαι δεύτερον. ἐπὶ γὰρ τοῖς ἄλλοις ἀγαθοῖς, οἷς ὁ τοιοῦτος οἶνος ἔχει, καὶ τὸ τῆς ὀσμῆς ἀμυδρὸν, ὑπάρχει μέγιστον αὐτοῦ τῶν ἀγαθῶν. τῶν γὰρ ἄλλων ὅσοι ταύτην ἔχουσι, σφόδρα πληττόντων τὴν κεφαλὴν, ὁ μέλας αὐστηρὸς οἶνος, οὐδὲ κατὰ τοῦτο
D βλάπτει. εἰ συμβέβηκε δὲ αὐτῷ τὸ τῆς ὀδμῆς ἀσθενὲς, ἐπὶ τῇ τῆς κράσεως ψυχρότητι. δέδεικται γὰρ ἐν τοῖς περὶ φαρμάκων, ὁ αὐστηρὸς οἶνος, ἐκ γεώδους οὐσίας ψυχρᾶς συνιστάμενος. ὥστ' ἐπειδὰν ὁ τοιοῦτος οἶνος, ἐπιμιξίας γεώδους ψυχρᾶς γέγονεν αὐστηρὸς, ἥκιστα θερμοὺς ἀτμοὺς ἀναπέμπει πρὸς τὸ μετέωρον. εἶπον δὲ, κατὰ τὴν ἀρχὴν εὐθέως τῶνδε τῶν ὑπομνημάτων, ὡς δέον τοῖς πολλοῖς τῶν καταμιγνυμένων ὅσα τοιαύτης ἀπορίας ἀπορεῖν, οἵαν ἐπὶ τῶν μονομάχων ἐποιούμην ἐγὼ, τὴν ὑγρὰν κηρωτὴν, ἣν περιλαμβάνομεν ἐπὶ τῶν ἁπλῶν καταγμάτων, ἀσθενεστέραν μὲν οὖσαν πολὺ τοῦ οἴνου, δυναμένην
E δὲ αὐτάρκως, ὧν χρῄζομεν ἀπεργάζεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

ΤΑῦτα κατά τε αὐτὸ τὸ ἕλκος τιθέναι, καὶ κατὰ τὸ ἔνθεν καὶ ἔνθεν τοῦ ἕλκεος, καὶ πιέζειν μὲν μὴ, ἀλλ' ἑρμάσματος ἕνεκεν τοῦ ἕλκεος προσκεῖσθαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F **Π**Άλιν ἐνταῦθα, τὸ ἔνθεν καὶ ἔνθεν, οὐ κατὰ τὸ πλάτος εἶπεν, ἀλλὰ κατὰ τὸ μῆκος τοῦ κώλου, φυλάττων τὸ καθόλου παράγγελμα, τὴν ἐπίδεσιν ἐπιλαμβάνειν ἀεὶ τοῦ ὑγιοῦς οὐκ ὀλίγον, καὶ μάλιστα ἐπὶ τῶν μεγάλων διαθέσεων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ κῦρος τῆς θεραπείας, ἡ ἐπίτεγξις ἔχει, κατά γε τὰς πρώτας ἡμέρας, ἡνίκα ἐκθλίβεσθαι χρὴ, τῶν ἡλκωμένων μορίων, ὅσον ἤδη φθάνει κατ' αὐτὰ περὶ τῆς ὑγρότητος ἠθροῖσθαι, κωλύσαι δὲ, τὸ ἄνωθεν ἐπιρρέον. ἀπὸ δὲ τῆς τρίτης ἡμέρας, ἡ πισσηρὰ κηρωτὴ χρησιμωτέρα, πέττουσα τὰ κατὰ τὸ ἕλκος. ἀλλ' ὁ Ἱπποκράτης, εὐθέως ἐξ ἀρχῆς, ἐπ' αὐτῇ παραλαμβάνει τὴν ἐκ τοῦ οἴνου δύναμιν, οὐκ ἐθέλων ἀκραιφνῆ προσάπτεσθαι τοῖς ἡλκωμένοις μορίοις, ἀλλὰ κατὰ διάθεσιν, ὅπως μή τις αὐτοῖς ἀδικία γένηται διὰ τὴν στύψιν. οὐκ αὖ ἁπλῶς ἀπὸ ξίφους γεγονὸς θεραπεύει τὸ τραῦμα, συντεθλασμένης δέ πως ἐξ ἀνάγκης, ἢ μᾶλλον, ἢ ἧττον, ὅλης τῆς περὶ τὸ ἕλκος σαρκός. αἱ γὰρ κάταγμα ποιοῦσαι προσπτώσεις, καὶ τὰς σάρκας τι συνθλῶσιν. Εἰκότως οὖν, προσεπιβάλλει τι τοῖς ἕλκεσιν ἐναίμοις φάρμακον, ἴσχαιμόν τι, καὶ παρηγορικὸν τῶν τεθλασμένων, ὃ τοιοῦτον εἶναι βούλεται κατὰ τὴν δύναμιν, ὡς οἰκειοῦσθαι καὶ προσίεσθαι τὴν ἔξωθεν ἐπίχυσιν. ἀκουστέον γὰρ ἐνταῦθα, σύντροφον, τὸ οἰκεῖον.

GALENI COMMENTARIUS.

B

SUmma curationis in perfuſione ſita eſt primis diebus, quibus & exprimere ab ulcerata parte convenit, quidquid humoris in ea jam contractum fuerit, & id prohibere, quod à ſuperiori parte concurrit. A tertio die ceratum; quod picem accipit, expeditius eſt, quo maturantur, quæ in ulcere collecta ſunt. At Hippocrates cerato initio cum vini proprietate utitur, quod ulceratas partes attingi nolit à vino puro, ſed medium aliquid interjici, ne qua illis injuria propter adſtringentem vini facultatem accedat: non enim medetur vulneribus enſis ictu ſimpliciter illatis, ſed quibus juxta omnis caro plus minuſve quodammodo neceſſe eſt, atteratur: ſiquidem ſub quo ictu frangitur os, caro etiam atteritur. Meritò igitur ſuper ipſa ulcera imponi quoque voluit aliquod medicamentum ex iis, quæ ſtatim cruentis vulneribus injiciuntur, ut attrita curet, ac mitiora efficiat: præcipit autem, ut idonea legantur, quæ id, quod extrinſecus infunditur, admittant: idoneum autem hoc loco σύντροφον dixit.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ'.

ΚΑὶ ἢν μὲν ἡ ὥρη θερινὴ ᾖ, ἐπιτέγγειν τῷ οἴνῳ τοὺς σπλῆνας, πυκνά. ἢν δὲ χειμερινὴ ἡ ὥρη ᾖ, εἴρια πολλὰ ῥυπαρὰ, οἰνοπεπασμένα οἴνῳ καὶ ἐλαίῳ, ἐπικείσθω.

HIPPOCRATIS TEXTUS XXIV.

D

SI æſtas fuerit, panni ſubinde vino madefiant. Superdetur hyeme multa lana ſuccida vino, atque oleo reſperſa.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠειδὴ ταῖς τοιαύταις διαθέσεσιν, ἡ σφοδρὰ ψύξις ἐνίοτε κίνδυνον ἐπιφέρει σπασμοῦ, ψυχρῷ δὲ οἴνῳ, κατά τε τὴν ἕξιν, καὶ τὴν δύναμιν χρῆσθαι, διὰ τὸν εὐλαβηθεὶς ἀπαντῆσαί τι χαλεπὸν ἐν χειμῶνι, τῷ τῆς θεραπείας ἔτι μιχθείσης τῆς κατὰ τὴν ὥραν ψύξεως, ἐρίων τι περιθέσει πολλῶν, καὶ μίξει βραχέος ἐλαίου, καθαιρεῖ τὸ σφοδρὸν τῆς ψύξεως. εἶναι δὲ ἀξιοῖ ῥυπαρὰ τὰ ἔρια, διὰ τὸν οἴσυπον, ἔχοντά τι καὶ θερμότητος, καὶ ψύξεως.

GALENI COMMENTARIUS.

E

QUia vitia hæc, ubi vehementer frigeſcunt, interdum nervorum diſtenſione periclitantur, & vinum tum habitu tum natura frigidum infunditur, propterea veritus, ne quid hyeme gravius accidat, quum frigidæ medicinæ temporis quoque frigus accedat, occurrit immodico frigori lanam multam inducens, tinctam vino, cui olei paulum adjectum ſit: imperatque, ut ea ſuccida ſit, quo per œſypum aliquid calefaciat, & modicè refrigeret.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε'.

ΙΞάλιν δὲ αἰγὸς χρὴ ὑποπετάσθαι, καὶ διαπόρρυτα ποιέειν, φυλάσσοντα τοὺς ὑπορρόους.

HIPPOCRATIS TEXTUS XXV.

SUbjiciaturque pellis ſic figurata, ut humor per ipſam facilè deſcendat: & quod effunditur, recipiatur.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙτ' αἰγὸς δέρμα προσαγορεύεται κυρίως ἴξαλιν, εἴτε καὶ ἄλλα τινὸς ὑποφέρεσθαι δύναται τοὔνομα, περιττὸν ἐν τῇδε τῇ διδασκαλίᾳ ζητεῖν. οὐ γὰρ ἐξήγησις λέξεων, ἀλλὰ θεραπεία πρόκειται παθῶν, εἰς ἣν ἀρκεῖ γιγνώσκειν, ὅτι

GALENI COMMENTARIVS.

PEllem ἴξαλιν vocavit: quo nomine caprina ne tantùm ſignificetur, an alia quævis, quærere in arte hac ſupervacuum eſt, quum non verborum expoſitio, ſed vitiorum curatio, propoſita ſit: in qua noſſe id ſufficit, quòd ſub-

verent, & ægerrimè ad ſanitatem poſteà perduci.

GALENI COMMENTARIUS.

QUæ cingunt os ſacrum (quod & latum appellant) calefacta, atque excſa in torporem incidunt, & ultra cutem exulcerantur: eaque exulceratio difficulter curatur, quùm ſub cute ſint cartilagineſæ oſſium extremitates, quæ nudatæ cicatricem vix recipiunt.

HIPPOCRATIS TEXTUS XXVII.

IN iis, qui aliquo ex ſuperioribus modis, vel ex iis, qui poſteà ſubjicientur, ſub vinculis nequeūt ad ſanitatem perduci, eò potiſſimū incūbendū eſt, ut pars cōminuta rectè contineatur, atque è regione corporis, ea obſervatione, ut ad ſuperiora magis ſpectet, quàm ad inferiora.

GALENI COMMENTARIUS.

PRæcipit, ut crus omninò è regione corporis contineatur, ſed extrema parte paulo ſublimiùs. De his enim ſuperiùs jam poſui, ex humiliori habitu ad crus plurimum materiæ concurrere, ex ſublimiori dolorem excitari. Hac igitur de cauſa ubique cavendus eſt humilior membri habitus, ſuperior vero hactenus accipiendus, quatenus cruri dolorem nondum afferet.

HIPPOCRATIS TEXTUS XXVIII.

QVod ſi benè expeditéque rem agere quis velit, neceſſe eſt machinationibus utatur, ut fracti oſſis intenſio juſta ſit, ac minimè violenta: præcipuè autem ad crura machinationibus opus eſt. Quidam ſanè reperiuntur, qui quoties crus abruptū eſt, & alligatū, extremū pedem ad lectum devinciunt, aut ad lignum, quod juxta lectum defigunt. Hi ergò omnia mala efficiunt, nec quicquam boni, eo quod nihil ad extendendum conferat vinculum pedis, quoniam nihilo minùs reliquum corpus ad pedes fertur, atque ea de cauſa non ampliùs extenditur: neque etiam ad continendum è regione aliquid conducat, ſed potiùs pervertat: reliquo enim corpore in hanc, vel illam partem converſo, vinculum non prohibebit, quominus pes, atque

Μ χήμασιν πολλὸν χρόνον κείμενοι, ἐκτρίμματα δυσαλθέα ποιέουσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Θερμαινόμενα τὰ κατὰ τὸ ἱερὸν ὀστοῦν, ὃ δὴ καὶ πλατὺ καλοῦσιν, ἐξέδρυντά τι, καὶ ναρκῶν, καὶ ὑπ' αὐτοῦ τοῦ δέρματος δυσιάτους ἑλκώσεις ἐργάζεται. μετὰ γὰρ τὸ δέρμα, χονδρώδη πέρατα τῶν ὀστῶν ἐστι, καὶ γυμνωθέντα δυσχερῶς ἐπουλοῦνται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ'.

ΟΣοις δὲ μὴ οἷόν τε ἐπιδέσει ἰήσασθαι διὰ ταῦτα τῶν εἰρημένων τρόπων, ἢ τῶν εἰρησομένων, τούτοις περὶ πλείονος χρὴ ποιέεσθαι, ὅκως εὐθέτως φήσωσι τὸ κατεηγὸς τοῦ σώματος κατ' ἰθυωρίην, προσέχοντα τὸν νόον, καὶ τῶν ἀνωτέρω δὲ μᾶλλον, ἢ κατωτέρω.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΚριβῶς κατ' εὐθυωρίαν ἀξιοῖ κεῖσθαι τὸ σκέλος, ἀλλὰ βραχύ τι τὸ πέρας ὑψηλότερον εἶναι. λέλεκται δέ μοι καὶ πρόσθεν ἤδη περὶ τούτου, ὅτι τὸ μὲν κατάρροπον σχῆμα, συγχωρεῖ πλέον ἐπιρρεῖν τῷ σκέλει. τὸ δὲ ἀνάρροπον, ὀδύνην ἐργάζεται, διὰ ταῦτα τοιγαροῦν, τὸ μὲν κατάρροπον ἀεὶ φεύγειν προσήκει, τὸ δὲ ἀνάρροπον μεταχειρίζεσθαι τοσοῦτον, ὅσον οὐδέ πως τὸ σκέλος ὀδυνήσει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη'.

ΕΙ δέ τις βούλεται καλῶς καὶ εὐχερῶς ἐργάζεσθαι, ἄξιον καὶ μηχανοποιήσασθαι ὅκως κατάτασιν δικαίην, καὶ μὴ βιαίην σχοίη τὸ κατεηγὸς τοῦ σώματος, μάλιστα δὲ ἐν κνήμῃ ἐνδέχεται μηχανοποιέειν. Εἰσὶ μὲν οὖν τινες, οἳ ἐπὶ πᾶσι τοῖσι τῆς κνήμης κατήγμασιν, καὶ τοῖσιν ἐπιδεομένοισι, τὸν πόδα ἄκρον προσδέουσι πρὸς τὴν κλίνην, ἢ πρὸς ἄλλο τι ξύλον παρὰ τὴν κλίνην κατορύξαντες. οὗτοι μὲν οὖν πάντα κακὰ ποιέουσιν, ἀγαθὸν δὲ οὐδέν. ὅτι γὰρ οὐ κατατείνεσθαι ἄκος ἐστὶ, τὸ προσδεδέσθαι τὸν πόδα, οὐδέν τι ἧσσον τὸ ἄλλο σῶμα προσχωρήσει πρὸς τὸν πόδα, καὶ οὕτως οὐκ ἂν ἔτι τείνοιτο, οὔτ' αὖ ἐς τὴν ἰθυωρίην οὐδὲν ὠφελέει, ἀλλὰ καὶ βλάπτει. στρεφομένου γὰρ τοῦ ἄλλου σώματος, ἢ τῇ, ἢ τῇ, οὐδὲν κωλύσει ὁ δεσμὸς τὸν πόδα, καὶ τὰ ὀστέα τὰ τῷ ποδὶ προσηρτημένα, ἐπακολουθέειν τῷ ἄλλῳ σώματι. Εἰ δὲ μὴ προσδέδετο, ἧσσον ἂν διεστρέφετο.

καὶ μηδὲν μᾶλλον ἐπὶ θάτερον ἢ μᾶλλον πιέζῃ, καὶ νῦν λέγει, δεδήλωταί μοι καὶ πρόσθεν. ἃ δὴ εἰς τὸ περὶ τῶν προσδεόντων ἀνίσου τὸ κῶλον γέγραπται τῷ Ἱπποκράτει, πρόδηλα. B προειρηκότων οὖν ταῦτα, τὸν περὶ τῶν σφαιρῶν, ἤδη προχειρίσωμαι λόγον.

nit, æquè totum membrum extendi, neque ullam ſini particulam perverti, ſuperiùs oſtendimus. Quæ verò ſcribit de iis, qui pedem vinciunt, plana ſunt: pergamus ergò jam ad ſermonem de orbibus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

Εἰ δέ τις σφαίρας δύο ῥάψαιτο, ἐκ σκύτεος αἰγυπτίου, τοιαύτας οἵας φορέουσιν οἱ ἐν τῇσι μεγάλῃσι πέδῃσι πουλὺν χρόνον πεπεδημένοι, αἱ δὲ σφαῖραι ἔχοιεν ἔνθεν καὶ ἔνθεν χιτῶνας, τῇ μὲν πρὸς τοῦ τρώματος βαθυτέρας, τῇ δὲ πρὸς τῶν ἄρθρων βραχυτέρας. C Εἶεν δὲ ὀγκηραὶ μὲν, καὶ μαλθακαί, ἁρμόζουσαι δὲ, ἡ μὲν ἄνωθεν τῶν σφυρῶν, ἡ δὲ κάτωθεν τοῦ γούνατος. ἐκ δὲ πλαγίης, ἑκατέρωθεν ἔχοι προσηρτημένα, ἢ ἁπλοῦ ἱμάντος, ἢ διπλόου βραχέα ὥσπερ ἀγκύλας, τὰ μὲν τοῦ σφυροῦ ἑκατέρωθεν, τὰ δέ τι τοῦ γουνάτος· καὶ ἡ ἄνωθεν σφαῖρα, ἔπειτα τοιαῦτα ἔχοι κατὰ τὴν ἰθυωρίην τὴν αὐτήν, κἄπειτα κρανείας ῥάβδους λαβὼν, ἰσοπαχέα μέγεθος ἀλλήλῃσιν ἐχούσας, πάχος μὲν ὡς δακτυλιαίας, μῆκος δὲ ὡς κεκαμμέναι ἐναρμόζωσιν ἐς τὰ ἀπαιωρήματα. D

HIPPOCRATIS TEXTUS XXIX.

Si quis è corio Ægyptio binos orbes ſuat, qualibus utuntur, qui diu in magnis compedibus detinentur, ſintque orbes hi undique tunicis involuti, altioribus quidem à fractura, ab articulo humilioribus, tumidi præterea, & molles: accommodentur autem unus quidem ſuper talos, infra genu alter: à lateribus verò utrinque habeant ex ſimplici, vel duplici loro exiguos quaſi ſinus, alios utrinque à talis, alios à genu: ſinuſque ſuperioris orbis, è regione illis reſpondeant, qui in inferiori. Deinde cornea bacula ejuſdem magnitudinis prehendat, ſcilicet digiti craſſitudine, & ea longitudine, ut quum flectuntur, diducere oſſa poſſint, ſic, ut non inhæreant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁ περὶ τῶν ἐπινοηθεισῶν ὑπ' αὐτοῦ σφαιρῶν λόγος, ἐμοὶ μὲν οὕτω δοκεῖ σαφὴς ὑπάρχειν, ὡς μηδ' ἐπιχειρεῖν, αὐτὸν ἑτέρως ἑρμηνεύειν. ἐπεὶ δὲ πολλάκις ἔφασάν τινες, ἀγνοεῖν τὰ λεγόμενα κατὰ τὸν λόγον ὑφ' Ἱπποκράτους, οὐκ οἶδ' ὅτι πράξω. τοῖς μὲν γὰρ λέγουσι μὴ νοεῖν αὐτὰς τὰς σφαίρας, ἐπιδείξας, ἀναγινωσκομένου τοῦ βιβλίου, σαφῆ τὸν λόγον ἐποίησα. E προσαρμόττων ἑκάστην αὐτοῦ λέξιν, ἐκείνῳ τῷ μέρει τῆς σφαίρας δεικνυμένῳ, περὶ οὗ τὴν διδασκαλίαν ἐποιεῖτο. κατὰ δὲ τὸ βιβλίον, οὐκ ἔνεστι δεικνύναι τὰς σφαίρας, ὥστ' οὐκ οἶδα, τίς ἔσται μηχανὴ τοῦ σαφῆ ποιεῖσθαι τὸν λόγον. εἰ γάρ τις οὐ μανθάνει, τῆς Ἱπποκράτους ἑρμηνείας οὔσης σαφοῦς, οὐδὲ τῆς ἐμῆς συνήσει. πολλάκις οὖν αὐτὴν ἀναγνώτω, προσέχων τὸν νοῦν ἀκριβῶς, καὶ εἰ μὴ πρόσθεν, ἀλλ' οὔτοι γε πράξαν, οἶδ' ὅτι νοήσει F πάντως. ἐγὼ δ' οὖν, τὸ αὐτῆς, ὅσον οἷόν τε ἐπὶ συμπλέσαι πρὸς τὴν νόησιν, οὐκ ἐκλείψω. σφαίρας τοίνυν, οὐ τοιαύτας ἐχρῆν νοεῖν, οἵας οἱ παῖδες παίζουσιν, αὗται μὲν γὰρ, σφαιροειδεῖς εἰσιν ὄντως. ἃς δ' Ἱπποκράτης ἀξιοῖ κατασκευασθῆναι, παραπλησίαι ταῖς πέδαις ὑπάρχουσιν, ὡς αὐτὸς ἐδήλωσεν. ἔνι δὲ συννοεῖν τὸ παράδειγμα· παραπλησίας αὐτὰς νοεῖ τοῖς ὄφεσιν, ἢ τοῖς ἀλλᾶσιν. ὥσπερ οὖν

GALENI COMMENTARIUS.

A

Orbis infra genu &c.

SErmo de orbibus, quos Hippocrates excogitavit, mihi ita clarus videtur, ut mea explanatione minimè opus ſit. Sed, quoniam nonnulli ſæpius dixerunt neſcire ſe, quomodo ſe habeant, quæ ab Hippocrate traduntur, incertum eſt quid agam: iis enim, qui negarunt intelligere ſe Hippocratem, orbes ipſos monſtravi: ac librum legens, ſermonem planum feci, ſingula ejus verba accommodans ad eam orbis partem, quam monſtrabam, de qua ipſe tractaverat. In libro autem non licet orbes demonſtrare, ſic, ut neſciam, qua via hanc orationem aperiam: ſi quis enim Hippocratis verba, quæ plana ſunt, comprehendere nequeat, nec mea etiam comprehendet. Ea igitur ſæpiùs legat, ac diligenter conſideret: certum enim ſcio, eum, qui hoc ſæpius fecerit, ſi antè non intellexit, omnino intellecturum: equidem quicquid lucis addere potero, non omittam. Orbes igitur non debemus tales intelligere, quales ſunt pilæ, quibus pueri ludunt: illæ enim verè orbes ſunt, ſed quos Hippocrates parari jubet à compedibus (ut ipſe retulit) non abhorrent, quorum afferre ſimilitudinem licet: eos enim concipito anguibus ſimiles, vel farcimini. Ergo, quemad-

complicat in orbem ponit. Alter præterea orbis ad regionem, quæ ſub genu eſt, ſimiliter detur: his enim binis opus eſt ad ſingula membra, quæ curantur: quorum item multa paria diſparis magnitudinis habeantur, ut prout unicuique conveniunt, huic quidem majores, illi verò minores injiciantur. Hæ autem tunicæ, quas *σφαίρας*, ideſt orbes vocavit, ex toto eſſe in orbem non debent, neque paris latitudinis, aut altitudinis: ſed quà cuti hærent paulatim pateſcentes quodammodo: quà verò attolluntur, rotundæ: neque etiam exquiſitæ tales, ſed ab interiori parte magis in altitudinem attollantur, inde in orbis ſpeciem deſidant, dum ad cutem perveniant à parte exteriori: ea pars, quæ deſidit, in inferiori orbe ad pedem propiùs accedat, in ſuperiori ad genu. Orbibus igitur (ut dictum eſt) conſtitutis, quædam appendice innectantur, quas in utroque vult duas eſſe binas in inferiori orbe, quarum ſinus ſurſum ſpectent ad genu, binas in ſuperiori quarum ſinus contrà deorſum convertantur: hæ autem à lateribus aſſuantur ab ea nimirum parte, quæ maximè attollitur, hinc una, atque inde altera: in quas conjici vult quatuor bacula extrema, quæ, ubi conjecta fuerint, eodem penè momento paulatim curventur, ut, dum ad naturalem rectum habitum redeunt, orbes compellant, ſuperiorem ad ſummum membrum, inferiorem ad imum: hoc enim facto fracturæ partes in diverſa extentæ rectè componuntur, ſervanturque. Imperat autem, ut ob firmitatem ligni bacula è corno accipiantur, conſtatque ad hunc uſum ex eo utiliùs adhiberi. Gloſſocomum verò machinamentum membris in contrarias partes diducendis aptiſſimum eſſe, in ſuperiori commentario indicavi, ubi exequutus ſum ejus ſtructuram.

HIPPOCRATIS TEXTUS XXX.

Magna cura, ne ima fuſtium partes cuti inſidât; ſed extremis orbibus. Parentur autem baculorum paria tria, vel plura: ſintque alia aliis aliquanto longiora breviorave, ut, ubi magis extendere volumus, commodè poſſimus: demittanturque hinc, atque hinc à talis.

GALENI COMMENTARIUS.

INſidere dixit *ἐγχέλλωσι*, quaſi inhærere ſignificans: edicit enim, ne bacula, quæ ad orbes

ἐστραμμένον σκύτος, ὡς περιελίσσεσθαι κυκλοτερῶς ταῖς σφαί-
B ραις, ὁμοίως ταῖς πέδαις. ἐπειδὴ δὲ ὑποκάτω τοῦ γόνατος οὐχ ὁμοίως περιβέβληνται· δυοῖν γάρ ἐστι τούτων χρεία, καθ' ἕκαστον τῶν θεραπευομένων κώλων, διὸ καὶ παρεσκευάσθαι χρὴ πλείονα ζεύγη, διαφέροντα τοῖς μεγέθεσιν, ὡς τὸ μὲν, μείζονι περιελίσσεσθαι, τὸ δὲ, ἐλάττονι. εἰ δέ τι σύμμετρον ἑκάστῳ, προσοικειοῦσθαι γὰρ τοὺς χιτῶνας τούτους, ἃς σφαίρας ὠνόμασεν, ἀκριβῶς εἶναι κυκλοτερεῖς, οὐδ' ἴσας ὁμαλῶς, κατά γε πλάτος, καὶ ὕψος, ἀλλὰ καθ' ὃ μὲν ἐπιβαίνουσι τῷ χρωτὶ, πλατύνεσθαί πως ἠρέμα. τὸ δὲ εἰς ὕψος αὐτῶν ἀνατεταμένον, εἶναι ἄμεινον περιφερές. οὐδὲ τοῦτο ἀκριβῶς τοιοῦτον,
C ἀλλ' ἐκ μὲν τοῦ ἔνδον, πρὸς ἄλλο ὕψος ἀνατεταμένον. αὖθις δὲ ἀπὸ τούτου, κυκλοτερὴς αὐτῶν ἡ κατάβασις, ἄχρι τοῦ χρωτὸς γιγνέσθω, διὰ τοῦ ἔξω μέρους, ὅπως, ἐν μὲν τῇ κάτω σφαίρᾳ, τὸ ταπεινὸν αὐτῶν ἐστι πλησιάζον τῷ ποδὶ, κατὰ δὲ τὴν ἄνω, τὸ ὑψηλὸν, ὃ τῷ γόνατι γειτνιᾷ. τούτων δὲ οὕτω τῶν σφαιρῶν, ὡς εἴρηται, καὶ προστιθεμένων ἐξαρτημάτων τινῶν, καθάπερ ὅτῳ βούληται καθ' ἑκατέρας εἶναι διπλᾶ τὰ μὲν, ἐν τῇ κάτω σφαίρᾳ, τὸ κοῖλον αὐτῶν μέρος ἄνω βλέπον ἔχοντα ὡς πρὸς γόνυ, τὰ δὲ ἐν τῇ ἄνω, κατὰ τοὐναντίον, εἰς τὸ κάτω μέρος ἐστραμμένην ἔχοντα τὴν κοι-
D λότητα. ἐπιρράπτεσθαι δὲ ἑκατέρᾳ τῶν σφαιρῶν αὐτὰ ταῦτα, κατὰ τὸ πλάγιον μέρη, τουτέστι τοῦ ῥηθέντος ὑψηλοτάτου μέρους, ἓν, ἔνθεν, τὸ δὲ ἔνθεν. ἐνθεῖναι γὰρ βούλεται τούτοις, τὰ πέρατα ῥάβδων τεττάρων, ἐν αὐτῷ τῷ χρόνῳ εὐθέως, ἠρέμα κάμπτων αὐτὰ χάριν τοῦ, μετὰ τὴν ἔνθεσιν, εἰς τὴν κατὰ φύσιν εὐθύτητα πάλιν ἐπανερχομένων, ὠθεῖσθαι τὴν σφαιρῶν, τὴν μὲν ταπεινὴν, εἰς τὸ κάτω μέρος τοῦ κώλου, τὴν δὲ ὑψηλὴν, ἄνω. γινομένου γὰρ τούτου, συμβήσεται, τὰ μέρη τοῦ κατάγματος, ἅμα μὲν ἀκριβῆ φυλάττειν τὴν διάπλασιν,
E εἶτα δὲ, ἀποτείνεσθαι, τὸ μὲν ἄνω, τὸ δὲ κάτω. κρανέας δὲ κελεύει τὰς ῥάβδους εἶναι, διὰ τὴν εὐτονίαν τοῦ ξύλου. πρόδηλον γὰρ, ὡς εἰς τὴν προκειμένην χρείαν, ἄμεινόν ἐστι τοιοῦτον εἶναι ξύλον. ὅτι δὲ τὸ μηχανικὸν καλούμενον γλωσσόκομον, ἄριστον εἰς τὰς τοιαύτας ἀποτάσεις ἐστὶν, ἤδη πρόσθεν εἴρηταί μοι, κατὰ τὸ πρότερον ὑπόμνημα, καθ' ὃ καὶ περὶ τῆς κατασκευῆς αὐτοῦ διῆλθον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

ΕΠι μελεόμενος, ὅκως τὰ ἄκρα τῶν ῥάβδων μὴ ἐς
F τὸν χρῶτα, ἀλλ' ἐς τὰ ἄκρα τῶν σφαιρίων ἰσκέλλωσιν. εἶναι δὲ χρὴ ζεύγεα τρία τῶν ῥάβδων, καὶ πλείω, καὶ τινὶ μακροτέρας τὰς ἑτέρας τῶν ἑτέρων, καὶ τινὶ καὶ βραχυτέρας, καὶ μικροτέρας, ὡς καὶ μᾶλλον διατείνειν, ἢν βούληται. ἐστώσαν δὲ αἱ ῥάβδοι ἑκάτεραι ἔνθεν καὶ ἔνθεν τῶν σφυρῶν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν ἰσκέλλωσι, τὸ δὲ ἐνερείσωσι, δηλοῖ. βούλεται γὰρ τὰς ῥάβδους, ὅσαι μεταξὺ τῶν σφαιρῶν εἰσι-

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα΄.

Ταῦτα τοίνυν ἢν καλῶς μηχανοποιηθῇ, τήν τε κατάτασιν δικαίην ἂν παρέχοι, καὶ ὁμαλὴν κατὰ τὴν ἰθυωρίην, καὶ τῷ τρώματι, πόνος οὐδεὶς ἂν εἴη. τὰ γὰρ ἀποπιέσματα, εἴ τι καὶ ἀποπιέζοιτο, τὰ μὲν ἂν ἐς τὸν πόδα ἀπάγοιτο, τὰ δὲ ἐς τὸν μηρὸν, εἶτ' αἱ ῥάβδοι εὐθετώτεραι, αἱ μὲν ἔνθεν, αἱ δὲ ἔνθεν τοῦ σφυροῦ, ὥστε μὴ κωλύεσθαι τὴν θέσιν τῆς κνήμης, τό, τε τρῶμα εὐκατάσκεπτον, καὶ εὐβάστακτον.

HIPPOCRATIS TEXTUS XXXI.

Hæc, ſi rectè parentur juſtè intendent, tum pariter è regione, nec fractura aliquod tormentum ſentiet: nam, ſi quid exprimatur, partim ad pedem, partim ad femur tranſmittetur. Commodius autem bacula collocantur à talis hinc, atque hinc, ne ſitum cruris impediant, & ut fractura benè oculis ſubjiciatur, & facilè curetur.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δικαίην ἔφην ὑπ' αὐτοῦ λέγεσθαι, τὴν ἴσην. δόξει δὴ ἐπιπεπλοκέναι ταὐτοῦ σημαινομένου καὶ ἡ ὁμαλότης, καὶ ἰσότης ἐφεξῆς. ἀλλ' αὕτη μὲν, ἐν τοῖς μέρεσιν ἑνὸς πράγματος ἔχει τὴν γένεσιν. ἡ δικαία δὲ, ἐν δυσὶ τὸ ἐλάχιστον συνίσταται, δῆλον ὅτι καὶ νῦν, δικαίαν μὲν κατάτασιν ἀκουστέον εἰρῆσθαι περὶ αὐτοῦ, κατά τε τὴν ἀντίτασιν, ἣν αἱ δύο σφαῖραι ποιοῦσι, καὶ κατὰ τὰς ἐμβεβλημένας αὐταῖς κερατίνας ῥάβδους. ὁμαλὴν δὲ τὴν καθ' ἑκάστην αὐτῶν, οἷον τὴν κατὰ τὰ σφυρὰ μόνην αὐτὴν καθ' ἑαυτὴν ἐξεταζομένην, εἶτα τὴν πλησίον τοῦ γόνατος, εἶτα τὴν ἀπὸ τῆς κατὰ τὸ δεξιὸν μέρος, ῥάβδου, καὶ μετὰ ταύτην, ὑπὸ τὴν περὶ τὸ ἀριστερόν.

D

COMMENTARIUS GALENI.

Δικαίως id eſt juſtè, dixi ab Hippocrate poni pro ἴσως id eſt æqualiter: ſed idem ſignificare videbitur ὁμαλῶς id eſt æqualiter, & ἴσως id eſt pariter, quod proximè ſubjicitur. Verùm ἴσως in partibus unius rei accipitur, ſed ὁμαλῶς minimum in duabus rebus. Nunc autem, quod inquit, juſtè intendet, intelligendum eſt de intenſione, quæ per duos orbes in contrarias partes adhibetur, & de corneis baculis in eos demiſſis: quod verò ſubdit, pariter, de ea intenſione, quam ſingula præſtant, puta orbis, qui à talis eſt, ſi per ſe æſtimetur, dein is, qui juxta genu, poſt hæc ea pars, quæ à dextro baculo, dein, quæ à ſiniſtro.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ΄.

Οὐδὲν γὰρ ἐμποδὼν, εἴ τις ἐθέλοι τὰς δύο τῶν ῥάβδων, τὰς ἀνωτέρω, αὐτὰς πρὸς ἀλλήλας ζεῦξαι, καὶ ἤν τις κούφως βούλοιτο ἐπιδεδεμένον μετέωρον ἀπὸ τοῦ τρώματος εἶναι. εἰ μὲν οὖν αἵ τε σφαῖραι προσηνέες, καὶ καλαὶ, καὶ μαλθακαὶ, καὶ καιναὶ ῥαφεῖεν, καὶ ἡ ἔντασις τῶν ῥάβδων χρηστῶς ἐνταθείη, ὥσπερ ἤδη εἴρηται, εὔχρηστον τὸ μηχάνημα. εἰ δέ τι τουτέων μὴ καλῶς ἕξει, βλάπτοι ἂν μᾶλλον, ἢ ὠφελέοι. χρὴ δὲ καὶ τὰς ἄλλας μηχανὰς, ἢ καλῶς μηχανᾶσθαι, ἢ μὴ μηχανᾶσθαι. αἰσχρὸν γὰρ, καὶ ἄτεχνον μηχανοποιέοντα ἀμηχανοποιέεσθαι.

E

HIPPOCRATIS TEXTUS XXXII.

Nihil autem prohibet, ſi quis velit, vel duo bacula ſuperiora inter ſe jungere, vel aliquid etiam ſuperinjicere, ſic tamen, ut, quod ſuperinjicitur, à fractura attollatur. Si orbes igitur leves, firmi, molles, ac novi ſuantur, & bacula rectè extendantur (ut jam propoſuimus) machinatio maximè idonea eſt: ſed, ſi quid horum non rectè habeat, oberit magis, quàm proficiet. Perpetuum autem eſt, altas etiam machinationes, vel rectè, vel nullo modo, adhibendas eſſe: turpe enim eſt, & ab artificio plurimum abhorret, machinationibus utentem ipſa machinatione deſtitui.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τέσσαρες ἦσαν αἱ ῥάβδοι. δύο καθ' ἑκάτερον μέρος τῆς κνήμης, ἄνω μὲν, ὑψηλοτέρα, ταπεινοτέρα δὲ ἡ ἑτέρα. τὰς μὲν οὖν ὑψηλοτέρας δύο, δυνατὸν εἶναί φησιν ἀλλήλαις συνδῆσαι, χάριν τοῦ μένειν εὐθείας, καὶ μὴ κατὰ τὴν βιαίαν κάμψιν, ἣν ἐκκαμφθήσονται ἀποτιθέμεναι πρὸς τὰ πλησίον μέρη.

GALENI COMMENTARIUS.

Quatuor erant bacula, ab utraque parte cruris duo, unum ſuperius, alterum inferius. Duo (inquit) quæ à ſuperiori parte ſunt, alligari inter ſe poſſunt, ut maneant recta, ne, dum magna vi curvantur inter ſe adverſa, ad proxima loca convertantur.

HIPPOCRATIS

ſunt, coguntur lanam imponere, maximè veniâ digni ſunt: ſiquidem linteis exceptis, nihil eſt quod multò commodiùs, quàm lana ſuper vitia hæc alligetur: ea verò copioſè danda eſt, tum benè carpta, non aſpera: pauca enim & mala, parùm quoque proficit. Sed, qui uno die, aut altero vinciendam lanam cenſent, tertio autem, & quarto lintea injicientes, tunc maximè aſtringunt, atque extendunt, medicinalis Artis ſunt ignari, atque admodùm imprudentes. In univerſum enim omnia vulnera tertio, & quarto die minimè vexanda ſunt, omniſque opera ſpecilli fugienda eſt his diebus, & quibuſcunque aliis vulnera recrudeſcunt. In ſumma enim vulnera pleraque tertio, aut quarto die recrudeſcunt, tum quæ inflammatione, tum quæ ſordibus, graviter excipiuntur: aut febrem inferunt: quo præcepto nullum aliud tradi poteſt utilius. Nam quæ ſunt in medendi arte graviſſima, quibus id non ſit commune? Non enim pertinet ad ulcera tantum, ſed ad alios quoque morbos complures.

GALENI COMMENTARIUS.

Propoſitum auctoris eſt pravam emendare conſuetudinem medicorum, qui ſatiùs exiſtimabunt, non protinus à principio fractum membrum extendere; ſed primùm duobus, aut tribus diebus lenientes, tertio, aut quarto die à principio vim adhibere. Hippocrates verò curandi rationem docet huic maximè contrariam, nempe initio membrum extendendum eſſe, tertio & quarto die leniendum. Quod ſi, quæ hic ſcribuntur, ſingula conſideres, plana erunt: apertè enim loquitur.

HIPPOCRATIS TEXTUS XXXIV.

Niſi ſi quis dicat, alios quoque morbos eſſe ulcera, quod quodammodo veriſſimile eſt.

GALENI COMMENTARIUS.

Veriſimile dixit 'ἐπιεικῶς', quaſi probabile: id autem propterea poſuit, quia nonnulla à ratione prorſus abhorrent. Quo igitur argumento movebitur, qui alios morbos ulcera eſſe affirmet? Morbi ſanè, qui dolorem afferunt, probabiliter admodum annumerari ulceribus poſſunt: indicavi enim dolorem inde oriri, & quod continuum ſolvatur, ubi ſecatur, extenditur,

[illegible] ἔσται, μὴ ἔχοντες ὀθόνια εἰρίοισι διαπαλύνασθαι, τουτέστι πλείστη συγγνώμη. οὐ γὰρ ἂν τις ἔχοι ἄνευ ὀθονίων ἄλλο τι πολλῷ βέλτιον εἰρίου ἐπιδέσαι ἐπὶ τὰ ἕλκεα. εἶναι δὲ χρὴ πάμπολλα, καὶ πάνυ καλῶς εἰργασμένα, καὶ μὴ τρηχέα. τῶν γὰρ ὀλίγων καὶ φλαύρων, ὀλίγη καὶ ἡ δύναμις. ἔστι δὲ ἐπὶ μίαν ἢ δύο ἡμέρας, εἴρια ἐπιδέειν ἀξιέουσι. τρίτῃ δὲ καὶ τετάρτῃ, ὀθονίοισιν ἐπιδέοντες, πιέζουσι καὶ κατατείνουσιν, τό, τι μάλιστα οὗτοι πουλύ τι ἰητρικῆς καὶ κάρτα ἐπίκαιρον ἀσυνετέουσιν. ἥκιστα γὰρ χρὴ τῇ τρίτῃ καὶ τετάρτῃ συμπεριελίσσειν πάντα τὰ τρώματα, ὡς ἐν κεφαλαίῳ δὲ εἰρῆσθαι, καὶ μηλώσιας δὲ πάσας, φυλάττεσθαι χρὴ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν, καὶ ὁκόσοισιν ἄλλοισι τρώμασιν ἐρέθισμα. ὡς ἐπίπαν γὰρ ἡ τρίτη καὶ ἡ τετάρτη ἡμέρη, ἐπὶ τοῖσι πλείστοισι τῶν τρωμάτων, τίκτει τὰς παλιγκοτιάσιας, καὶ ὅσα ἐς φλεγμονὴν, καὶ ἀκαθαρσίην ὁρμᾷ, καὶ ὅσα αὖ ἐς πυρετοὺς εἶσι, καὶ μάλα πολλοῦ ἄξιον τοῦτο μάθημα, εἴπερ τι καὶ ἄλλο. τίνι γὰρ οὐκ ἐπικοινωνεῖ τῶν ἐπικαιροτάτων ἐν ἰητρικῇ, οὐ κατὰ τὰ ἕλκεα μόνον, ἀλλὰ καὶ κατὰ ἄλλα πολλὰ νοσήματα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μοχθηρὸν ἔθος ἰατρῶν ἐπανορθώσασθαι βούλεται, νομιζόντων ἄμεινον εἶναι, μὴ κατατείνειν εὐθέως τὸ κατεαγὸς κῶλον, ἀλλὰ προπαρηγορήσαντας πρότερον ἡμέραις δύο καὶ τρισί, τότε ἥκειν ἐπὶ τὴν κατάτασιν, ὕστερον, ἡμέρᾳ τρίτῃ καὶ τετάρτῃ, μετὰ τὴν ἀρχήν. ὁ δὲ Ἱπποκράτης, αὐτὸ τὸ ἐναντιώτατον ἐνδείκνυσιν ἁρμόττειν, ἐν ἀρχῇ μὲν κατατείνειν τὸ κῶλον, ἐν δὲ τῇ τρίτῃ, καὶ τετάρτῃ, παρηγορεῖν. ἐὰν οὖν προσέχῃς τὸν νοῦν τοῖς κατὰ μέρος, εἰς τοῦτο γεγραμμένοις ὑπ' αὐτοῦ, σαφῆ ταῦτ' ἔσται, καὶ γὰρ ἑρμηνεύεται σαφῶς.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

Εἰ μή τις φήσει, καὶ τἄλλα νοσήματα, ἕλκεα εἶναι, ἔχει γάρ τινα καὶ οὗτος ὁ λόγος ἐπιείκειαν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπιείκειαν φησὶν ἔχειν τὸν λόγον, ἐν ἴσῳ πιθανότητα. τοῦτο δὲ εἶπεν, ἐπειδή τινες τῶν λόγων, ἄντικρυς εἰσὶν ἀπίθανοι. τίς οὖν ἡ πιθανότης τοῦ λόγου, καθ' ὃν εἴποι τις ἂν, εἶναι καὶ τὰ ἄλλα νοσήματα, ἕλκη, τὰ μὲν ἐπώδυνα, καὶ πάνυ πιθανὸν ἐν τοῖς τῶν ἑλκῶν τίθεσθαι γένει. δέδεικται γὰρ ἡμῖν ὀδύνη γινομένη, διά τι τὴν τῆς συνεχείας λύσιν, ἐν τῷ τέμνεσθαι,

δείκνυται τῇ πραγματείᾳ· ὥς τι κατὰ τοῦτο μὲν οὐ μόνον ἂν εἴη πιθανὸς ὁ λόγος, ἀλλὰ καὶ ἀληθής, ἅπασαν ὀδύνην ἐν τῷ τῶν ἑλκῶν γένει τιθέμενος. ὅτι δὲ καὶ πάντα τὰ νοσήματα, δύναιτ' ἄν τις ἕλκη λέγειν, οὐκ ἔτ' ἂν ὁμοίως προσῆκον, ἀληθὲς, οὐ μὴν ἀπήλλακται πιθανότητος. ἐπεὶ γὰρ τὰ πλεῖστα νοσήματα μετ' ὀδύνης συνίσταται, μετάβασις ἀπ' αὐτῶν, ἐπὶ πάντα γενήσεται τῷ λόγῳ, περαινομένου τινὸς, ἐν ὅλῳ τῷ σώματι, πάντως, ἤτοι δυσκρασίαν τινά, ἢ θλῖψιν, ἢ τάσιν, ἢ σαφῶς γίνεσθαι συνεχείας διαίρεσιν, εἶτα προσαναγκάζοντος ἅπασαν ἐργάζεσθαί τινα λύσιν τῆς συνεχείας. καὶ εἰ μὴ πρὸς αἴσθησιν ἐναργῶς, ἀλλὰ πρός γε τὴν ἀλήθειαν αὐτὴν, λόγῳ θεωρητῶς. ἐν δὲ τοῖς τεινομένοις τε, καὶ θλωμένοις, καὶ θλιβομένοις, ἔτι δὲ καὶ μᾶλλον. ἐγγὺς γὰρ ἥκει ταῦτα τῶν διασπωμένων· τοῦτο δ' ἐστὶ τὸ πάθημα, συνεχείας λύσις.

B solutionem, in eodem opere oſtenſum. Juxta hoc igitur non ſolùm probabile, ſed verum quoque erit, dolorem omnem ad ulcerum genus pertinere: at non æquè verè, atque id, quod propoſitum eſt, non tamen abſurdè, morbi omnes poterunt ulceris nomine appellari: quandoquidem cum pleriſque morbis dolor conjungitur, à quibus ſermo transferetur ad omnes, quùm ratione quis contendet totum corpus omninò, vel immoderato affici temperamento, vel contendi, extendi, aut evidenter ſecari: deinde conficiet à quolibet immoderato temperamento continuum aliquid ſolui: id, C quod, quanquam evidenter ſenſui non ſubjicitur, rationali tamen contemplatione verum eſſe comprobatur. Hoc adeò magis accidit in iis, quæ extenduntur, contunduntur, & comprimuntur: hæc ſiquidem proximè accedunt ad ea quæ divelluntur; quæ res continui ſolutio eſt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λε΄.

Πολλαχοῦ δὲ ἀδελφίζει τὰ ἕτερα τοῖσιν ἑτέροισιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅπερ εἰώθαμεν λέγειν, ὡμοιῶσθαι, καὶ κεκοινῶσθαι, καὶ συγγενῆ εἶναι, τοῦτο καλεῖν εἴωθεν ὁ Ἱπποκράτης, ἀδελφίζειν, τὴν πολλὴν τῶν πραγμάτων οἰκειότητα, καὶ συγγένειαν ἐνδεικνύμενος τῷ ὀνόματι. πολλῶν γὰρ ὄντων ἀλλήλοις συγγενῶν, οὐδένας μᾶλλον οἰκειοτέρους ἂν ὀνομάζοιτο συγγενεῖς, ὡς ἰσοδυναμοῦντα οὕτως τῇ ἀδελφότητι, τὴν σφόδρα οἰκειότητα, προσαγορεύειν εἴωθε τῷ ἀδελφίζειν ῥήματι.

HIPPOCRATIS TEXTUS XXXV.

Sæpenumerò alii aliis germani ſunt.

D

GALENI COMMENTARIUS.

Quos conſuevimus ſimiles dicere, conjunctos, aut cognatos, Hippocrates ſolet appellare germanos: quo vocabulo ſummam rerum conjunctionem, conſortiumque ſignificat: nam, cùm multi inter ſe cognati ſint, nulli magis propriè cognati dicuntur, quàm germani. Eos igitur, qui maximè conjuncti ſunt, quaſi eandem conjunctionem habeant, quam germani; eo verbo nuncupat.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛ΄.

Ὁκόσοι μέντοι δοκέουσιν εἰρίοισιν χρῆσθαι, ἔστ' ἂν ἑβδόμη ἡμέρη παρέλθῃσιν, ἔπειτα κατατείνειν τε, καὶ κατορθοῦν, καὶ ὀθονίοισιν ἐπιδεῖν, οὗτοι οὐκ ἂν ἀσύνετοι ὁμοίως φαινοῖεν. καὶ γὰρ τῆς φλεγμονῆς τὸ ἐπικαιρότατον παρεληλύθει, καὶ τὰ ὀστέα, χαλαρὰ, καὶ εὔθετα μετὰ ταύτας τὰς ἡμέρας ἂν εἴη. πολλῷ μέντοι ἡσσᾶται καὶ αὕτη ἡ μελέτη, τῆς ἐξ ἀρχῆς τοῖσιν ὀθονίοισιν ἐπιδέσιος. κεῖνος μὲν γὰρ ὁ τρόπος, ἑβδομαίους ἐόντας ἀποδείκνυσιν, καὶ παρασκευάζει νάρθηξι τελέως ἐπιδεῖν, οὗτος δὲ ὁ τρόπος, πολὺ ὑστερεῖ.

HIPPOCRATIS TEXTUS XXXVI.

Quicunque verò exiſtimant lana utendum eſſe, donec ad ſeptimum diem ventum fuerit, dein extendendum, dirigendum, & faſciis vinciendum, non ita videntur imprudentes: tunc enim inflammationis impetus conquievit: atque oſſa ab his diebus laxantur, & facilè tractari poſſunt. F *Hac tamen curatione longè melior eſt, quæ à principio vinculum adhibet, ſub qua ſeptimus dies membrum exhibet ex toto alligandis ferulis idoneum: quod ſub hac multò poſterius contingit.*

bus eget, eos in non mediocri errore verſari oſtendit.

B καὶ μικρὸν ἁμάρτημα δείκνυσιν ἁμαρτάνειν αὐτοῖς.

HIPPOCRATIS TEXTUS XXXVII.

Alia etiamnum affert incommoda, quæ omnia perſequi longum eſſet.

GALENI COMMENTARIUS.

Longitudinis temporis accuſavit eam curationem, quæ non niſi poſt ſeptimum C diem vinculo utitur fracturis accommodato: nunc ſubdit, in alia quoque compellere incommoda, quæ, ne multus ſit, omittit. Nos ſatiùs ducimus ea ſubjicere, moti ab iis quæ in ſuperioribus demonſtravimus. Ubi fractura mediocris ſit, partes ſub hac vinciendi ratione tumidiores fiunt, ut ſuprà etiam oſtendimus: quod ſi os aſperius, & gravius perfringatur, periculum quoque eſt in eo caſu, ne corrumpatur, ſi vinculum, quod ad fracturas pertinet, dum tranſeat ſeptimus dies, differatur. Hoc D enim jubet à primo adhiberi, quoniam in utramque partem à fractura exprimit ſuperantem ſanguinem, qui, ſi diutiùs ibi ſubſiſtat, nonnunquam efficit, ut oſſa vitioſa ſanie plurimùm irrigata corrumpantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζ'.

Βλάβας δὲ ἑτέρας καὶ ἄλλας ἔχει, ἀλλὰ μακρὸν ἂν εἴη πάντα γράφειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μῆκος τοῦ χρόνου μεμψάμενος, ἐπὶ τῆς μετὰ τὴν ἑβδόμην ἡμέραν ἀρχομένης τῆς καταγματικῆς ἀγωγῆς, ἔτι πρὸς τούτῳ φησὶ καὶ ἄλλας εἶναι βλάβας, ἃς παραλείπει, ὅπως μὴ μακρολογοίη. προσθεῖναι δὲ ἡμᾶς ἄμεινον αὐτάς, ἐξ αὐτῶν ὧν ἔμπροσθεν ἐδείξαμεν ὡρμημένους. μετρίου μὲν ὄντος τοῦ κατάγματος, ὀγκηρότερα γὰρ τὰ μόρια, διὰ τὴν τοιαύτην ἐπίδεσιν, ὡς καὶ πρόσθεν ἐδιδάξαμεν. εἰ δὲ καὶ σφοδρότερόν τι, καὶ κακοηθέστερόν ποτε τὸ κῶλον συντριβείη, κίνδυνός ἐστι τηνικαῦτα, καὶ αὐτό τι τῶν ὀστῶν σφακελίσαι, τῆς καταγματικῆς ἀγωγῆς, ἀναβληθείσης, εἰς τὸν μετὰ τὴν D ἑβδόμην ἡμέραν καιρόν. ἀπ᾿ ἀρχῆς γὰρ αὐτὴν βούλεται παραλαμβάνεσθαι, διότι τῶν πεπονθότων μορίων, ἑκατέρας τὴν περιουσίαν ἐκθλίβει, τοῦ αἵματος, ἐξ ἧς χρονιζούσης, αὐτόθι σήπεσθαι τοῖς ὀστοῖς ἐνίοτε συμβαίνει διαβεβρωμένοις ἐπὶ πλεῖον, ὑπὸ τῶν μοχθηρῶν ἰχώρων.

HIPPOCRATIS TEXTUS XXXVIII.

Quibus oſſa fracta, & cute excedentia E *reſtitui nequeunt, hoc modo in ſuam ſedem collocantur.*

GALENI COMMENTARIUS.

Solent Græci, qui Aſiam incolunt, uſurpare verbum καταστῆσαι, ut ſignificent in ſuam ſedem collocare: unde mihi videtur Hippocrates ducere nomen κατάστασις per σ tertiam ſyllabam ſcribens, ſic, ut idem ſignificet, quod καθίδρυσις, quod vocabulum nihil aliud ſibi vult, quàm aliquid in ſuam ſedem collocare, F quam rem κατάστασιν dixit. Malè igitur ſcribunt nonnulli κατάτασιν abſque σ, non enim per intenſionem, quam κατάτασις notat, ſed & per impulſum, nudata oſſa in ſuum locum reconduntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

Ὁκόσοισι δὲ τὰ ὀστέα κατεηγότα, καὶ ἐξίσχοντα, μὴ δύνηται ἐς τὴν ἑωυτῶν χώρην καθιδρύεσθαι, ὧδε ἡ κατάστασις.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καταστῆσαι, συνήθως λέγουσιν οἱ κατὰ τὴν Ἀσίαν Ἕλληνες, ἀντὶ τοῦ, πρὸς τὴν οἰκείαν χώραν ἀγαγεῖν. ἀπὸ τούτου δέ μοι δοκεῖ καὶ ὁ Ἱπποκράτης, πεποιηκέναι καὶ νῦν, τὸ τῆς καταστάσεως ὄνομα, μετὰ τοῦ σ δηλονότι γραφομένης τῆς συλλαβῆς ταύτης, ὡς ταυτὸν σημαίνειν δι᾿ αὐτοῦ, τῷ καθιδρῦσαι, ἤ πως ἐνδείκνυσθαι, τὸ κατὰ χώραν ἱδρῦσαί τι. κακῶς F οὖν ἔνιοι γράφουσι κατάτασις, ἄνευ τοῦ σ. οὐ γὰρ διὰ τῆς κατατάσεως, ἀλλὰ καὶ διὰ τῆς μοχλείας, ἱδρύει εἰς τὴν οἰκείαν χώραν τὰ γυμνωθέντα τῶν ὀστῶν.

χρήσαιτο, ἔπειτα τυπτέουσι χρὴ ἅμα τῇ κατατάσει μοχλεύειν ὑποβάλλοντα. πρὸς μὲν τὸ κατώτερον τοῦ ὀστέου ἐρείδοντα, πρὸς δὲ τὸ ἀνώτερον, τὸ ἀνώτερον τοῦ σιδηρίου, ἁπλῷ δὲ λόγῳ, ὥσπερ εἴ λίθον τις, ἢ ξύλον μοχλεύοι ἰσχυρῶς. ἔστω δὲ στερεὰ τὰ σιδήρια ὡς οἷόν τε, ὡς μὴ κάμπτηται. αὕτη μεγάλη τιμωρίη, ἤν τε τὰ σιδήρια ἐπιτήδεια ᾖ, καὶ μοχλεύῃ τις ὡς χρή.

missis oſſa eodem penè momento, quo intendun- B *tur, impellenda ſunt. Innitantur autem ab imo, inferiori oſſi, à ſummo, ſuperiori: atque (ut uno verba dicam) non aliter, quàm ſi vectis ad lapidem, vel lignum fortiter impellendum admoveatur. Sint autem ferramenta quantum fieri poteſt, firmiſſima, ne flectantur. Hæc itaque curatio maximũ momentũ habet, ſi ferramenta idonea ſint, & impulſus conveniens adhibeatur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C

Πρόδηλον, ὅτι κατὰ τὸ σχῆμα παραπλήσια κατασκευάζει σιδήρια, τοῖς τῶν λατύπων, οὐ κατὰ τὸ μέγεθος· οἷς γὰρ ἐπὶ τῶν ὀστῶν χρώμεθα σιδηρίοις, εἰς τὸ μοχλεύοντας αὐτὰ κατατάξαι, τηλικαῦτά ἐστι τὸ μέγεθος, ἡλίκα καὶ πρὸς τὰς τῶν ὀδόντων μοχλείας, ὑφ' ἡμῶν παρεσκεύασται. πλείω δὲ εἶναι χρὴ τὰ περὶ τὰς τῶν ὀστῶν μοχλείας παρεσκευασμένα, διαφέροντα ἀλλήλων μεγέθει τε, καὶ λεπτότητι, καὶ μικρότητι τῇ κατὰ τὸ πέρας αὐτῶν, ἔνθα μάλιστα τὸ ἔργον αὐτῶν ἐστι. ὅπως δὲ προσήκει χρῆσθαι τοῖσδε τοῖς σιδηρίοις, αὐτὸς ὁ Ἱπποκράτης ἐδίδαξε σαφῶς. εἰ δέ τις οὐ παρακολουθεῖ τῇ λέξει τἀνδρὸς, οὐκ ἐξηγήσεως, οὐδ' ἑρμηνείας ἑτέρας, ἀλλ' αὐτοψίας δεῖται. ἔνια γάρ ἐστι πράγματα, τοιαῦτα τὴν φύσιν, ὥστε μὴ δύνασθαι πιστεῦσαι ἢ νοῆσαι, ἄνευ τοῦ θεάσασθαί τινα αὐτά.

D

GALENI COMMENTARIUS.

A

Vectis Molitio.

Conſtat fabricanda eſſe ferramenta ad figuram vectium, quibus in lapidicinis utuntur, non tamen æquè magna, cùm, quæ ad impellenda oſſa adhibentur, ab iis non abhorreant, quæ ad urgendos dentes comparantur. Verùm ad oſſa impellenda parari multa debent, quorum alia aliis pleniora, vel tenuiora ſint, vel minora, ab extrema parte, qua maximè ſuum effectum præſtant: ſed qua via uti eiſdem ferramentis conveniat, Hippocrates ipſe evidenter declarat. Si quis ejus verba non intelligit, alia expoſitione, aut interpretatione non indiget, ſed oculorum ſenſu: quædam enim res naturâ tales ſunt, ut aliqui, nec diſcere, nec doceri eas poſſint, niſi in conſpectum adducantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μ'.

Ὁκόσα γὰρ ἄνθρωποι ἄρμενα μεμηχάνηνται, πάντων ἰσχυρότατά ἐστι τρία ταῦτα, ὄνου τε περιαγωγὴ, καὶ μόχλευσις, καὶ σφήνωσις. ἄνευ δὲ τούτων, ἢ ἑνός γέ τινος, ἢ πάντων, οὐδὲν τῶν ἔργων τῶν ἰσχυροτάτων οἱ ἄνθρωποι ἐπιτελέουσιν, οὔκουν ἀτιμαστέη αὕτη ἡ μόχλευσις. ἢ γὰρ οὕτως ἐμπεσεῖται τὰ ὀστέα, ἢ οὐκ ἄλλως. ἢν δὲ ἄρα τοῦ ὀστέου τὸ ἄνω παρηλλαγμένον, μὴ ἐπιτήδειον ἔχῃ ἕδρην τῷ μοχλῷ, ἀλλὰ παρόξυ ᾖ παραφέρῃ, παραγλύψαντα χρὴ τοῦ ὀστέου, ἕδρην τῷ μοχλῷ ἀσφαλέα ποιήσασθαι. μοχλεύειν δὲ χρὴ καὶ τείνειν αὐθημερὸν, ἢ δευτεραῖα, τριταῖα δὲ μὴ, τεταρταῖα δὲ, ὡς ἥκιστα, καὶ πεμπταῖα. καὶ γὰρ μὴ ἐμβάλλοντι, ὀχλήσαντι δὲ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν, φλεγμαίνειν ἂν ποιήσειε, καὶ ἐμβάλλοντι, οὐδὲν ἧσσον.

E

F

HIPPOCRATIS TEXTUS XL.

Ex univerſis enim machinationibus, quæ ab hominibus excogitatæ ſunt, hæ tres ſunt omnium valentiſſimæ, axis verſatio, impulſus per vectem, & cuneus adactus: namque homines ſine aliquo uno, vel ſine omnibus, nullum opus, quod maximam vim poſtulet, perficiunt: quare non parvifaciendus eſt impulſus hic: ſiquidem oſſa, vel hac via, vel nulla alia, reconduntur. Sed ſi id os, quod ſuper alterum excedit, vecti idoneum locum non præſtet, ſitque ita acutum, ut vectis effugiat: ſcalpro excavandum, donec vecti locus fiat, cui firmiter hæreat. Impellere autem oportet, atque extendere eodem die, vel poſtridie, ſed non tertio: quarto verò, vel quinto minimè: nam, ſi his diebus laceſſit oſſa neque ant in ſuam ſedem reverti, inflammatio ſuperveniet, ac nihilominus etiam, ubi reſtituantur.

HIPPOCRATIS TEXTUS XLI.

Atqui multò magis nervorum diſtenſio excitabitur, ſi os reſtituatur, quàm ſi reſtitui nequeat: quod quidem ignorare non oportet: nam, ſi condito oſſe nervorũ diſtenſio ſuperveniat, in anguſto ſpes eſt: præſtat autem iterum expellere, ſi poteſt citra moleſtiam fieri.

GALENI COMMENTARIUS.

Cauſam, quamobrem his omnibus vitiis inflammatio accedat, ubi oſſa condantur, ipſe deinceps omnem perſequitur, ſemel ipſam explicaſſe contentus, non ſecus, atque alia multa, quæ in medicina maximum pondus habent, ut, qui transferendum nobis ſermonem cenſeat ad cætera ejuſdem naturæ omnia. Ecce tibi adſcribam ejus verba, quibus univerſum hoc, quod ad multa ſingularia pertinet, exponit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μα.

B Σπασμὸν μέντοι, ἐμβαλόντι, πουλὺ αὖ μᾶλλον ποιέει, ἢ ἀπορήσαντι ἐμβαλεῖν. ταῦτα δὲ χρὴ εἰδέναι. καὶ γὰρ εἰ ἐπιγένοιτο σπασμὸς ἐμβάλλοντι, ἐλπίδες μὲν οὐ πολλαὶ σωτηρίης. λυσιτελέει δὲ ὀπίσω ἐμβάλλειν τὸ ὀστέον, εἰ οἷόν τε εἴη ἀόχλως.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Διότι σπασμοὶ γίνονται κατὰ πάσας τὰς τοιαύτας διαθέσεις, ἐμβαλλομένων τῶν ὀστῶν, εἶπεν ἐφεξῆς πάντα, ὥσπερ καὶ ἄλλων πολλῶν ἐπιχειρῶν εἰς τὴν τέχνην, ἅπαξ εἰπὼν, ἀρκεῖται, μεταφέρειν ἡμᾶς ἀξιῶν τὸν λόγον ἐπὶ πάντα τὰ ἄλλα, ὅσα τῆς αὐτῆς φύσεως. εἰ δὲ τήνδε παραγράψω σοι τὴν ῥῆσιν αὐτοῦ, δι᾽ ἧς τὸ καθόλου τοῦτο κοινὸν πολλῶν τῶν κατὰ μέρος, διδάσκει.

HIPPOCRATIS TEXTUS XLII.

Neque enim iis quæ juſto laxiora ſunt, nervorum diſtenſio, aut rigor ſupernaſcitur, ſed iis, quæ ultra debitũ intenduntur. Quod ad hunc locum attinet, propoſitis diebus irritare non convenit, ſed operam dare, ut ulcus quamminimè inflammatione tentetur, & quam maximè ſuppuret: atque ubi ſeptem dies, vel paulo plures tranſierint, ſi febris non ſit, atque ulcus inflammatione vacet, tunc minùs prohibemur eniti ad reponendum, ubi voti compotes fieri poſſe non deſperemus, quoniam ſine effectu ſpe non convenit & ſibi & alteri moleſtiam afferre. Ergo, ſi oſſa in ſuam ſedem collocentur, quæ curatio admovenda ſit, jam declaratum eſt, ſive abſceſſura credamus, ſive non. Quòd ſi abſceſſura oſſa videantur (ut dixi) faſciæ in omnibus his ordiri à mediis debent, plerumque, quemadmodum illæ, quæ primæ circundantur, in utramque partem attractæ.

D ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μβ'.

Οὐ γὰρ ἐπὶ τοῖσι χαλαρωτέροισι τοῦ καιροῦ, σπασμοὶ καὶ τέτανοι ἐπιγίνονται, ἀλλ᾽ ἐπὶ τοῖς ἐντεταμένοισι μᾶλλον, περὶ οὗ νῦν ὁ λόγος. οὐ χρὴ οὖν ἐνοχλέειν ἐν τῇσι προειρημένῃσιν ἡμέρῃσιν τοιούτοισιν, ἀλλὰ μελετᾶν ὅκως ἥκιστα φλεγμανεῖ τὸ ἕλκος, καὶ μάλιστα ἐκπυήσῃ. ἑπτὰ δὲ ἑπτὰ ἡμέραι παρέλθωσιν, ἢ ὀλίγῳ πλείους, ἢν ἀπύρετος ᾖ, καὶ μὴ φλεγμαίνῃ τὸ E ἕλκος, τότε ἧσσον κωλύειν, ἢ πειρᾶσθαι ἐμβάλλειν, ἢν ἐλπίζῃς κρατήσειν· ἢν δὲ μὴ, οὐδὲν δεῖ μάτην ὀχλέειν, καὶ ἢν μὲν οὖν ἐμβάλῃς τὰ ὀστέα ἐς τὴν ἑωυτῶν χώρην, γεγράφαται ἤδη οἱ τρόποι τοῦ ὡς χρὴ ἰητρεύειν, ἤν τε ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι, ἤν τε μή. χρὴ δὲ, καὶ ἢν μὲν ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι, ὡς ἔφην τοὺς τρόπους τῶν ὀθονίων ἐπὶ πᾶσι τοῖσι τοιουτέοισι τὴν ἐπίδεσιν ποιέεσθαι, ἐκ μέσου τοῦ ὀθονίου ἀρχόμενον, ὡς ἐπὶ τὸ πολὺ, ὡς ἐπὶ δύο ἀρχέων ὑποδεσμὶς ὑποδεῖται.

F

GALENI COMMENTARIUS.

Oſtenſum eſt in libro de motu muſculorum, ſingulos muſculos ſuo munere fungi, ubi verſus ſuum initium contrahuntur: quæ res, quando invitis nobis accidit ob inflammationis magnitudinem, nervi diſtenduntur. Cur igitur, ſi reponantur oſſa, quæ

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐμάθομεν ἐν τοῖς περὶ κινήσεως μυῶν, ἐπὶ τὴν ἰδίαν ἀρχὴν ἑκατέρου μυὸς κινουμένου, τὴν ἐνέργειαν αὐτῶν γίγνεσθαι. ὅταν μὲν οὖν, ἀκόντων ἡμῶν τοῦτο λάβωσι διὰ μέγεθος φλεγμονῆς, οἱ σπασμοὶ γίνονται. διά τι οὖν, ἐμβληθέντων τῶν παραλλαξάντων ὀστῶν δῆλα,

... ἔχον, ... [illegible]
προσηγμένα μετὰ ταῦτα εἰς μῆκος ἐπανέρχονται.

... & ſub inflammatione, & nunc, quum ad priſtinam longitudinem revertuntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μγʹ.

Τεκμαίρεσθαι δὲ χρὴ πρὸς τὴν μορφὴν τοῦ ἕλκεος, ὅκως ἥκιστα στομοῖτο, καὶ ἐκπεπλισμένον ἔσται, παρὰ τὴν ἐπίδεσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κατὰ μεταφορὰν ἀμφοτέροις κέχρηται τοῖς ὀνόμασι, τὸ μὲν στομοῦσθαι ἀπὸ τῶν χειλῶν τοῦ στόματος ὅλως προσαγορεύσας, τὸ δ' ἐκπεπλισμένον, ἀπὸ τῶν πολὺ διεστώτων σκελῶν· καὶ γὰρ ἐκείνων διεστῶτας, ὀνομάζεται πλίκτα, ὥσπερ καὶ στομοῦσθαι λέγομεν, τοῖς διεστῶσι χείλεσιν ἀπ' ἀλλήλων, χωρὶς τοῦ τὴν γένυν ... κινῆσαι. ὅταν μὲν γὰρ ἀνοιχθῇ γίγνεται τὸ στόμα, διεστῶσι δὲ τὰ χείλη, τῶν ὀδόντων συμβεβλημένων, ὀνομάζεται στομοῦσθαι. φυλάττεσθαι δέ γε κελεύει κατὰ τὴν ἐπίδεσιν, ἐκπεπταμένα ποιῆσαι τὰ χείλη τοῦ ἕλκους. συνάγεσθαι γὰρ βούλεται πρὸς ἄλληλα, τὴν οἰκείαν θέσιν ἀπολαμβανόντων τῶν μερῶν τοῦ δέρματος, ὑπὸ τοῦ θλίβεσθαι ἥκιστα πιεζουμένων οὕτω, καὶ σκέποιτ' ἂν μάλιστα, τὸ ὑποκείμενον ἕλκος ἐν τοῖς μυσίν. εἰδέναι γάρ σε χρή, τῷ δέρματι χαίροντα τὰ ὑπ' αὐτὸ πάντα, καὶ μηδὲν ὑποκείμενον ἀθρόως γυμνοῦσθαι. καὶ τί θαυμαστὸν οἰκεῖόν τι, καὶ σύμφυτον ἔχοντα τὴν ἐκ τοῦ δέρματος σκέπην αὐτά, χαίρειν μὲν ἀεὶ τῷ συμφύτῳ σκεπάσματι, χαλεπῶς δέ, ὑπὸ τῶν ἄλλων ἁπάντων διατίθεσθαι; ἐγὼ γοῦν μηδέποτε ἀποτέμνοντα μέρη τοῦ δέρματος, ἀλλ' ἐπάγοντα τὸ ἀπεσπασμένον αὖθις, ἐξ ἑτέρων τε, καὶ κατ' αὐτὸν ..., τὰ μὲν ἃ πολλάκις ἐθεασάμεθα τὰ οὕτως ἀποσυρέντα δέρματα· καὶ τό γε θαυμαστότερόν ἐστιν ὅτι μελανθέντος κατὰ τὴν πληγὴν εὐθέως. ἔτι δὲ δὴ πλέον τοῦτο θαυμαστότερον, ὅτι μὴ νεανίσκοις μόνοις, ἀλλὰ καὶ γέρουσιν οὐκ ὀλίγοις, πολλὰ τῶν οὕτως ἀποσυρέντων δερμάτων, ἐν τῷ τραύματι μελανθέντων, προσάγοντες, ἐκολλήσαμεν. εἰ δὲ γυμνὴν ἐάσαις τὴν ἀποδεδαρμένην σάρκα, καὶ δυσχερὴς οὕτως ἡ οὔλωσις αὐτῆς γίγνεται, μετὰ τοῦ καὶ δάκνεσθαι πάντως, καὶ ῥυπαίνεσθαι. τὰ γὰρ ἀφλέγμαντα, καὶ παρηγορικὰ φάρμακα, καθάπερ ἐστὶ τό, τε τετραφάρμακον ὀνομαζόμενον, ἥ τε τετραφάρμακος δύναμις, ἀφλεγμάντων μὲν φυλάττει τὸ πεπονθὸς μόριον, ῥυπαρὸν δὲ ἐργάζεται τὸ ἕλκος. τὰ δ' αὖ καθαίροντα τὸ ἕλκος, ἅτε ῥυπτικὴν ἔχοντα δύναμιν, αἴσθησιν αὐτῷ φέρει δακνώδη. τό γε μὴν ὑπὸ τοῦ δέρματος σκεπάζεσθαι τὸ ἀπεσυρμένον, τούτων οὐδὲν πάσχει. τοιοῦτον δ' ἔοικέ τι, καὶ τὸ κατὰ τὰς φλυκταίνας, γιγνομένας ὑπὸ πολλῶν προφάσεων, εἰς ὄγκον δὲ αἰρομένας, ἐνίοτε δὲ μεγάλην ὀδύνην ἐπιφέρειν, ἐπεὶ δή μοι, κἀκείνας ὡσαύτως· διατιτρῶντι γὰρ αὐτάς, ὀξείᾳ βελόνῃ τὰς φλυκταίνας εἰς ἀπόρρυσιν, εἶτα ἐκθλίψας αὐτῶν ἅμα τὸ ὑγρόν, ἀπολείπω προσκείμενον τὸ δέρμα, καὶ συμβαίνει πάλιν αὐτὰς πληροῦσθαι, μύσαντος τοῦ τρήματος ἐκ δευτέρου, καὶ φλυκταίνας πληρωθείσας αὖθις πάλιν κατὰ τὸν αὐτὸν τρόπον, εἶτ' ἐκθλιβέντος τοῦ ὑγροῦ, προστέλλεται τῇ σαρκὶ τὸ δέρμα, καὶ φυλάττεται μέχρις ἂν ἀπουλωθῇ τὸ ὑπ' αὐτὸ τοῦ χρωτὸς

HIPPOCRATIS TEXTUS XLIII.

Attendenda inſuper eſt figura ulceris, ne ſub vinculo hiet, ac divaricetur.

GALENI COMMENTARIUS.

Tranſlatione uſus duo hæc verba uſurpat, hiare ſcilicet, quod στομοῦσθαι dixit, ducto quidem verbo à labiis oris: & divaricari, quod ἐκπεπλίσθαι, à cruribus plurimùm inter ſe diductis: diducta enim crura divaricata dicimus: labia verò, quùm ſine motu maxillæ inter ſe diſtant, hiantia: namque, ubi os ſic aperitur, ut labia non coeant, dentes verò inter ſe committantur, hiare dicitur. Cavet autem, ne oræ vulneris diductæ vinciantur: vult enim eas contrahi cutis partibus ſuum ſitum recipientibus: quandoquidem ſubjectum muſculorum ulcus hac via minimè comprimetur, & maximè tegetur. Scire enim licet, quæcunque cute conteguntur, hac eadem delectari, nihilque nudari innocenter. At quid mirum eſt, ſi ea, quibus cutis proprium, atque innatum velamentum eſt, ſemper velamento gaudent innato, cæteriſque omnibus læduntur? Equidem, quùm nihil ex cute præciderem, ſed eam ab ulterioribus partibus ſuper locum inducerem, à quo detracta erat, agglutinatam vidi, & (quod magis admiratione dignum eſt) quùm locus jam nigritie occuparetur. Illud item longè admirabilius, quod non modò adoleſcentibus, ſed ſenibus non paucis, cutem ita detractam protinus, ubi in plaga nigreſceret, ſæpè agglutinavi. At nuda caro, ſi ſine cute relinquatur, ægrè ad cicatricem perducitur, præterquamquod morſum omninò ſentit, & ſordida redditur: medicamenta enim, quæ inflammationem coercent, ac leniunt, cujuſmodi eſt, quod τετραφάρμακον, & quod τετραφάρμακος nuncupatur, affectam partem ab inflammatione tuentur; ſed ulcus ſordidum efficiunt: quæ verò ulcus purgant, ob detergendi facultatem mordent. Sed, ubi pars, à qua detracta cutis eſt, eadem contegatur, nulli ejuſmodi noxæ patet: quod ſimile eſt, atque ubi puſtulæ ſub variis cauſis ortæ in tumorem aſſurgunt, & interdum gravem afferunt dolorem: acuta enim acu (ut noſti) eas aperio, ut exitum habeant, collectoque ibi humore leviter expreſſo, ſuperiectam cutem relinquo. Hæ deinde iterum implentur præcluſo foramine, impletæque eodem modo aperiuntur: humore expreſſo cutis ad carnem compellitur, ſervaturque, dum quod ſub ea exulceratum eſt, ad cicatricem

evadit: tin purgent ſordem, & detergendi vim habeant, morſum ſentit. At, ubi injecta medicamenta, per cutem, ſuam facultatem carni exulceratæ impartiant, nulla ipſorum particula penetrante, proderunt quidem, ſed nullum afferent ex ſuperioribus incommodis. Jure igitur Hippocrates magni momenti exiſtimat oras hujuſmodi ulcerum contrahi, id, quod benè utique cedet, ſi diligenter figura ulceris animadvertatur: ſi una enim ora in alterum latus inclinetur, faſcia inde orſa ad contrarium convertenda eſt: ſi pariter in utrunque, media primò injici debet, atque ora vulneris inter ſe committi.

εἰκὸς, δάκνει) δὲ ὑπὸ τῶν καθαιρόντων τὸν ῥύπον, ὅταν ῥυπώδη ᾖ, B εἰ δὲ διὰ τοῦ δέρματος αἱ τῶν ἐπιτιθεμένων φαρμάκων δυνάμεις, εἰς τὴν πεπονθυῖαν σάρκα κατίοιεν, χωρὶς τοῦ ψαύειν, ὀνήσουσι μὲν αὐτήν, οὐδὲν δὲ ὧν εἴρηται συμπτωμάτων ἐπάξουσιν. εἰκότως οὖν ὁ Ἱπποκράτης, περὶ πολλοῦ ποιεῖται, συνάγεσθαι τὰ χείλη τῶν τοιούτων ἑλκῶν. προαχθείη δὲ ἂν τοῦτο καλῶς ποτε, τὴν ἰδέαν αὐτῶν ἀκριβῶς κατασκεψαμένῳ. εἰ μὲν γὰρ ἕν τι τῶν χειλῶν, ἐκτετραμμένον εἴη πρὸς τὸ πλάγιον, ἐκεῖθεν ἀρξάμενον ἐχρῆν τῆς ἐπιδέσεως, ἐπὶ τἀναντία περιφέρειν αὐτό. εἰ δὲ ἀμφότερα πεπόνθασι τοῦτο, τὴν ἀπὸ δυοῖν ἀρχῶν ἐπίδεσιν ποιήσασθαι, προσάγοις ἀλλή- C λοις τὰ χείλη.

HIPPOCRATIS TEXTUS XLIV.

Faſcia commmodè quibuſdam à dextra parte attrahitur, quibuſdam à ſiniſtra, aliis in utramque partem ducitur. Quæcunque autem oſſa reverti in ſuam ſedem non potuerunt, hæc ſcire licet abſceſſura eſſe, non ſecus etiam ea, quæ ex toto, carne ſunt nudata: nudatur autem quibuſdam pars ſuperior, pleriſque verò emoritur caro, quæ circa fracturam eſt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη'.

Τοῖσι μὲν γὰρ, ἐπὶ δεξιὰ ἐπιδεῖν ξυμφόρως ἔχει, τοῖσι δὲ ἐπ' ἀριστερὰ, τοῖσι δὲ ἀπὸ δύο ἀρχέων. ὁκόσα δὲ κατηπορήθη ὀστέα ἐμπεσεῖν, ταῦτα αὐτὰ εἰδέναι χρὴ, ὅτι ἀποστήσεται, καὶ ὅσα τελέως ἐψιλώθη τῆς σαρκὸς, κύκλωθεν, ἀμφιξῆ μὲν τὸ ἄνω μέρος, μὴ ἐξετέρων δὲ κύ- D ψιλοῦται δὲ, ἐνιακοσίοισιν αἱ σάρκες.

GALENI COMMENTARIUS.

Συμφόρως dixit, ut commodè ſignificaret, inutili tranſlatione uſus: quod mihi libuit notaſſe, quando quidem eloquentiſſimus quiſque tranſlationem uſurpat, ut rem apertiùs declarans exponat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Συμφόρως εἴρηκεν, ἀντὶ τοῦ οἰκείως, οὐδὲν ὠφελούσῃ μεταφορᾷ χρησάμενος, ὅθεν αὐτὸ καὶ παρεσημηνάμην. ἐπὶ δὲ τὴν μεταφορὰν, καὶ οἱ ἄλλοι πάντες ὅσοι δεινοὶ λέγειν, εἰς ἐναργεστέραν δήλωσιν τοῦ κατὰ τὴν διήγησιν πράγματος χρῶνται.

HIPPOCRATIS TEXTUS XLV.

E

Oſſa quædam ſub fractura diuturna aliis putreſcunt, aliis minimè: & quibuſdam graviùs, quibuſdam leviùs: tum modò grandia, modò exigua oſſa infeſtantur. Ob hæc igitur, quæ poſita ſunt, non licet uno verbo explicare, quo tempore abſceſſura ſint: nonnulla enim, & quòd exigua ſunt, & quòd in ſummo continentur, celeriùs excidunt: nonnulla non excidunt, ſed areſacta, & putria ſquamam remittunt: præter hæc multum curatio alia ab alia differt. Ferè tamen oſſa illis celerrimè abſcedunt, in quibus celerrimè pus apparet, & celerrimè etiam, atque optimè caro increſcit: caro enim, quæ in vitiata parte ſuccreſcit, plerunque os attollit. Ambitus ergo totius oſſis, ſi quadra-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

Καὶ τῶν μὲν ἀπὸ τοῦ ἀρχαίου τρώματος, σφακελίζει ἐνία τῶν ὀστέων, τῶν δὲ οὔ. καὶ τῶν μὲν μᾶλλον, τῶν δὲ ἧσσον, καὶ τὰ μὲν σμικρὰ, τὰ δὲ μεγάλα. διὰ οὖν ταῦτα τὰ εἰρημένα οὐκ ἔστιν ἑνὶ ὀνόματι εἰπεῖν ὁκότε τὰ ὀστέα ἀποστήσεται. τὰ μὲν γὰρ, διὰ μικρότητα, τὰ δὲ διὰ τὸ ἐπ' ἄκρου ἔχεσθαι, θᾶσσον ἀφίσταται, τὰ δὲ, διὰ τὸ μὴ ἀφίστασθαι, ἀλλὰ λεπι- F δοῦσθαι καταξηρανθέντα, καὶ σαπρὰ γινόμενα. πρὸς δὲ τούτοις, διαφέρει τι καὶ ἰητρείη ἰητρείης. ὡς μὲν οὖν τὸ ἐπίπαν τάχιστα τουτέων ὀστέα ἀφίσταται, ὧν τάχισται μὲν αἱ ἐκπυήσιες, τάχισται δὲ καὶ ἄρισται αἱ σαρκοφυΐαι. καὶ γὰρ αἱ ἀποφυόμεναι σάρκες κατὰ τὸ σιναρὸν, αὗται μετεωρίζουσι τὰ ὀστέα ὡς ἐπὶ τὸ πουλύ. ὅλος μὲν ὁ κύκλος τοῦ ὀστέου, ἢν ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποστῇ, καλῶς ἀποστήσεται. ἔνια γὰρ εἰς ἑξήκοντα ἡμέρας ἀφικνεῖται, τὰ μὲν

Τὸ [illegible]

τὰ δὲ διεφθαρμένα, ὅτι καλεῖσθαι τὰ σαπρά, οὐκ ὀρθῶς εἴρηται· πάντα γὰρ τὰ παλαιά, καὶ χρόνια, προσαγορεύει αὐτὰ σαπρά. B

bo ducto à nomine σαπρὸν: nominant autem quæcunque corrupta ſunt, σαπρὰ, idque non rectè: quæcunque enim & vetuſta, & diuturna ſunt, ab ipſo dicuntur σαπρά.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μϛ'.

Ἀποπρίειν δ' ὀστέον ἐξέχον, ἐπὶ τῇσδε τῇ προφασίῃ χρή, ἢν δύνηται ἐμβάλλειν, μικροῦ C δέ τινος αὐτοῦ δοκέῃ δεῖν περιβῆναι, καὶ οἷόν τε ἢ παραιρεθῆναι, ἤν τε ἀτρεμὲς ᾖ, καὶ θρασσόν τι τῶν σαρκίων, καὶ δυσαισθησίην παρέχῃ. ψιλὸν δὲ τυγχάνῃ ἐόν, καὶ τὸ τοιοῦτον ἀφαιρέειν χρή. τὰ δ' ἄλλα μέγα οὐδὲν μέγα διαφέρει, ἤν τε ἀποπρίσῃς, ἤν τε μὴ ἀποπρίσῃς. σαφέως γὰρ εἰδέναι χρή, ὅτι ὀστέα, ὅσα τελέως στερέεται τῆς σαρκὸς, καὶ ἐπιξηραίνεται, ὅτι πάντα τελέως ἀποστήσεται. ὅσα δὲ ἀπολεπιδοῦσθαι μέλλει, ταῦτα οὐ χρὴ ἀποπρίειν. τεκμαίρεσθαι δὲ χρὴ ἀπὸ τῶν γεγραμμένων σημείων τὰ τε- D λέως ἀποστησόμενα. ἰητρεύειν δὲ τοῖσι τοιούτοισι σπλήνεσι, καὶ τῇ οἰνηρῇ ἐγχύσει, ὥσπερ καὶ πρόσθεν γέγραπται τῶν ἀποστησομένων ὀστέων. φυλάσσεσθαι δὲ χρή, μὴ καταψυχεῖσι τέγγειν τὸν πρῶτον χρόνον. ῥιγέων γὰρ πυρετωδέων, κίνδυνος δὲ καὶ σπασμῶν, προσκαλέεται γὰρ, αἰεὶ σπασμὸν τὰ ψυχρὰ, ποτὲ δὲ καὶ ἕλκη. εἰδέναι δὲ χρὴ ὅτι περ ἀνάγκη βραχύτερα τὰ σώματα ταύτῃ γίνεσθαι, ὧν ἀμφότερα τὰ ὀστέα κατεηγότα, καὶ παρηλλαγμένα ἰητρεύηται, καὶ οἷς ὅλως καὶ ὁ κύκλος τοῦ ὀστέου ἀπέστη.

HIPPOCRATIS TEXTUS XLVI.

His autem de cauſis os præcidendum eſt. Si reſtitui nequit, & parum quid excedere videatur, abſcindere hoc licet: ſi noxium ſit, & carnem aliqua ex parte vulneret, ac moleſtiam afferat, nudatumque ſit, hoc quoque abſcindendum eſt. Reliqua verò non multum refert, præcidantur necne: ſcire enim certum licet oſſa, quæ carne nudata ſunt ex toto, & arida, omnia penitus abſceſſura: ea verò præcidi non oportet, à quibus ſquama reſolvenda eſt; ex propoſitis autem indiciis, conjiciendum eſt, quæ penitus abſceſſura ſint. Ad horum curationem pannis utendum eſt, ac vini perfuſione, ſicut antè indicavimus in oſſibus, quæ abſceſſura ſunt: cavendumque ne frigida aliqua re à principio perfundantur: nam periculum eſt, ne cum febre gravis horror ſequatur, neve nervorum diſtentionem afferant, præſertim ulceribus. Illud item ignorare non oportet, quòd membra, in quibus utraque oſſa comminuta ſunt, dum inter ſe cedentia curantur: & ea quibus fragmentum à E *toto oſſis ambitu recedit, neceſſe eſt breviora fiant.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι καὶ νῦν εἴρηκε προφάσεις, οὐ τὰς ψευδεῖς αἰτίας, ἀλλὰ τὰς ἀληθεῖς, εὔδηλον. αὐτὸς δὲ ὁ περὶ τῶν σεσαπρισμένων ὀστῶν λόγος ἅπας ἐστὶ σαφής, κελεύοντος ἀποπρίειν αὐτῶν, τά γε κατὰ τὰς ἐμβολὰς ἐμποδίζοντα, καὶ ὡς νύττοντα τὰς ψαυούσας σάρκας, καὶ ὡς αὐτὸς εἶπεν, δυσαισθησίην παρέχῃ, τουτέστι δυσχερῆ, καὶ ἀγρίαν τὴν αἴσθησιν. F ἐδείξατο δὲ τῷ λόγῳ, καὶ τὰ ἀπογυμνωθέντα τῆς σαρκὸς ὀστᾶ, καὶ μὴ παραχρῆμα κατατεθέντα, πάντως, ἀποπίπτεσθαι, καὶ τὰ ξηρανθέντα.

GALENI COMMENTARIUS.

Cauſas appellavit προφάσεις, patet autem ab eo hic quoque ſic vocari, non falſas, ſed veras cauſas. Univerſus autem ſermo de oſſibus putribus planus eſt, quùm imperat, ut id ex ipſis præcidatur, quod in cauſa eſt, cur non condantur, ut quod proximam carnem pungit, atque (ut ipſe ait) moleſtiam affert, hoc eſt, cum perturbatione, atque tormento reponitur. Addit inſuper futurum prorſus, ut ea oſſa abſcedant, quæ nudata protinus reſtituta non fuerunt: & quæ inaruerunt.

HIPPOCRATIS

biliosæque febres cum ſingultu, ac nigritie. Non minus evadunt, quibus, nec reponere tentamus: magis adhuc evadunt, quibus inferior pars oſſis, quàm quibus ſuperior exceſſit. Evadere etiam poſſunt, quibus reponuntur, rarò tamen: multum enim curatio, multumque natura corporis, alia ab alia diſtat, quod ad facilè ferendum attinet. Multum quoque refert, an ab exteriori humeri femoriſve parte oſſa exceſſerint: multæ enim & grandes venæ per interiorem partem feruntur, quarum nonnullæ vulneratæ hominem jugulant: per exteriorem verò pauciores intendunt. In ejuſmodi igitur caſibus, periculi meminiſſe oportet, quod propriè circunſtat, idque in tempore prædicere. Quòd ſi reſtituere cogaris, ſpereſque te id aſſequuturum, neque oſſa nimium inter ſe ceſſerint, neque muſculi contracti ſint (conſueverunt enim ad ſuum initium recurrere) hæc quoque per vectem impellendo, extendendoque in ſuam ſedem reponito.

θνήσκουσι δὲ, πυρετοῖς ὀξέσι, καὶ ἐπιχόλοισι, καὶ λυγγώδεσι, καὶ ἐπιμελαινομένοισι. (B) περιγίνονται δὲ οὐχ ἧσσον, οἷσι μὴ ἐμβληθῇ, μηδὲ πειρηθῇ ἐμβάλλεσθαι. ἔτι δὲ μᾶλλον περιγίνονται, οἷσι τὸ κάτω μέρος τοῦ ὀστέου ἐξέσχεν, ἢ οἷσι τὸ ἄνω. περιγίνοιντο δ' ἂν, καὶ οἷσιν ἐμβληθείη, σπανίως γε μήν. μέγιστα γὰρ μεγεθέων μέγα διαφέρουσιν, καὶ φύσιες φυσίων τῶν σωμάτων, εἰς εὐφορίην. διαφέρει δὲ μέγα, καὶ ἢν ἔσω τοῦ βραχίονος καὶ τοῦ μηροῦ, τὰ ὀστέα ἐξίσχῃ. πολλαὶ γὰρ καὶ ἐπίκαιροι κατατάσιες φλεβῶν ἐν τῷ ἔσω μέρει, ὧν ἔνιαι τιτρωσκόμεναι σφα- (C) γιαί εἰσιν. εἰσὶ δὲ καὶ τῷ ἔξω μέρει, ἧσσον δέ. ἐν τοῖσιν οὖν τοιούτοισι τρώμασι, τοὺς μὲν κινδύνους οὐ χρὴ λήθειν, ὁκοῖοί τινές εἰσιν, καὶ προλέγειν χρὴ πρὸς τοὺς καιρούς. εἰ δὲ ἀναγκάζοιο μὲν ἐμβάλλειν, ἐλπίζοις δὲ ἐμβάλλειν, καὶ μὴ πολλὴ ἡ παράλλαξις ἡ τοῦ ὀστέου, καὶ μὴ ξυνδεδραμήκασιν οἱ μύες, φιλέουσι γὰρ ξυνθεῖν, ἡ μόχλευσις καὶ τούτοισι μετὰ τῆς κατατάσιος, ὧδ' ἂν ξυλλαμβάνοιτο.

(D)

GALENI COMMENTARIUS.

Conſtat, quibus oſſa hęc nudantur, non tam oſſium, quàm muſculorum, nervorum, arteriarum, ac venarum magnitudine periclitari: ad hæc, quoniam propiora ſunt nervorum muſculorumque initiis. Diximus autem in opere de muſculis, ubi oſſa inter ſe ceſſerint, eos facilè in ſe ipſos contrahi, id quod ſæpiùs adduximus. Cætera, ſi animum adjungas, in aperto ſunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ οὕτω, διὰ τὸ τοῦ ὀστοῦ μέγεθος, ὁ κίνδυνος ἐπ' αὐτοῖς γίνεται γυμνωθεῖσιν, ὡς διὰ τὸ τῶν μυῶν τε, καὶ νεύρων, καὶ ἀρτηριῶν τε, καὶ φλεβῶν, καὶ πρὸς τούτοις, ὅτι πλησιέστεροι εἰσὶ τῆς ἀρχῆς τῶν μυῶν τε, καὶ νεύρων. εἴρηται δὲ ἐν τῷ περὶ αὐτῶν λόγῳ, ὅτι φιλοῦσιν οἱ μύες, εἰς ἑαυτοὺς συντρέχειν, παραλλαξάντων τῶν ὀστέων, οὕτως, ᾧ πολλάκις ἡμεῖς ἤδη κατὰ τὸν λόγον ἐχρησάμεθα. τὰ δ' ἄλλα δῆλα τοῖς προσέχουσι τὸν νοῦν.

(E)

HIPPOCRATIS TEXTUS XLVIII.

Ubi reſtituantur, veratrum molle potui dandum eſt eodem die, ſi eodem die reſtituuntur, alioquin ne tentare quidem oportet: ulcus verò curandum eſt, non aliter, quàm calvariæ oſſa, ubi comminuuntur. Nihil frigidum imponendum, à cibo penitus abſtinendum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη'.

Ἐμβαλλόμενα δὲ, ἐλλέβορον μαλθακὸν πιπίσαι χρὴ αὐθημερὸν, ἢν αὐθημερὸν ἐμβληθῇ. εἰ δὲ μὴ, οὐδ' ἐγχειρέειν χρή. τὸ δὲ ἕλκος ἰητρεύειν χρὴ, οἷσπερ κεφαλῆς ὀστέα κατεηγότα, καὶ ψυχρὸν μηδὲν προσφέρειν, σιτίων δὲ στερῆσαι τελέως.

(F)

GALENI COMMENTARIUS.

Incertum eſt, quid ſibi velit, molle. Patet autem, vel qualitatem potionis, vel modum, ſignificare: nemo autem de modo exiguo, molle, propriè dictum exiſtimaret: nec qua ratione Hippocrates præparari ipſum velit, facilè intelligitur. Nos ſanè radiculam ex oxymelle interdum dedimus, in quam veratri radicum ſurculi duntaxat per totum diem, ac noctem fuiſſent infixi. Hujuſmodi autem purgatio per

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἄπορον εἰπεῖν ὅ τι ποτὲ αὐτῷ σημαίνει, τὸ μαλθακόν. ὅτι μὲν γὰρ, ἢ τὸ ποιὸν, ἢ τὸ ποσὸν ἐνδείκνυται τῆς πόσεως αὐτοῦ, δῆλον, ὅτι δεῖται οὐ κατὰ πλῆθος ὀλίγου, τὸ μαλθακὸν οἰκείως ἄν τις εἰρῆσθαι νομίσειεν, ὅτι τίνα τρόπον ἐνδείκνυται σκευάσας αὐτὸ, ποιήσειε ῥᾴδιον, ἔπειτα καὶ ῥαφανίδας ἐνίοτε δι' ὀξυμέλιτος ἐδώκαμεν, ἐμπήξαντες αὐταῖς, δι' ὅλης ἡμέρας καὶ νυκτὸς, ἐλλεβόρου μόνα κλωνία, καὶ εἶτ' αὖ

potius, ut ſpacium in ulcere laxius ſit. Oſſa autem longiori tempore abſcedunt, quemadmodum ſuprà dictum eſt. Cavere autem oportet, præſertim, ſi bella cautio eſt: ſi quidem ſpes in anguſto eſt, & pericula multa circumſtant: atque ubi oſſa non reponantur, medicus videtur arte deſtitui: ubi reponantur, homo ad interitum magis præcipitatur, quàm liberetur.

ἀπαιωρούμενοι τοῦ σώματος μὴ καταπίπτειν, ἀλλὰ καὶ B περιπλέκειν μᾶλλον, ὥστε χαλαρώτερον εἶναι τὸ κατὰ τὸ ἕλκος. τῶν δὲ ὀστέων ἀπόστασις χρονίη, ὥσπερ καὶ πρόσθεν εἴρηται. μάλιστα δὲ χρὴ τὰ τοιαῦτα διαφυγεῖν. ἀλλ' ἤν τις καλὴν ἔχῃ τὴν ἀποφυγὴν, αἵ τε γὰρ ἐλπίδες ὀλίγαι, καὶ οἱ κίνδυνοι πολλοί. καὶ μὴ ἐμβάλλων ἄτεχνος ἂν δοκέοι εἶναι, καὶ ἐμβάλλων ἂν, ἐγγυτέρω αὐτὸν τοῦ θανάτου ἀγάγοι, ἢ σωτηρίης.

GALENI COMMENTARIUS.

ANteà quoque diximus quamlibet victus rationem, quæ exquiſitæ contraria eſt, ab Hippocrate φαύλην nuncupari.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C ΟΤι φαύλην δίαιταν ὀνομάζειν τὴν ἐναντίαν τῇ ἀκριβεῖ, καὶ πρόσθεν εἴρηταί μοι.

HIPPOCRATIS TEXTUS LI.

VBi oſſa genu, vel toto loco mota ſunt, vel paulum exceſſerunt, caſus multo mitior eſt, quàm ubi ea, quæ in cubito ſunt, vel toto loco moventur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ να'.

ΤΑ δὲ ὀλισθήματα τὰ κατὰ γούνατα, καὶ τὰ παρακινήματα τῶν ὀστέων, εὐηθέστερα πολὺ τῶν κατ' ἀγκῶνα κινημάτων, καὶ ὀλισθημάτων.

GALENI COMMENTARIUS.

D

QVùm oſſa toto loco moventur ὀλισθήματα dicit, quùm paulum excidunt παρακινήματα. Mitiorem verò caſum εὐηθέστερον appellavit, juxta propriam ſignificationem verbi εὐήθης, quo ſignificatur bonos habens mores. Nam, ſi ſtolidus Græcè vocatur εὐήθης, ſimiliter dicitur, atque γλυκεῖα, & καλλεῖα. γλυκείας quidem vocant ſuem, ubi diis immolatur, ut blandè rem appellent: καλλείας verò ſimiam: nam ab hoc quoque vocabulo cavent, quod teſtatur Callimachus quùm ait, A vocabulo feræ per horam caveto.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΛισθήματα μὲν ὀνομάζει, τὰς τελείας παραλλαγὰς τῶν ὀστῶν, παρακινήματα δὲ, τὰς βραχείας. εὐηθέστερον δὲ εἶπεν, οὐ κατὰ τὸ κύριον τοῦ εὐήθους σημαινόμενον, ἐν ᾧ δηλοῦται τὸ εὖ ἔχον τὸ ἦθος. εἰ γὰρ ἠλίθιος, εὐήθης ὁμοίως λέγεται, τῇ τε γλυκείᾳ, καὶ τῇ καλλείᾳ, γλυκείαν μὲν τὴν σῦν ὀνομαζόντων Ἀθηναίων, ὅταν θύηται τοῖς θεοῖς, εὐφημίας ἕνεκα, καλλείαν δὲ τὸν πίθηκον. ἐπειδὴ καὶ τούτου τὴν προσηγορίαν φυλάττοντες, λέγουσιν ὥσπερ καὶ Καλλίμαχος ἔφη, περὶ μιῆς ὥρας θηρίον E οὐ λέγεται.

HIPPOCRATIS TEXTUS LII.

NAm pro magnitudine tenuior eſt articulus femoris, quàm humeri.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

ΤΟ, τε γὰρ ἄρθρον τοῦ μηροῦ εὐσταλέστερον, ὡς ἐπὶ μεγέθει, ἢ τὸ τοῦ βραχίονος.

GALENI COMMENTARIUS.

COmmiſſura genu duobus oſſibus continetur inter ſe commiſſis, femoris ſcilicet, ac tibiæ. Sed, ſicut in cæteris commiſſuris neceſſe eſt quoddam cavum eſſe, in quod ſe inſerat caput oſſis, quod recipitur, atque ipſum caput rotundum eſſe, ut promptè, facileque in cavum conjiciatur: ita etiam in commiſſura genu, extremum quidem femur inſinuatur, tibiæ verò caput recipit. Nam, quùm hæc femori ſubjecta ſit, duo ejus tubercula, duobus cavis admittit reſpondentibus, quæ media aptè diſtinguuntur cartilagine quadam nervoſa.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΗΚατὰ γόνυ διάρθρωσις, ἐκ δυοῖν ὀστῶν ἀλλήλοις διηρθρωμένων γίγνεται, μηροῦ τε, καὶ κνήμης. ἀλλ' F ὥσπερ ἐν ταῖς ἄλλαις ἁπάσαις διαρθρώσεσιν, ἔστι μέν τινα χρὴ κοιλότητα, τὴν ὑποδεξομένην τοῦ διηρθρωμένου τὸ πέρας ὀστοῦ. ἔστι δὲ τὸ πέρας αὐτὸ τοῦτο, περιφερὲς, ὅπως ἑτοίμως τε, καὶ ἀλύπως ἐμβαίνειν τῇ διαρθρώσει. κατὰ τὸν αὐτὸν λόγον κἀπὶ τῆς κατὰ γόνυ διαρθρώσεως, ἐμβαινόμενον ἐστὶ τὸ τοῦ μηροῦ πέρας, ὑποδεχόμενον δὲ, τὸ τῆς κνήμης. ὑποκειμένη γὰρ αὐτὴ τῷ μηρῷ, τὰς δύο κεφαλὰς αὐτοῦ δέχεται κοιλότησιν, ἐπιτηδείας μέν τινος αὐτοῖς νευροχόνδρου διαφύσεως οὔσης.

εἴπερ γὰρ ἀνάλογον ἦν τῷ μεγέθει τοῦ μηροῦ, τὸ κάτω πέρας αὐτοῦ, πολλῷ μᾶλλον μεῖζον ἂν ἦν, νυνὶ δὲ οὐχ οὕτως ἔχει. πολλῷ γὰρ μείζων ὁ μηρὸς τοῦ βραχίονος, ὀλίγῳ δὲ, τὸ κατὰ γόνυ πέρας αὐτοῦ, τοῦ κατ' ἀγκῶνα βραχίονος πέρατος ὑπάρχει.

moris caput magnitudini femoris reſponderet, longè maius eſſet : ſed res aliter habet ; multò B enim majus eſt femoris os, quàm humeri : imum verò femur paulò majus eſt, quàm imus humerus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νγʹ.

Καὶ δικαίην φύσιν μοῦνον ἔχει, καὶ ταύτην περιφερέα, τὸ δὲ τοῦ βραχίονος ἄρθρον, μέγα τε, καὶ βαθμίδας πλείονας ἔχον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ κατὰ γόνυ, φησὶν, ἄρθρον τοῦ μηροῦ, δικαίαν φύσιν μόνον ἔχει. δῆλον δὲ, ὡς πολλάκις εἴρηται, τὸ δίκαιον, ὄνομα παρ' αὐτῷ τὸ ἴσον. σκεψώμεθα οὖν ἀκριβῶς, διὰ τί μόνον τοῦτο τὸ ἄρθρον, φησὶν ἴσην ἔχει φύσιν, εὑρεῖν ἡμᾶς ὡς μηδαμόθι πλεονεκτεῖν ἐν αὐτῷ τὰ μόρια, διὰ τὸ πάνθ' ὅμοια ἀλλήλοις γ' ἐνταῦθα τὰ μόρια, διὰ τὸ πρὸ καὶ διάρθρωσιν μίαν ἔχει. ἐπεὶ δὲ τοίνυν, εἰς δύο περιφερεῖς κεφαλὰς ὁ μηρὸς ἐνταῦθα τελευτᾷ, κατά τε τὸ μέγεθος ἴσας, κατά τε τὸ σχῆμα [illegible: διαρθροῦνται?], ταῖς ἀμφοτέραις κοιλότησι τῆς κνήμης ἴσαις ἐμφυομέναις, ἔτι πρὸς τούτῳ κατ' εὐθὺ τοῦ ὅλου ἐστὶ ἑκάτερον τῶν ἄκρων, τό, τε τοῦ μηροῦ, καὶ τὸ τῆς κνήμης. διὰ τοῦτο προσηκόντως ἄν τις φαίη, δικαίαν φύσιν ἔχει τὸ ἄρθρον τοῦτο. τὸ γὰρ ἄνω μέρος τοῦ μηροῦ, τὸ πρὸς ἰσχίον διαρθρούμενον, οὔτε κατ' εὐθὺ μηροῦ τὴν κεφαλὴν ἔχει. δοκεῖ γὰρ ἀποκεχωρηκέναι πρὸς τὴν ἔσω χώραν, οὔτε κατ' ἀναλογίαν τοῦ μεγέθους. παχύτερος γάρ ἐστι ὁ μηρὸς πολλῷ τοῦ πέρατος. ἡ γοῦν τοῦ βραχίονος ἐστὶ κεφαλὴ τοῦ μηροῦ, καὶ τοίνυν ἐλάττονος αὐτοῦ κατὰ τὸ ὅλον ὄντος, ἀλλ' οὐδὲ αὕτη κατ' εὐθὺ βραχίονος πέφυκεν. εἰ δὲ καὶ τὰς ἄλλας ἐπισκέποις διαρθρώσεις, εὑρήσεις ἂν οὐδεμίαν ἔχουσαν ἁπάσας τὰς ἐπὶ τῆς κατὰ γόνυ διαρθρώσεως, εἰρημένας ἰσότητας. αὐτίκα γέ τοι, τὸ κάτω πέρας τῆς κνήμης, ἔνθα τα τοῦ περόνης διαρθροῦται κατὰ τὸν ἀστράγαλον, οὔτε τὰς ἐπιφύσεις, οὔτε τὰς κοιλότητας ἀνάλογον ἔχει τοῖς ὀστοῖς. ἐχρῆν γὰρ, εἴπερ οὕτως εἶπεν, ὥσπερ ἡ κνήμη, πάμπολυ παχυτέρα τῆς περόνης ἐστὶν, οὕτω καὶ τὴν ἐπίφυσιν αὐτῆς εἶναι μείζονα, κατά τε τὴν ἔνδον ἐν τῇ διαρθρώσει κοιλότητα, καὶ τὴν ἔξωθεν αὐτῆς κυρτότητα. νυνὶ δὲ οὐχ οὕτως ἔχει. καὶ μέντοι καὶ αὐτὸς ὁ ἀστράγαλος, οὐχ ἁπλοῦν ἔχει τὸ σχῆμα κατὰ τὴν διάρθρωσιν, ἀλλὰ ποικίλον τι, καὶ διηλλαγμένον ἐν τοῖς μέρεσιν αὐτοῦ πάμπολυ. παραπλήσια δὲ ἂν τούτοις εὕροις, ἐπὶ τῆς κατὰ τὸν καρπὸν διαρθρώσεως, πήχεός τε, καὶ κερκίδος, ἃ εἰ πάντα διέρχομαι, ὡς μακρὸν μῆκος ἐκτείνειν ἀναγκασθήσομαι, καὶ πολὺ μᾶλλον, εἴπερ ἄλλων ἁπασῶν διαρθρώσεων ἑρμηνεύειν με τὴν φύσιν, εἴη τῶν κατὰ τὴν γένυν, ἢ κατὰ τὸ πλατὺ καλούμενον ὀστοῦν. ἀλλὰ δοκεῖ μοι βέλτιον εἶναι, μικρὸν ἐν κεφαλαίῳ λόγον εἰπόντα, μεταβαίνειν ἐφ' ἑτέραν.

HIPPOCRATIS TEXTUS LIII.

Atque hic unus juſtam naturam habet, eamque rotundam. Brachii autem articulus magnus, & gradus plures habens.

GALENI COMMENTARIUS.

C

Femoris articulus, qui in genu eſt, ſolus, inquit, juſtam naturam habet. Conſtat autem (ut ſæpenumero indicavimus) juſtum ab ipſo intelligi, quod æquale eſt. Si ſcrutemur itaque diligenter, qua ratione dicat hunc unum naturam æqualem habere, inveniemus nullas in eo partes excedere, quùm omnes inter ſe ſimiles ſint, quumque unam tantùm commiſſuram habeant. Igitur, quia femur ea parte in duos rotundos proceſſus ſinitur æqualis ma-
D gnitudinis ac figuræ, qui in duos tibiæ ſinus æquales conjiciuntur : & quia utrumque extremum, femoris ſcilicet, ac tibiæ, ſitum eſt è regione totius oſſis : ea de cauſa jure quis dicet articulum hunc juſtam naturam habere. Superius enim femoris caput, quod cum coxa committitur, neque è regione femoris eſt, ſiquidem videtur in interiorem partem projectum : neque magnitudini ejus reſpondet, cùm multò plenius ſit femur, quàm humerus, ac nihilo minus ſummum caput humeri longè minus ſit,
E quàm femoris : at neque ipſum humeri caput è regione humeri ſitum eſt. Quòd ſi cæteras ſpectes commiſſuras, nullam invenies habere omnem æqualitatem, quam in genu propoſuimus. Ac, non longè abieris, extrema tibia, quæ ſuræ juncta, cum talo committitur, neque appendices, neque ſinus habet oſſibus reſpondentes : neceſſe enim fuit, ſi ita ſe habere debuit, quemadmodum tibia longè craſſior eſt quàm ſura, ſic ejus appendicem, & ab interiori parte commiſſuræ, quà cava eſt, & ab exteriori, quà gibba, majorem eſſe. Sed res aliter ha-
F bet. Quin & ipſe talus non ſimplicem figuram repræſentat, quà committitur ; ſed variam, parteſque habet plurimùm inter ſe differentes. Invenies autem ab his non abhorrere commiſſuram cubiti , & radii cum manu. Quòd ſi omnia perſequi velim, cogar longiùs labi, & multò magis, ſi cæterorum articulorum omnium naturam exponam, ut maxillæ vertebrarum, & oſſis quod latum appellatur. Satius igitur duxi rem ſummatim , brevique ſermone complectens ad alia tranſire. Is ſermo ſic habet.

uixit: nam pro magnitudine tenuior eſt articulus femoris, quàm humeri, & inſuper adjecit, atque hic juſtam naturam habet. Quod abundè fuiſſet, ſi genu cum cubiti commiſſura duntaxat comparaſſet: ſed quoniam orationi adjicit unus, quùm inquit, atque hic unus juſtam naturam habet, cogitur articulorum omnium naturam referre: quam nullus ſimplicem habet; ſed tum figuræ ac magnitudinis inæqualis, tum partium diſſimilium. Nunc igitur, quùm ad cubiti commiſſuram veniat, oſtendatque partes ejus diſſimiles eſſe, & inæquales, nos quoque verba ejus ſequuti, quæ proponuntur, ſingula explicabimus. Magnum ergo eſſe inquit humeri caput in cubiti commiſſura, idque non immeritò: lateſcit enim hac parte, pluraque habet capita inæqualia, quæ κονδύλους Græcè dicunt. At nullum eorum cavo recipitur, quemadmodum evenit in genu, niſi gibbum quoddam, quod inter ea medium eſt, & trochleæ imaginem repræſentat: quùm ex magnis tuberculis humeri, quod interius eſt, cum nullo oſſe conjungatur: quod ab exteriori parte eſt, committatur cum radio, in ſummum ejus ſinum conjectum. Hactenus humerum videmus excipi cubito ac radio. Sed alio rurſus modo humerus cubiti proceſſus excipit, cùm ab utraque parte, quantum ſatis eſt, ſinuetur, minus quidem à priori, magis à poſteriori, quùm & cubito proceſſus, quos à roſtri ſimilitudine Græci, & fœminino genere κορώνας, & neutro κόρωνα vocant, non ſint æquè magni, quique à poſteriori parte eſt, major ſit. Quocirca cubiti commiſſura varia & inæqualis eſt, ac diſſimilium partium: atque ob hanc cauſam rectè ait Hippocrates, juſtum eſſe articulum in genu, in cubito non item. Sed cur dixit, & plures receſſus habet: an eo quia voluit cubitum cum genu conferre? ſunt enim in genu duo receſſus tibiæ duntaxat, ſicut & duo femoris tubercula: ſed in cubiti commiſſura unus eſt magnus cubiti receſſus, qui duobus proceſſibus terminatur, uno quidem breviori à priori parte, à poſteriori altero magis oblongo. Ipſe autem humerus duobus receſſibus excavatur quaſi foveis quibuſdam, in quos conjici diximus cubiti proceſſus: exſculptus item eſt alio receſſu, qui medius trochleam repræſentat.

σιν, τῇ κατ' ἀγκῶνα, καὶ δείξαντα κατὰ γόνυ παθήματα
B τῶν ὀστῶν, ἐπιεικέστερα τῶν κατ' ἀγκῶνα. τοῦτο ἐπιχειρήσας
δεικνύειν, ἔφη, τό τε γὰρ ἄρθρον τοῦ μηροῦ, ὡς ἀναλογώτερον
εἰς ἐπὶ μεγέθει, καὶ προσέτι περὶ λέγων, τὸ δικαίαν
φύσιν ἔχειν· αὐτάρκες ἂν ἐγεγόνει. καίτοι προσθεὶς αὐτὸς μόνον
τὸ κατ' ἀγκῶνα διάρθρωσιν, ἐπὶ τῷ μηδὲν προστεθεικέναι
εἰπεῖν. καὶ τὸ δικαίαν φύσιν μοῦνον ἔχοι, ἠναγκάσθη
ἀναμνῆσαι τῆς τῶν ὅλων ἄρθρων φύσεως, οὐδεμιᾶς
ἁπλῆς οὔσης, ἀλλὰ καὶ τοῖς σχήμασι, καὶ τοῖς μεγέθεσιν,
ἀνίσου τε, καὶ ἀνομοίου κατὰ μέρη. νῦν οὖν ἐπὶ τὴν
C κατ' ἀγκῶνα διάρθρωσιν ἥκοντος αὐτοῦ, καὶ δεικνύντος ἀνόμοιά
τε, καὶ ἄνισα τὰ κατ' αὐτὴν μέρη, καὶ ἡμεῖς ἀκολουθήσαντες
αὐτῇ τῇ λέξει, σαφηνιοῦμεν ἕκαστον τῶν λεγομένων.
μέγα μὲν οὖν ἔφη τὸ κατ' ἀγκῶνα πέρας εἶναι, ἤτοι
τὸ τοῦ βραχίονος εἰκότως. πλατύνεται γὰρ ἐνταῦθα,
πλείους λαμβάνων κεφαλὰς ἀνίσους, ἃς ὀνομάζουσι κονδύλους,
ὧν οὐδ' ὑποδεχομένη κοιλότης αὐτὸν κατὰ ταὐτὰ δέχεσθαι,
καθάπερ ἐπὶ γόνατος. ἀλλὰ τὴν μέσην ἐν αὐτοῖς κυρτότητα,
τὴν προσφερῆ τροχιλίαις παρὰ φύσιν οὖσαν. ἐπὶ τῶν
μεγάλων κονδύλων τοῦ βραχίονος, ὁ μὲν ἔνδον, οὐδὲν
D ὀστοῦν ἔχει πρὸς αὐτὸν, ᾧ συναρθρούμενον, ὁ δὲ ἔξω,
κατὰ τὴν κερκίδα διαρθροῦται. περιέχουσι αὐτὴν κατὰ τοῦτο
κοιλότητα, ἣν ἐπὶ τῷ ἄκρῳ, τὸ τῆς κερκίδος ὀστοῦν ἔχει.
μέχρις μὲν οὖν τοῦδε φαίνεται πῆχυς μὲν, καὶ κερκὶς,
ὑποδεχόμενα τὸν βραχίονα. καθ' ἕτερον δὲ αὖ τρόπον,
ὁ βραχίων ὑποδέχεται τὰς κορώνας τοῦ πήχεος, ἔχων δύο
κοιλότητας ἐπιτηδείας ἑκατέρωθεν, βραχυτέραν μὲν τὴν
πρόσω, βαθυτέραν δὲ τὴν ὀπίσω, διότι καὶ αἱ τοῦ πήχεος ἀποφύσεις,
ἃς κορώνας τε θηλυκῶς, καὶ κόρωνα καλοῦσιν οὐδετέρως,
ἄνισοι τὸ μέγεθός εἰσι, καὶ μείζων ἡ ὄπισθεν, ὥστε ποικίλη
τε, καὶ ἀνόμοιος τοῖς μέρεσι, καὶ κατὰ τοῦτο, καλῶς εἶπεν ὁ
E Ἱπποκράτης ἐπὶ τοῖς κατὰ γόνυ, δικαίαν φύσιν ἔχειν τὸ ἄρθρον,
οὐ μὴν ἐπὶ τοῖς κατ' ἀγκῶνα. διὰ τί δὲ βαθμίδας
ἔχει πλείονας, εἰ καὶ τούτους παραβαλὼν εἶπε, τῇ κατὰ γόνυ.
δύο γὰρ ἐκεῖναι μόναι βαθμίδες εἰσὶ τῆς κνήμης, ὡς καὶ δύο
κόνδυλοι τοῦ μηροῦ. κατ' ἀγκῶνα δὲ, μία μὲν ἐστι μεγάλη
κοιλότης τοῦ πήχεος, ἣν ὁρίζουσιν αἱ δύο κορῶναι, βραχυτέρα
μὲν πρόσθεν, ἡ δὲ ἐκ τοῦ ὄπισθεν μακρὰ, προμηκεστέρα.
τοῦ δὲ βραχίονος αὐτοῦ, δύο μὲν εἰσιν αἱ δύο ἐξεσκαμμέναι
κοιλότητες, ὥσπερ βόθυνοί τινες, ἐμβαίνειν ἔφη τὰς κορώνας
F τοῦ πήχεος. μία δὲ ἄλλη καθάπερ ἐγγεγλυμμένη κατὰ τὸ μέσον
αὐτοῦ, τροχιλίᾳ παραπλησίως.

ἰγνύω. | *poplitem ſita eſt.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. B

Μικρῷ τινὶ μεῖζον ἐστί φησι τὸ ἔξωθεν ὀστοῦν, ὃ καλοῦσι περόνην, ὅπερ ἤδη καὶ πρόσθεν εἶπεν, ἡνίκα τὴν ἁπλῶς τῆς κνήμης καταγμάτων ἔγραψε θεραπείαν. ἡμεῖς δὲ καὶ τότε, καὶ νῦν λέγομεν, ὡς μὲν πρὸς τὸ κάτω μέρος, ἡ περόνη τῆς κνήμης ὑπερέχει, κατὰ δὲ τὸ πρὸς τῷ γόνατι, φαίης ἂν μᾶλλον ὑπερέχειν τὴν κνήμην. οὐδὲ γὰρ διαρθροῦται πρὸς τὴν περόνην ὁ μηρὸς, ἀλλ' ὡς εἴπομεν ἀρτίως, ἡ ἔξωθεν αὐτοῦ κεφαλὴ τῇ κατὰ τοῦτο κοιλότητι τῆς κνήμης ἐπιβαίνει. διότι δέ φησιν, οὐδενὸς μεγάλου κωλύματος τῇ περόνῃ συνεῖναι, τοῖς ἀνεγνωκόσι περὶ χρείας μορίων ἐστὶ δῆλον, ἐν οἷς ἐδείχθησαν αἱ διαρθρώσεις ἅπασαι, δύο σκοποὺς ἔχουσαι τῆς κατασκευῆς. τὸ μὲν ἐνεργειῶν τὸ ἀκώλυτον, τὸ δὲ ἐκπτώσεων, ὡς Ἱπποκράτης ὠνόμασεν ἄρτι, κώλυμα. τὸ μὲν οὖν ἀκώλυτον, εἰς τὴν ἐνέργειαν, αἵ τε κοιλότητες ἐπιπολῆς οὖσαι, καὶ οἱ σύνδεσμοι χαλαροὶ γενόμενοι, παρέχουσι. τὴν δὲ εἰς τὰς διαρθρώσεις ἀσφάλειαν, αἵ τε κοιλότητες βαθεῖαι, καὶ μεγάλας ἔχουσαι τὰς ὀφρῦς, οἵ τε σύνδεσμοι, σύντονοι μὲν τὴν οὐσίαν, τὸ δὲ μῆκος βραχεῖς, οἵ τε ἔξωθεν περικείμενοι τῇ διαρθρώσει τένοντες, ἰσχυροί τε, καὶ σύντονοι. Εἰ τοίνυν τῇ περόνῃ, τῇ κατὰ γόνυ διαρθρώσει, πρὸς ἀσφάλειαν οὐδὲν συντελεῖ, πλὴν σμικροῦ τινὸς, ὅπερ διὰ τῆς ἔγραψε λέξεως ἐνεδείξατο, λέγων, ἀφ' οὗ πέφυκεν ὁ ἔξω τένων, ὁ παρὰ τὴν ἰγνύην. οὗ τῆς ἀκριβοῦς γνώσεως ἕνεκεν, χρή σε περιμένειν τὴν ἀνατομὴν, ἐπὶ πάντων τῶν ἰσχνῶν ἐναργῶς φαινομένων, καὶ πρὸ τῆς ἀνατομῆς, τένοντας δὲ διότι καλεῖ τὰς ἀπονευρώσεις τῶν μυῶν, εἴρηταί μοι πολλάκις. οὗτος ὁ τένων, ὁ κατὰ τὸ ἔξω τοῦ γόνατος, ἔξωθεν σφίγγων τὴν διάρθρωσιν, βοηθεῖ τι τῆς κατὰ τὸ μέρος ἀσφαλείας, κώλυμα γενόμενον ἐνταῦθα ὀλισθαίνειν τὸν μηρόν. C D E

GALENI COMMENTARIUS.

Paulo majus eſſe ait exterius os, quod περόνην id eſt ſuram dicunt: quod & in ſuperioribus jam poſuit, cum ſimplicis fracturæ cruris curationem tradidit. Nos autem, quod eo loco diximus, nunc etiam repetimus, ima parte ſuram tibia longiorem eſſe, à genu autem magis dicendum eſt tibiam eſſe longiorem. Non enim conjungitur femur cum ſura, verum (ut paulò antè diximus) caput ſuræ, quod ab exteriori parte eſt in cavo tibiæ, ab eadem parte recipitur. Sed qua de cauſa dixerit à ſura nihil, quod magni momenti ſit, prohiberi, manifeſtum eſt iis qui librum de uſu partium legerint: ubi oſtendimus in omnium articulorum fabricatione duplex fuiſſe conſilium, nempè, ut permittat membrum ſine impedimento ſuos uſus præſtare, prohibeatque (quod Hippocrates dixit κώλυμα) ne ſuo loco oſſa moveantur. Ut permittat quidem membrum ſuos uſus præſtare, efficiunt & cava in ſummo exiſtentia, & ligamenta laxa: ſtabilem commiſſuram reddunt cava admodum ſinuata, altioreſque oras habentia, tum firmioris naturæ ligamenta brevioraque, ad hæc robuſtæ chordæ valenteſque, cingentes commiſſuram à parte exteriori. Sura igitur ad firmitatem commiſſuræ genu nihil confert, niſi paululum quid: id quod expreſſit his verbis, ab hoc oritur chorda, quæ juxta poplitem ſita eſt. Ad ejus autem exquiſitam cognitionem non debes expectare, dum corpus incidatur, cùm in omnibus gracilibus evidenter quoque ſe oſtendat ante corporis ſectionem. At quamobrem chordas, id eſt, extremos muſculos, cùm in nervos degenerant, τένοντας vocet, ſæpenumerò declaravimus. Chorda hæc ab exteriori parte poplitis ſita, ab eadem commiſſuram quoque adſtringendo ad hujus partis firmitatem conducit, prohibetque ne femur in eam prorumpat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νέ.

Τὰ δὲ τοῦ πήχεος ὀστέα, ἄνισά ἐστι, καὶ τὸ βραχύτερον παχύτερον. τὸ δὲ λεπτότερον, πολλῷ ὑπερβάλλει καὶ ὑπερέχει τὸ ἄρθρον. F

HIPPOCRATIS TEXTUS LV.

Sed brachii oſſa inæqualia ſunt, quodque brevius eſt, multo plenius eſt: quod tenuius, plurimum ultra articulum fertur, atque excedit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἄνισα τὰ τοῦ πήχεος εἶπεν ὀστᾶ, οὐχὶ καὶ τὰ τῆς κνήμης εἶναι παραβάλλειν νῦν οὐκ ἐχούσης ἄνισα, περὶ ἐκείνης ἔφη τὸ ἔξωθεν εἶναι μακρότερον. ἀλλ' ἐπὶ βραχύτερον μὲν ὑπερέχον τὸ ἔξωθεν ὀστοῦν τῆς κνήμης, καὶ ἐλάχιστον, πολὺ δὲ ὁ πῆχυς. ἐὰν γὰρ ἀκριβῶς

GALENI COMMENTARIUS.

Inæqualia dixit brachii oſſa, non quòd cum crure hæc conferat, quaſi crus inæqualia oſſa non habeat, quippe quum in eo poſuerit longius eſſe, quod ab exteriori ſitum eſt: ſed, quod exterius os tibiam excedat, minimùm tamen, cubitus verò plurimum. Nam, ſi diligenter

Nervis item illigatur, qua parte oſſa inter ſe conjunguntur: majorem verò partem tenet articulus.

GALENI COMMENTARIUS.

Ligamenta nunc nervos appellat, ubique autem eos ita vocat: lata verò ligamenta, & quaſi membranas circa commiſſuram, nominari nervos patebit ex iis, quæ proximè ſubjicit: ſed & abſque illis evidentiſſimum eſt, nullum ex iis, qui propriè nervi nominantur, ad os pertinere: hoc ſiquidem proprium eſt ligamentorum, ac propterea chordarum, quùm hæ naturam habeant mixtam ex nervis, ac ligamentis. Hæc autem omnia abſolutè tradita ſunt à nobis in libro de motu muſculorum. Sed nunc ad id veniendum eſt, quod in propoſitis verbis exequitur. Illigatur (inquit) id cubiti, quod excedit, id eſt, eminentia cubiti, ligamentis commiſſuram comprehendentibus, qua parte oſſa inter ſe junguntur, cubitus ſcilicet, & radius. Quod idcirco protulit, quia ultra hunc locum, totum id, quod in poſteriorem projectum eſt, carnis eſt expers, neque ligamentis commiſſuræ aliquo modo comprehenditur: ipſi enim innectitur lateſcens chorda muſculi illius, qui cubiti commiſſuram extendit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νϛ'.

B Ἐξήρτηται μέντοι κατὰ τοῦτον τῶν νεύρων, κατὰ τὴν κοινὴν ξύμφυσιν τῶν ὀστέων, πλεῖον δὲ μέρος ἔχει τὸ ἄρθρον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοὺς συνδέσμους, νῦν ὀνόματι νεῦρα, καὶ [illegible] καλεῖ οὕτως αὐτούς. ὅτι δὲ τοὺς περὶ τὰς διαρθρώσεις συνδέσμους τοὺς πλατεῖς, καὶ ὑμενώδεις, οὕτως ὀνομάζει νῦν, ἔσται μὲν δῆλον κἀξ ὧν ἐφεξῆς εἴρηκε, τὸ ἐξῆς [illegible] C ἀλλὰ καὶ χωρὶς ἐκείνων πρόδηλον, οὐδὲν τῶν κυρίως ὀνομαζομένων νεύρων, εἰς ὀστοῦν ἀναφέρεσθαι. τῶν γὰρ συνδέσμων ἴδιον τοῦτο, καὶ δι' αὐτοὺς, καὶ τῶν τενόντων, ὅτι κεκραμένην ἔχουσι τὴν οὐσίαν, ἐκ συνδέσμων, καὶ νεύρων. εἴρηται δὲ τελέως περὶ τῶν τοιούτων ἁπάντων, ἐν τοῖς περὶ μυῶν κινήσεως, ἀλλὰ νῦν τὸ προκείμενον ἐν τῇ δηλουμένῃ ῥήσει, λεκτέον. ἐξηρτῆσθαι φησὶ τὸ ὑπερέχον τοῦ πήχεος, τουτέστι τὸ ἀ[illegible], τῶν περιλαμβανομένων τὴν διάρθρωσιν συνδέσμων, κατ' ἐκεῖνα τὰ μέρη τῶν ὀστῶν, ἔνθα τὴν κοινὴν ἔχει σύμφυσιν ὁ πῆχυς, καὶ ἡ κερκὶς δηλονότι. εἶπε δὲ τοῦτο, διότι τὸ ἀπὸ D τοῦδε πᾶν, ὅσον ὀπίσω προχωρεῖ, τὸ γυμνὸν τῆς [illegible] οὐσίας, οὐκέτ' οὐδεμίαν ἔχει σύμφυσιν πρὸς τοὺς τῆς διαρθρώσεως συνδέσμους. ἐμφύεται γὰρ αὐτῷ καὶ αὐτοῖς πλατυνόμενος ὁ τένων, ὁ τοῦ κατὰ τὸν ἀγκῶνα διάρθρωσιν ἐκτείνοντος μυός.

HIPPOCRATIS TEXTUS LVII.

Pluribus autem nervis ad humerum alligatur id os, quod tenuius eſt, quàm quod craſſius. Natura igitur horum articulorum, atque oſſium talis eſt.

GALENI COMMENTARIUS.

Ex his verbis colligi diximus totius commiſſuræ ligamenta νεῦρα, id eſt nervos, ab Hippocrate nominari, quæ quidem ab imo humero orta, ſummo cubito, ac radio ea parte innectuntur. Evenit enim in omni commiſſura, ut lata ligamenta, quæ ipſam comprehendunt, ita communia ſint oſſium, quæ inter ſe committuntur, ut craſſæ membranæ videantur. Hæc autem capiti radii etiam junguntur, ſed magna ex parte cubito. Atque ea de cauſa dixit, pluribus autem nervis ad humerum alligatur id os, quod tenue eſt, quàm quod craſſū, hoc eſt cubitus, quàm radius: ſiquidem ambo ad humerum alligantur per ligamenta innexa, quæ nunc retuli νεῦρα, id eſt nervos, ad Hippocrate appellari, ſed pluribus alligatur cubitus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νζ'.

Πλεῖον δὲ μέρος ἔχει τῆς ἐξαρτήσιος τῶν νεύρων ἐν τῷ βραχίονι, τὸ λεπτὸν ὀστέον, ἤπερ τὸ παχύ. ἡ μὲν E οὖν φύσις τοιουτότροπος, τῶν ἄρθρων τούτων, καὶ τῶν ὀστέων τοῦ ἀγκῶνος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ταύτην ἔχων τὴν ῥῆσιν, ἐδιδάχθημεν, νεῦρα κεκλῆσθαι πρὸς αὐτοῦ, τοὺς ὅλης τῆς διαρθρώσεως συνδέσμους, ἐκπεφυκότας μὲν, ἐκ τοῦ κάτω πέρατος τοῦ βραχίονος, ἐμπεφυκότας δὲ, τοῖς ἐνταῦθα πέρασι πήχεός τε, καὶ κερκίδος. ἐν πάσῃ γὰρ ἐστὶ τοῦτο διαρθρώσει. οὕτω δὲ κοινοὺς εἶναι τῶν διαρθρουμένων ὀστῶν συνδέσμους πλατεῖς ἐν κύκλῳ περι- F κειμένους, ὡς δοκεῖν ὑμένας εἶναι παχεῖς. οὗτοι τοίνυν, ἐμφύονται μὲν καὶ τῇ τῆς κερκίδος κεφαλῇ, πολλῷ δὲ μᾶλλον τῷ πήχει. διὰ τοῦτ' οὖν, πλεῖον δὲ μέρος ἔχει τῆς ἐξαρτήσιος τῶν νεύρων ἐν τῷ βραχίονι, τὸ λεπτὸν ὀστέον, ἤπερ τὸ παχύ, τουτέστιν ὁ πῆχυς. ἤπερ ἡ κερκὶς, ἐξήρτηται μὲν ἄμφω τῶν ἐκφυομένων τοῦ βραχίονος συνδέσμων, ἃ νεῦρα κεκληκέναι νῦν ἔφην αὐτόν. πλεῖον δὲ μέρος ἔχει τῆς ἐξαρτήσιος, ὁ πῆχυς.

[illegible] ὀστῶν, ἐστοιβασμένη μὲν ἡ σύνθεσίς ἐστι κατ' ἀγκῶνα, χαλαρωτέρα δὲ κατὰ γόνυ, περὶ τὰς καὶ πολλὰς ὑπεροχάς, καὶ κοιλότητας, ἀλλήλαις διαρθρούμενα, σφίγγει μὲν πανταχόθεν τὴν κατ' ἀγκῶνα διάρθρωσιν. ἐν δὲ τῇ κατὰ γόνυ, καὶ τῶν κονδύλων τοῦ μηροῦ ταῖς κοιλότησι τῆς κνήμης ἐπιβαινόντων, ἀβαθεῖ τε, καὶ ὑπτίαις οὔσαις, εἰκότως ἡ διάρθρωσις ὀλισθηροτέρα, ὥστε καὶ αὖθις ἐμπίπτει τάχιστα. B

Oſſium enim, quibus utraque commiſſura continetur, ſtructura arctior eſt in cubito, laxior in genu. Huc accedit, quod multi proceſſus, multique ſinus inter ſe commiſſi, undequaque cubiti commiſſuram adſtringunt: at in genu femoris tubercula in exiguos, ac reſupinatos tibiæ ſinus conjiciuntur. Jure igitur articulus hic magis prolabitur, & celerrime revertitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νθ'.

Φλεγμονὴ δὲ οὐ μεγάλη προσγίνεται, οὐδὲ δεσμὸς τοῦ ἄρθρου. G

HIPPOCRATIS TEXTUS LIX.

Inflammatio verò non magna ſupernaſcitur, neque articuli vinculum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ τὸ βίαιον τῆς ἐξαρθρήσιός τε, καὶ τῆς ἐμβολῆς, αἱ φλεγμοναὶ γίνονται κατὰ λόγον. ἐπὶ τοῦ γόνατος, αἱ διαστάσεις καὶ ῥᾳδίως ἀμφοτέρων γιγνομένων, οὐκ ἕπεται φλεγμονή. διὰ δὲ τὸ μὴ γίγνεσθαι ταύτην, ὁ δεσμὸς ἐπιγίγνεται, τουτέστι τοῦ ἄρθρου μετὰ τὸ θεραπευθῆναι δυσκίνητα, μήτε ἐκτεινομένου αὐτοῦ ῥᾳδίως, μήτε καμπτομένου. συμβαίνει γὰρ οὕτως ὁ δεσμὸς ὑπὸ καμφθέντος τεινομένου, φλεγμονῆς μεγάλης οὐ σμικρώδης, ἐκ τῶν περὶ τὴν διάρθρωσιν νεύρων, ἢ συμπτωμάτων, διὰ λείψανόν τι δυσκίνητον γίγνεται τὸ ἄρθρον, ὡς δοκεῖν δεδέσθαι. τῶν γὰρ ἐν αὐτῷ γε, καὶ περὶ αὐτὸν τενόντων, καὶ συνδέσμων, μὴ δυναμένων ἐπεκτείνεσθαι, μηδ' εἰς πάντα τόπον, ἑτοίμως ἕπεσθαι τοῖς κινοῦσι τὴν διάρθρωσιν μυσίν, ἀλλὰ διὰ τὸ σκληρὸν ἀντισπῶσι δεσμῷ παραπλήσιον γίγνεται πάθος. ἐν δὲ τῇ κατὰ τὸν ἀγκῶνα διαρθρώσει, καὶ τὰ λεπτὰ πέρατα τῶν κορωνῶν, τοῦ πήχεος ἐνίοτε περιθραυομένου, κατά τε τὰς ἐκπτώσεις, καὶ τὰς ἐμβολάς. πολλὴ δὲ ἡ σύστασις γιγνομένη, χαλεπώτερόν τε, καὶ ἀνιαρώτερον ἐργάζεται τὸν σύνδεσμον τοῦ ἄρθρου. D E

GALENI COMMENTARIUS.

Oritur inflammatio vi, qua oſſa expelluntur, quaque in ſuam ſedem collocantur. Sed in genu, quùm utrumque facilè, & ſine magna vi incidat, inflammatio non oritur: quæ quùm abſit, articuli vinculum non ſequitur. Sub quo cùm neque facilè extendatur, neque facilè curvetur, ægrè poſt curationem movetur. Fit autem hujuſmodi vinculum ea de cauſa, quia articulus inflectitur ob nervos, ac ligamenta, quibus continetur, quæ ſub immodica inflammatione extenduntur. Quocirca articulus ob quaſdam inflammationis reliquias ita ægrè mobilis redditur, ut alligatus eſſe videatur. Nam, quùm chordæ, ac ligamenta, quæ ipſum illigant, comprehenduntque, & extendi, & in omnibus promptè ſequi muſculos articulum moventes non poſſint, ſed propter duritiem in contrariam partem attrahant, affectus vinculo ſimilis proficiſcitur. Verùm in cubiti commiſſura, quùm tenues extremitates proceſſuum cubiti interdum confringantur, & ubi excedunt, & ubi conduntur: quumque multorum concurſus ſit, vinculum articuli gravius oritur, & curatu difficilius.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξ'.

Ὀλισθαίνει δὲ τὰ πλεῖστα ἐς τὸ εἴσω μέρος, ἔστι δὲ ὅτε καὶ ἐς τὸ ἔξω, ποτὲ δὲ καὶ ἐς τὴν ἰγνύην. F τούτων ἁπάντων αἱ μεταβολαὶ οὐ χαλεπαί, ἀλλὰ τὰ μὲν ἔξω καὶ εἴσω ὀλισθαίνοντα, καθῆσθαι μὲν χρὴ τὸν ἄνθρωπον ἐπὶ χαμαιζήλου τινός, τὸ δὲ σκέλος ἀνωτέρω ἔχειν μὴ μὲν πολλῷ.

HIPPOCRATIS TEXTUS LX.

Plerunque autem in interiorem partem movetur, interdum in exteriorem, nonnunquam in poplitem: quæ mutationes univerſæ difficiles non ſunt. Sed, ſi in exteriorem, vel interiorem partem erumpat, ſuper ſedile aliquod humile collocare hominem oportet, crure ſublimiori quidem, ſed non multo.

GALENI

igitur partem commiſſuræ genu, & patella, & chorda, quæ (ut dictum eſt) ad tibiæ caput pertinet, optimè tuentur: ſed poſteriorem exquiſitè rotundam adſtringit caput ejus muſculi, quo curvatur crus: eſt quidem hic muſculus exiguus, atque ob eam cauſam ipſa commiſſura abſconditus latet eos, qui corpora incidunt: maximè autem craſſum caput habet, quod validiſſimis ligamentis annumeratur. Superſunt duæ partes in commiſſura genu; exterior & interior, quæ nulla tali re ſepiuntur, quali prior, & poſterior: atque idcirco femur in eas prolabitur: magis autem in interiorem, ut quæ minùs ſepta ſit.

B ὅλου, ἐπιφυόμενος τῆς κνήμης ἀρχῇ. ὁ μὲν πρόσω μέρος τῆς κατὰ γόνυ διαρθρώσεως, διά τε τῆς μύλης, τόν τε εἰρημένον τένοντα, καταφυόμενον, ὡς εἶπον, εἰς τὴν ἀρχὴν τῆς κνήμης, ἀκριβῶς ἐσφίγκται. κατὰ δὲ εἰς τὸ ὀπίσω μέρος τῆς διαρθρώσεως, ἡ κεφαλὴ τοῦ κάμπτοντος τὴν κνήμην μυὸς, τοῦ μικροῦ δὴ ἐν ἀκριβῶς στρογγύλον, τὸ ταύτης μέρος σφίγγει τῆς διαρθρώσεως. οὗτος ὁ μῦς, αὐτὸς μὲν σμικρός ἐστι, καὶ διὰ τοῦτ', ἔλαθε τοὺς ἀνατομικοὺς, ἐγκατακρυπτόμενος τῇ διαρθρώσει. παχυτάτην δὲ ἔχει τὴν κεφαλὴν, συνδέσμων οὖσαν ἰσχυροτάτων. ὑπόλοιποι δὲ εἰσὶ δύο χῶραι τῆς κατὰ γόνυ διαρθρώσεως,
C ἥ τ' ἔξω, καὶ ἡ ἔνδον, οὐδὲν ἔχουσαι τοιοῦτον εἰς φυλακὴν, οἷον ἥτε πρόσω, καὶ ἡ ὀπίσω. διὰ τοῦτ' οὖν ὀλισθαίνειν πέφυκεν ὁ μηρὸς εἰς ταύτας, καὶ μᾶλλον εἰς τὴν ἔνδον, ὅτι μᾶλλον ἄσφιγκτος αὕτη.

HIPPOCRATIS TEXTUS LXI.

Ferè ſatis eſt modicè extendere, crus ſcilicet ab inferiori parte, femur à contraria.

GALENI COMMENTARIUS.

Quum extendendi apertè mentionem feciſſet, de reponendo nihil meminit, ut de re quæ plana ſit, quòd optimè novęrimus perpetuum eſſe in articulis omnibus reponendis ad contrariam partem ejus, in quam venit, prolapſum articulum repellere. At, ubi reponimus, ſi quædam eminentia oſſis non longa extat, os quod reponendum eſt, dirigere convenit: quod etiam docet non ſecus, ac fecerit in cubiti commiſſura. Nihil autem de genu articulo meminit, quum in poplitem prolabitur, quoniam eadem ratione conditur, atque ubi in exteriorem, vel interiorem partem movetur: membro enim in diverſa diducto, articulus, qui excidit, in priorem partem adurgendus eſt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξα'.

Κατατάσιος δὲ ὡς ἐπὶ τὸ πολὺ, μετρίη ἀρκέει, τῇ μὲν κατατείνειν τὴν κνήμην, τῇ δὲ ἀντιτείνειν
D τὸν μηρόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν κατάτασιν εἰπὼν σαφῶς, τὴν ἐμβολὴν οὐ προσέγραψεν, ὡς σαφῆ, γινωσκόντων ἡμῶν, ὡς καθόλου, τοῦτο ἐπὶ πάσης ἐμβολῆς, ὡς ἐπὶ τἀναντία μέρη τῆς ἐκπτώσεως ἀπωθεῖσθαι προσήκει τὸ ἐκπεπτωκὸς ἄρθρον. ἔνθα δὲ βάλλονται, ἐξοχή τις ᾖ παραμήκης ὀστοῦ, ὡς ὑπεραιώρησιν, τό, τε ἐμβληθησόμενον ὀστοῦν κατατάξαι προσήκει. τὴν διδασκαλίαν οὐ παραλεί-
E πει γράφειν αὐτὸς, ὡς ἐπὶ τῆς κατ' ἀγκῶνα διαρθρώσεως ἐποίησεν, ἀλλ' οὐδέν γε κατὰ τὸ γόνυ, καὶ τὴν ἰγνύαν ἐκπτώσεως οὐδ' ὅλως ἐμνημόνευσεν, ἅτε λόγον τῆς ἔξω τε καὶ ἔσω τὴν ἐμβολὴν ἐχούσης. μετὰ γὰρ τὴν ἀντίτασιν ὡσαύτως γινομένην, ἀπῶσαι δεῖ τὸ ἐκπεπτωκὸς ἄρθρον, εἰς τὴν πρόσω χώραν.

Ἐξήγησις λείπει.

HIPPOCRATIS TEXTUS LXII.

Moleſtiora ſunt, quæ in cubiti, quàm, quæ in genu articulo incidunt, & majore negotio reſtituuntur, idque ob inflammationem, & ob naturam ipſam, niſi protinus reſtituantur. Excidunt quidem hæc minùs quàm illa, ſed ægrius in ſuum locum collocantur, diriguntur-

F
ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξβ'.

Τὰ δὲ κατὰ τὸν ἀγκῶνα, ὀχλωδέστερά ἐστι τῶν κατὰ τὸ γόνυ, καὶ δυσεμβολώτερα καὶ διὰ τὴν φλεγμονὴν, ἢν μή τις αὐτίκα ἐμβάλῃ. ὀλισθαίνει μὲν γὰρ ἧσσον ἢ ἐκεῖνα, δυσεμβολώτερα δὲ, καὶ δυσαλθέστερα, καὶ ἐπιφλε-

καρποῦ τῆς χειρὸς τείνειν, τὸν δὲ κατὰ τὴν μασχάλην περιβεβληκότα. τὸν δὲ τῇ ἑτέρῃ πρὸς τὸ B ἐξεστεὸς τοῦ ἄρθρου, τὸ θέναρ προσβάλλοντα ὠθέειν, τῇ δ' ἑτέρῃ ἀντωθέειν, προσβάλλοντα ἐγγὺς τοῦ ἄρθρου. ἐπακούει δὲ οὐ βραδέως ἐμβαλλόμενα τὰ τοιαῦτα ὀλισθήματα, ἢν πρὶν φλεγμαίνειν ἐμβάλλῃ τις. ὀλισθαίνει δὲ, ὡς ἐπὶ τὸ πουλὺ μᾶλλον ἐς τὸ ἔσω μέρος, ὀλισθαίνει δὲ καὶ ἐς τὸ ἔξω. εὔδηλα δὲ τῷ σχήματι, καὶ πολλάκις ἐμπίπτει τὰ τοιαῦτα, καὶ ἄνευ ἰσχυρῆς κατατάσιος. χρὴ δὲ τῶν ἔσω ὀλισθανόντων, τὸ μὲν ἄρθρον ἀπωθέειν ἐς τὴν φύσιν, τὸν C δὲ πῆχυν ἐς τὸ καταπρηνὲς μᾶλλον ῥέποντα περιάγειν. τὰ μὲν πλεῖστα ἀγκῶνος τοιαῦτα ὀλισθήματα. ἢν δὲ ὑπερβῇ τὸ ἄρθρον, ἢ ἔνθα ἢ ἔνθα, ὑπὲρ τὸ ὀστέον τοῦ πήχεος, τὸ ἐξέχον ἐς τὸ κοῖλον τοῦ βραχίονος. γίνεται μὲν οὖν ὀλιγάκις τοῦτο. ἢν δὲ γένηται, οὐκέτι ὁμοίως ἡ κατάτασις ἐς τὴν ἰθυωρίην χρησίμη, ἐπιτηδείη τῶν τοιουτέων ὀλισθημάτων. κωλύει γὰρ ἐν τῇ τοιαύτῃ κατατάσει τὸ ἀπὸ τοῦ πήχεος ὑπερέχον ὀστέον τὴν ὑπέρβασιν τοῦ βραχίονος. χρὴ D δὲ τοῖσιν οὕτως ἐκβεβληκόσι τὴν κατάτασιν ποιέεσθαι τοιαύτην, οἵη περ ἄνωθεν γέγραπται, ἐπὴν τις ὀστέα βραχίονος κατεηγότα ἐπιδέῃ, ἀπὸ μὲν τῆς μασχάλης, ἐς τὸ ἄνω τείνεσθαι, ἀπὸ δὲ τοῦ ἀγκῶνος αὐτοῦ, ἐς τὸ κάτω ἀναγκάζειν. οὕτω γὰρ ἂν μάλιστα ὁ βραχίων ὑπεραιωρηθείη ὑπὲρ τῆς ἑωυτοῦ βαθμίδος. ἢν δὲ ὑπεραιωρηθῇ, ῥηϊδίη ἡ κατάστασις τοῖσι θέναρσι τῶν χειρῶν. τὸ μὲν ἐξεστεὸς τοῦ βραχίονος ἐμβάλλοντα ὠθέειν, τὸ δὲ ἐς τὸ τοῦ πήχεος ὀστέον, τὸ παρὰ τὸ ἄρθρον ἐμβάλλοντα, ἀντωθέειν, E τὸν αὐτὸν τρόπον ἄμφω. ἔστι μὲν δὴ ἡ τοιαύτη κατάτασις τοῦ τοιούτου ὀλισθήματος, δικαιοτάτη. ἐμβληθείη δὲ, καὶ ἀπὸ τῆς ἐς ἰθὺ κατατάσιος, ἧσσον δὲ ἢ οὕτω. ἢν δὲ ἐς τοὔμπροσθεν ὀλισθῇ ὁ βραχίων, ὀλιγάκις μὲν τοῦτο γίνεται, ἀλλά τι ἂν ἐξαπίνης ἐκπάλησις οὐκ ἐκβάλλοι; πολλὰ γὰρ καὶ παρὰ τὴν ἑωυτῶν φύσιν ἐμπίπτει, κἢν μέγα τι ᾖ τὸ κωλύον. ταύτῃ δὲ τῇ ἐκπαλήσει, μέγα τι τὸ ὑπερβαινόμενον, τὸ ὑπὲρ τὸ παχύτερον, τῶν ὀστέων καὶ τῶν νεύρων συχνὴ κατάτασις. ὅμως δὲ F δὴ ἤδη ἐξεπάλησεν· σημεῖον δὲ τοῖς οὕτως ἐκπαλήσασιν. οὐδὲν γὰρ χρῆμα τοῦ ἀγκῶνος κάμψαι δυνέαται, εὔδηλον δὲ, καὶ τὸ ἄρθρον ψαυόμενον. ἢν μὲν οὖν μὴ αὐτίκα ἐμβληθῇ, ἰσχυραὶ καὶ βίαιοι φλεγμοναὶ, καὶ πυρετώδεες γίνονται. ἢν δὲ δὴ αὐτίκα τις παρατύχῃ, εὐέμ-

mæ parte extendat, alter prehendat hominem B *ſub ala: alius item una manu ad os, quod extat, admota, prominentiori ejus palmæ parte ipſum propellat, altera verò prope articulum data cogat in contrariam partem. Atque hæc quidem luxata non ægre in ſuam ſedem reponuntur, ſi priuſquam inflammatio ſuperveniat, recondantur. Plerunque igitur in exteriorem partem veniunt, veniunt & in interiorem: figura autem ipſa exprimuntur, ſæpiuſque hæc licet abſque* C *valida intenſione reſtituere. Neceſſe eſt, ubi in interiorem partem erumpant, articulum ad naturalem ſedem repellere: brachium verò magis in pronum habitum converſum circunducere. Cubitus ergo plerunque in has partes excidit: ſed, ſi humeri articulus in hanc vel illam partem moveatur ultra cubiti proceſſum, qui in cavo ejus recipitur, quod rarò accidit: ſed, ſi accidat, ad hæc luxata non amplius accommodatur directa extendendi ratio: nanque ubi ſic ex-* D *tendimus, id cubiti, quod excedit, prohibet quominùs ſequi humerus poſſit. Quæ igitur ſic luxantur, eo modo extendenda ſunt, qui ante traditus eſt ad extendendum hominem fractum, quum alligandus eſt: ab ala enim convenit ſurſum verſus extendere, à cubito deorſum cogere. Humerus enim hac ratione diductus è regione ſui receſſus collocabitur, ſic, ut non hæreat: hoc ubi accidet, facile reſtituemus prominen-* E *tioribus palmarum partibus partim id humeri, quod extat, impulſum reponentes: partim id cubiti, quod juxta humeri articulum eſt, à contraria parte coactum in ſuam ſedem collocantes, eodem modo in utroque caſu: hæc autem intenſio ad huiuſmodi luxata iuſtiſſima eſt: reſtitui etiam poſſent, ſi recta intenſio adhiberetur, minùs tamen, quàm ſi hoc modo intendantur. At humero ut in priorem partem erumpat rarò admodum accidit. Sed, quid ſubita vis non expel-* F *lit? multa enim ſuo loco excidunt, licet magnum ſit, quo prohibentur. In hoc autem caſu grande eſt, quod ſuper os craſſius excedit, plurimumque nervi tenduntur: quibuſdam tamen excidit: cuius rei id ſignum eſt, quod neque minimum quid curvare cubitum poſſunt, quod etiam articulum contingenti patet. Niſi ergo ſubitò repo-*

Poteſt item directus intendendi modus ad hanc reponendi rationem aptari. Debet autem, qui reſtituit, prominentioribus palmarum partibus id humeri, quod, quà cubitus curvatur, præter naturam extat, retrò cogere: alter ab interiori parte cubiti eminentiam adurgere, ſic, ut ad cubitum ipſum è regione ſpectet. Valet autem ad huiuſmodi luxata ille extendendi modus, quem ſupra narravimus, pertinere ad extendendum humeri oſſa comminuta, quum vincienda ſunt. Intenſione adhibitâ prominentiores palmarum partes admovendæ ſunt, quemadmodum in prioribus demonſtravimus. Verùm, ubi humerus in poſteriorem partem erumpat (id quod rarò accidit) maxime omnium dolorem movet, & febrem, eaque ſub pura bile continuatur, mortifera eſt, & paucis diebus hominem præcipitat: homo autem extendere brachium nequit. Quòd ſi à principio protinus adhibearis, coge cubitum extendi, ac per ſe reſtituetur: ſi iam febris anteverterit, non amplius reponendus eſt, adhibitâ enim vi, dolor hominem interimeret. Atque (ut uno verbo dicam) nullum articulum, dum febris eſt, compellere in ſuam ſedem convenit, ſed minime omnium cubitum. Obnoxia item eſt cubiti iunctura aliis gravibus noxiis: hoc enim os craſſius eſt, quumque ab altero diducitur, ea neque curvari, neque extendi ſimiliter poteſt: id patebit, ſi quis priorem iuncturæ partem tangat, quà dividitur vena, quæ à ſuperiori parte lacerti procedit: quæ res ubi accidit, non facile reſtituitur. Neque enim alia oſſa, quæ bina inter ſe iunguntur, ubi dehiſcunt, facile in priſtinum locum revertuntur: ſed neceſſe eſt oſſibus ſic diductis partem reddi tumidam: rationem verò, qua deligare convenit, poſuimus, ubi vinculum eius commiſſuræ, quæ ad talos eſt, oſtendimus. Eſt etiam, quum perrumpitur interdum os cubiti, quod humero ſubiectum eſt: interdum eius cartilago, à qua naſcitur chorda, quæ ſita eſt in humeri parte poſteriori: id, quum accidit, febrem concitat, & malis vitiis annumeratur: articulus tamen ſuo loco remanet, baſis enim tota hac parte excedit. At, quum ea pars

Ἀτὰρ καὶ ἐς τὸ ἰθὺ κατάτασις, διώκειν ἐπιτήδειον τοῦτον τὸν τρόπον τῆς ἐμβολῆς. τοῖσι μὲν τοῖσι θέναρσι τῆς χειρὸς, καὶ τὸν μὲν ἐμβάλλοντα ἐς τὸ τοῦ βραχίονος ἐξέχον τὸ παρὰ τὴν καμπὴν, ὀπίσω ἀπωθέειν. τῷ δὲ ἵνα κάτωθεν ἐς τὸ τοῦ ἀγ-
C κῶνος ἐξὸ ἐμβάλλοντα, ἀπωθέειν ἐς τὴν ἰθυωρίην τοῦ πήχεος ῥέποντα. διώκειν δὲ ἐν τούτῳ τῷ τρόπῳ τῆς ὀλισθήσιος χαλαίνει ἡ κατάτασις, ἡ πρόσθεν γεγραμμένη, ὡς καὶ κατατείνειν τὰ ὀστέα τοῦ βραχίονος κατεηγότα, ἐπὴν μέλλωσιν ἐπιδεῖσθαι. ἐπὴν δὲ καταταθῇ, οὕτω καὶ τοῖσι θέναρσι τὰς παρεμβολὰς ποιέεσθαι, ὥσπερ καὶ πρόσθεν γέγραπται. ἢν δὲ εἰς τοὐπίσω βραχίων ἐκπέσῃ, ὀλιγάκις δὲ τοῦτο γίνεται, ἐπωδυνώτατον δὲ τοῦτο πάμπαν, καὶ πυρετωδέστατον ξυνεχέων πυρετῶν, καὶ ἀκρη-
D τοχόλων, θανατωδέων, καὶ ὀλιγημερίων, οἱ τοιοῦτοι ἐκτανύειν οὐ δύνανται. ἢν μὲν οὖν αὐτίκα παρατύχοις, βιάσασθαι καὶ ἐκτανύσαντα τὸν ἀγκῶνα, καὶ αὐτόματον ἐμπίπτει. ἢν δέ γε φθάσῃ πυρετήνας, οὐκέτι καὶ ἐμβάλλειν. κατατείνειν γὰρ ἂν ἡ ὀδύνη ἀναγκαζομένου. ὡς δὲ ἐν κεφαλαίῳ εἰρῆσθαι, οὐδ' ἄλλο καὶ ἄρθρον πυρεταίνοντι ἐμβάλλειν, ἥκιστα δὲ ἀγκῶνα. ἔστι δὲ καὶ ἄλλα σίνεα κατ' ἀγκῶνα, καὶ ὀχλώδεα, τοῦτο μὲν γὰρ τὸ πα-
E χύτερον ὀστέον, ἔστιν ὅτε ἐκινήθη ἀπὸ τοῦ ἑτέρου, καὶ οὔτε ξυγκάμπτειν, οὔτε κατατανύειν ὁμοίως δύναται. δῆλον δὲ γίνεται ψαυόμενον κατὰ τὴν σύγκαμψιν τοῦ ἀγκῶνος παρὰ τὴν διαφάδα τῆς φλεβὸς, τὴν ἄνωθεν τοῦ μυὸς τείνουσαν. οἷσι δὲ τὸ τοιοῦτον, οὐκέτι ῥηιδίως ἐς τὴν ἑωυτοῦ φύσιν ἀγαγεῖν, οὐδὲ γὰρ ἄλλην οὐδὲ μίαν ῥηίδιον ξυμφυάδα κοινὴν δύο ὀστέων κινηθεῖσαν ἐς τὴν ἀρχαίην φύσιν ἱδρυνθῆναι, ἀλλ' ἀνάγκη ὄγκον ἴσχειν τὴν
F διάστασιν, ὡς δὴ ἐπιδέειν χρὴ ἐν ἄρθρῳ, ἐν τῇ κατὰ σφυρὸν ἐπιδέσει εἴρηται. ἔστι δ' οἷσι κατέηγνυται τοῦ πήχεος τὸ ὀστέον, τὸ ὑποτεταμένον τῷ βραχίονι. ὅτε μὲν τὸ χονδρῶδες αὐτοῦ, ἀφ' οὗ πέφυκεν ὁ τένων ὄπισθεν τοῦ βραχίονος, καὶ ἐπὴν τοῦτο κινηθῇ, πυρετώδεες, καὶ κακοήθεες γίνεται, τὸ μέντοι ἄρθρον μένει ἐν τῇ ἑωυτοῦ χώρῃ, ἴσως γὰρ ἡ βάσις αὐτέου ταύτῃ ὑπερέχει. ὅταν δὲ

B τοῦ βραχίονος κατὰ τὴν ἐπίφυσιν καταγνύῃσι. οὕτω δὲ δεινῶ κακοηθέστερον εἶναι πολλῷ, πολλῷ γὰρ ἦν εὐηθέστερον τῶν κατ' ἀγκῶνα σινέων ἐστίν. ὡς μὲν οὖν ἕκαστα τῶν ὀλισθημάτων ἁρμόσει ἐμβάλλειν, καὶ μάλιστα ἐμβάλλειν, γέγραπται, καὶ ὅτι παραχρῆμα ἐμβάλλειν, μάλιστα ἄρθρον ξυμφέρει, διὰ τὸ τάχος τῆς φλεγμονῆς τῶν νεύρων. καὶ γὰρ ἢν ἐκπεσόντα αὐτίκα ἐμπέσῃ, ὁμοίως φιλέει τὰ νεῦρα ξυντείνεσθαι, καὶ κωλύειν ἐπὶ πουλὺν χρόνον, τήν τε ἔκτασιν ὅσην περ φιλέει ποιέεσθαι, τήν τε ξύγκαμψιν. ἐπιδέειν δὲ πάν-

C τα παραπλησίως ταῦτα ξυμφέρει, καὶ ὁκόσα ἄγνυται, καὶ ὁκόσα διίσταται, καὶ ὁκόσα ὀλισθαίνει. πάντα γὰρ χρὴ ὀθονίοισι πολλοῖσι, καὶ σπλήνεσιν, καὶ κηρωτῇ ἐπιδέειν, ὥσπερ καὶ τἄλλα κατήγματα. τὸ δὲ σχῆμα τοῦ ἀγκῶνος, ἐν τούτοισι δεῖ πάντάπασι τοιόνδε ποιέεσθαι, εἴ περ οἷον βραχίων ἐπιδέοιτο κατεαγείς, καὶ πῆχυς. κοινότατον μὲν γὰρ πᾶσι τοῖσιν ὀλισθήμασι, καὶ τοῖσι διεστεῶσι, καὶ τοῖσι κατήγμασι τοῦτο τὸ σχῆμά ἐστιν. κοινότατον δὲ πρὸς τὴν ἔπειτα διάτασιν, καὶ τὸ ἐκτα-

D νύειν ἕκαστα, καὶ ξυγκάμπτειν. ἐντεῦθεν γὰρ οὐδὲ ἐς ἀμφότερα παραπλήσιοι, ὀχώτατον δὲ, καὶ ἀνεπαλητότατον αὐτοῖς τῷ κάμνοντι τοῦτο τὸ σχῆμα, ἔτι δὲ πρὸς τούτοις, εἰ ἄρα κρατηθείη ὑπὸ τοῦ πωρώματος. εἰ μὲν ἐκτεταμένη ἡ χεὶρ κρατηθείη, κρέσσον ἂν εἴη μὴ προποδών. πολλῷ μὲν γὰρ κώλυμα εἴη, ὠφελείη δὲ ὀλίγον. εἰ δ' αὖ ξυγκεκαμμένη, μᾶλλον εὔχρηστος ἂν εἴη. πολλῷ δὲ εὐχρηστοτέρη, εἰ τὸ διὰ μέσου σχῆμα ἔχουσα πωρωθείη κρέσσον. τὰ μὲν περὶ τοῦ σχήματος τοιαῦτα. ἐπιδέειν δὲ χρὴ τήν τε ἀρ-

E χὴν τοῦ πρώτου ὀθονίου βαλλομένου κατὰ τὸ βλαφθὲν, ἤν τε κατεαγῇ, ἤν τε ἐκστῇ, ἤν τε διαστῇ, καὶ τὰς περιβολὰς τὰς πρώτας κατὰ τοῦτο ποιέεσθαι, καὶ ἐρηρείσθω μάλιστα ταύτῃ, ἔνθεν δὲ καὶ ἔνθεν ἐπὶ ἧσσον. τὴν δὲ ἐπίδεσιν κοινὴν ποιέεσθαι χρὴ, τοῦ τε πήχεος, καὶ τοῦ βραχίονος, καὶ ἐπὶ πουλὺ πλέον ἑκατέρωθεν, ἢ ὡς οἱ πλεῖστοι ποιέουσιν, ὅκως ἐξαρύηται ὡς μάλιστα ἀπὸ τοῦ σίνεος τὸ οἴδημα ἔνθεν καὶ ἔνθεν. προσπεριλαμβανέσθω δὲ καὶ τὸ ὀξὺ τοῦ πήχεος, ἤν τε τὸ σί-

F νος κατὰ τοῦτο ᾖ, ἤν τε μὴ, ἵνα τὸ οἴδημα ἐνταῦθα περὶ αὐτὸ ξυλλέγηται. φυλάσσειν δὲ χρὴ ἐν τῇ ἐπιδέσει, ὅκως μὴ κατὰ τὴν καμπὴν πολλὰ τῶν ὀθονίων ἠθροισμένα ἔσται ἐκ τοῦ δυνατοῦ. πιέζεσθαι δὲ κατὰ τὸ σίνος ὡς μάλιστα, καὶ τὰ ἄλλα καταλαμβανέτω αὐτὸν περὶ τῆς πιέσιος, καὶ τῆς χαλάσιος. ταῦτα καὶ κατὰ τοὺς αὐτοὺς χρόνους

B *imum humeri caput frangunt, quæ [illegible] autem multò gravius videtur vitiis, quæ cubito incidunt, ſed aliquanto levius eſt. Qua ergo via reſtitui potiſſimum, curariq; luxata ſingula debeant, diximus: atq; id etiam articulum protinus reponendum eſſe, quòd nervi celerrime inflammatione prehendantur: nam ſi, ubi excidant, ſtatim recondantur, nervi tamen contrahi ſolent, & aliquandiu conſuetam porrectionem contractionemque non præſtare. Curare autem hæc omnia*

C *ſimiliter convenit, & quæ comminuuntur, & quæ dehiſcunt, & quæ procidunt: omnia enim pluribus faſciis panniſque & cerato nutrienda ſunt, non ſecus ac cætera quæ franguntur. Figuranda autem eſt in his omnibus cubiti commiſſura, ſicut quando humerus, & cubitus fractus deligabatur, huiuſmodi enim habitus maxime communis eſt omnium, quæ excidunt, dehiſcunt, aut franguntur: maxime item communis mutationis, quæ poſtea ſequitur, ſive curvari illa, ſi-*

D *ve extendi debeat; ab eo enim habitu mota, æque & curvari, & extendi poteſt. Præterea membrum ita figuratum citra moleſtiam ægrotantis continetur, atque ſuſpenditur. Adhæc, ſi extento brachio callus obduceretur, contineretque, ſatius eſſet nullo modo increviſſe, multum enim eſſet impedimento, & parum proficeret: expeditius autem eſſet callo curvatum brachium firmari: multò autem melius eſt callum circundari, brachio medio inter hos habitu collocato. Hactenus de figurando. Deligare autem convenit*

E *faſciæ capite ſuper vitiatam partem iniecto, ſeu fracta ſit, ſeu prolapſa, ſeu diducta: eaque primos circuitus dare, ac maxime adſtringere, ſed hinc, atque hinc levius: vinculoque & humerum & brachium comprehendi, & utrunque magis, quàm plerique ſoleant, ut à vitiata ſede tumor quamlongiſſime ad partes, quæ hinc ſunt, atque hinc, depellatur. Injiciatur autem vincu-*

F *lum eminentiæ cubiti, ſi ea parte vitium ſit, ne tumor ibi excitetur. Cavendum inſuper eſt, quantum poteſt, ne in vinciendo plurimum vinculum colligatur, quà cubitus flectitur: adſtringenda verò eſt quammaxime pars vitiata: reliqua eadem ſequantur, quod ad vinculum ſpectat, arctius, ac laxius: atque eodem tempore ſingu-*

[illegible]
xum conjiciemus. Quin & panni ſuperinjiciendi ſunt eadem ratione, qua ferulas diximus, ſed quà vitium eſt, paulò pleniores. Temporis verò conjecturam facere oportet & ex inflammatione, & ex iis, quę ſuprà ſcripſimus.

B

[illegible] τεκμαιρόμενον πρὸς τὸ ξύνταμμα. ἀτὰρ καὶ τὰς σπλῆνας τοῦ αὐτοῦ τρόπου χρὴ ποιέεσθαι, ὥσπερ καὶ τοὺς νάρθηκας εἴρηται. πληρεστέρας δὲ ὀλίγῳ κατὰ τὸ σίνος περιθεῖναι, τοὺς δὲ χρόνους τοὺς ἀπὸ τῆς φλεγμονῆς, τεκμαίρεσθαι χρὴ, καὶ ἀπὸ τῶν πρόσθεν γεγραμμένων.

ΠΑΛΛΑΔΙΟΥ ΣΧΟΛΙΑ
ΕΙΣ ΤΟ ΠΕΡΙ ΑΓΜΩΝ
ΙΠΠΟΚΡΑΤΟΥΣ.

PALLADII SCHOLIA
IN LIBRVM
HIPPOCRATIS
DE FRACTURIS.

IACOBVS SANTALBINVS METENSIS MEDICVS, Lectori Benevolo.

HAbes hic, *Benevole Lector! Palladii in librum Hippocratis* περὶ ἀγμῶν *Scholia, quæ ſibi à Domino Laphileo Pariſienſi Medico celeberrimo miſſa clariſſimus Vir Anutius Foeſius in Hippocratis doctrina exercitatiſſimus in præfatione commemorat. Quum autem dignus eſſet author qui alterutro eorum præcone in lucem exiret, neutri verò propter graviſſimas occupationes eum in Latinum ſermonem transferre liceret, id ego certè oneris publicæ utilitatis gratiâ libenter ſuſcepi, huncque authorem quamdiligentiſſimè fieri potuit, tranſtuli, obſcuriores locos explicavi, necnon etiam minùs integros adhibito interdum ejuſdem Foëſii doctiſſimi collegæ acerrimo judicio correxi: Et licèt in quibuſdam mihi ipſi non ſatisfecerim, ferenda tamen illa potiùs quàm delenda eſſe arbitratus ſum. Græcum certè fuiſſe authorem conſtat, quem tamen poſt Galeni tempora vixiſſe veriſimile eſt, ſiquidem ejus apud Galenum nulla fit mentio. Huius autem alia quædam in alios Hippocratis libros extare Scholia audio, ſicuti in Bibliotheca Laphilei eiuſdem Palladii expoſitio Græca in ſextum Epidemiorum Hippocratis reperitur, & olim Venetiis, à quibuſdam doctiſſimis viris iſthic Palladii Scholia quædam Græca in Librum Hippocratis de morbis acutis extare intellexi. Vnum hîc tantum dolendum eſt, quod hæc Scholia duntaxat fragmenta eſſe videantur commentariorum Palladii in librum Hippocratis de Fracturis. Tu interea, candide Lector! his fruere, & noſtrum hunc qualemcunque conatum æqui bonique conſule. Benè vale. Metis Mediomatricum, Calendis Auguſti anni 1595.*

ANtequam ad dictionis explicationem aggrediamur, octo capita pro more omnium librorum hic nos præfari oportet. Sciendum eſt igitur, ſcopum Hippocratis in hoc libro eſſe primò de fracturis, per

ΤΑ εἰωθότα προλέγεσθαι ὀκτὼ κεφάλαια πρὸ τῆς βιβλίου, δεῖ ἡμᾶς καὶ ταῦτα πρὶν ἀρξώμεθα τῆς κατὰ λέξιν ἐξηγήσεως εἰπεῖν. δεῖ τοίνυν εἰδέναι, ὅτι σκοπός ἐστι τῷ Ἱπποκράτει ἐν τῷ παρόντι βιβλίῳ, περὶ-

quæ omnibus adjacent, diſputat, ſæpe verò earum partium uſum & actionem commemorat: hic quidem eſt ſcopus. Utilem autem & neceſſarium eſſe hunc librum conſtat? quomodo enim non eſſet neceſſarius, ſiquidem ipſum finem videlicet curationem tradit? quomodo non utilis, quum nobis item & cauſas & ſigna tradat? Tertium caput ad inſcriptionem pertinet. Nam ſecundùm nonnullos de officina Medici inſcribitur, quoniam quæ ad Medici officinam ſpectant, docet. A nonnullis autem primus liber de fracturis, ſecundus de articulis inſcribitur, meliorque eſt iſta inſcriptio, Nam illa de Medici officina abſurda eſt, neque enim omnia quæ in officina Medici docet. Sed alius extat liber in quo de omnibus diſſeritur, & illi æquius eſt de hoc nomine gratificari. Sciendum eſt autem eos qui hunc librum de fracturis inſcripſerunt, ab affectu ita denominaſſe, præterquam quod debuiſſent περὶ ἀγμάτων dicere. ἄγμα enim ſignificat κάταγμα καὶ τὸ κλάσμα: ſolœciſmum etiam in hac denominatione commiſerunt, ut ne malè ſonaret inſcriptio. Si enim περὶ ἀγμάτων inſcripta eſſet, auribus malè conſona fuiſſet. Rurſus ſecundum librum non licet ab affectu, ſed à loco inſcribere. Quartum caput eſt, ordo. Inprimis igitur univerſalia ante particularia legere oportet: ideò primo ordine collocantur aphoriſmi, quippe qui de iis quæ ſecundum, & de iis quæ præter naturam exiſtunt, diſſerant: deinde ſecundum ordinem iis quæ ſunt ſecundum naturam attribuamus. Hæc enim iis quæ præter naturam digniora ſunt: idcirco primo ſumendus liber de natura pueri & de natura hominis, deinde liber de humoribus, & tunc quæ de victûs ratione ſcripta ſunt. Poſt illa quæ ſunt ſecundum naturam, ea quæ præter naturam collocanda ſunt, tuncque popularia præcedant, & in iis prognoſticum primo legatur: deinde ſtatim ſequantur libri de ratione victûs in acutis, poſtea etiam ad hunc modum his propoſitus liber videlicet de fracturis & articulis legendus eſt, quum ſit ex popularibus. Sed forſan dubitaverit aliquis, quum etiam quæ præter naturam ſunt & popularia tractet, cur non præceſſit prognoſticum? Rationem reddimus, quia illic ſimilares morbos, hîc autem illos qui ad ſolutionem continui pertinent, tradit; digniora autem ſunt ſimilaria iis quæ in continui ſolutione verſantur. Rurſus verò poſtquam popularia quæ ſecundum naturam, & quæ contra naturam ſunt, dixerimus, nobis ad morbos diſperſos & paſſim vagantes atque epidemicos accedendum; ſed primò ad vagantes & palantes: ſiquidem primo ordine legendus liber de aëre, locis & aquis,

[illegible], καὶ αἴτια ζητεῖ τὰ σημεῖα· διὸ παραδίδωσι καὶ αἴτια καὶ σημεῖα. πρὸς δὲ τούτοις καὶ φύσιν ὀστοῦ λέγει, καὶ φύσιν νεύρων, καὶ μυὸς καὶ φλεβῶν, ὡς καὶ τῶν ἐπικειμένων τοῖς ὀστοῖς. πολλάκις δὲ καὶ χρείαν αὐτῶν φησι καὶ ἐνέργειαν· οὗτος μὲν οὖν ὁ σκοπός· ὅτι δὲ χρήσιμον καὶ ἀναγκαῖόν ἐστι τὸ παρὸν βιβλίον, δῆλον. πῶς γὰρ οὐκ ἔστιν ἀναγκαῖον; εἴγε αὐτὸ τὸ τέλος παραδίδωσι, λέγω δὲ τὴν θεραπείαν· πῶς δὲ οὐχὶ καὶ χρήσιμον; εἴγε καὶ αἴτια ἡμῖν, παραδίδωσι καὶ σημεῖα, τρίτον ἐστὶ κεφάλαιον τὸ τῆς C ἐπιγραφῆς. ἐπιγέγραπται δὲ κατὰ μέν τινας, κατ' ἰητρεῖον· ἐπειδὴ τὰ ἐν τῷ ἰατρείῳ διδάσκει. παρὰ δέ τινας, τὸ μὲν πρῶτον βιβλίον, περὶ ἀγμῶν· τὸ δὲ δεύτερον, περὶ ἄρθρων. κάλλιον δέ ἐστιν αὕτη ἡ ἐπιγραφή. τὸ γὰρ ἐπιγράφειν κατ' ἰητρεῖον, ἄτοπον· οὐδὲ γὰρ πάντα τὰ ἐν τῷ ἰατρείῳ διδάσκει. ἀλλ' ἐπειδὴ ἐστι βιβλίον ἐν ᾧ περὶ τούτων διαλέγεται πάντων, καὶ μᾶλλον ἐκείνῳ τὴν ὀνομασίαν χαρίζεσθαι δίκαιον. δεῖ δὲ εἰδέναι, ὅτι οἱ μὲν περὶ ἀγμῶν ὀνομάσαντες τὸ πρῶτον βιβλίον, ἀπὸ τοῦ πάθους τὴν ὀνομασίαν πεποίηνται. πλὴν ὅτι D ἔδει αὐτοὺς περὶ ἀγμάτων εἰπεῖν· ἄγμα γὰρ καλεῖται τὸ κάταγμα, καὶ τὸ κλάσμα. ἀλλὰ σολοικοφανῆ τὴν ὀνομασίαν πεποίηνται διὰ τὸ μὴ εἶναι κακόφωνον τὴν ἐπιγραφήν. εἰ γὰρ περὶ ἀγμάτων ἐπιγέγραπτο, ἤμελλε κακόφωνος εἶναι. τὸ δὲ δεύτερον πάλιν, οὐκ ἔστιν ἀπὸ τοῦ πάθους ἐπιγράψαι, ἀλλὰ ἀπὸ τοῦ τόπου. τέταρτόν ἐστιν ἡ τάξις. δεῖ τοίνυν πρὸ πάντος ἀναγινώσκειν τὰ καθόλου, τῶν μερικῶν. διὸ προτετάχθωσαν οἱ ἀφορισμοί, ὡς λεγομένων ἐν αὐτοῖς ἅμα τῶν τε κατὰ E φύσιν, καὶ τῶν παρὰ φύσιν. εἶτα δεύτερον, ἀπονείμωμεν τάξιν τοῖς κατὰ φύσιν· ταῦτα γὰρ, τῶν παρὰ φύσιν τιμιώτερά εἰσι. διὸ πάλιν δεῖ προλαμβάνειν τό, τε περὶ παιδίου φύσεως, καὶ τὸ περὶ φύσεως ἀνθρώπου. εἶτα τὸ περὶ χυμῶν, καὶ τότε τὰ περὶ τροφῆς. μετὰ δὲ τὰ κατὰ φύσιν, δεῖ προτάττειν τὰ παρὰ φύσιν. καὶ τότε προταχθήτω τὰ ἔνδημα, καὶ ἐν τοῖς ἐνδήμοις τὸ προγνωστικόν. εἶτα εὐθὺς τὰ περὶ διαίτης ὀξέων. καὶ εἶθ' οὕτω τὸ προκείμενον ἀναγνωστέον δεῖ βιβλίον. λέγω δὲ, τὸ περὶ ἀγμῶν, καὶ ἄρθρων, καὶ τοῦτο γὰρ τὸ ἐνδημόν F ἐστιν. ἀλλ' ἴσως τις ἀπορήσειεν, ὅτι καὶ εἰ τῶν παρὰ φύσιν ἐστὶ, καὶ ἐνδήμων, διὰ τί μὴ προετάγη τοῦ προγνωστικοῦ; καὶ λέγομεν ὅτι ἐπειδὴ ἐκεῖ ὁμοιομερῆ νοσήματα παραδίδωσι. ἐνταῦθα δὲ, τὰ ἐν λύσει συνεχείας, τιμιώτερα δὲ, τὰ ὁμοιομερῆ τῶν ἐν λύσει συνεχείας εἰσί. πάλιν δὲ μετὰ τὸ εἰπεῖν τὰ κατὰ φύσιν, καὶ τῶν παρὰ φύσιν, τὰ ἔνδημα, δεῖ ἐλθεῖν ἡμᾶς ἐπί τε τὰ σποραδικὰ, καὶ τὰ ἐπίδημα, ἀλλὰ πρότερον δεῖ τὰ σποραδικὰ ἀναγνῶναι. διό τι πρώτην τάξιν ἔχει τὸ περὶ ἀέρων, τόπων, ὑδάτων.

imperfectè, & vocatur παράρθρημα, id eſt ſubluxatio. Iſti autem affectus hac ratione ſunt curandi: Quum enim in fractura oſſa alia ſuper alia ferantur, diſtenſione, & in oppoſitum tenſione utendum eſt. Si enim unam partem tendas, uni parti dolorem inferas, & maxima conſequuntur ſymptomata. Oportet igitur & ſuperiorem & inferiorem partem extendere, ut modum dolori adhibeas. Poſt extenſionem & oppoſitam tenſionem, conformatione etiam utendum eſt. Novit autem conformatio oſſa emota in propriam ſedem rectè repoſita ſervare. Ita igitur rationales Medici operantur, vulgares autem & gregarii non utentes extenſione nec oppoſita tenſione vincula adhibent, & hac ratione membrum mutilum aut inutile redditur, aut oſſa muſculos atterunt, & ſiderationes inſequuntur. Hæc igitur etiam curatio. Ita autem collocari poſtulat pars ægra, ut maximè ſit expers doloris. Qualis ſit veró ille ſitus doloris expers, ſi placet, exempli gratia, in manu, ſermone demonſtremus. In hac igitur angularis figura eſt doloris expers, neque enim muſculi diſtorquentur, ſed omnes recti collocantur, neque extenditur pars, ut curvetur, ſed medium habet ordinem. Quod autem ejuſmodi figura ſit ſecundum naturam, poteſt etiam vulgaribus hoc modo demonſtrari, quum tenſio & inflexio contra naturam ſint, patet angularem figuram eſſe ſecundum naturam. Cum rationalibus rurſus ſic agimus, quod illud quod eſt ſecundum naturam, eſt expers doloris. Præcipiendum eſt igitur ægro, ut manum porrigat. Is enim à natura edoctus angularem figuram utpote doloris expertem porriget. Ad hæc iſtud etiam noſſe convenit, quod parti in angulari figura deligatio facienda ſit. Niſi enim ita feceris, ſed eam extentam ſic deligaveris, poſtea inflexeris, tandem ex vinculis partim quidem laxa, partim veró conſtringentia reperiuntur, quæ ægrum premunt.

λέγεται παραχώρησις. καὶ πάλιν, ἢ τελέως ἐξίσταται τὸ ἄρθρον ἀπὸ τῆς οἰκείας θέσεως, καὶ καλεῖται ἐξάρθρημα, ἢ ἀτελῶς, καὶ καλεῖται παράρθρημα. ταῦτα τὰ πάθη δεῖ θεραπεύειν τρόπῳ τοιῷδε. ἐπεὶ γὰρ ἐν τῷ κατάγματι φέρονται τὰ ὀστᾶ ἐπάνω ἀλλήλων, διατάσει καὶ ἀντιτάσει χρήσασθαι. εἰ γὰρ τὸ ἓν μέρος τείνας, τὴν ὀδύνην ἑνὶ μορίῳ ἐπιφέρεις, καὶ μεγάλα συμπτώματα διαδέχονται. δεῖ οὖν καὶ τὸ ἄνω μέρος, καὶ τὸ κάτω τείνειν ἵνα μετρίως τὴν ὀδύνην. μετὰ δὲ τὴν τάσιν καὶ ἀντίτασιν, δεῖ
C καὶ διαπλάσει χρήσασθαι. ἡ γὰρ διάπλασις οἶδε τὰ ἐκτεθέντα ὀστᾶ εἰς τὴν οἰκείαν θέσιν φυλάττειν τὰ καλῶς τεθειμένα. οὕτω μὲν οὖν οἱ λογικοὶ ποιοῦσιν· οἱ δὲ ἀγύρται τῶν ἰατρῶν, μὴ κεχρημένοι τῇ τάσει καὶ τῇ ἀντιτάσει ἐπιδεσμοῦσι. καὶ ἢ κολοβὸν γίνεται καὶ ἀχρεῖον τὸ μόριον, ἢ τὰ ὀστᾶ θλίβουσι τοὺς μῦς· καὶ σφακελισμοὶ παρακολουθοῦσιν. αὕτη γοῦν καὶ ἡ θεραπεία· κατατίθεσθαι δὲ τὸ μόριον ἔχειν θέλει τὴν ἀνώδυνον. ποία ἐστὶν ἡ ἀνώδυνος, εἰ βούλεσθε ὡς ἐπὶ τῆς χειρὸς γυμνάσωμεν τὸν λόγον, ἐπὶ ταύτης τοίνυν ἀνώδυνόν ἐστι σχῆμα τὸ ἐγγώνιον, οὔτε γὰρ οἱ μύες
D διαστρέφονται, ἀλλ᾽ ἐπ᾽ εὐθείας πάντες κεῖνται, οὐδὲ τείνεται τὸ μόριον ἵνα καμφθῇ. ἀλλὰ μέσην ἔχει τάξιν. ὅτι δὲ τὸ τοιοῦτον σχῆμα κατὰ φύσιν ἐστὶ, δυνατὸν καὶ πρὸς ἀγυρτάς τὸν τρόπον τοῦτον εἰπεῖν. ἡ ἔκτασις, καὶ ἡ κάμψις παρὰ φύσιν εἰσί. πρόδηλον ὅτι τὸ ἐγγώνιον σχῆμα κατὰ φύσιν ἐστί. πρὸς λογικοὺς πάλιν φαμὲν οὕτως. ὅτι τὸ κατὰ φύσιν ἐστὶν ἀνώδυνον. δεῖ οὖν τῷ ἀρρώστῳ λέγειν ἐπιδοῦναι τὴν χεῖρα. αὐτὸς γὰρ ὑπὸ τῆς φύσεως παιδευόμενος, τὸ ἐγγώνιον ἅτε ἀνώδυνον προσδίδωσι σχῆμα. πρὸς δὲ τού-
E τοις δεῖ καὶ τοῦτο γινώσκειν, ὅτι τὴν ἐπίδεσιν δεῖ ποιεῖσθαι, τοῦ μορίου ὄντος ἐν τῷ ἐγγωνίῳ σχήματι. εἰ γὰρ μὴ οὕτω ποιήσῃς, ἀλλὰ ἐκτείνας αὐτὴν, οὕτως ἐπιδήσῃς. εἶτα συγκάμψῃς. τηνικαῦτα εὑρίσκονται τῶν ἐπιδέσμων, οἱ μὲν χαυνούμενοι, οἱ δὲ σφιγγόμενοι, καὶ θλίβουσι τὸν ἄρρωστον.

SECTIO PRIMA.

Portet Medicum quæ ſuo loco mota ſunt & fracta.] Oratio habet procœmium. Eſt autem procœmium deliberativum. Quod enim ait Hippocrates tale eſt, neceſſe eſſe ut Medicus fracturarum extenſionem norit. Ne verò, quoniam extenſionis tantùm meminerit, ab eo conformationem, deligationem & poſitionem non commemoratam fuiſſe exiſtimes: Omnia enim ubique ſimul inaudienda ſunt. Extenſionem igi-

F ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

1 Ἐχρῆν τὸν ἰατρὸν τῶν ἐκπτωσίων τε καὶ καταγμάτων] προοίμιον ἔχει ὁ λόγος, τὸ δὲ προοίμιόν ἐστι συμβουλευτικόν. ὃ γάρ φησιν Ἱπποκράτης τοῦτό ἐστιν. ὅτι χρεία ἐστὶ τὸν ἰατρὸν εἰδέναι τῶν καταγμάτων τὴν κατάτασιν. μὴ δὲ ἐπειδὴ κατατάσεως μόνον ἐμνήσθη, μὴ νομίσῃς ὅτι οὐχὶ καὶ διάπλασιν, καὶ ἐπίδεσιν, καὶ ἀπόθεσιν. πάντα γὰρ παντὸς συνυπακούειν δεῖ. δεῖ οὖν,

τιμιωτέρας οὔσης. καὶ λέγομεν ὅτι ταύτης ὁ καιρὸς ἐδίδαξε. λέγω δὲ τῆς περὶ κεφαλῆς τρωμάτων· ἐνταῦθα οὖν διεξιόντας κεφαλὴν, ἀπὸ χειρὸς ἤρξατο, αὕτη γὰρ πάλιν τῶν ἄλλων τιμιωτέρα ἐστίν. ἀλλὰ πάλιν ἀποροῦμεν, διὰ τί τὸ πρηνὲς, μᾶλλον οἰκεῖόν ἐστι τοῦ ὑπτίου ἐπὶ τὸ κατὰ φύσιν. καὶ λέγομεν ὅτι ἐπειδὴ οἱ μύες μᾶλλον ἐντὸς κεῖνται, ἅτε ἐφεξῆς ὄντων τῶν ἀποφύσεών τε καὶ καταφύσεων. οὕτω συμπληρώσας τὸ πρῶτον προοίμιον, ἄρχεται καὶ ἐπὶ δεύτερον. ἐν ᾧ κατηγορεῖ τινων ἰατρῶν· ἀλλ' ἵνα μή τις αὐτὸν ἀπορήσῃ, ὅτι καὶ διὰ τί κατηγορεῖ. φησὶν ὅτι διὰ τρεῖς αἰτίας· πρῶτον μὲν ὅτι σοφιζόμενοι, καὶ ὑποκρινόμενοι, μεγάλως ἁμαρτάνουσι. δεύτερον ὅτι τούτῳ τῷ σχήματι, οὐ μόνον χεῖρας κυλλοῦσιν, ἀλλὰ καὶ ἄλλα μόρια. τρίτον πρὸς τούτοις, ὅτι διὰ τὸ ἀλλόκοτον καὶ τὸ ξενοπρεπές. ἅτε τῶν ἀνθρώπων ὡς ἐπίπαν τούτοις χαιρόντων, καὶ πειθηνίους ἔχουσι τοὺς ἀρρώστους. ἵν' οὖν μὴ ὦσιν αὐτοῖς πειθήνιοι, βούλεται διαβολὴν αὐτῶν εἰπεῖν. C

1 τῶν ἐκπτώσιών τε καὶ καταγμάτων] ἄξιον ἀπορῆσαι, διὰ τί περὶ καταγμάτων διαλεχθῆναι βουλόμενος, πρῶτον ἐξαρθρημάτων ἐμνήσθη. καὶ λέγομεν ὅτι, ἢ διὰ τὸ ἐμβραδύνειν αὐτόν. ἢ τὸν περὶ τῶν καταγμάτων λόγον νομισθῇ μὴ καὶ περὶ ἐξαρθρημάτων θέλειν διαλεχθῆναι. καὶ διὰ τοῦτο οἱονεὶ παροδικῶς, καὶ πρὸς τοσοῦτον ἐμνήσθη, ἢ καὶ δι' ἄλλην αἰτίαν. ἐπειδὴ γὰρ ἐβούλετο συνεχῆ φυλάξαι τὴν τῶν καταγμάτων θεωρίαν, διὰ τοῦτο πρῶτον ἐμνήσθη ἐξαρθρημάτων, ἵνα ἅμα τῷ περὶ καταγμάτων διαλεχθῆναι, τέλειον παραδώσῃ τὸν περὶ τούτων λόγον, καὶ μὴ διακόψῃ αὐτόν. διδασκαλικοῦ γάρ ἐστι τρόπου, τὸ τὰ πέρατα τῶν φθασάντων, ἀρχὴν ποιεῖσθαι τῶν μελλόντων. ἢ καὶ διὰ τρίτην αἰτίαν, ὅτι διαφόρως τῇ τάξει ἐχρήσατο. D E

2 ἐχρῆν τὸν ἰητρόν.] ζητοῦσί τινες, διὰ τί εἶπε τὸ ἐχρῆν τὸν ἰητρὸν, μετὰ τοῦ ε. ἔδει γὰρ αὐτὸν εἰπεῖν, χρῆν, καὶ λέγομεν ὅτι ἀεὶ οἱ Ἴωνες, ἢ Ἀθηναῖοι τὸ, ε, φιλοῦσι προστιθέναι.

3 αὕτη γὰρ ἡ δικαιοτάτη φύσις.] φύσιν ἐνταῦθα καλεῖ, τὴν διάπλασιν.

4 οἱ μὲν οὖν μηδὲν προβουλεύσαντες, οὐδὲν ἐξαμαρτάνουσιν] ἐναντία φθέγγεσθαι δοκεῖ ὁ Ἱπποκράτης. τοὐναντίον γάρ, οἱ βουλευόμενοι ὀφείλουσι καλῶς θεραπεύειν. καὶ λέγομεν ὅτι τεχνίτην ὁ Ἱπποκράτης βουλόμενος παραδοῦναι, τοῦτό φησιν. ὁ γὰρ ἄκρος τεχνίτης, οὐ βουλεύεται. ζητοῦσι δέ τινες ἐνταῦθα, διὰ τί εἶπε προβουλεύσαντες, ἔδει γὰρ, προβουλευόμενοι εἰπεῖν. καὶ λέγομεν ὅτι ἐνεργητικὸν, τὸ δὲ σημαινόμενον παθητικὸν, καὶ τοὐναντίον, ἐν ἔργῳ ποιῶν τοὺς λόγους οὐ πάσχω. F

re omnium digniſſima orſus eſt. At dicimus huic peculiarem tractatum videlicet de capitis vulneribus dicatum eſſe. Hic igitur quum caput curet, à manu orſus eſt. Ipſa enim rurſus reliquis dignior eſt. Sed rurſus dubitatio oritur, cur pronum ſupino ei quod ſecundum naturam propius eſt? Idque contingere dicimus, quòd muſculi inttò magis collocati ſint, quum nimirum tum exortus, tum fines directi ſint. Ita abſoluto priori exordio, accedit ad ſecundum, in quo nonnullos redarguit Medicos. Sed ne quis dubitet cur id faciat, tres imprimis cauſas affert, primam quidem quod Sophiſtæ & ſimulati Medici valdè peccant: ſecundam quod hac figura non ſolum manus, ſed & aliæ corporis partes mutilatæ & veluti gibbæ redduntur: tertiam præter hæc, quòd nova & aliena introducendo, utpotè hominibus utplurimum in iis rebus voluptatem capientibus, reddunt ſibi ægrotos morigeros & obſequentes. Ne igitur iis ſint morigeri, ipſis invidiam conflare vult.

Eorum quæ ſuo loco mota ſunt & fracta.] Meritò aliquis dubitaverit, cur quum de fracturis differere illi propoſitum eſſet, primò luxationum meminerit: quod dicimus fieri, aut producendi ſermonis gratiâ, aut quod viſus ſit in ſermone de fracturis nolle etiam de luxationibus differere. Ideò ante tantùm meminit veluti per tranſennam, aut propter aliam cauſam. Quoniam enim continuam de fracturis ſpeculationem ſervare conſtituerat, ideò primam de luxationibus mentionem fecit, ut una cum diſputatione de fracturis perfectum de iis & non interruptum ſermonem traderet. Is enim doctrinæ modus eſt, ut eorum quæ antevertunt extrema ſint futurorum principia, aut propter tertiam cauſam, quoniam ordine multifariàm eſt uſus.

Oportebat, inquit, Medicum.] Quærunt nonnulli cur dixerit ἐχρῆν addito ε. ſiquidem abſque eo potuit dicere χρῆν & videtur debuiſſe. Sed reſpondemus Iones vel Athenienſes ε frequenter addere ſolitos.

Ipſa verò natura juſtiſſima eſt.] Naturam hîc vocat ipſam conformationem.

Qui igitur nullum conſilium adhibent, plerunque nihil errant.] Pugnantia loqui videtur Hippocrates. Contrà enim qui conſilium adhibent, rectè curare debent. Et dicimus quòd artificem inſtruere volens id dicit: Perfectus enim artifex, non deliberat. Quærunt inſuper nonnulli, cur dixerit προβουλεύσαντες conſilium adhibentes. Oportuit enim προβουλευόμενοι, hoc eſt conſilium capientes dicere. Et dicimus illud actionem, hoc verò perpeſſionem ſignificare, neque activam faciens orationem contra affectus ſum.

… quod ſigurationis æqua-
bilitas appareat … Si igitur, inquiunt, quæ in ſuperficie ſe habent, conſimilia ea quæ in profundo, velut muſculos qui … habent. Similiter qui … figuram manus laudant, hæc tantum attendunt, quod … autem in … non … Sic igitur ſermonem … varijs modis Medicos reprehendit. Et primo ſi hoc, inquit, … arti & Medicinæ conſentaneum, cur non manum … dextram, quæ figuram anguli … in exemplum adducit? Præterea … conſpectum facere licet, quod … figuras … utuntur, quales … Variæ enim ſunt figuræ … in unaquaque arte, alia enim in … alia in … lapidis. Quomodo autem … eſſe … figuram afferunt, ſupinam videlicet & tenſam? præterea quum … quidem … figuram ſine ſenſu doloris obſervare valeat. Et ſi interdum aliquis … preſſerit, dolor oboritur, & cogitur … aut certe quod … Quomodo ſitum muſculorum ſecundum … coloris æquabilitate afferunt, quum … eſſe colorem … autem profunditatis contingat? Omnem igitur figurarum pravarum … coloris expers.

Quot errores igitur Medicorum quos quidem … volo, & hos docere.] Cur hæc dicat … operæ pretium. quid enim errorem … opus eſt? dicimus autem duplicem eſſe errorem, unum quidem apparentem, ſed reipſa non exiſtentem, alium autem naturâ exiſtentem. Hunc igitur poſtremum ſe velle dedocere, alium autem ſe velle docere aſſerit.

Alia in ceſſando.] Pro, in quieſcendo.

Hominem autem ita collocari oportet.] Hinc Hippocrates deinceps fracturarum curationem aggredi vult. Et primo manum fractam curat. Sciendum eſt autem tres eſſe manus partes, quarum una humerus, alia extrema manus, media cubitus vocatur. Sed cubiti, etiamſi videatur una pars, duo tamen ſunt oſſa, quorum inferius proprie cubitus, ſuperius autem radius denominatur. Et in manibus quidem manifeſtum, ſi duo oſſa frangantur, manus autem, ſi quod eſt contra oppoſitum. Si horum alterum frangatur, melius ut radius non cubitus frangatur, quandoquidem cubitus ſubjicitur radio, & eum ſuſtentat, præſertimque is … ad brachium articulatur. Præterea … qui in … mordunt, facilius apparent, quippe pars illa … carnoſa. Sed … propter carnem in par-

C [illegible]

D [illegible]

ἑκόντα· τῶν ἁμαρτάδων τῶν ἰητρῶν, ἃς μὲν ἀποδιδάξαι θέλω, ἃς δὲ διδάξαι] [illegible]

E [illegible]

καὶ ἄλλα ἐν τῷ ἐλινύειν] ἀντὶ τοῦ ἐν τῷ ἡσυχάζειν.

[illegible]

F [illegible]

[illegible]

31 [illegible]

[illegible] ponamus, eorum videlicet ſubſtantiam, modum, & quantitatem. Eorum quidem ſubſtantia eſſe debet, neque lanea, neque recens facta, neque complicata aut convoluta, quoniam utræque aſperitate lædunt. Oportet igitur eam eſſe lineam, ſubactam & attritam. hæc eſt ſubſtantia. Vinculi autem modus talis eſt. Oportet, inquit, te primum vinculum circa ipſum ulcus injicere, & tertio circuitu facto, ita in ſuperiorem partem brachium verſus deferri, valde premendo, ut cum illuc feratur etiam conſtringendo, fluxio impediatur, & illic circa brachium deligetur. Ac rurſus aliud vinculum imponere circa ulcus ipſum, & ſemel ſuper ipſum circumeundo ſic deorſum deferri, laxiorem faciendo ligationem, ut tenuis illa ſanies ab ulcere ad inferiores partes feratur, & dolores non inferat. Oportet autem hoc vinculum ita juſtæ eſſe magnitudinis ut rurſus ex carpo ad brachium revertatur & reducatur. Sin minùs, tertium vinculum circa ulcus imponendum, quod ad ſuperiora feratur, nec ſtrictum ſit, ſed molle & laxum. Poſt vincula vero oportet & pannos cerato intingere, & ita imponere, ut agglutinatione fracturam contineant. Sed quoniam interdum os ad aliquam partem defertur, unde illud noſcere poterimus? hoc conſtat quòd primùm quidem pars gibba eſt in quam defertur, præſertim quum tactu illa rectè comprehendatur: de cætero verò etiam dolor oritur. Sed quandoquidem ſplenium varius uſus, de iis nobis aliquid dicendum. Sæpè autem æquabilitatis gratià hæc ſumenda ſunt. Exempli gratià, ſi volo in carpo ſplenis uti, illud æquabile in orbem ſplenium injicio, & quod ad carnes deficit, ſplenium explet. Interdum etiam in rectum ea injicio, ut conformatio ſervetur. Et hæc quidem de panno. Quod autem ad faſciarum multitudinem attinet, ſint duæ aut tres, ut dictum eſt, non quidem latæ, corrugantur enim & non premunt aut decenter ſtringunt ipſam fracturam: & rurſus ſi anguſtæ ſint, valde partem affectam comprimunt. Unde verò conſtat bonam eſſe deligationem? ſi æger tibi dicat, magis forte ſe hodie premi quam heſterna die, ut noſcas debitam deligationem factam eſſe. Nam inflammationes interimunt eos quibus accedunt. Oportet autem ut ſe parum premi dicat. Præterea oportet ſolvere eos qui teneras habent carnes, & maximè quos pruritus infeſtat: alios autem tertio quoque die. Semper autem poſt deligationem manus angulariter collocanda eſt, neque nimium ſuprà, neque infra. ſi enim ſupra aut infra collocetur, videtur manus ſuſpenſa, & dolores inſequuntur.

Atque hic quidem lintea ad ſiniſtram aut ad

ſularum mentionem fecimus, de earum materia, longitudine, latitudine & tempore dicamus, quando ſolvendæ, & reliqua ejuſmodi. Ac interim de earum ſubſtantia dicamus. Ferulas has aſſumere oportet aut ligna tiliacea, aut ſi horum nihil reperiatur, arundines uſurpannæ. Imponendæ vero ſunt poſt ſeptimam diem, quando inflammationes ceſſarint, hoc modo. Oportet poſt vincula ſerulas ſupra imponere, & faciis tribus eas leniter vincire, ut una earum pars ſit ſupra, una etiam infra, & una media. Ea autem pars in quam os elapſum eſt, craſſiorem habeat ferulam, aut plures ipſi autem imponendum. Non oportet autem ferulas in partes extremas ferri, aut prope parvulum digitum, ſed has aliqua ex parte mancas facere. Quod ſi neceſſe ſit eas imponere, plures illuc injiciendi, ſicque ferulæ ſupra adhibendæ. Non ſunt autem ante viginti dies ſolvendæ, niſi aliqua acrimonia aut morſus adſit: tunc enim ſunt ſolvendæ & coarctandæ & rurſus eodem modo deligandæ. Si vero nihil horum adſit, ſed tantummodo ſint laxiora vincula, oportet ferulas coarctare & non ſolvere; latitudo autem ſit duorum digitorum cum dimidio. Ita de ferulis habito ſermone, venit ad ſecundum caput, id eſt, ad victus rationem, in qua tres victus ſpecies proponit, tenuem videlicet, & mediam, quæ ſubvulgaris vocatur quibuſdam, & præterea pleniorem. Oportet igitur circa initia quando ſunt inflammationes & occupatur illic natura, præbere tenuem victum: procedente verò tempore, ſubvulgari uti oportet: adhuc autem procedente tempore, pleniore, ut callus gignatur, hoc eſt ſecundum caput. Tertium eſt præterea in quo de collocatione ſermonem facit, dicitque oportere linteū injicere non anguſtum; ſi enim anguſtum fuerit, ipſumque ad cubitum ſolum injeceris, quod extra ſuſpenſum erit, labores & moleſtiam pariet. Si contra in externam partem injeceris, quod ad cubitum ſuſpenſum erit, attrahet os fractum & inutilis erit curatio. Quod ſi ſecundum fracturam injeceris, quæ hinc & illinc ſuſpenſa erunt conformationem pervertent. Oportet igitur linteum eſſe vetus & latum, ut totum cubitum contineat, & ne manus in ſuperiora aut inferiora vergat, ſed ſit æqualis.

Ubi igitur ad tertium diem ventum erit, qui ſeptimus eſt à primo quo injectum fuerit vinculum] Tertium diem dicit, aut pro curationis periodo accipit. Tertio enim die & quinto & ſeptimo ſolvere præcepit, ut ſint tres periodi. Aut tertium dixit a quo continenter ſolvit, id eſt, à quinto quaſi ſint rurſus tres dies, quinta enim, ſexta & ſeptima, tres dies efficiunt.

...λον ἔχειν τὴν ἐπίδεσιν. ἀλλ' ὅπως τὰ ἄλλα ἤδη γεγραμμένων, φησὶ τούτων εἰπόντων περὶ ὕλης, καὶ τὸ μῆκος, καὶ τὸ πλάτος, καὶ τὸν καιρόν. ποτὲ λοιπὸν λύειν αὐτὰς καὶ πάντα τὰ τοιαῦτα, καὶ περὶ τῆς οὐσίας αὐτῶν. δεῖ τοίνυν τοὺς νάρθηκας περιλαμβάνειν, ἢ ξύλα φιλύρινα. ἢ εἰ μηδὲν τούτων εὑρεθῇ, δεῖ γνάφους λαμβάνειν. ἐπιτιθέναι δὲ αὐτοὺς χρὴ μετὰ τὴν ἑβδόμην. ὅταν αἱ φλεγμοναὶ παύσωνται, τὸν τρόπον τοῦτον. δεῖ μετὰ τοὺς ἐπιδέσμους ἐπάνω τοὺς νάρθηκας ἐπιτιθέναι, καὶ ταινίαις περιδεσμεῖν αὐτοὺς ἐλαφρῶς, ὡς εἶναι τὸ μὲν ἓν, ἄνω, τὸ δὲ ἓν, κάτω, τὸ δὲ ἓν, μέσον. δεῖ δὲ καὶ τὸ μέρος, ἐν ᾧ ἐξέστη τὸ ὀστέον, παχύτερον λαμβάνειν νάρθηκα ἢ πλείονας ἐκεῖ ἐπιτιθέναι. οὐ δεῖ δὲ εἰς τὰ ἀποξέα φέρειν τοὺς νάρθηκας. ἢ ἐπὶ τοῦ μικροῦ δακτύλου. ἀλλὰ δεῖ τοὺς τοιούτους κολοβωτέρους ποιεῖν. εἰ δὲ ἀνάγκη τίς ἐστιν ἐπιθεῖναι, δεῖ πλείονας ἐκεῖ περιβάλλειν. καὶ οὕτως ἐπιτιθέναι τοὺς νάρθηκας, λύειν δὲ οὐ χρὴ, ἕως εἴκοσι ἡμερῶν. πλὴν εἰ μή τις δριμύτης τις, ἢ δῆξις γένηται. ἔτι καὶ δεῖ λύσαι, καὶ ἀποσφίγξαι, καὶ πάλιν ἐπιδῆσαι κατὰ τὸν αὐτὸν τρόπον. εἰ δὲ μηδὲν τούτων εἴη, ἀλλὰ μόνον χαλαρώτεροι γεγόνασιν οἱ δεσμοὶ, δεῖ τοὺς νάρθηκας ἀποσφίγγειν καὶ μὴ λύειν. πλάτος δὲ ἐχέτωσαν ὡς δύο ἥμισυ δακτύλων. οὕτω περὶ ναρθήκων διαλεχθεὶς, ἔρχεται καὶ ἐπὶ τὸ δεύτερον κεφάλαιον. λέγω δὲ τὸ διαιτητικὸν ἐν ᾧ λέγει τρία εἴδη τῆς τροφῆς. λεπτήν τε, καὶ μέσην. ἥ τις ὑπόχυλη καλεῖται, ἔτι μέσῃ καὶ ἁδροτέραν. δεῖ οὖν κατὰ μὲν τὰς ἀρχὰς ἐν ὅσῳ αἱ φλεγμοναὶ γίνονται, καὶ ἀσχολεῖται ἐκεῖ ἡ φύσις, λεπτὴν παρέχειν δίαιταν. προϊόντος δὲ τοῦ καιροῦ, δεῖ τῇ ὑποφαύλῃ κεχρῆσθαι. ἔτι δὲ προϊόντος τοῦ καιροῦ, δεῖ καὶ ἁδροτέρᾳ χρῆσθαι, ἵνα πῶρος γένηται. τοῦτό ἐστι τὸ δεύτερον κεφάλαιον. τρίτον ἐστὶ περὶ τῆς θέσεως κεφάλαιον, ἐν ᾧ τὸν ἀποθέσεως λόγον ποιεῖται, καί φησιν, ὅτι δεῖ ὀθόνιον περιβάλλειν, μὴ στενόν. εἰ γὰρ εἴη στενὸν, εἰ μὲν εἰς τὸν ἀγκῶνα αὐτὸ περιβάλλεις μόνον, τὸ ἔξω ἐκκρεμὲς γινόμενον, πόνους ἐργάζεται. εἰ δὲ πάλιν εἰς τὸ ἔξω περιβάλλεις, τὸ ὑπὸ τὸν ἀγκῶνα γινόμενον ἐκκρεμὲς, καθέλκει τὸ κατεαγὸς ὀστοῦν· καὶ ἀσύμφορος ἡ θεραπεία γίνεται. εἰ δὲ κατὰ τὸ κάταγμα περιβάλλεις, τὰ ἔνθεν κἀκεῖθεν ἐκκρεμῆ γινόμενα, διαφθερεῖ τὸν σχηματισμόν. δεῖ οὖν καὶ παλαιὸν, καὶ πλατὺ εἶναι τὸ ὀθόνιον, ἵνα τὸν πῆχυν ὅλον περιέχῃ. καὶ μηδὲ ἐπὶ τὰ ἄνω, μηδὲ ἐπὶ τὰ κάτω τῆς χειρὸς εἶναι, ἀλλ' ὁμαλήν.

14 ἐπὴν δὲ τριταῖος γένηται ἢ ἑβδομαῖος ἀπὸ τῆς πρώτης ἐπιδέσιος] τριταῖον λέγει, ἢ κατὰ τὴν περίοδον τῆς θεραπείας. εἶπε γὰρ λύειν τρίτην, καὶ πέμπτην, καὶ ἑβδόμην. ὡς τρεῖς εἶναι περιόδους. ἢ τριταῖον λέγει, ἀφ' οὗ ἔλυσε προσεχῶς, τουτέστιν ἀπὸ τῆς πέμπτης. ὡς εἶναι πάλιν τρεῖς ἡμέρας. πέμπτην γὰρ, καὶ ἕκτην, καὶ ἑβδόμην τρεῖς εἶναι ἡμέρας.

[illegible]

B mem in die extrema manu omiſſum eſſe, ſiquidem ejus curatio varia eſt & multiplex, brachii vero curatio ſimplex. Quandoquidem autem in brachii mentionem incidimus, agedum quinque de eo in medium proponamus, appellationem, ſitum, conſtitutionem, curationem & diætam. Brachium dicitur quod medium eſt inter acutum oſſis proceſſum, quod ἀκρώμιον vocatur, & humeri articulum. Situs autem ex eo manifeſtus. Pars enim quæ eſt intra cubitum & humerum, vocatur brachium. Conſtitutio vero ejus talis eſt. Sciendum eſt igitur ſuperiores &
C exteriores partes ejus gibbas eſſe, anteriores autem & interiores cavas. Anterius quidem cavum, cum quod facile amplexetur, quodque illic ſitus eſt muſculus. Inferius vero quod coſtæ cum gibbæ ſint, non cogunt ut pars gibba gibbam contingat: hæc eſt partis conſtitutio, curatio autem hoc modo fiat. Oportet, inquit, ægrum collocare in ſublime aliquod ſolium, deinde ſuſpendere lignum tranſverſum, & in illud imponere ægri axillam, deinde ſubſellium demiſſius ſubjicere, & illic ægri ſupremam manum imponere, & cubiti partem, ita ut acutus
D oſſis proceſſus κορώνη dictus, ſuſpenſus maneat, deinde extremæ parti manus corium ſubjicere, & tunc ſupremam partem oſſis proceſſus acuti κορώνη dicti latis faſciis circundare oportet, atque ita trahere, & tenſionem, oppoſitamque diſtenſionem facere. Quod ſi nemo adſit qui trahat, lapides graves ſuſpendito; ita trahunt quidem lapides, in oppoſitum autem trahit lignum quod tranſverſum poſitum eſt, & una partem conformat, deinde poſt tenſionem, oppoſitamque diſtenſionem, oportet ut tu modo ſuperiori membrum vincias, utaris autem ferulis poſt nonam
E diem. Nam quum ſit magnum membrum, fiunt in eo magnæ inflammationes. Sed quoniam quæ ſolent loco moveri ad partes gibbas repere ſolent, idcirco te faſciam latam injicere oportet, & ità brachium comprimere, deinde ne coſtæ gibbæ exiſtentes perverſionem quandam efficiant, oportet te pannum complicatum ſubjicere; Etenim perſpirationem efficit, neque coſtæ dolorem & perverſionem afferunt, & deinde ferri in orbem circa pectus, & ita deligare ad latus oppoſitum, itaque eſt curatio. Victus autem ratione exquiſitiſſima propter mul-
F tas inflammationes utendum eſſe dicit, prætermquamquod oportet tandem permittere ut laxiora ſint vincula, ut etiam plenius alimentum exhibeatur.

recenſeamus, habet carpi octo, quatuor metacarpii & quindecim digitorum: eodem modo ſe res habet in pede. planta habet oſſicula quinque, tarſus quatuor, digiti quatuordecim, quoniam magnus digitus duos tantùm habet nodos. Præterea ſunt alia quatuor magna oſſa, ſcaphoides, aſtragalus, cyboides & pterna: quandoquidem igitur eadem eſt conſtitutio manus & pedis, exempli vice orationem exercet in pede, ejuſque luxationes nobis tradere vult. Unde quærunt nonnulli, cur quum de fracturis diſſerat, luxationum mentionem faciat? Idque fieri dicimus, quia hîc plerunque luxationes non fracturas fieri contingat, quoniam oſſicula parva ſunt & diffugiunt; aut quia etiam ſi fracturam patiantur, omnino ad ipſam propter eandem cauſam luxatio etiam conſequatur. Quæ enim partem pedis aut manus contundunt, omnino ſecant & ulcus faciunt. Quum ſit igitur varia curatio, de his ſermonem habet. Aut tertiam ob cauſam id fit: Non enim ſuprà dicamus, quod luxationum mentionem faciat, quippe cum diſciplinæ de fracturis ſubjiciantur. Itaque ob eam cauſam luxationum mentionem facit. Si igitur, inquit, luxatio fiat in pede, primò multis laxantibus uti debes, quia multi ſunt nervi & muſculi: deinde tendere & contra diſtendere, dictoque modo vincire, & ita intra viginti dies curatur, ſi ſit os parvum, aut quieſcat æger: niſi enim quieſcat, quandoquidem per corporis gravitatem allevat, neceſſe eſt fluxionibus obortis, morbum plurimum intendi. Si tamen magnum fuerit os, quadraginta diebus curatur.

πις. καὶ ὥσπερ ἡ χεὶρ ἔχει, εἴκοσι ἑπτὰ ὀστάρια, καὶ ὡς εἴπομεν πῶς ἡ χεὶρ εἰκοσιεπτὰ ἔχει ὀστάρια, ἔχει ὀκτὼ τὰ τοῦ καρποῦ, καὶ τέσσαρα τὰ τοῦ μετακαρπίου, καὶ δεκαπέντε τὰ τῶν δακτύλων, ὁμοίως ἐστὶ καὶ ἐπὶ τοῦ ποδός. ἔχει πέντε ὀστάρια τὸ πέδιον, καὶ τέσσαρα τὸ ταρσὸν, καὶ δεκατέσσαρα οἱ δάκτυλοι. διότι ὁ μέγας δάκτυλος, δύο μόνας ἔχει σκυταλίδας. πρὸς τούτοις εἰσὶ καὶ ἄλλα τέσσαρα ὀστᾶ μεγάλα. τό, τε καλούμενον σκαφοειδὲς. καὶ ὁ ἀστράγαλος, καὶ τὸ κυβοειδὲς, καὶ C ἡ πτέρνα. ἐπειδὴ οὖν μία ἐστὶν ἡ κατασκευὴ χειρός τε καὶ ποδὸς, ὡς ἐπὶ ποδὸς γυμνάζει τὸν λόγον. καὶ βούλεται τὰ ἐξαρθρήματα ἡμῖν αὐτοῦ παραδεδωκέναι, ὅθεν καὶ ζητοῦσί τινες, εἰ περὶ καταγμάτων διαλέγεται, διὰ τί ἐξαρθρημάτων μνήμην ποιεῖται. καὶ λέγομεν ὅτι ἤδη ὅτι ὡς ἐπὶ πᾶν ἐξαρθρήματα γίνονται καὶ οὐ κατάγματα. διὰ τὸ μικρὰ εἶναι τὰ ὀστάρια, καὶ διαφεύγειν, ἢ διότι καὶ εἰ κάταγμα πάθοι, πάντως καὶ ἐξάρθρημα παρακολουθεῖ ἐπὶ αὐτοῦ, διὰ τὴν αὐτὴν αἰτίαν. τὰ γὰρ θλῶντα μέρος τοῦ ποδὸς, ἢ τῆς χειρὸς, πάντως καὶ τέμνουσι καὶ ἕλκος ποιοῦσιν. ὡς οὖν ποικιλωτέρας οὔσης τῆς θεραπείας. διὰ τοῦτο D ποιεῖται τὸν περὶ τούτων λόγον. ἢ καὶ διὰ τρίτην αἰτίαν. μὴ γὰρ ἀνωτέρω λέγομεν ὅτι ἐξαρθρημάτων μνήμην ποιεῖται, ἐκείνων τῶν ὑπαγομένων τῇ καταγματικῇ ἀγωγῇ, ὥστε οὖν διὰ τοῦτο ἐξαρθρημάτων μέμνηται. ἐὰν οὖν, φησιν, ἐξάρθρημα ἐπὶ ποδὸς γένηται, πρῶτον μὲν δεῖ σε πλείοσι τοῖς χαλαστικοῖς χρήσασθαι. διότι πολλά εἰσι νεῦρά τε καὶ μύες, εἶτα τεῖναι καὶ ἀντιτεῖναι, καὶ κατὰ τὸν προειρημένον ἐπιδῆσαι τρόπον. καὶ οὕτως ἰατρεύεται εἴσω ἡμερῶν εἴκοσιν, ἐὰν μικρὸν ᾖ τὸ ὀστέον καὶ ἡσυχάσῃ ὁ πάσχων. εἰ μὲν γὰρ μὴ ἡσυχάσῃ, ἐπειδὴ τὸ βάρος τοῦ σώματος ὁ ποὺς ἀνακουφίζει. ἀνάγκη ῥευματισμὸν γενόμενον, E ἐπὶ πλέον τὰ τοῦ νοσήματος ἐπιτείνεσθαι· εἰ μέντοι μέγα εἴη τὸ ὀστέον, ἐν τεσσαράκοντα ἡμέραις ἰατρεύεται.

DE CALCE.

Quicunque ex ſuperiori loco ſaltantes.] Abſoluta curatione oſſiculorum, ad oſſium magnorum curam accedit, & ſermonem à calce orditur, quæ eſt pars omnium difficillima: Sciendum eſt enim calcem cum multis partibus ſocietatem habere, ſupra quidem cum ſura, infra veró ad dextram dextri pedis partem cum oſſiculo teſſerali, ad lævam autem cum naviculari. Quum igitur multis communicet partibus, & ſit pars muſculoſa, niſi magna quædam vis afferatur, non facile patitur. Quod ſi patiatur, magna gignit ſymptomata, quæ etiam merito mortem inferunt. Fit enim plerunque ut ſi aliquis violenter decidat, infra quidem terra, ſupra verò ſura reſiſtat, & ſuo loco calx excedat, tuncque venæ, nervi, arteriæque dividantur, & inde oriantur putredines, ulcera depaſcentia, diviſis

ΠΕΡΙ ΠΤΕΡΝΗΣ.

Ὅσοι δὲ πηδήσαντες ἀφ' ὑψηλοῦ τινος] μετὰ τὴν τῶν μικρῶν ὀσταρίων θεραπείαν, ἀνέρχεται δὲ ἐπὶ τὴν θεραπείαν τῶν μεγάλων. καὶ πρῶτον περὶ τῆς πτέρνης ποιεῖται λόγον. διότι δυσκολώτερον πάντων ἐστί· δεῖ δὲ εἰδέναι ὅτι ἡ πτέρνα, F πολλοῖς ὁμιλεῖ μορίοις. ὁμιλεῖ ἄνω μὲν γὰρ, τῇ κνήμῃ, κάτω δὲ, ἐπὶ μὲν τὸ δεξιὸν μέρος τοῦ δεξιοῦ ποδὸς, τῷ κυβοειδεῖ ὀσταρίῳ. ἐπὶ δὲ τὸ ἀριστερόν, τῷ σκαφοειδεῖ ἐπειδὴ οὖν πολλοῖς ὁμιλεῖ μορίοις, ἔστι δὲ καὶ μυώδης, εἰ μὴ μέγα εἴη τὸ βιαζόμενον, οὐκ ἂν πάθοι. πάσχουσα δὲ, μεγάλα ποιεῖ τὰ συμπτώματα. εἰκὸς δὲ καὶ θάνατον ἐπιφέρειν. πολλάκις οὖν βιαίως τινὸς πεσόντος, κάτωθεν μὲν ἀντιβαίνει ἡ γῆ, ἄνωθεν δὲ ἡ κνήμη, καὶ ἐξίσταται τοῦ οἰκείου τόπου ἡ πτέρνα. καὶ τότε διαιροῦνται φλέβες, καὶ νεῦρα, καὶ ἀρτηρίαι. καὶ διὰ τοῦτο γίνονται σήψεις, νομαί.

ται. ἄνωθεν μὲν τὴν κνήμην, κάτωθεν δὲ τὸν πόδα, καὶ οὕτως ἀποστηρίζειν δεῖ τὴν πτέρναν, καὶ τηνικαῦτα ἐπιδεῖν, μὴ ὡς πολλοὶ ποιοῦσιν. ἵνα ἄνωθεν μὲν ὁ κάλαμος, καὶ τὸ ταρσὸν κάτωθεν ἐπιδέδεται. ἡ δὲ πτέρνα μηδὲν ἔχει. ἀλλ' ἵνα καὶ ἡ πτέρνα δέδεται, καὶ μὴ σφίγγειν. ἐπεὶ τῇ σφίγξει καὶ τῇ ὀδύνῃ ῥευματισμοὺς ἐργαζόμεθα. ἀλλὰ μᾶλλον δεῖ πλείστας εἶναι τοὺς ἐπιδέσμους. ἵν' οὕτω φυλάξωμεν τὴν διάπλασιν. ἐπεὶ δὲ στενή ἐστιν ἡ πτέρνα, καὶ διαφορήσεως μὴ γινομένης, δέος ἐστὶ μὴ τῆς σήψεως ἐπιταθῇ· διὰ τοῦτο δεῖ φησιν ἀμυχαῖς λεπταῖς πάνυ καὶ ἐπιπολαίοις χρῆσθαι. ὡς μόνον τὸ δέρμα διαιρεῖσθαι· δεῖ δὲ αὐτὰς καὶ ἀλλήλων ἀπέχειν. πρὸς δὲ τούτοις δεῖ καὶ ὥστε τὴν πτέρναν μὴ ἐπικεῖσθαι εἰς τὸ στρῶμα. ἐπεὶ πάλιν σήψεις γίνονται· ἀλλὰ δεῖ πανταχόθεν ἐπισκευάσαι τι μεταξὺ ὡς ἐπὶ χώνης ἵνα εἰς ἐκείνην τὴν ὀπὴν ἐπιτίθεται ἡ πτέρνα. ἐνταῦθα δὲ καλάμοις οὐκ ἔτι χρῆσθαι. πῶς γὰρ, ἀνωμάλου ὄντος τοῦ μορίου, δεῖ δὲ καὶ λεπτῇ διαίτῃ χρῆσθαι. οὕτω περὶ τούτων διαλεχθείς, φησιν, ὅτι καὶ περὶ τοῦ κυβοειδοῦς καὶ τοῦ σκαφοειδοῦς οὐδένα ποιοῦμαι λόγον. εἰ γὰρ τὸ δύσκολον ἐθεραπεύθη, πρόδηλός ἐστιν ἡ τῶν ῥᾳόνων θεραπεία.

16 Φλέβια δὲ αἱμορροεῖ ἀναστομοῦσθαι ἀμφιθλασθείσης τῆς σαρκὸς] ἴσμεν, ὅ ἐστι θλάσμα, διαίρεσις ἀγγείων. ἀδιαιρέτου μενούσης τῆς ἐπιφανείας, αὕτη ἡ διαίρεσις· εἰ μὲν τῆς ἐπιφανείας ἀδιαιρέτου μενούσης ἐρύθημα ἐργάσεται, καλεῖται μώλωψ. εἰ δὲ μὴ ἐργάσηται, ἐκχύμωμα. φλάσμα δὲ καλοῦσιν οἱ Ἴωνες τὸ θλάσμα.

οἴδημα δ' ἐπιγίνεται καὶ πόνος πολύς] ὅτι πάντα ὄγκον ὁ Ἱπποκράτης οἴδημα καλεῖ. ἀλλὰ διὰ τῆς ἐπιφορᾶς δηλοῖ τὴν διαφορὰν αὐτοῦ. εἰ μὲν γὰρ εἴπῃ οἴδημα χαῦνον, τὸ κυρίως οἴδημα καλεῖ. εἰ δὲ εἴπῃ οἴδημα σκληρόν, τὸν σκίρρον. εἰ δὲ εἴπῃ οἴδημα θερμόν, ἢ ζέον, τὸ ἐρυσίπελας. εἰ δὲ εἴπῃ οἴδημα ἐπώδυνον, τὴν φλεγμονήν. περὶ ἧς καὶ ποιεῖται τὸν λόγον, ἐνταῦθα· φησὶ γὰρ οἴδημα γίνεσθαι ἐπώδυνον.

17 κοινωνεῖ δὲ φλεψὶ καὶ νεύροις ἐπικαιροτάτοισι] καλῶς εἶπεν ἐπικαίροις, ἵνα μὴ νομίσῃς ὅτι συνδέσμους ἐνταῦθα λέγει μόνους πάσχειν. ἀλλ' εἶπεν ἐπικαίροις, ἵνα δηλώσῃ προαιρετικὰ πάσχοντα νεῦρα.

17 ὁ τένων δὲ ὁ ὀπίσθιος] τοῦτο προείρηται τὸ ὀστέον, δεῖ δὲ εἰδέναι ὅτι μύες ἀπὸ τῶν γονάτων τούτων προερχομένων καὶ σαρκουμένων, γίνεται ἡ γαστροκνημία, εἶτα προερχομένων γίνεται ὁ τένων ὁ ἐν τῇ πτέρνῃ. ἔτι δὲ προερχομένων καὶ εἰλουμένων, γίνεται τὸ πέλμα τὸ κάτω.

18 κατατάμνειν χρὴ ὁμαλῶς καὶ διαλεπτύνειν] διχῶς ἐξηγήσαντό τινες τὸ χωρίον. οἱ μὲν γὰρ φασιν, ὅτι διαλεπτύνειν λέγει, ἀντὶ τοῦ ξύειν τὸ περὶ τὴν ἐπιφάνειαν δέρμα. λέγω δὲ τὸ πυκνότερον, καὶ οὕτω λοιπὸν ἀμυχὰς προσάγειν. οἱ δὲ

quæ diſtenſione utaris, à ſuperiori quidem parte ſuram, ab inferiori pedem extendens. Ita in optimum ſitum calcem reſtitues, poſtea deligabis, non ut plerique faciunt, ut ſupra quidem ſit arundo, infra autem vinciatur tarſus, & calx nihil habeat: Sed ut calx vinciatur, & non aſtringatur, quoniam adſtrictione & dolore fluctiones procuramus: ſed potius plura adhibeantur vincula, ut hac ratione conformationem ſervemus. Quum verò calx ſit anguſta, & nulla
C fiat diſſlatio, metus eſt ne vehemens putredo excitetur. Ideo oportet, inquit, ſcarificationibus valde tenuibus & ſuperficiariis uti, ut ſola cutis dividatur, eaſque inter ſe diſtare oportet. Ad hæc videndum ne calx lecto incumbat, inde enim putredines orientur. Verùm intermedium aliquod velut in ſcrobe elaborare oportet, ut in cavitatem illam calx imponatur. Hîc autem arundinibus non utendum; ubi enim adhibeantur, quum pars ſit inæqualis? Victu autem etiam tenui utendum eſt. Quum ita de iis diſſeruerit, dicit ſe de cyboidis & ſcaphoidis oſſis nullam
D mentionem facere. Si enim quod difficile erat curatum eſt, in promptu erit facilium curatio.

Venæ ſanguinem effundunt carne circa os attrita.] Scimus quid ſit θλάσμα, id eſt colliſio, diviſio vaſorum, ſuperficie manente indiviſibili. Illa autem diviſio, ſi ſuperficie indiviſibili manente, rubedinem efficiat, vocatur μώλωψ, id eſt, vibex: ſi rubedinem non facit, vocatur ἐκχύμωμα, id eſt effuſio. φλάσμα autem ab Ionibus vocatur θλάσμα.

Tumor autem magnus oritur & dolor.] Quod omnem tumorem vocet Hippocrates οἴδημα per-
E ſpicuum, ſed additione ſignificatur tumoris differentia. Si enim dicat tumorem laxum, propriè οἴδημα eſt; ſi durum, ſcirrhus ſignificatur: ſi calidum, aut fervidum, eryſipelas; ſi tumorem dolorificum, phlegmone, cujus mentionem facit, hîc enim tumorem dolentem fieri dicit.

Conjungitur enim venis & nervis grandioribus.] Rectè dixit, grandioribus, ne exiſtimes eum hîc dicere ſola ligamenta affici. Sed addidit iſtud ἐπικαίροις, ut voluntarios nervos affici indicaret.

Poſteriorque tendo.] Iſtud os prædictum eſt.
F Scire enim oportet illam partem cruris carnoſam quæ γαστροκνημία vocatur, fieri à muſculis ex genu prodeuntibus & carnoſis, ac deinceps procedentibus fit tendo, qui eſt in calce: adhuc verò procedentibus & convolutis, fit planta pedis inferior τὸ πέλμα vocatum.

Succindere æqualiter atque extenuare oportet.] Bifariàm locum explicarunt quidam; nonnulli enim aiunt extenuare accipi pro radere cutem quæ eſt in ſuperficie. Denſiorem autem intelligo, & ita reſtat ſcarificationes adhibere. Alii verò

Veratrum eodem die epotum vel certe poſteriori] πίσαι dicit pro ποτίσαι. Sed dubitatione dignum, quomodo dicat veratrum exhibendum, & non potius venam ſecandam; Helleborus enim ad ventrem fluxiones defert, & per ventres vacuans ad ipſum fluxiones magis provocat. Reſpondemus ab Hippocrate, quando indefinitè helleborum dicit, intelligi album, quo vomitum ciere ſolet. Nunc vero quomodo tam efficaci medicamento utitur? dicimus temporibus Hippocratis homines fuiſſe robuſtiores, quique melius medicamenta ejuſmodi valida perferebant.

Recrudeſcere.] παλιγκοταίνειν dicit, pro eo quod eſt deterius habere.

Subrubicunda ſunt & ſubdura] Manifeſtum enim multum ſanguinis effluxiſſe.

Non vino ſed favorum cremore decocto.] Quidam aiunt ab Hippocrate oxymel offerri, quia incidat, alii ὀξύγλυκυ quod fit ex melle, multis enim modis afficiuntur nervi. Acetum autem nervis inimicum eſt.

Proximæ partes ſubvirides ſunt.] ὑπόχλωρα dicit τὰ ὕπωχρα, id eſt, quadantenus pallida. Hæc enim pulchra ſunt, quia naturæ concinnum ordinem & in qualitatem mutationem indicant.

B γίνεται τὰ μόρια.

27 ἐλλεβόρῳ πίσαι αὐθημερὸν, ἢ ὑστεραῖον] πίσαι φησὶν, ἀντὶ τοῦ ποτίσαι. ἀλλὰ ἄξιον ἀπορῆσαι πῶς λέγει ὅτι ἐλλέβορον δεῖ προσάγειν. καὶ οὐχὶ μᾶλλον φλεβοτομίᾳ χρῆσθαι. ὁ γὰρ ἐλλέβορος ἐπὶ γαστέρα φέρει τὰ ῥεύματα, καὶ διὰ γαστρὸς κενῶν μᾶλλον ὑπεκκαλεῖται τὰ ῥεύματα. καὶ λέγομεν, ὅτι ὅταν λέγῃ Ἱπποκράτης ἀπολελυμένως ἐλλέβορον τὸν λευκὸν λέγει ὡς εἴωθε, δι' ἐμέτων. πῶς οὖν, καὶ τοῖς δραστικοῖς κέχρηται; καὶ λέγομεν ὅτι ἐπὶ τῶν χρόνων C Ἱπποκράτους ἐῤῥωμένοι ἦσαν, καὶ ὑπέφερον, καὶ τὰ δραστικὰ βοηθήματα.

28 παλιγκοταίνειν] παλιγκοταίνειν φησὶν, ἀντὶ τοῦ χείρονος ἔχειν.

28 ὑπέρυθρα γίνεται καὶ ὑπόσκληρα] δῆλον γὰρ ὅτι πολλὴ ἐπιῤῥοὴ αἵματος γέγονε.

29 καὶ μὴ οἴνῳ, ὀξυγλυκεῖ] τινὲς λέγουσιν ὅτι ὀξύμελι λέγει προσφέρειν, διὰ τὸ τέμνειν. ἄλλοι δὲ φασὶν ὅτι ὀξύγλυκυ λέγει, τὸ ἀπὸ μέλιτος. πολλὰ γὰρ πάσχουσι νεῦρα. τὸ δὲ ὄξος, τοῖς νεύροις πολέμιόν ἐστι.

D 30 καὶ τὰ ἀπέχοντα ὑπόχλωρα γίνεται] ὑπόχλωρα λέγει τὰ ὕπωχρα. ταῦτα γὰρ καλά εἰσι. ἀρχὴν κοσμίου φύσεως δηλοῦντι, καὶ τὴν εἰς ποιὸν μεταβολήν.

DE TIBIA.

Tibia binis oſſibus continetur.] Hinc ſermonem de tibia orditur, in quo nobis inquirendum de ipſius nomine, ſpecie, conſtitutione, affectibus & curatione. Sciendum igitur vocari propriè κνήμην os illud tibiæ anterius. Aliud enim vocatur περόνη id eſt ſura, & hæc eſt denominatio. Collocatio verò manifeſta: ſiquidem inter genu & pedem eſt, & talem habet conſtitutionem. Sciendum igitur in ſuperiori parte περόνης id eſt fibulæ tibiam eſſe craſſiorem, articulatur verò ad femur hoc modo. Habet tibia duas cavitates, femur duas gibboſitates, quæ quidem tibiæ cavitatibus aptantur. Habet autem tibia nonnullas eminentias, quæ non facile luxationes fieri permittunt. Neque his ſolis natura eſt contenta: ſed etiam articulum tendinibus colligavit: nec adhuc his contenta, quinetiam molam quam vocant, oppoſuit, quæ ſupra genu adjacet. Atque hoc modo quidem tibia cum ſuperioribus articulatur, fereque ſubſternitur. In inferiori autem parte non amplius ita tenuis ſura ac ipſa tibia. Progreditur autem ex poſterioribus veluti ad anteriora, & utraque oſſa duas eminentias faciunt, ſingula videlicet unam. Quæ quidem malleolos conſtituunt,

ΠΕΡΙ ΚΝΗΜΗΣ.

34 Ἡ δὲ κνήμη δύο ὀστέα ἐστί] ἐντεῦθεν ἄρχεται ἐπὶ τὸν περὶ κνήμης λόγον. ἐν ᾧ δεῖ ἡ- E μᾶς ζητῆσαι περί τε ὀνομασίας αὐτῆς, καὶ τοῦ εἴδους, καὶ τῆς κατασκευῆς, καὶ τὰ πάθη, καὶ τὴν θεραπείαν. δεῖ τοίνυν εἰδέναι, ὅτι κνήμη καλεῖται κυρίως μὲν τὸ ὀστοῦν τὸ ἔμπροσθεν. τὸ γὰρ ἄλλο, περόνη καλεῖται, καὶ αὕτη ἰδία ἐστὶν ἡ ὀνομασία. ἡ δὲ θέσις, δήλη ἐστί, ὅτι μεταξὺ γόνατός τε καὶ ποδός ἐστι. ἔχει δὲ τὴν αὐτὴν κατασκευήν. δεῖ τοίνυν εἰδέναι ὅτι κατὰ τὸ ἄνω μάλιστα μέρος τῆς περόνης, ἐστὶ παχυτέρα ἡ κνήμη. διαρθροῦται δὲ καὶ πρὸς τὸν μηρὸν, τὸν τρόπον τοῦτον. ἔχει ἡ κνήμη δύο κοιλότητας· ὁ δὲ μηρὸς δύο κυρτότητας. αἵτινες ἐγκείμεναι εἰσὶ ταῖς τῆς κνήμης κοιλότησι. ἔχει δὲ καὶ τινὰς ἐξοχὰς ἡ κνήμη, αἵτινες οὐκ F ἐῶσιν εὐκόλως γίνεσθαι τὰ ἐξαρθρήματα, οὐ μόνον δὲ ταύταις ἡ φύσις ἠρκέσθη, ἀλλὰ καὶ συνδέσμοις ἔδησε τὸ ἄρθρον. καὶ οὐδὲ οὕτως ἠρκέσθη, ἀλλὰ καὶ τὴν καλουμένην μύλην ἐπέθηκεν, ἥτις ἐπὶ τῷ μέσῳ τοῦ γόνατος ἐπίκειται. καὶ οὕτω μὲν ἡ κνήμη εἰς τὰ ἄνω διαρθροῦται, ἀλλ' οἷον ὑποβέβληται. πρὸς δὲ τὸ μέρος τὸ κάτω, οὐκ ἔτι οὕτω λεπτοτέρα ἐστὶν ἡ περόνη τῆς κνήμης. ἔρχεται δὲ ἐκ τοῦ ὀπίσω ὡς ἐπὶ τὰ ἔμπροσθεν, καὶ ποιοῦσιν ἀμφότερα τὰ ὀστᾶ δύο ἐξοχὰς, ἀνὰ μίαν φημί. αἵτινες τὰ σφυρὰ ἐργάζονται, ἃ τι-

vationem ferulas facere affirmo. Iis autem ſimiliter eſt utendum, ne exiſtimemur per negligentiam iſtud omittere. Ac ſi inde error oriatur, culpam in Medicum conjiciunt. Poſtquam de his ſic diſſeruit, ait ubi tibia & ſura fractæ ſunt, pulchrius circunferre ſuram quàm tibiam. Nam os ſuræ eſt fungoſius, neque conſpicuus eſt in eo lapſus, ſed eſt tenuius, neque errores in eo ita ſunt conſpicui. Ad hæc tibia ſemper in actione verſatur & articulum facit, non autem ſura.

μέγα ποιοῦσι, καὶ τὸ σῶμα γὰρ βλάπτεται, καὶ ὁ ποιῶν σφάλλεται. νάρθηκας δύναται ποιεῖν, εἰς τὸ φυλάξαι φημὶ τοὺς δεσμούς. ὁμοίως δὲ δεῖ καὶ τούτοις χρήσασθαι, ἵνα μὴ νομισθῶμεν, διὰ ῥαθυμίαν τοῦτο μὴ ποιεῖν. κἀντεῦθεν πταίσματος γενομένου, τὴν αἰτίαν τῷ ἰατρῷ περιβάλλουσι. οὕτω περὶ τούτων διαλεχθεὶς, φησὶν, ὅτι κάλλιόν ἐστι περιοδεῦσαι, κνήμης καὶ περόνης κλασθείσης, τὴν περόνην, ἢ περὶ τὴν κνήμην. τὸ γὰρ τῆς περόνης ὀστοῦν, καὶ σομφωδέστερόν ἐστιν. οὐδὲ διαφαίνονται τὰ ἐν αὐτῇ πταίσματα· ἀλλὰ λεπτότερόν ἐστι, καὶ οὐδὲ διαφαίνονται τὰ ἐν αὐτῇ πταίσματα. πρὸς δὲ τούτοις καὶ ἡ κνήμη ἐστὶν ἡ ἐνεργοῦσα, καὶ διαρθρουμένη, καὶ οὐχ ἡ περόνη. C

DE FEMORE.

SI autem femoris os fractum ſit.] Quandoquidem propoſitum ipſi de femore diſſerere, operæpretium eſt nos primò ipſius conſtitutionem dicere: ſciendum ergo os femoris ad genu duas habere leviter ſinuoſas curvitates. Etenim illic nervus χονδρώδης ligamenti vicem obtinens & ſuper ea omnia ἐπιγονατὶς, quæ etiam mola vocatur. Iſta eſt ejus inferior ſtructura. Superior verò eſt ejuſmodi, habet tres curvitates, quarum media quidem vocatur iſchium, exterior λαγὼν ſive γλουτὸς, id eſt natis, interior ἥβη, id eſt pubes, quæ perforata eſt, quod illac tranſeant cremaſteres. Et hæc eſt ſuperior ſtructura, media autem talis eſt. Supra quidem & extra eſt curva, intus verò & infra cava. Et pars interior cava eſt ob complexum, aut quod habeat perſpirationem: inferior autem, quia deſideat, ne gibbus cum gibbo conjungatur. Deinde poſtea tenſione & oppoſita diſtenſione utendum, & modo ſæpe dicto curandus æger. Si orta ſit inflammatio aut infra aut ſupra, oportet ſuccidam lanam & vinum cum oleo mixtum immittere, & laxantia atque diſcutientia omnia, deinde deligandum ut in ſuperiorem fracturæ partem vinculum feratur, ne fluxiones ad fracturam attrahamus.

Quod femur ab exteriori parte obtortum.] γαῦσος pro ἐπικαμπὴς, id eſt incurvum.

Tale quidpiam moliri oportet quale traditum eſt in brachio.] Quo enim modo illic injectam faſciam in oppoſitam coſtam deligabamus, ne oſſa ad gibbas partes ferri permitterentur, ad eundem modum & in femore agendum.

Maximam confuſionem præbeat] τύρβην dixit ἀντὶ τῆς διαστροφῆς, id eſt perverſionem.

ΠΕΡΙ ΜΗΡΟΥ.

63 ΗΝ δὲ τὸ τοῦ μηροῦ ὀστέον καταγῇ) ἐπειδὴ πρόκειται αὐτῷ περὶ μηροῦ διαλεχθῆναι, ἄξιόν ἐστιν ἡμᾶς εἰπεῖν πρῶτον τὴν κατασκευὴν αὐτοῦ. δεῖ τοίνυν εἰδέναι, ὅτι τὸ πρὸς τῷ γόνατι τοῦ μηροῦ, ἔχει δύο γλωσσοειδεῖς
D κυρτότητας. ἔστι δὲ ἐκεῖ, καὶ νεῦρον χονδρῶδες, συνδεσμος, καὶ ἐπάνω τούτων ἡ ἐπιγονατὶς, ἥτις καὶ μύλη καλεῖται. αὕτη μὲν αὐτοῦ ἐστιν ἡ εἰς τὸ κάτω κατασκευή, εἰς δὲ τὸ ἄνω, ἐστὶ τοιαύτη· ἔχει τρεῖς κυρτότητας, ὧν ἡ μὲν μέση, καλεῖται ἰσχίον· ἡ δὲ ἔξω, λαγὼν καὶ γλουτός. ἡ δὲ ἔσω, ἥβη. ἥτις καὶ συντέτρηται διὰ τὸ περιϊέναι τοὺς κρεμαστῆρας ἐκεῖθεν, αὕτη ἐστὶ τοῦ ἄνω κατασκευή. ἡ δὲ εἰς τὸ μέσον, ἐστὶ τοιαύτη· ἄνω μὲν καὶ ἔξω ἐστὶ κυρτός· ἔσω δὲ καὶ κάτω, κοῖλος· καὶ τὸ μὲν ἔσω, κοῖλόν ἐστι. διὰ τὸ διαπεπλέχθαι, ἢ ἔχειν διαπνοήν· τὸ δὲ κάτω,
E διὰ τὸ καθέζεσθαι, μὴ κυρτὸν κυρτῷ προσομιλεῖν· εἶτα μετὰ ταῦτα δεῖ τείνειν, καὶ ἀντιτείνειν, καὶ ὃν εἰρήκαμεν πολλάκις τρόπον θεραπεύειν. δεῖ μέντοι τοῦτο εἰδέναι, ὅτι ἐὰν γένηται φλεγμονὴ, ἢ κατωτέρω, ἢ ἀνωτέρω, δεῖ βάλλειν ἔρια ῥυπαρὰ, καὶ οἰνέλαιον, καὶ πάντα τὰ χαλῶντα, καὶ διαφοροῦντα. εἶτα ἐπιδεῖν καὶ φέρειν, τῇ ἄνω τοῦ κατάγματος τὸν δεσμὸν εἶναι, μὴ τὰ ῥεύματα εἰς τὸ κάταγμα ἑλκύσωμεν.

64 ὅτι μηρὸς γαῦσός ἐστι) γαῦσος, ἀντὶ τοῦ ἐπικαμπής.

μηχανοποιεῖσθαι οἷά περ ἐν βραχίονι) ὃν γὰρ τρόπον ἐκεῖ
F ταινίαν βάλλοντες εἰς τὴν ἀντικειμένην δεσμοῦμεν πλευρὰν, ἵνα μὴ συγχωρῇ ἐπὶ τὸ κυρτὸν φέρεσθαι τὰ ὀστᾶ· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ μηροῦ δεῖ ποιεῖν.

65 πάντων γὰρ ἂν τύρβην παρέχοι) ἀντὶ τῆς διαστροφῆς.

δεύτερον τῆς θεραπείας τῆς κακῶς παραλαμβανομένης παραδίδωσιν· ἐν δὲ τῷ τρίτῳ, τῆς καλῶς παραδίδωσι θεραπείας, καὶ τίνος πρῶτον. δεῖ τοίνυν εἰδέναι ὅτι κάταγμα ἢ μεθ' ἕλκους γίνεται, ἢ χωρὶς ἕλκους. ἀλλ' εἰ μὲν μεθ' ἕλκους, ἢ ἁπλῶς οὕτως γίνεται, εἰ καὶ μετάστασιν αὐτοῦ ὀστέου εἰργάσατο, ἀλλὰ τοῦτο τὸ ὀστέον ἢ ἔτρωσε καὶ ἔμεινεν ἔξω. καὶ καλεῖται τὸ τοιοῦτον ἐκβύρσωμα· ἢ οὐ μένει ἔξω, καὶ καλεῖται ἁπλῶς κάταγμα μεθ' ἕλκους. πάντα δὲ ταῦτα δῆλον ὅτι σύνθετα καλεῖσθαι. ἀλλὰ καὶ τὰ μεθ' ὕλης ἐπιρρύτου, σύνθετα καλοῦνται. πολλάκις γὰρ δριμὺς χυμὸς ἐπιρρέων, ἕλκος εἰργάσατο, ὅτε καὶ λεπίδες ἀποστάσεις γίνονται· ἐὰν δὲ καὶ ἀλφιτηδὸν κλασθῇ, καλεῖται καὶ τοῦτο σύνθετον. αὕτη μὲν οὖν ἡ διαίρεσις τῶν καταγμάτων· ἡ δὲ κακὴ θεραπεία, αὕτη ἐστί. τινὲς γὰρ τῶν ἰατρῶν, ἕλκους μετὰ κλάσματος ὄντος, οὐκ ἐκέχρηντο παραχρῆμα τῇ διαιρέσει· ἀλλὰ τὸ ἕλκος εἰς ἀφούλωσιν φέροντες, τότε τῇ τάσει, καὶ τῇ ἀντιτάσει ἐκέχρηντο. ὅτε πώρου γινομένου καὶ θλιβομένου, ἐν τῇ τάσει, ὀδύναι ἐγίνοντο, πολλάκις δὲ, ἀγκύλων ἐπάνω τὰ ὀστᾶ ἔμενον. τοῦ πώρου μὴ συγχωροῦντος κατ' εὐθὺ αὐτὰ ἐλθεῖν, καὶ εἰ μὲν ἐπὶ χειρὸς ἦν, μέτριον· εἰ δὲ ἐπὶ ποδὸς, χαλεπόν· κολοβὸς γὰρ ἐγίνετο ὁ πούς. ἄλλοι δὲ οὐχ οὕτως ἐκέχρηντο, ἀλλὰ εὐθὺς τάσει καὶ ἀντιτάσει ἐχρῶντο. εἶτα τὸ πέριξ τοῦ ἕλκους ἐπεδέσμουν, καὶ τὸ μέσον ἠφίουν γυμνόν· καὶ τί ἐγίνετο; αἱ ὗλαι περισφίγξεως γινομένης, εἰς τὸ ἕλκος συνέρρεον, καὶ γυμνὸν ἔμενε τὸ ἕλκος, καὶ τῷ ἀέρι προσομιλοῦν· τὸ δὲ ψυχρὸν, τοῖς ἕλκεσίν ἐστι πολέμιον. αὕτη ἐστὶν ἡ κακὴ θεραπεία· ἡ δὲ καλὴ, ποία ἐστί; δεῖ τεῖναι καὶ ἀντιτεῖναι, καὶ πλατὺν βάλλειν ἐπίδεσμον, ἵνα ὅλον τὸ ἕλκος ἅπαξ περιλάβῃς, καὶ μὴ κατὰ μόνου τοῦ μέσου αὐτοῦ, καὶ συνεχέστερον λύειν, καὶ χαλαροὺς εἶναι τοὺς ἐπιδέσμους, καὶ κηρωτῇ χρήσασθαι κατὰ τοῦ ἕλκους. εἶτα μετὰ ταῦτα δεῖ, εἰ μὲν ἐγκαρσία ἐστὶν ἡ φλεγμονὴ, ἤγουν τὸ ἕλκος, μὴ δὲ ὅλως καλάμοις χρήσασθαι· εἰ δὲ ἐπ' εὐθείας ἐστὶ, χρῆσαι μὲν, ἐπάνω δὲ τοῦ ἕλκους μὴ χρῆσθαι.

Καὶ μὴ ἐπίδοξος ἡ ἀπόστασις ὀστεϊδίου] ἀντὶ τοῦ ἐὰν μὴ παρέχῃ δόκησιν ἀποστάσεως ὀστοῦ.

31 ἡ αὐτὴ δὲ ἴησις τῶν ἑλκέων] ἐντεῦθεν πάλιν κάταγμα μεθ' ἕλκους βούλεται θεραπεύειν. τοῦτο δὲ τὸ ἕλκος οὐχ ὑπὸ τοῦ κατάγματος γέγονεν· ἀλλὰ ἢ διὰ χυμὸν δριμὺν, ἢ διὰ σφίγξιν, ἢ διὰ ἀδιαπνευστίαν τῶν ἐπιδέσμων, ἢ διὰ μοχθηρὰν τῶν ναρθήκων ἀπόθεσιν· καὶ πόθεν δῆλον εἰ μέλλει ἕλκος γενέσθαι. πρῶτον μὲν ἐκ τῆς ὀδύνης· ἔπειτα δὲ καὶ δῆξις γίνεται, καὶ ἄμετρος ἡ φλεγμονὴ, καὶ ἐρύθημα. δεῖ οὖν λῦσαι τηνικαῦτα τὸν πάσχοντα, καὶ ἀντλῆσαι, καὶ κηρωτῇ χρήσασθαι, καὶ οἴνῳ βρέξαι, καὶ τοῖς τοιούτοις· εἶτα ἐλθεῖν ἐπὶ τὸ κάταγμα, κἀνταῦθα σφίγξαι, ἵνα τὰ ῥεύματα ἀποστρέψωμεν, καὶ οὕτως ἐλθεῖν ἐπὶ τὰ ἄνω· ἀλλ' ἔστιν ὅτε καὶ λεπίδος ἀπόστασις γίνεται. αὕτη δέ ἐστιν ἢ μικρὰ, ἢ μεγάλη· καὶ πόθεν δῆλον ὅτι λεπὶς μέλ-

nem, & in tertio rectam tradit. Quod ad primum, ſciendum eſt fracturam vel cum ulcere, B vel ſine eo eſſe. Si cum ulcere aut ſimpliciter ita fit, aut etiam oſſis tranſmutatio id efficit. Sed iſtud os aut vulneravit, & extra eminet, & tum vocatur ἐκβύρσωμα, id eſt eminentia extra corium: aut non extat, & vocatur ſimpliciter fractura cum ulcere. Omnia autem iſta ſunt compoſita, dico quæ cum ulcere. Sed meliori jure compoſita vocantur, præſertim quæ ſunt cum materiæ affluxu. Sæpe enim humor acris influens ulcus excitavit, quando etiam ſquamarum abſceſſus fiunt. Si autem fractio fit in multas tenues partes, quod ἀλφιτηδὸν Græci dicunt, C vocatur & iſta compoſita. Hæc eſt fracturarum diviſio; mala autem curatio hæc eſt. Nonnulli enim Medici ulcere cum fractura exiſtente, non utebantur ſtatim diviſione; ſed ulcus ad cicatricem deducentes, tunc tenſione & in oppoſitum diſtenſione utebantur, quando obducto callo attritoque, in tenſione dolores fiebant. Sæpenumero etiam procul oſſa inter ſe diſtabant, callo non permittente ut ipſa in directum concedant. Si id in manu contingebat, mediocre: ſi verò in pede moleſtum, pes enim claudus reddebatur. Alii non ita utebantur. Sed ſtatim ten- D ſionem & oppoſitam diſtenſionem adhibebant; deinde partes ulceri vicinas vinciebant, & mediam partem nudam dimittebant. Quid inde accidebat? materia circumcirca conſtrictione facta ad ulcus confluebat, & nudum ulcus, aërique expoſitum remanebat, frigidum autem ulceribus inimicum. Hæc eſt mala curatio, bona verò quænam eſt? Oportet tendere & in oppoſitum diſtendere, & latum injicere vinculum, ut totum ulcus ſemel, non medium tantùm comprehendas, & continuò ſolvere, laxaque eſſe vincula, & ceroto ad ulcus uti. Deinde ſi in- E flammatio ſit tranſverſa, ulcus videlicet, in totum arundinibus non uti. Quod ſi in directum tendat, uti quidem, ſupra ulcus verò minimè.

Nec teſtæ alicujus expectatio eſt, quæ ab oſſe abſcedat.] Pro eo, ſi non præbeat opinionem oſſis abſceſſuri.

Eadem autem ulcerum curatio.) Inde rurſus fracturam cum ulcere curare aggreditur. Hoc autem ulcus non fit ob fracturam, ſed ob humoris acrimoniam, aut propter coarctationem, aut non liberam vinculorum perſpirationem, aut F propter ferularum prauam appoſitionem. Unde verò conſtat ulcus fieri debere? Primum ex dolore, poſtea & morſus contingit & immoderata inflammatio & rubor. Tum igitur oportet ægrum ſolvere & fovere, atque cerato uti & vino abluere atque ejuſmodi: deinde accedere ad fracturam, & ita conſtringere, ut fluxiones avertamus, atque ita ad ſuperiores partes accedere. Sed aliquando teſtæ fit abſceſſio, eaque aut parva eſt, aut magna: At unde manifeſtum erit,

Pellis autem caprina ſubſternenda.) ἰξάλω pellem vocat.

Si quis autem velit bene & expedite rem agere.) Hic Hippocrates nobis machinas aliquot tradere vult, dicitque eos qui machinas confecturi ſunt, tales efficere ut non juvent: quidam enim ita conſueverunt velut in tibia fracta extremum pedem deligandum eſſe, innuenies non debere pedem agitari, ſed falſò. Eo enim deligato cum reliquum corpus convertitur, æger etiam partem juxta fracturam ſitam pervertit. Alii rurſus poſt ſeptimam diem tenſionem & in oppoſitum diſtenſionem faciunt, alii poſt quartam: errant autem utrique: quando enim critica eſt dies, & materia commota, tum etiam illi roboris & facultatis auxilium pervertunt, præterquamquod minus illi peccant, qui poſt illud auxilium tenſione utuntur. Cur autem poſt inflammationum vigorem tenſione uſi ſunt? Non igitur oportet, inquit, tales machinationes admouere. Verum ſiquidem in totum aliud commentum dicendum eſt, tale eſto. Oportet duos loculos in farciminum formam conſuere, ut unus quidem infra ad malleolum ſit convolutus, alter ſupra ad genu. Oportet autem iſta farcimina intus ita replere, & ut æqualitas corpus contingat, reliquum ſublime ſit, ſuperiore verò parte ſublime, deinde in iis debent eſſe eminentiæ inſtar auricularum. In ſublimibus, inquam, tum ſupra tum infra, ut in hac virgæ immiſſæ contra ſe tendant, & in directum extenſæ conformationem ſervent.

38. *Quibus oſſa fracta & cute excedentia.*) Hic Hippocrates vult ἐκβίρσωμα, id eſt eminentiam illam extra corium curare, & ait in eo non ſola extenſione eſſe utendum, ſed etiam per vectem molitione, & ubi alii tendant, neque ferrum ſimile vecti ſumes, & ita propelles atque repones os, & tunc doctrina ad fracturas cum ulcere accommodata uteris. Oportet autem iſta fieri, antequam inflammationes oriantur, videlicet prima aut ſecunda die. Neque etiam tertia, neque quarta, neque maxime quinta uteris; ſed poſt inflammationes. Si autem caro aut cutis nigreſcat, nihil, inquit, collocatur quod non defendat aërem & panniculos complicatos, ne iſta immediate aëri exponantur. Si autem os, inquit, non potueris retrudere, expecta donec putreſcat & cadat. Qua autem ratione ſcire potero, utrum brevi necne putreſcat & cadat? Dicimus varia ſigna, primum quoniam hinc ichores feruntur, & labra ſunt expanſa & plurimum diducta, & quod ſuperius eſt carniſque expers prompté cadit, alia cum majori difficultate. Si verò cadere morentur, ipſa præcide. Si parum excedat, & major pars infra ſit, ex-

ἰξάλω δὲ χρή, ὑποτείνεσθαι] ἰξάλω, δέρμα λέγει.

εἰ δέ τις μέλλει καλῶς καὶ εὐχερῶς ἐργάζεσθαι] ἐντεῦθεν ὁ Ἱπποκράτης μηχανάς τινας ἡμῖν βούλεται παραδοῦναι, καί φησιν ὅτι δεῖ τοὺς μέλλοντας μηχανὰς ποιεῖν, τοιαύτας ποιεῖν ἵνα μὴ ὠφελῶσι. τινὲς γὰρ ἐπενόησαν, ὥστε ὡς ἐπὶ κνήμης κλασθείσης, τὸν ἀκρόποδα δεσμεῖν. ἐννοοῦντες ὅτι οὐκ ἔχει ὁ πούς σαλεύεσθαι· ψευδῶς δέ. δεδεμένου γὰρ αὐτοῦ, τὸ ἄλλο σῶμα στρεφόμενον, ὁ κάμνων
C διαστρέφει τὸ κατὰ κλάσμα μέρος. ἕτεροι πάλιν εἰσὶν οἳ καὶ μετὰ τὴν ἑβδόμην ποιοῦσι τὴν τάσιν καὶ ἀντίτασιν. ἄλλοι δὲ μετὰ τὴν τετάρτην, σφάλλονται δὲ καὶ ἀμφότεροι· ὅτε γὰρ κρίσιμός ἐστιν ἡμέρα, καὶ αἱ ὗλαι ἐκινήθησαν, τότε οὗτοι διαστρέφουσι τὴν βοήθειαν τῆς δυνάμεως. πλὴν ὅτι ἧττον σφάλλονται, οἱ μετ' αὐτὴν ποιοῦντες· διὰ τί δὲ μετὰ τὴν ἀκμὴν τῶν φλεγμονῶν τῇ τάσει ἐχρήσαντο. οὐ δεῖ οὖν φησι, τοιαύτας παραλαμβάνειν μηχανάς· ἀλλ' εἴπερ ὅλως ἕτερον μηχάνημα λέγειν δεῖ. ἔστω τοιοῦτον. δεῖ βαλάντια δύο ῥάψαι ἢ ὥσπερ ὡς ἀλλᾶντας, καὶ τὸ μέν, ἵνα ᾖ κά-
D τω εἰς τὸ σφυρὸν περιειλημμένον. τὸ δὲ ἕτερον, ἄνω ἄχρι, ὡς ἐπὶ τῷ γόνατι. δεῖ δὲ οὕτως τοὺς ἀλλᾶντας ἐντόσθεν γεμίσαι, καὶ ἵνα πρὸς τῷ σώματι ὁμαλὸν ᾖ· τὸ δὲ ἄλλο ὑψηλὸν ᾖ, τὸ δὲ ἄνω ὑψηλόν· εἶτα ἐν τούτοις εἶναι δεῖ ἐξοχὰς ὡς ἐπὶ ὠτίων· λέγω δὲ ἐν τοῖς ὑψηλοῖς ἄνω τε καὶ κάτω, ἵνα ἐκεῖ ῥάβδους βαλλομένας, ἵνα * ἀντιτείνωσι, καὶ ἐπ' εὐθείας διατείνουσαι τὴν διάπλασιν φυλάττωσι.

οἷσι δὲ ὀστέα κατεηγότα καὶ ἐξίσχοντα) ἐντεῦθεν ὁ Ἱπποκράτης ἐκβίρσωμα βούλεται τοῦτο θεραπεῦσαι,
E καί φησιν ὅτι οὐ δεῖ μόνῃ τῇ ἀντιτάσει ἐπὶ τούτου χρήσασθαι· ἀλλὰ καὶ μοχλείᾳ, καὶ ἵνα ἄλλοι τείνωσι, σὺ δὲ σιδηροῦν ὅμοιον λαβὼν μοχλῷ, καὶ οὕτως ὠθήσεις καὶ εἰσενέγκῃς τὸ ὀστέον, καὶ τότε τῇ καταγματικῇ καὶ μεθ' ἕλκους οὔσῃ χρήσῃ ἀγωγῇ. δεῖ δὲ ταῦτα ποιεῖν πρὶν ἢ φλεγμοναὶ γένωνται, ὥστε ἐν πρώτῃ ἢ δευτέρᾳ, μὴ δὲ γὰρ ἐν τρίτῃ, μηδὲ ἐν τετάρτῃ, μηδὲ ἐν πέμπτῃ μάλιστα χρήσῃ, ἀλλὰ μετὰ τὰς φλεγμονάς. εἴ ποτε δὲ σαρκίον ἢ δέρμα ἐμελάνθη, μηδέν φησιν ἀπρόβολον ἔστω ἀέρι τε
F καὶ πτύγμασιν. ἵνα μὴ ἀμέσως προσομιλῶσι ταῦτα τῷ ἀέρι. ἐὰν δὲ μὴ δυνηθῇς φησιν ἀντιβάλλειν τὸ ὀστοῦν, μεῖνον, ἵνα σαπῇ καὶ πέσῃ, καὶ πόθεν ἔχω εἰδέναι ἐὰν σηπῆναι ταχέως καὶ πεσεῖν, ἢ οὔ; καὶ λέγομεν διάφορα σημεῖα· πρῶτον μὲν ὅτι κἀντεῦθεν ἰχῶρες φέρονται, καὶ σεσηρότα εἰσὶ τὰ χείλη, καὶ τὸ μὲν ἀνώτερον καὶ ἀσαρκότερον, ἑτοίμως πίπτει. τὰ δὲ ἄλλα δυσκόλως, ἐὰν τε εἰς τὸ πεσεῖν βραδύνῃ, ἀπόπρισον αὐτά. εἰ δὲ ὀλίγον ἐξέχει· πολὺ δὲ κάτω ἐστί,

τοῖς ἡμῖν παραδοῦναι λόγον, καί φησιν ὅτι γίνεται ἐκβύρσω- B
μα μὲν καὶ εἰς μηρὸν, καὶ εἰς βραχίονα, ὅπερ καὶ χαλεπόν
ἐστι. διὸ δεῖ παραιτεῖσθαι μᾶλλον εὐλόγους αἰτίας πλαττό-
μενον, καὶ μὴ ἐγχειρεῖν τῇ τοιαύτῃ ἰατρείᾳ· μεγάλα γάρ
εἰσι τὰ ὀστέα, καὶ δυσχερῶς πωρούμενα, οἱονεὶ σφάζουσι τὸν
ἄνθρωπον διὰ τὴν πολλὴν αἱμορραγίαν, καὶ φλεγμοναὶ δὲ, καὶ
σπασμοὶ, καὶ πυρετοὶ παρακολουθοῦσιν. ἐν οἷς τὸ πρῶτον
συμπεπλήρωται κεφάλαιον· δεύτερόν ἐστι κεφάλαιον, ἐν ᾧ
φησιν, ὅτι ἐὰν ἐκστῇ γόνυ, εὐκολωτέραν ἔχει τὴν ἴασιν,
ἤπερ κόρωνος ἐξιστάμενος· διότι καὶ αἱ κυρτότητες μικρότε- C
ραί εἰσι, καὶ αἱ κοιλότητες. τὰ γὰρ ὀστέα μεγάλα εἰσὶ καὶ
πολυμύελα. ζητοῦσί τινες, διὰ τί ὅλως κοῦφα εἰσὶ τὰ ὀστέα,
καὶ μυελὸν ἔχοντα; καί φησιν ὁ Ἀριστοτέλης, ὅτι ἡ φύσις οὐ
μόνον ῥώσεως ἐφρόντισεν, ἀλλὰ καὶ κινήσεως. διὰ μὲν οὖν
τὴν ῥῶσιν ἐποίησεν αὐτὰ γεώδη, καὶ στερεὰ εἶναι, δίκην ἔχοντα
θεμελίου· διὰ δὲ τὴν κίνησιν, ἐπώρωσεν αὐτὰ, ἵνα μὴ τῷ
ἔχειν αὐτὰ κενότητα, βάρους αἴτια τοῦ σώματος γίνωνται,
ὅτι γὰρ τοῦτό ἐστιν ἀληθὲς, δῆλον. φασὶ γὰρ τὰ τῶν ἐλεφάντων,
καὶ λεόντων ὀστᾶ, καὶ πάντων τῶν γενναίων ζώων, ὁλόμεστα εἶναι.
ἐπειδὴ οὖν διὰ τὴν κίνησιν ἐπώρωσεν αὐτὰ, οἶδε δὲ ἡ φύσις D
μηδὲν κενὸν ἐν τῷ παντὶ, διὰ τοῦτο μυελοῦ αὐτὰ ἐπλή-
ρωσεν. οὐ γὰρ ἠβουλήθη ἀέρος, διὰ τὸ ψυχρὸν τοῦ ἀέρος καὶ
εὐπαθές. διὰ τί δὲ ὅλως μυελὸν ἐνέμιξεν αὐτοῖς; καὶ λέγο-
μεν. ἐπειδὴ τὰ ὀστᾶ γεώδη εἰσὶ καὶ ψυχρὰ καὶ ξηρά. ὁ δὲ
μυελὸς, τοὐναντίον, ἵνα οὖν κολάσῃ τὴν πολλὴν ξηρότητα,
διὰ τοῦτο μυελὸν ἐνέβαλε.

Καὶ εἰ μὲν ἐμβάλῃς, σπασμοὶ φιλέουσιν ἐπιγίνεσθαι] ἄξιον
ζητῆσαι τί δή ποτε σπασμὸν μόνον εἶπε γίνεσθαι, οὐχὶ δὲ
καὶ πυρετὸν, ὅταν τις ἐμβάλῃ, καί τι χεῖρον αὐτὸς εἶπεν εἶναι
τὸ ἐμβάλλειν τοῦ μὴ ἐμβάλλειν διὰ τὰς ὀδύνας καὶ τοὺς E
ῥευματισμούς; λέγομεν ὅτι τοῦ μείζονος μνησθεὶς, καὶ τὸ
ἔλαττον συνέλαβεν. ὅπου γὰρ σπασμὸς, ἐκεῖ καὶ πυρετός.

Ἢν δὲ ὑπερβῇ τὸ ἄρθρον, ἢ τῇ, ἢ τῇ] ἐντεῦθεν ἐπὶ
ἑτέραν μετέρχεται, πάθη τινὰ σαφῶς περὶ τὸ κείμενον πα-
ραδιδούς. ἐν οἷς σὺν θεῷ ἡ θεωρία.

tinuata oratione ut [illegible] tradere, dicit fieri ἐκβύρσωμα, id eſt exceſſum oſſis & in fœmore & in brachio, qui exceſſus difficilis eſt. Quare devitare potiùs oportet juſtas cauſas prætexendo, neque tales curationes aggredi. Sunt enim magna oſſa, quæ cum magna difficultate callum obducentia multo ſanguinis profluvio hominem jugulant. Inflammationes autem, convulſiones, & febres comitantur. In quibus primum caput completur, ſecundum autem continetur in eo ubi dicit genu loco ſuo emoto, faciliorem eſſe curationem, quam ſi acutus cubiti proceſſus κόρωνος dictus excedat. Nam gibboſitates minores ſunt atque etiam cavitates: Oſſa enim magna ſunt, & multam medullam continent. Quærunt nonnulli cur omnino levia ſunt oſſa & medullam habentia? Reſpondet Ariſtoteles, naturam non ſolum roboris, ſed & motus curam habuiſſe, propter robur ergo ea terrea & firma fecit, ut eſſent loco fundamenti: propter motum autem ſolidavit ipſa, ne vacua exiſtentia gravitatis ipſius corporis cauſſa eſſent. Quodque hoc ſit verum, hinc patet. Aiunt enim oſſa elephantum & leonum & omnium generoſorum animalium omnino plena eſſe. Quum igitur propter motum ea induraverit, novit autem natura nihil vacuum in toto orbe, ideo medulla illa replevit, noluit enim aëre repleri, ſiquidem frigiditati & paſſioni obnoxius aër. Cur igitur omnino ea medulla replevit? dicimus quia oſſa terrea ſunt, frigida & ſicca; medulla contra: ut igitur corrigeret multam ſiccitatem, ideo medullam immiſit.

Quod ſi repoſueris, ſolent convulſiones ſupervenire.) Operæpretium quærere cur dicat ſolam convulſionem ſupervenire, non autem febrem, quando quis reponit, curque deterius eſſe dixerit reponere, quà non reponere, propter dolores & fluxiones? Reſpondemus illum majoris facta mentione & minus comprehendiſſe. Ubi enim convulſio, ibi etiam febris.

Sed ſi articulus in hanc vel illam partem moveatur ultra cubiti os.) Hic ad aliam doctrinam progreditur, & affectus quoſdam manifeſtè in poſitione tradit. In quibus, auxiliante Deo, contemplatio collocabitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΤΟ ΠΕΡΙ ΑΡΘΡΩΝ ΒΙΒΛΙΟΝ,

ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟ

ΥΠΟΜΝΗΜΑΤΑ ΤΕΣΣΑΡΑ.

HIPPOCRATIS

DE ARTICULIS LIBER

ET GALENI IN EUM

COMMENTARII QVATVOR.

ΥΠΟΜΝΗΜΑ ΠΡΩΤΟΝ.

ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΕ ΚΑΙ ΥΠΟΜΝΗΜΑΤΟΣ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Ὡς ἐν τῷ περὶ ἀγμῶν βιβλίῳ πολλὰ εἴρηται τὰ περὶ ἐξαρθρήματα καθήκοντα, οὕτως ἐν τῷδε τῷ περὶ τῶν ἄρθρων, πολλὰ περὶ τῶν ἀγμῶν πραγματεύεται. ἐν πρώτῳ δὲ μέρει περὶ τοῦ τοῦ ὤμου ἄρθρου ἀποκαταστάσεως, καὶ περὶ τῆς ἀκρωμίας, καὶ περὶ τοῦ αὐχένος διαλέγεται.

COMMENTARIUS PRIMUS.

LIBRI ET COMMENTARII ARGUMENTUM.

Vt in libro de Fracturis multa dicta ſunt, quæ ad Luxationes attinent, ita hoc quoque de Articulis multa de Fracturis tractantur. In cujus prima parte de Humeri articulo reſtituendo, de Summo humero, ac de Jugulo, pertractat.

GALENI PRÆFATIO.

Librum hunc illi proximè ſubjectum eſſe, qui de fracturis eſt, in commentariis in eum jam diximus, quod nunc paucis etiam docebo. Jam tum ante omnia planè demonſtrat principium utriuſque libri, in illo enim ita orditur: Medicum oportet, quæ ſuo loco mota ſunt & fracta, recto admodum A

ΓΑΛΗΝΟΥ ΠΡΟΟΙΜΙΟΝ.

ΟΤΙ μὲν τὸ βιβλίον ὑπάρχει τὸ περὶ ἄρθρων συνεχὲς, εἴρηται μὲν ἤδη καὶ διὰ τῶν εἰς τὸ περὶ ἀγμῶν γεγραμμένων ὑπομνημάτων. εὑρίσκεσθαι δὲ καὶ νῦν ἐπὶ βραχὺ τοῦτο μὲν ἀπὸ τῶν ἀρχῶν ἑκατέρου τῶν βιβλίων, δῆλον. ἐν ἐκείνῳ μὲν γὰρ οὕτως ἄρχεται, ἰητρὸν χρὴ τῶν ἐκπτωσίων, καὶ καταγμάτων, ὡς ἰθυτάτας

[illegible]

præter Xenophontis libri tale eſſe initium aſſe-
B tant, [illegible], non intelligentes eum hunc tum
poſtremum eſſe inter eos, quos de Socratis di-
ctis ac factis memorabilibus ſcripſit. At hæc ipſa
rerum doctrina teſtatur librum hunc ei, qui
de fracturis eſt, proximè ſubjici. Ibi enim pol-
licetur de fractis, luxatiſque tractare, quæcun-
que ibi explicanda reliquit, hic exequitur, ſic
ut nihil in opere deſideretur: atque ea de cauſa
dixi, Hippocratem juxta quorundam ſenten-
tiam, univerſum hoc opus in duos libros non
ſecaſſe: ſed uno colligaſſe, eumque inſcripſiſſe
C de Officina Medici, qui præ magnitudine, po-
ſtea ab altero diſtinctus ſuit in duos. Nullum
autem fracturæ aut luxati genus fuiſſe ab Hip-
pocrate prætermiſſum, exceptis quæ ad caput
pertinent, cum alio libro ab ipſo tradantur,
evidentiſſimum eſt, ſi in memoriam revocen-
tur, & quæ in libro de fracturis prodidit, &
quæ in hoc ipſo oſtenſurus eſt. In libro itaque
de fracturis ſcripſit de brachio, cubito, crure,
ac femore comminuto: tum de iis quæ pedi
incidunt & manui: poſtea de illis fracturis, qui-
bus ulcus accedit, & oſſa nudantur; poſtremò
de omnibus vitiis genu, & cubiti. Reſtabant
D adhuc ex luxatis humeri caput, quod cum lato
ſcapularum oſſe committitur: & femoris ca-
put, quod coxa recipitur, maxilla, & ſpina:
ex fractis, coſtæ, maxilla, naſus, auriculæ quæ
in hoc libro perſequitur. Sed & de oſſibus, quæ
dehiſcunt, ac de iis quæ circa articulos conte-
runtur, in utroque libro tractat: & ſi quid eo,
qui de fracturis eſt, prætermit, in hoc adjecit,
ita ut nullum ſuperſit genus fracti, prolapſi aut
diducti oſſis. Scripſit etiam de muſculis, venis,
ac nervis colliſis; & de aliis quæ, ut retuli, ſatis
E teſtantur hunc librum illi, qui de fracturis eſt,
ſubjiciendum eſſe. Huc accedit, quod in ipſo
exponit univerſam ſtructuram machinamenti
illius, quod in eo volunt paratum haberi me-
dicis, qui in magna civitate medicinam fa-
ciunt: ſimulque in memoriam reducit illius ſe
ante mentionem feciſſe. Id machinamentum à
medicis, qui poſt ipſum fuerunt, ſcamnum
Hippocratis appellatur. Sed ſatis hactenus
oſtendimus librum hunc proxime ſequi eum,
qui de fracturis eſt. Ad expoſitionem igitur ejus
F veniamus, adhuc illud præfati, quod in eno-
datione libri de fracturis propoſuimus, nempe
ſermonem Hippocratis planum eſſe, minima-
que expoſitione indigere apud eum, qui pri-
mis diſciplinis inſtitutus ſit, quique fuerit in
Hippocratis ſermone verſatus: ſi quis enim ita
paratus oſſium hominis & certè ſimiæ, commiſ-
ſuras inſpexerit, facilius adhuc comprehendet,
quæ in hoc opere traduntur; ſi quis autem in-
cidendis muſculis operam dederit, & prudens
alioqui

τὴν μασχάλην.

GALENI COMMENTARIUS.

OStenſum jam in ſuperiori libro Hippocratem ſolitum eſſe mutuari nomen ἄρθρον quem articulum interpretamur, ad ſignificandum oſſium, quæ inter ſe committuntur, non cavum, quo proximi oſſis caput recipitur, ſed ipſum caput; nunc verò meminiſſe etiam oportet humeri caput, quod grande eſt, inſeri in C extremitatem cervicis lati ſcapularum oſſis, quæ leviter cava eſt, tum conſueſſe Hippocratem interdum ejuſmodi res ita exprimere, ut nunc quum inquit articulum autem lati ſcapularum oſſis: interdum non ita; ſed, ac ſi diceret, articulum, qui cum lato ſcapularum oſſe committitur: quemadmodum in libro de fracturis, ubi ſæpenumero ſcribit: articulus qui ad genu. Uno modo, inquit, hoc eſt, in unam partem ſcire ſe hunc articulum excidere, quod an verè ſic habeat, in his quæ ſequuntur, conſiderabimus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι τὴν διαρθρουμένων ὀστῶν ἀλλήλοις, ἄρθρον ὀνομάζειν εἴωθεν, οὐ τὴν ὑποδεχομένην κοιλότητα τὴν τοῦ πλησιάζοντος ὀστοῦ κεφαλὴν, ἀλλ' αὐτὴν τὴν κεφαλὴν, εἴρηται μὲν κατὰ τὸν ἔμπροσθεν ἤδη λόγον. ἀναμεμνήσθω δὲ καὶ νῦν, ὅτι κεφαλὴν ἀξιόλογον ὁ βραχίων ἔχων, οὐ πάνυ βαθεῖαν κοιλότητα, διαρθροῦται τῷ πέρατι τῷ τῆς ὠμοπλάτης αὐχένος ἐπικειμένως, καὶ ὅτι τὰ τοιαῦτα πράγματα, ποτὲ μὲν οὕτως εἴωθεν ἑρμηνεύειν, ὡς νῦν εἴρηκεν, ὤμου δὲ ἄρθρον· ἐνίοτε δὲ οὐχ οὕτως, ἀλλ' ὡς εἰ τὸ κατ' ὦμον, ἄρθρον εἰρήκει, καθάπερ ἐν τῷ περὶ ἀγμῶν, πότε κατὰ γόνυ, πολλάκις εἶπε. ἕνα δὲ τρόπον, ὅπερ ἐστὶ διαφορὰν μίαν, εἰδέναι φησὶ τοῦ κατὰ τοῦτο τὸ ἄρθρον ὀλισθήματος. εἰ δ' ὀρθῶς λέλεκται τοῦτ' αὐτὸ, κατὰ τὸν ἐφεξῆς λόγον ἐπισκεψόμεθα. D

HIPPOCRATIS TEXTUS II.

IN ſuperiorem verò locum, aut in anteriorem, nunquam.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ β'.

ΑΝω δὲ, οὐδέποτε εἶδον, οὐδὲ ἐς τὸ ἔξω.

GALENI COMMENTARIUS.

CAvum id quod retuli in extrema cervice lati ſcapularum oſſis ſitum eſt, in priorem partem; quare ubi humerus in ſuperiorem E partem porrigitur, illius caput eo cavo prorſus toto recipitur. At, quum commiſſuræ univerſæ ſex ſint partes circunſtantes, ſuperior & inferior, prior & poſterior, exterior & interior, pars hujus commiſſuræ exquiſitæ ſuperior tegitur carnoſa parte illius muſculi, qui quum litteram Δ repræſentet, δελτοειδὴς à quibuſdam nominatur: quà verò ad collum inclinat, ſuperjectum habet dorſum lati ſcapularum oſſis, quà id ſummum cum jugulo conjungitur; ab interiori parte objicitur proceſſus lati ſcapularum oſſis F quem nonnulli ab anchoræ ſimilitudine vocant ἀγκυροειδῆ, alii à roſtri figura κορακοειδῆ. Hic itaque prohibet, quominus in eam partem articulus elabatur: in poſteriorem quis noſtrum poterit concipere, quum ibi latum ſcapularum os ſit? Reſtant quatuor loca non ſepta, in quæ putare licet articulum erumpere, quorum omnium meminit: inferioris quidem initio libri, quum inquit, articulum autem lati ſcapularum oſſis novi uno modo excidere, nempe in alam:

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗς κατὰ τὸν ὦμον διαρθρώσεως ἡ κοιλότης, ἣν ἐπὶ τῷ πέρατι τοῦ τῆς ὠμοπλάτης αὐχένος ἔφην ὑπάρχειν, εἰς τὸ πρόσω τέτραπται μέρος, ὥσθ' ὅταν ἀνατείνῃ τις τὸν βραχίονα, καταλαμβάνειν αὐτὴν τὴν κεφαλὴν ἀπάντων ἀκριβῶς τὸ κοῖλον. ἁπάσης δὲ διαρθρώσεως ἐξ τῶν πέριξ χωρῶν οὐσῶν, τῆς ἄνω, καὶ κάτω, καὶ πρόσω, καὶ ὀπίσω, καὶ ἔξω, καὶ ἔνδον· ἡ μὲν ἀκριβῶς ἄνω μοῖρα τοῦ κατ' ὦμον ἄρθρου, τὸ σαρκῶδες ἐπιβεβλημένον ἔχει τοῦ Δελτοειδοῦς ὑπό τινων ὀνομαζομένου μυὸς, ἡ δ' ὡς πρὸς τὸν τράχηλον ἐγκεκλιμένη, τὴν ῥάχιν τῆς ὠμοπλάτης, ᾗ τῇ κλειδὶ ζευγνυμένης τὸ κορυφούμενον ἀκρώμιον ὀνομάζεται. κατὰ δὲ τὴν ἔξω χώραν ἐστὶν ἡ ἀπόφυσις τῆς ὠμοπλάτης, ἣν, διὰ τὸ σχῆμα, τινὲς μὲν ἀγκυροειδῆ προσαγορεύουσιν, ἔνιοι δὲ κορακοειδῆ. αὕτη μὲν οὖν κωλύει τὴν εἰς τοῦτο τὸ μέρος ἔκπτωσιν τοῦ ἄρθρου, τὴν δ' ὀπίσω, πῶς ἂν ἡμῶν ἐννοῆσαι δύναιτο, τῆς ὠμοπλάτης ἐνταῦθα κειμένης. λοιποὶ τοίνυν ἀφρούρητοι τόποι τέσσαρές εἰσιν, εἰς οὓς ἐννοῆσαι δυνατὸν τὸ ἄρθρον ἐκπίπτειν, ὧν ἁπάντων ἐμνημόνευσε, τοῦ μὲν κάτω κατ' αὐτὴν τοῦ βιβλίου τὴν ἀρχὴν εἰπὼν, ὤμου δὲ ἄρθρον, ἕνα τρόπον οἶδα ὀλισθαῖνον, τὸν εἰς τὴν μασχάλην·

φέρε τρία ἴδια περὶ αὐτῶν προθείημεν, τήν τε οὐσίαν αὐτῶν, καὶ τὸν τρόπον, καὶ τὸ ποσόν. τῇ μὲν οὐσίᾳ δεῖ αὐτὰς ὀθόνια μηδὲ ἐρεᾶ, μηδὲ νεουργῆ, καὶ εἰλικτά. ἐπεὶ καὶ ἀμφότερα αὐτὰ τῇ τραχύτητι. δεῖ οὖν λινοῦν αὐτὴν καὶ πεπονημένην εἶναι, αὕτη μὲν οὖν ἡ οὐσία. ὁ δὲ τρόπος τῆς ἐπιδέσεως ἐστὶ τοιοῦτος. δεῖ, φησὶ, τὸ πρῶτον ἐπίδεσμον ἐπιβάλλειν κατ' αὐτὸ τὸ ἕλκος, καὶ τρίτον περιελήσαντα οὕτω, ἐπὶ τὰ ἄνω ἐπὶ βραχίονα φέρειν πιέζοντα σφοδροτέρως, καὶ μετὰ τὸ ἐπιβάλλειν ἐκεῖ, καὶ τῇ σφίγξει κωλύειν τὴν ἐπιρροὴν ἐκεῖ, ὡς ἐπὶ τὸν βραχίονα ἐπιδεῖν. καὶ πάλιν ἕτερον βάλλειν κατ' αὐτὸ τὸ ἕλκος ἐπίδεσμον. καὶ ἅπαξ περιβάλλοντα οὕτως ἐπὶ τὰ κάτω φέρειν χαυνοτέραν ποιοῦντα τὴν ἐπίδεσιν. ἵνα αἱ λεπτομερεῖς ἰχῶρες φέρωνται ἀπὸ τοῦ ἕλκους ἐπὶ τὰ κάτω, καὶ μὴ ὀδύνας ἐργάζωνται. δεῖ δὲ καὶ τοῦτον τὸν ἐπίδεσμον, τὸ τέλειον εἶναι οὕτως ὡς πάλιν ἀναστρέφεσθαι καὶ ἔρχεσθαι ἀπὸ καρποῦ ἐπὶ βραχίονα. εἰ δὲ μὴ ἐστὶ τελείως, δεῖ καὶ τρίτον ἐπιθεῖναι κατὰ τὸ ἕλκος, καὶ φέρειν ἐπὶ τὰ ἄνω, μὴ σφίγγοντα ἀλλὰ χαῦνον καὶ λεῖον, μετὰ δὲ τοὺς ἐπιδέσμους, δεῖ καὶ σπλήνια εἰς κηρωτὴν βρέχειν. καὶ οὕτως ἐπιτιθέναι, ἵνα τῇ κολλήσει φυλάττωσι τὸ κάταγμα. ἀλλ' ἐπειδὴ καὶ ὀστέον πολλάκις κατά τινος φέρεται, πόθεν ἔχομεν εἰδέναι. δῆλον ὅτι τοῦτο πρῶτον μὲν, τὸ κυρτούμενον εἶναι τὸ μέρος ἐφ' ὃ φέρεται, ἄλλως τε δὲ καὶ ἀφῇ τοῦτο καλῶς καταλαμβάνεσθαι. λοιπὸν δὲ καὶ ὀδύνη γίνεται, ἀλλ' ἐπειδὴ περὶ σπληνίων διάφορος ἡ χρῆσις, δεῖ ἡμᾶς καὶ ταῦτα εἰπεῖν· πολλάκις γὰρ δεῖ ὁμαλισμοῦ χάριν ταῦτα λαμβάνειν. οἷον ἐὰν ἐν καρπῷ θέλω ἐπιδῆσαι, ὁμαλῶς ἐκεῖ περιφερῆ σπλήνιον βάλλω, καὶ τὸ λεῖπον εἰς σάρκας ἀναπληροῖ ὁ σπλήνιος. ἔστι δ' ὅτε ἐπ' εὐθείας αὐτὸ βάλλω, διὰ τὸ φυλάξαι τὴν διάπλασιν. ταῦτα μὲν οὖν καὶ περὶ τοῦ σπληνίου. δεῖ δὲ τὸ ποσὸν τῶν ἐπιδέσμων εἶναι, ἢ δύο, ἢ τρεῖς, ὡς εἴρηται. καὶ μήτε πλατεῖς· ῥυτιδοῦνται γὰρ, καὶ οὐ πιέζουσι κατὰ λόγον τὸ κάταγμα. καὶ πάλιν ἐὰν στενοὶ εἶεν, σφόδρα θλίβουσι τὸ μόριον, καὶ πόθεν δῆλον ὅτι καλῶς ἐστιν ἡ ἐπίδεσις. ἐὰν ὁ ἄρρωστος σοι λέγῃ, μᾶλλον πιέζεσθαι σήμερον ἢ τῇ χθές, ἵνα εἰδῇς ὅτι κατὰ λόγον ἡ ἐπίδεσις γέγονε. αἱ γὰρ φλεγμοναὶ ἀποκτείνουσι πρὸς οὓς γίνονται. δεῖ δὲ καὶ λέγειν αὐτὸν μικρὰ πιέζεσθαι. πρὸς δὲ τούτοις δεῖ, τοὺς μὲν ἁπαλοσάρκους, εἶτα καὶ μάλιστα οὓς κνησμὸς ἐνοχλεῖ λύειν, τοὺς δὲ ἄλλους διὰ τρίτης. ἀεὶ δὲ μετὰ τὴν ἐπίδεσιν ἐγγώνιον ἀποτίθεσθαι τὴν χεῖρα, καὶ μήτε ἄνω πολὺ, μήτε κάτω. εἰ γὰρ ἄνω εἴη, ἢ κάτω, ὡς κρεμαμένη φαίνεται ἡ χεὶρ, καὶ ὀδύναι παρακολουθοῦσιν.

31 ἐπίδεσμοι μὲν οὖν τὸ σχῆμα ἐστὶ δεξιὰ ἢ ἐπὶ

C χὴν τῆς ἐκπτώσεως, εἰς ἐκεῖνο γίνεσθαι τὸ μέρος ἀναγκαῖόν ἐστιν, εἰς ὅπερ ἂν ἡ τοῦ σχήματος ἄγῃ βία. μένειν δ᾽ οὐκέτ᾽ ἐξ ἀνάγκης δύναται ἐν ἐκείνῳ, διά τε τὴν φυσικὴν εἰς τὸ κάτω ῥοπὴν, καὶ τὴν στενοχωρίαν ἐνίοτε τοῦ χωρίου γενομένην, ἤτοι δι᾽ ἐξοχὰς ὀστῶν, ἢ εὐτονίας μυῶν. ἡ μὲν οὖν ἄνω χώρα τῆς κατ᾽ ὦμον διαρθρώσεως, ὑπερκείμενον ἔχει τὸ ἀκρώμιον, ὥστε εἰ καὶ μεταστῇ ποτε τὸ ἄρθρον εἰς αὐτὴν οὐ παραδεχομένων αὐτὸ τῶν ἐνταῦθα τεταγμένων ὀστῶν, αὐτίκα τῷ βάρει ῥέψαν ἐξενεχθήσεται κάτω. ἡ δ᾽ ἔξω χώρα, καὶ μῦς ἔχει μεγάλους, ἀλλὰ τὸ
D εἰς τὸ κάτω ῥοπὴν ἑτοίμην. ἐνδέχεται δέ ποτε, καὶ βίαιον σχῆμα διαστῆσαι ἀπ᾽ ἀλλήλων δυνάμενον, εἰς τὸ μεταξὺ χώραν αὐτῶν ἀπώσασθαι τὸ ἄρθρον, ἐν ᾗ σφηνωθὲν, ὑπ᾽ αὐτῶν τῶν μυῶν κατασχεθῆναι. διὰ τοῦτ᾽ οὖν καὶ ὁ Ἱπποκράτης φησὶ, μὴ διαφερείσασθαι βιαίως, εἴτ᾽ ἐκπίπτει οὐδέ τι τὸ κατ᾽ ὦμον ἄρθρον, εἴτε καὶ μή. ὅσον μὲν γὰρ ἐπὶ τὸ κάτω ῥέπειν, οὐδ᾽ ἂν ἐν τῇ πρόσω χώρᾳ διαμένειν δύναται. διαστάντων δὲ, ὡς εἴρηται, τῶν μυῶν, οὐκ ἀδύνατον φαίνεται σφηνωθὲν ἐνταῦθα μένειν.
E λέγειν μὲν οὖν εἶχε τοιαῦτα περὶ τῆς εἰς ἄλλο τι χωρίον, ὅτι μὴ τὴν μασχάλην, ἐκπτώσεως. ἐπεὶ δ᾽ οὐδέποτε ἑώρακεν, οὐκ ἠξίωσε γράφειν αἰτίας ἐξ ἐπινοίας, λογικῶν ἀξιοπιστότερον ἡγούμενος ἀεὶ, τὸ φαινόμενον ἐναργῶς. οὕτως οὖν καὶ τὰς ἐν ταῖς θεραπείαις ἐπινοίας ἑαυτοῦ, τῇ πείρᾳ βεβαιοῖ, πρὶν ἡμᾶς διδάσκειν, οὐχ ὡς ἔνιοι τῶν μετ᾽ αὐτὸν ἰατρῶν ἔγραψαν, ἐν θεραπευτικοῖς συγγράμμασι κελεύοντες ἡμᾶς ποιεῖν ἃ μηδέποτε αὐτοὶ πρόσθεν ἔπραξαν. ἀλλ᾽ ὅγε Ἱπποκράτης ἐν αὐτῷ τούτῳ τῷ βιβλίῳ,
F περὶ τῶν κατὰ ῥάχιν διαλεγόμενος, εἶτ᾽ ἑαυτοῦ τὴν ἐπίνοιαν εἰπὼν ὑπὸ τῆς πείρας ἀδύνατον ἐλεγχθεῖσαν, ἔφη. καλὰ δὲ καὶ τὰ τοιαῦτα μαθήματά ἐστιν, ἃ πειρηθέντα, ἀπορηθέντα ἐφάνη, καὶ δι᾽ ἅσσα ἠπορήθη.

κεφαλὴ τοῦ βραχίονος, τὸ δ' ἄλλο ὀστοῦν τοῦ βραχίονος, εἰς τὸ ἔξω καμπύλον.

B *meri caput in priorem partem prominet : reliquum verò oſſis humeri in exteriorem convertitur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Βραχίων μὲν ὀνομάζεται τὸ μεταξὺ τῶν δύο διαρθρώσεων, ὅλης τῆς χειρὸς μέρος. ἀκούε δέ μου δύο διαρθρώσεις, τὴν κατ' ἀγκῶνα, καὶ τὴν κατ' ὦμον. ἐπωμὶς δὲ, τὸ ὑπὲρ τοῦ ὤμου μέρος, ἐπιτεινόμενον ὡς ἐπὶ τὸν τράχηλον. ὦμος γὰρ ὀνομάζεται, τὸ περὶ τὴν διάρθρωσιν ἅπαν ὅσον φανερὸν, ὡς τό γε μὴ φαινόμενον, ἐκ μὲν τῶν ὀπίσω μερῶν, ὅσα τὸ τῆς ὠμοπλάτης ὀστοῦν, ἐκ δὲ τῶν κάτω, τὸ κατὰ τὴν ἀνάτασιν ὅλης τῆς χειρὸς φανερὸν γιγνόμενον, ὃ προσαγορεύεται μασχάλη. προειπὼν οὖν ὁ Ἱπποκράτης, ἐφ' ὧν ἀπεσκλήκασιν αἱ κατὰ τὸν ὦμον σάρκες, ἐξέχουσαν φαίνεσθαι τὴν κεφαλὴν τοῦ βραχίονος, ὡς δοκεῖν ἐνίοις ἐκπεπτωκέναι, διδάσκει τὴν φύσιν αὐτῆς ὅλην ἐξ ἀνατομῆς ἀξιῶν. εἴ τις βούλοιτο θεάσασθαι σαφῶς αὐτὴν, ψιλῶσαι μὲν τὴν σάρκα τὴν ἐπωμίδα, τουτέστι περιελεῖν σμίλῃ, μέχρι τοῦ γυμνωθῆναι τὰ κατὰ τὴν διάρθρωσιν ὀστᾶ, ψιλῶσαι δὲ τὸν τένοντα τὸν κατὰ τὴν μασχάλην. τρεῖς γάρ τοι μύες εἰσὶν ἐνταῦθα· πρῶτος μὲν, ὁ ἀπὸ τῆς ὠμοπλάτης τε, καὶ τῆς κλειδὸς ὁρμώμενος, ὃν καὶ Δελτοειδῆ ὀνομάζουσι. τούτου τοῦ μυὸς, τὸ μὲν σαρκῶδες, ἅπασαν καλύπτει τὴν διάρθρωσιν, ὁ δὲ τένων, εἰς τὸ τοῦ βραχίονος ὀστοῦν ἐμφύεται κατὰ μῆκος, ὥσπερ φύεται τένων ἄλλος ἀξιολόγου μυὸς ἀπὸ τοῦ στέρνου ἀρχομένου, διαφερομένου δὲ τῷ προειρημένῳ κατὰ τὴν τῆς ὠμιαίας φλεβὸς θέσιν, οὗ καὶ αὐτοῦ μέμνηται λέγων, ψιλώσας δὲ τὸν τένοντα τὸν κατὰ τὴν μασχάλην, ἐν μέρει φαίνει, ψιλώσειε δὲ, ᾗ ὁ μῦς ἀνατείνει, δύναται μὲν καὶ αὐτὸν τὸν Δελτοειδῆ λέγειν, οὗ τὸ σαρκῶδες ἅπαν, καλύπτει τὸ ἄρθρον. ἐγχωρεῖ δ' αὐτὸν, καὶ τοῦ προσθίου κατὰ τὸν αὐχένα μεμνῆσθαι μυὸς, ἔχοντος ἐν δύο κεφαλαῖς συνδέσμους εὐρώστους, τὸν μὲν ἕτερον ἐκ τῆς ἀγκυροειδοῦς ἀποφύσεως ἐκφυόμενον, τὸν δ' ἕτερον, ἐκ τῆς ὑψηλῆς, ὀφρύος τοῦ τῆς ὠμοπλάτης αὐχένος.

GALENI COMMENTARIUS.

Brachion, quem humerum vertimus, dicitur ea totius brachii pars, quæ inter duos articulos ſita eſt, duos autem articulos intelligi volo, & eum qui ad latum ſcapularum os, & eum qui ad cubitum eſt, ἐπωμὶς verò illa quæ ſuperjecta commiſſuræ humeri cum lato ſcapu-
C latum oſſe ad cervices intendit, ὦμος enim græcè nominatur ex tota commiſſura, id quod oculis ſubjicitur, nam quod lati ſcapularum oſſis minime ſe oſtendit, à poſteriori parte ſitum eſt : ab inferiori omne id, quod apparet, quum totum brachium ſurſum porrigitur, ala μαχάλη græcè nuncupatur. Præfatus igitur Hippocrates ubi in carne, quàm humeri commiſſuram contegit, macies ſumma oritur, caput humeri ita extans conſpici, ut quibuſdam excidiſſe videatur, docet univerſam ejus naturam ex arte corporis incidendi, præcipiens ut
D ſi quis apertè intueri ipſam velit, ab ea parte, quæ ſuperjecta commiſſuræ humeri cum lato ſcapularum oſſe ad cervicem intendit, carnem detrahat, hoc eſt ſcalpello circuncidat, donec quæ in commiſſura ſunt, oſſa nudentur: detrahat ſimiliter ab ea chorda, quæ juxta alam eſt: terni enim hic muſculi ſunt, primus à lato ſcapularum oſſe, ac jugulo oritur, quem à ſimilitudine literæ Δ vocant δελτοειδῆ. Hujus muſculi, quod carnoſum eſt, tegit univerſam commiſſuram: chorda in longitudinem tendit per os humeri, cui alligatur altera chorda gran-
E dioris muſculi quem à pectore incipiens cum ſuperiori connectitur, qua ſita vena eſt, quæ ſub ala ad cubitum procedit. Meminit etiam hujus ipſius, quum inquit & à chorda juxta alam: ſed quum ait, & ab ea qua ſitus eſt muſculus, qui verſus ſuperiorem partem extendit, potuit loqui de muſculo, qui Δ litteram repræſentat, cujus quod carnoſum eſt, operit univerſam commiſſuram. Potuit etiam muſculum illum intelligere, qui fertur ad priorem partem humeri, & à duobus capitibus ligamenta valida habet, quorum alterum à lati ſcapularum
F oſſis proceſſu anchoræ ſimili, alterum à ſublimiori labro cervicis ejudem oſſis dependet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε'.

Ὁμιλέει δὲ ὁ βραχίων τῷ κοίλῳ τῆς ὠμοπλάτης πλάγιος, ὅταν παρὰ τὰς πλευρὰς παρατεταμένος εἴη. ὅταν μέντοι ἐς τὸ ἔμπροσθεν ἐκτανυσθῇ ἡ ξύμπασα χεὶρ, τότε ἡ κεφαλὴ τοῦ βραχίονος, κατ' ἶξιν τῆς ὠμοπλάτης τῷ κοίλῳ γὰρ, οὐκ-

HIPPOCRATIS TEXTUS V.

Verſatur humerus in cavo lati ſcapularum oſſis à latere, ubi brachium juxta latus extenditur : at ubi totum in priorem partem porrigitur, humeri caput è regione cavi lati ſcapularum oſſis collocatur : neque amplius videtur in

VErſari dixi ὁμιλεῖν, quod vocabulum græcè ferè mutuantur Antiqui, non ad ſignificandum, colloqui, quemadmodum nunc plerique; ſed hac voce intelligunt inter ſe convenire, & quaſi unà verſari, quod ὁμοῦ εἰλεῖσθαι dicebant, quin & Homerus eodem modo id uſurpat in iis, quæ ſcribit in clypeo appicta fuiſſe à Vulcano, quum inquit,

ὡμίλευν δ' ὥστε ζωοὶ βροτοί.

Homerum itaque à latere ait verſari in cavo lati ſcapularum oſſis, ubi brachium juxta latus extenditur, ὁμιλεῖν dicens verſari, ut eo verbo ſignificaret ſimul eſſe, & ipſum contingere. At ubi, inquit: brachium totum in priorem partem porrigitur, humeri caput è regione ſinus lati ſcapularum oſſis collocatur, neque quum erectum maneat, videtur amplius in priorem partem excedere.

Ὁμιλεῖν ἔλεγον οἱ παλαιοὶ τοὐπίπαν, οὐκ ἐπὶ τοῦ διαλέγεσθαι, καθάπερ νῦν οἱ πολλοί, τὸ συνιέναι δ' ἀλλήλοις, καὶ δὴ ὁμοῦ εἰλεῖσθαι, ταύτῃ προσχρῶνται τῇ φωνῇ· καὶ Ὅμηρος ἐπὶ τῶν κατὰ τὴν ἀσπίδα γεγραμμένων ὑπὸ τοῦ Ἡφαίστου φησίν·

Ὡμίλεον δ' ὥστε ζωοὶ βροτοί, ἠδ' ἐμάχοντο.

C τῆς οὖν βραχίονα τῇ κοίλῃ τῆς ὠμοπλάτης ὁμιλεῖν ἔφη πλάγιον, ὅταν παρὰ τὰς πλευρὰς ἡ χεὶρ ᾖ παρατεταμένη, διὰ τοῦ ὁμιλεῖν ῥήματος, δηλῶν, τό, τε ὁμοῦ εἶναι, καὶ ψαύειν αὐτῆς. ὅταν μὲν γάρ φησιν, ἡ σύμπασα χεὶρ ἐκταθῇ, τότε κατὰ τὴν εὐθυωρίαν ὁ βραχίων ἐστὶ τῇ κοίλῃ τῆς ὠμοπλάτης, καὶ οὐκέτ' ἐξέχειν εἰς τὸ πρόσω διὰ τὸ ὄρθιον αὐτοῦ φαίνεται.

HIPPOCRATIS TEXTUS VI.

QVibus humeri caput ſæpenumero excidit, ipſi per ſe reſtituere poſſunt.

GALENI COMMENTARIUS.

IN commentariis quoque de fracturis oſtendi articulos duabus de cauſis frequenter, vel levi occaſione erumpere, aut enim ob ipſos ſinus parum deſidentes, atque ipſis labris reſupinatos: aut ob humorem earum partium, quæ commiſſuram comprehendunt, ob quem laxantur, & facilè extenduntur. Adjeci etiam articulos iiſdem de cauſis promptè reſtitui, quamobrem ab ægrotantibus per ſe, citra operam Medici, reponuntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛʹ.

D

Ὅσοισι μὲν οὖν πυκνὰ ἐκπίπτει ὁ ὦμος, ἱκανοί, ὡς ἐπὶ τὸ πλεῖστον, αὐτοὶ σφίσιν αὐτοῖσιν ἐμβάλλειν εἰσίν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηταί μοι κἂν τοῖς εἰς τὸ περὶ ἀγμῶν ὑπομνήμασι, διὰ δύο αἰτίας ἐκπίπτειν ἄρθρα πυκνῶς, καὶ ἐπὶ σμικρᾶς προφάσεσιν, ἤτοι διὰ τὸ τῆς κοιλότητος ἀβαθές τε ἅμα, κἂν τῆς ὀφρύος ὕπτιον, ἢ διὰ τὴν ὑγρότητα τῶν περικειμένων τῇ διαρθρώσει σωμάτων, δι' ἣν χαλαρά τ' ἐστί,
E καὶ ῥᾳδίως ἐκτεινόμενα. λέλεκται δέ, ὡς διὰ τὰς αὐτὰς αἰτίας, αἱ ἐμβολαὶ τῶν τοιούτων ἄρθρων εἰσὶ ῥᾴδιαι, ὡς διὰ τοῦτο χωρὶς ἰατροῦ ὑπ' αὐτῶν πασχόντων γίνονται.

HIPPOCRATIS TEXTUS VII.

IN alam enim conjicientes tubercula digitorum alterius manus, articulum ad ſuperiorem partem adurgent; cubitum verò ad pectus adducunt.

GALENI COMMENTARIUS.

PRimus reſtituendi modus hic eſt, quum ſeu æger ipſe, ſeu Medicus aliquis, humeri capiti digitorum tubercula ſubjicit, non quovis modo, ſed à parte interiori, ut primò ad priorem partem humeri compellat, dein ad ſuperiorem, ipſumque è regione collocet ſui cavi, ubi, ut arbitror, muſculi, qui commiſſuram complectuntur, ipſi ſubſerviunt, & effi-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζʹ.

Ἐνθέντες γὰρ τῆς ἑτέρης χειρὸς τοὺς κονδύλους ἐς τὴν μασχάλην, ἀναγκάζουσιν ἄνω τὸ ἄρθρον, τὸν δ' ἀγκῶνα παράγουσιν ἐπὶ τὸ στῆθος.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁ πρῶτος τρόπος οὗτος τῆς ἐμβολῆς ἐστιν, ὑποβάλλοντες εἴτ' αὐτοῦ τοῦ κάμνοντος, εἴτ' ἰατροῦ τινος, ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος, τοὺς κονδύλους τῆς χειρός, οὐχ ἁπλῶς, ἀλλ' ἐκ τοῦ ἔνδον μέρους, ὡς ἀπωσθῆναι κάτω πρόσθεν, εἶθ' οὕτως εἰς τὴν ἄνω χώραν ἀπώσασθαι, καὶ κατ' εὐθὺ ποιῆσαι τῆς ὑποδεξομένης αὐτὴν κοιλότητος. ἐνταῦθα γάρ, οἶμαι, καὶ οἱ περικείμενοι τῇ διαρθρώσει μύες, ὑπηρετοῦσί τε καὶ συμ-

γενέσθαι. πρώτης μὲν, καθ' ἣν ἡμῖν εἰς τὸ πρόσω τὸ ἄρθρον ἄγεται, δευτέρας δὲ καθ' ἣν ἄνω, καὶ τρίτης καθ' ἣν ὀπίσω. αὕτη γὰρ ἀναγκαία τοῖς ἐμβάλλουσι, δι' ἧς ἂν ὁδοῦ ἐπιχειρῶσι τρόπου τὴν ἐμβολὴν ποιήσασθαι. ἔνθα μὲν οὖν ὑγρὰ φύσει, καὶ χαλαρὰ τὰ περιεχόμενα σώματα τὴν διάρθρωσιν, μετὰ βραχείας κατατάσεως τῆς χειρὸς, ἡ κεφαλὴ τοῦ βραχίονος, εἰς τὸ πρόσω μέρος ἀνάγεται. συντόνων δὲ ὄντων, ἰσχυροτέρως δεῖται, διὰ τοῦτ' οὖν εὕρηνται πλείους τρόποι τῆς ἐμβολῆς, ἐπεὶ τό γε κεφάλαιον ἁπασῶν ἕν ἐστι, τὸ προειρημένον, εἰς τοὺς οὓς εἶπον σκοποὺς ἀναγόμενον, αὐτοὺς δὲ τοὺς τρεῖς σκοποὺς, εὕρομεν ἐκ τοῦ κοινοτάτου, καὶ γενικωτάτου πάντων, ὑφ' Ἱπποκράτους μὲν εἰρημένου, πρὸς ἡμῶν δὲ ἀποδεδειγμένου κατὰ τὰ τῆς θεραπευτικῆς μεθόδου βιβλία. λεχθήσεται δὲ καὶ νῦν, ὅσον οἷόν τε διὰ βραχυτάτων. οὐδὲν μὲν τῶν κατὰ φύσιν ἐπανορθώσεως δεῖται. φυλάττειν μὲν γὰρ ἡμῖν, οὐκ ἀνασκευάζειν αὐτὰ πρόκειται. τὰ δὲ παρὰ φύσιν ἔχοντα, πρόκειται μὲν εἰς τὸ κατὰ φύσιν ἐπανάγειν, ἀναγκαῖον δέ ἐστι τῷ μέλλοντι εἰς τὴν ἀρχαίαν ἐπανέρχεσθαι κατάστασιν, ὅθεν ἐξέπεσε, τὴν αὐτὴν ὁδὸν ἀνάπαλιν ἐλθεῖν, ὅπερ οὐδὲν διαφέρει τοῦ φάναι, τὴν ἐναντίαν ὁδὸν ἰέναι. τοῖς οὖν ἐξ Ἀθηνῶν εἰς Ἐλευσῖνα πορευθεῖσιν, οὐκ ἂν ἔχοις ἐναντίαν ὁδὸν ἑτέραν εἰπεῖν, ἢ τὴν ἐξ Ἐλευσῖνος Ἀθήναζε. καίτοι γε τὸ πρῶτον αὐτῶν μέρος τῆς ὁδοῦ πορευομένοις ἐξ Ἀθηνῶν, ὕστατον ἀναστρέφουσιν. σκεψάμενοι τοίνυν ἐφ' ἑκάστης ἐξαρθρήσεως, ὁπόθεν μὲν ἤρξατο τῆς μεταστάσεως τὸ ἄρθρον, ὅπως δὲ προῆλθεν, ὅπου δὲ τὴν τελευτὴν ἐποιήσατο. δεήσει γ' ἀεὶ, τὴν μὲν τελευτὴν τῆς μεταστάσεως, ἀρχὴν τῆς ἐπανόδου ποιήσασθαι, προελθεῖν δὲ ἐντεῦθεν ἀνάπαλιν τὴν ἀρχὴν τῆς ἐκπτώσεως. αὐτίκα γοῦν ἐπὶ τῆς προκειμένης ἐξαρθρήσεως, ὅταν ἀπὸ τῆς οἰκείας ἕδρας εἰς τὴν πρόσω χώραν ἡ κεφαλὴ τοῦ βραχίονος ὑποχωροῦσα, κάτω μὲν ἐνεχθῇ τῷ βάρει ῥέψασα, μετὰ ταῦτα δὲ, ὀπίσω πρὸς τὰς πλευρὰς ὑπὸ τῶν μυῶν εἰς αὐτὰς συνηκόντων ἀνασπασθῇ, τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον, ἄρξασθαι μὲν ἀπὸ τῆς ὀπίσω χώρας ἀναγκαῖόν ἐστιν. ἐντεῦθεν δὲ πρόσω μὲν πρῶτον, εἶτ' ἄνω προσάγεσθαι. κἀπειδὰν ἤδη κατ' εὐθὺ τῆς κοιλότητος ᾖ, δυοῖν θάτερον, ἢ τοῖς μυσὶν ἐπιτρέψαι τὸ πᾶν, ἢ καὶ αὐτὸν συνεπωθεῖν. ὅταν γε μὴν ἐπιτρέψῃς τοῖς μυσὶ, μὴ καταλίπῃς τὴν κάτω χώραν ἀστήρικτον. ὀχεῖσθαι γὰρ ἐνταῦθα ἐπί τινος χρὴ τὸν βραχίονα, μή πως ἠτονηκότων τῶν μυῶν ἀνασπᾶν αὐτὸν, ἐνεχθῆναι κάτω φθάσῃ, πρὶν ὑπ' ἐκείνων εἰς τὴν οἰκείαν ἐνεχθῆναι χώραν. τριῶν οὖν τούτων τῶν πρὸς ὁδοιποριῶν, ἄριστον μέν ἐστιν, ἑκάστην ποιῆσαι κατ' εὐθεῖαν γραμμὴν, πρώτην μὲν τὴν πρόσω, δευτέραν δὲ, τὴν ἄνω, καὶ τρίτην, τὴν ὀπίσω, πολλάκις δὲ οὐχ οὕτως, ἀλλὰ καὶ περικυλινδουμένης τῆς κεφαλῆς τοῦ βραχίονος ἐπὶ τῆς ὠμοπλάτης αὐχένι, τὴν ἐμβολὴν ἐργαζόμεθα, καὶ ἔστι πρῶτος τρόπος ὁ διὰ τῶν δακτύλων, ὑπό τε τοῦ πάσχοντος αὐτοῦ, καὶ τῶν

mò quidem in priorem partem impellendum
B eſt, deinde in ſuperiorem, poſtremò in poſte-
riorem: hoc ſiquidem neceſse eſt quocunque
modo quis reponere id tentaverit. Igitur ubi
partes quæ commiſsuram comprehendunt, na-
turaliter madent, & laxæ ſunt, humeri caput,
vel leviter intento brachio in priorem partem
adducitur: at ubi validæ ſint, valentius intendi
debet. Quamobrem plures inventi ſunt reſti-
tuendi modi, quorum omnium caput unum
eſt quod ego retuli; ſpectat autem ad ea tria,
quæ propoſui agenda; inveniuntur hæc ex eo,
quod maximè commune eſt, & generale, po-
C ſitum quidem ab Hippocrate, demonſtratum
verò à nobis in libris de ratione curandi: quod &
nunc etiam docebimus, quantum poterit brevi-
ſſimè, nempe ex iis quæ naturaliter habent, ni-
hil eſse corrigendum: ſi quidem ea nobis con-
ſilium eſt non tollere, ſed tueri: quæ verò
præter naturam ſunt, propoſitum eſt in natu-
ralem ſtatum reſtituere: neceſse autem eſt id
quod in antiquam ſedem, unde exceſſit, re-
verſurum eſt, rurſus idem iter facere, quod
perinde eſt ac ſi dicas: contrarium iter facere:
nam is qui Athenis Eleuſinem proficiſcuntur,
D iter contrarium non aliud appellari poteſt, quàm
Eleuſine Athenas quanquam primum iter,
quod fecerunt Athenis abeuntes, poſtremum
eſt ubi redeunt. Conſiderato igitur in ſin-
gulis luxatis unde cœperit articulus expelli,
qua proceſſerit, & ubi conſtiterit; oportebit
enim excidendi finem, principium eſse rever-
tendi, atque inde rurſus ad excidendi princi-
pium procedere. Ac ne longius diſsedamus in
propoſito caſu, quum humeri caput ſuo loco mo-
tum in priorem partem venit, ob pondus deor-
E ſum fertur, deinde in poſteriorem partem ad
latus vi muſculorum ad ſe recurrentium contra-
hitur; quum ergo reverti ad ſuam ſedem debet,
inchoari à poſteriori regione neceſse eſt, tunc-
que primo in priorem partem impelli, poſtea
ſurſum adduci: deinde quum ſitum eſt è re-
gione ſui cavi, duorum alterum faciendum eſt,
vel res tota muſculis committenda, vel unà
cum ipſis attrahentibus adurgendum eſt: at ubi
rem muſculis commiſeris, inferiorem locum
ſine fultura ne relinquito: ſuſtineri enim hîc
re aliqua humerum oportet, ne quum muſculi
F nondum ſic confirmati ſint, ut ipſum attrahant,
deorſum feratur, priuſquam ab illis in ſuam
ſedem adducatur. Ego quum tria hæc itinera
ſint, optimum eſt, unumquodque ad rectam
lineam fieri, primò quidem in priorem partem,
deinde in ſuperiorem, tertio in poſteriorem;
ſæpe autem non ſic, ſed circa cervicem lati
ſcapularum oſſis circunducentes humeri caput
reſtituimus: cujus ſane generis eſt primus re-
ponendi modus per digitos vel ipſius hominis,

tum denant ad effigiem ſummi cunei; hac igitur ſummitate facilè inter humeri caput, & latus inferuntur, quòd ſi ibi ſemel admittantur, quum facilè reſtitui poſſit ob humorem partium, quæ commiſſuram comprehendunt, digiti quidem ea parte protinùs admiſſi articulum à latere in priorem partem reducunt; at cubitus, quum ad pectus adducitur, humerum attollit; cumque digiti ſimul interim impellant, & circunducant juxta inferiorem, & priorem partem commiſſuræ: humeri caput ad ſui cavi oram aſcendit; quòd ſi ſemel eo fuerit compulſum, levi momento in ipſum cavum revertitur: hic autem reſtituendi finis fuit.

A
Digiti ſub alam, &c.

HIPPOCRATIS TEXTUS VIII.

Eundem reſtituendi modum adhiberi Medicus poterit, ſi ſub ala ab interiori parte articuli prolapſi digitos demittens, à latere ipſum reducat; ſuum vero caput ad renitendum obiiciat, qua jugulum cum lato ſcapularum oſſe committitur; genibus juxta cubiti iuncturam ad humerum datis, ad latus repellat. Expedite autem eum, qui reſtituet, manu ſtrenua eſſe, vel ipſe manibus & capite quod dictum eſt præſtet, alter cubitum ad pectus adducat.

B
Digiti demiſſi &c.

GALENI COMMENTARIUS.

Medici in reſtituendis luxatis quædam agunt, idiotis quoque communia, id quod nunc faciunt in propoſito reſtituendi modo; quædam propriè adjiciunt iis, quæ communia ſunt: commune eſt Medicorum pariter, & idiotarum per digitos impellere, & humerum attollere: ſed proprium Medicorum, caput objicere homini, qua jugulum cum lato ſcapulatum oſſe committitur, & humerum adurgere genibus, ad imum ejus datis. Objicitur autem caput ne homo ſequatur, quum humerus digitorum impulſu in priorem partem adducitur; quæ primò fieri debent, tum tertiò genibus adurgendum, quod in eo tempore totius curationis, quæ per manum admovetur, opportuniſſimè fit, quum humeri caput à latere penitus reductum, non protinus occurrit ceruici lati ſcapularum oſſis tunc enim neque oportet articulum in priorem partem adducere, ſed in ſuperiorem compellere: quod optimè continget, ſi quis imum humerum ad latus trudat: quatenus enim in

τοῦ βραχίονος, καὶ τῆς πλευρᾶς, καὶ γίνεται) αὐτὴ μοχλοῦ πεποιηκότα, τῆς χειρὸς οἱ δάκτυλοι, πλησιάζοντες μὲν ἐς ὀξὺ πέρας τῆς κονδύλου, ὥσπερ ἡ κώνου κορυφή. αὐτῇ δὲ ταύτῃ τῇ κορυφῇ περιεστραμμένον ῥᾳδίως, ὡς εἰπεῖν, εἰς τὸ μεταξὺ χωρεῖν, τῆς τε κεφαλῆς τοῦ βραχίονος, καὶ τῆς πλευρᾶς. ἢν δ᾽ ἅπαξ ἐπ᾽ αὐτῆς εἰσδεχθῶσι, ῥᾳδίας τῆς ἐμβολῆς γενομένης, διὰ τὴν ὑγρότητα τῶν κατὰ τὴν διάρθρωσιν σωμάτων. οἱ μέντοι δάκτυλοι, παραδεχθέντες εὐθέως ἐν αὐτῷ τούτῳ τὸ ἄρθρον, εἰς τὸ πρόσω μέρος ἀφιστᾶσι τῆς πλευρᾶς· ὁ δ᾽ ἀγκὼν παρὰ τὸ στῆθος C ἀπαγόμενος, ὑψοῖ τὸν βραχίονα. συνεπωθούντων δὲ ἐν τῷδε τῶν δακτύλων, καὶ κυλινδουμένων κατὰ τὸ κάτω τε καὶ πρόσω μέρος τῆς διαρθρώσεως, ἡ κεφαλὴ τοῦ βραχίονος ἐπὶ τῆς ὀφρύος ἀναβαίνει τῆς ὑποδεχομένης αὐτὴν κοιλότητος. εἰ δ᾽ ἅπαξ ἐν τούτῳ γένοιτο, διὰ βραχείας ῥοπῆς εἰς αὐτὴν ἐμπίπτει τὴν κοιλότητα. τοῦτο δ᾽ ἦν τὸ πέρας τῆς ἐμβολῆς.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ'.

Τὸν αὐτὸν δὲ τρόπον τοῦτον, καὶ ὁ ἰητρὸς ἂν ἐμβάλλοι, εἰ αὐτὸς μὲν ὑπὸ τὴν μασχάλην, ἐσωτέρω τοῦ ἄρθρου ἐκ- D πεπτωκότος, ὑποτείνας τοὺς δακτύλους, ἀπαναγκάζοι ἀπὸ τῶν πλευρέων, ἐμβάλλων τὴν ἑωυτοῦ κεφαλὴν ἐς τὸ ἀκρώμιον, ἀντερείσιος ἕνεκα. τοῖσι δὲ γούνασι, παρὰ τὸν ἀγκῶνα ἐς τὸν βραχίονα ἐμβάλλων, ἀντωθέοι πρὸς τὰς πλευράς. ξυμφέρει δὲ, καρτερὰς τὰς χεῖρας ἔχειν τὸν ἐμβάλλοντα, εἰ αὐτὸς μὲν τῇσι χερσὶ καὶ τῇ κεφαλῇ οὕτως ποιοίη. ἄλλος δέ τις τὸν ἀγκῶνα παράγοι παρὰ τὸ στῆθος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Οἱ ἰατροὶ, τὰ μὲν κοινὰ ταῖς τῶν ἰδιωτῶν ἐνεργείαις ἐνεργοῦσιν, ἐμβάλλοντες αὖθις τὸ ἐξαρθρῆσαν, καὶ τοῦτο μὲν διαπράττουσι κατά γε τὴν νῦν ἑρμηνευομένην ἐμβολὴν, τὰ δέ τινα, τοῖς κοινοῖς αὐτοὶ προστιθέασιν ἴδια. κοινὰ μὲν οὖν αὐτοῖς ἐστὶ πρὸς τοὺς ἰδιώτας, ἥ τε διὰ τῶν δακτύλων μοχλεία, καὶ ἡ τοῦ βραχίονος ὕψωσις· ἴδια δὲ πρὸς τούτοις, ἥ τε τῆς κεφαλῆς ἐς τὸ τοῦ κάμνοντος ἀκρώμιον ἀντέρεισις, ἥ τε διὰ τῶν γονάτων ἀντώθησις, ἐρειδομένων εἰς τὸ κάτω τοῦ βραχίονος. γίνεται δὲ ἡ ἀντέρεισις ἕνεκα τοῦ μὴ συνακολουθεῖν τὸν ἄνθρωπον, F ἀγομένου πρόσω τῷ βραχίονι διὰ τῆς τῶν χειρῶν μοχλείας, καὶ πρῶτά γε χρὴ γενέσθαι ταῦτα. τρίτον δ᾽ αὖθις ἔπεισι ἡ διὰ τῶν γονάτων ἀντώθησις, ἐν ἐκείνῳ τῷ καιρῷ, τῆς ὅλης χειρουργίας ἐπιτηδείως γενομένης, ἡνίκα τελέως ἡ κεφαλὴ τοῦ βραχίονος ἀποκεχώρηκε τῆς πλευρᾶς, οὐκ εὐθὺς ὑποπίπτει τῷ τῆς ὠμοπλάτης αὐχένι. τηνικαῦτα γὰρ οὐ δεῖ ἀνάγειν εἰς τὸ πρόσω χρὴ τὸ ἄρθρον, ἀλλ᾽ ἤδη ἄνω. συμβήσεται δὲ τοῦτο καλῶς, εἰ τὸ κάτω πέρας τοῦ βραχίονος ἐπὶ τὰς πλευρὰς ἀπωθοίη τις. εἰς ὅσον γὰρ

ἢ ὀπίσω αὐτὸς ἐνεχθῇ τὸν αὐχένα, κωλυθέντος ὑπὸ τοῦ ὑπερεκπαίοντος. B

junctus à medico per ſe hominem excedent.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ'.

Ἔστι δὲ ἐμβολὴ ὤμου, καὶ ἐς τοὐπίσω περιβάλλοντα τὸν πῆχυν ἐπὶ τὴν ῥάχιν, ἔπειτα, τῇ μὲν ἑτέρῃ χειρὶ ἀνακλᾶν ἐς τὸ ἄνω τοῦ ἀγκῶνος ἐχόμενον, τῇ δὲ ἑτέρῃ, παρὰ τὸ ἄρθρον ὄπισθεν ἐρείδειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. C

Οὗτος ὁ τρόπος τῆς ἐμβολῆς, κατὰ περίσφαλσιν γίνεται μᾶλλον τοῦ πρόσθεν. ἔστι δὲ ἐξ ἀνάγκης μὲν, καὶ αὐτὸς ἐκ τῶν τριῶν ἐνεργειῶν συνθέτος, οὐ μὴν ἰδίοις πέρασιν ἑκάστης αὐτῶν περιγραφομένης, οὐδ' ἐν τῇ μεταβάσει γωνίας ποιούσης, ἀλλὰ κατὰ τὰς κυκλοτερεῖς, ὡς εἰ καὶ τετραγώνου τις ἀποθραύσει τὰς γωνίας. ὁποῖον γάρ τι συμβαῖνόν ἐστιν ἐν τοῖς κατὰ περικύλισίν τι, καὶ κατὰ περίσφαλσιν.

A B Γ Δ

Σαφῶς νοήσεις ὡς ἐπὶ εἰκόνος ὑπὸ τοῦ διαγράμματος τῆς φορᾶς D τῆς κεφαλῆς τοῦ βραχίονος, ἣν ἄρθρον ὤμου προσαγορεύει, γιγνομένης κατὰ μὲν τὴν πρώτην ἐνέργειαν, ἀπὸ τῶν πλευρῶν εἰς τὸ πρόσω, κατὰ δὲ τῆς γδ. γραμμῆς, ἐντεῦθεν δὲ ἄνω ἐπὶ τὴν δβ. κἄπειτ' ἐντεῦθεν ἐμβαλλομένης τῇ κοιλότητι κατὰ τὸ α. τεταγμένη. τοιαύτης μὲν οὖν γινομένης αὐτῆς τῆς φορᾶς, οὐκ ἔστι περίσφαλσις. ὅταν δὲ τῶν κατὰ τὸ δ. καὶ β. γωνιῶν, οἷον ἀποθραυσθεισῶν, ἡ φορὰ μηκέτι κατὰ τῶν τριῶν εὐθειῶν, ἀλλὰ κατὰ μιᾶς γίγνεται γραμμῆς, κυρτῆς τῷ σχήματι, τότε συμβαίνει κυλίεσθαι, καὶ τὸν βραχίονα πρὸς τὴν ὀφρὺν ἀνέρχεσθαι τῆς διαρθρώσεως. ὅταν δ' ἐπὶ ταύτης ἥκῃ, βραχείας E ῥοπῆς προσπλησθείσης, εἰς τὴν ἐντὸς χώραν περισφάλλεται. τοῦτο μὲν οὖν κοινὸν ἁπάντων τῶν κατὰ περίσφαλσιν ἐμβαλλομένων. ἣν δὲ νῦν ἐμβολὴν ἐξηγεῖται, ταύτῃ προσήκει, κατὰ μὲν τὴν εἰς τοὐπίσω τε καὶ τὴν ῥάχιν ἀναγωγὴν τοῦ πήχεος, ἀκολουθοῦντος αὐτῷ ἐξ ἀνάγκης τοῦ βραχίονος, ἡ κεφαλὴ ἡ πρόσω τε, καὶ ἄνω μεθισταμένη περικυλισθήσεσθαι. πρότερον μὲν περὶ τὰ κάτω μέρη τῆς διαρθρώσεως, ἐφεξῆς δὲ, περὶ τὰ πρόσω, μέχρις ἂν ἐπὶ τὴν ὀφρὺν ἀναβῇ τῆς κοιλότητος, ὅθεν δὴ F πρὸς τὴν ἐντὸς χώραν ἐνεχθεῖσα, στηριχθήσεται κατ' αὐτῆς. ἔστι γὰρ δὴ τοῦτο πέρας τῆς ἐμβολῆς· ὥσπερ δὲ ἐπὶ τῆς πρὸ ταύτης ἐμβολῆς, ἕνεκα τοῦ μὴ συνακολουθεῖν ἐπὶ τὰ πρόσω τὸν ἄνθρωπον, ὠθεῖν ἐπὶ τὸ ὀπίσω τὸ ἀκρώμιον ἐκέλευσε διὰ τῆς αὐτοῦ κεφαλῆς, τὸν ἰατρὸν, οὕτω νῦν, ὑπὲρ τοῦ μὴ συνακολουθεῖν ὀπίσω, τοὐναντίον ἀξιοῖ ποιεῖν, ἐπιβάλλοντα τὴν χεῖρα κατὰ τὴν ὀπίσω χώραν ὅλης τῆς διαρθρώσεως, ἀπωθεῖν εἰς τὸ πρόσω τὸν ἄνθρωπον.

HIPPOCRATIS TEXTUS IX.

Reponitur idem humeri caput, quum retroda-tur ad dorſum: tum altera manu eminentia cubiti ſurſum compellitur, altera à poſteriori parte urgetur articulus.

GALENI COMMENTARIUS.

A

Cubitus ad ſpinam, &c.

Hoc reſtituendi modo magis circunducimus, quam ſuperiori: ſed ſub ipſo etiam neceſse eſt in tres partes articulum agi, quæ tamen ſingulæ propriis finibus non circunſcribuntur: neque angulum efficit, quum ex una parte ad aliam transfertur, ſed in orbem flectitur, perinde ac ſi anguli à quadrato retundantur. Quid autem accidat, quum articulus in orbem agitur, circunduciturque, planè intelliges ex deſcriptione hujus figuræ.

A B C D

Concipito caput humeri, quem articulum lati ſcapularum oſſis vocat, quum primò agitur, ferri à latere ad partem priorem per lineam C D, inde ſurſum per lineam D B, poſtea in ſuum cavum conjici, ubi A. quod ſi ita feratur, non circunducitur: ſed ſi anguli D B quaſi infringantur, non amplius per tres lineas rectas feretur, ſed per unam curvam. Sic itaque circumactus humerus ad oram adducitur ſui cavi, ad quam ubi venit, modico impulſu in ſuam ſedem revertitur. Atque hoc commune eſt omnium quæ circunducendo reponuntur; id quod etiam evenit ei reſtituendi modo, quem nunc exprimit: ſiquidem brachio in poſteriorem partem ducto ad ſpinam, quum neceſſariò humerus ſequatur, caput hujus in priorem ac ſuperiorem partem tranſlatum circunducetur, primò circa inferiorem partem commiſſuræ, deinde circa priorem, donec aſcendat ad oram ſui cavi: in quod, ubi conjectum fuerit, continebitur, tuncque reſtituendi finis eſt. Quemadmodum autem in ſuperiori modo reſtituendi, ne homo ſequens in priorem partem converteretur, præcepit Medico, ut capite objecto ſummum lati ſcapularum oſſis, quâ cum jugulo committitur, retrò repelleret: ita nunc ne in poſteriorem partem convertatur, contrarium imperat, ut ſcilicet manu objectâ à poſteriori parte totius commiſſuræ, hominem in priorem repellat.

HIPPO-

cenus aliqui. Propterea autem adjecit, cogunt, ut vim eorum indicaret.

γὰρ τῆς περιφερείας τὴν ἀρχήν. ὃ δὲ ἀναγκάζουσι, προσέθηκε, τὸ βίαιον αὐτοῦ ἐνδεικνύμενος.

HIPPOCRATIS TEXTUS XI.

Sed, qui per calcem reponere nituntur, propè ſecundum naturam cogunt.

GALENI COMMENTARIUS.

Qua de cauſa hunc reponendi modum aſſerat propè ſecundum naturam eſſe, aperte intelliges, quùm ipſum univerſum cognoveris: quod fiet, ubi, quæ ſubjiciuntur, animadvertas. C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια´.

Οἱ δὲ τῇ πτέρνῃ πειρώμενοι ἐμβάλλειν, ἐγγύς τι τοῦ κατὰ φύσιν ἀναγκάζουσι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διά τι ταύτην τὴν ἐμβολὴν ἐγγύς τι τῆς κατὰ φύσιν ἔχειν ἔφη, μαθήσῃ σαφῶς ὅλης αὐτῆς ἀκούσας προτέρου. ἔσται δὲ τοῦτο τῆς ῥήσεως ἀκολουθήσαντι αὐτῇ.

HIPPOCRATIS TEXTUS XII.

Hominem oportet humi reſupinare, medicum verò ab ea parte, à qua articulus eruperit, humi ſedere: deinde ſuis manibus hominis brachium affectum prehendere, ac deorſum verſus extendere, D *& calce in alam demiſſo, dextro quidem in dextram, ſiniſtro in ſiniſtram, in contrariam partem urgere. Neceſſe autem eſt in ſinum alæ rotundum aliquid demittere, quod ibi aptetur. Maximè idoneæ ſunt pilæ parvæ admodum, ac duræ, quæ è corio ferè ſuuntur: nam, niſi tale aliquid indatur, non poteſt calx ad humeri caput pervenire: brachio enim ab inferiori parte extento, ſinuatur ala, quoniam chordæ ab utraque parte alam conſtringunt inter ſe adverſæ. Oportet autem aliquem ab altera parte ejus qui extenditur, ſedentem, continere hominem ab integri humeri cum lato ſcapularum oſſe commiſſura, ne corpus ducatur, affecto brachio ab altera parte extento: poſt, loro molli abundè lato pilam in alam conjectam excipere, cujus lori utrumque caput alter extendat, qui à capite hominis ſedeat, pedeque eam partem repellat, ubi jugulum cum ſummitate lati ſcapularum oſſis conjungitur. Pila verò, quantum maximè poteſt, intus conjiciatur, atque ad latus, & à capite humeri recedet.*

GALENI COMMENTARIUS.

A

Medicus ſuis manibus &c.

Si quis, quæ ſic traduntur, non intelligat, huic opus eſt non verbo exponere, ſed agendo rem monſtrare. Atque idcirco mihi placet, quemadmodum ſupra retuli, librum ipſum Hippocratis ſæpius legi, verbis diligenter conſideratis, atque adhibito omninò ſtudio, ut quid proponitur, intelligatur. Equidem tibi, ut quæ ab Hippocrate ſcripta ſunt,

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ´.

Χρὴ δὲ τὸν μὲν ἄνθρωπον χαμαὶ κατακλῖναι ὕπτιον, τὸν δὲ ἐμβάλλοντα, χαμαὶ ἵζεσθαι, ἐφ᾽ ὁπότερα ἂν τὸ ἄρθρον ἐκπεπτώκῃ, ἔπειτα λαβόμενον τῇσι χερσὶ τῇσιν ἑωυτοῦ, τῆς χειρὸς D τῆς σιναρῆς, κατατείνειν αὐτήν, τὴν δὲ πτέρνην ἐς τὴν μασχάλην ἐμβάλλοντα ἀντωθεῖν, τῇ μὲν δεξιῇ, ἐς τὴν δεξιήν, τῇ δὲ ἀριστερῇ, ἐς τὴν ἀριστερήν· δεῖ δὲ ἐς τὸ κοῖλον τῆς μασχάλης ἐνθεῖναι στρογγύλον τι ἐναρμόζον. ἐπιτηδειόταται δὲ αἱ πάνυ σμικραὶ σφαῖραι, καὶ σκληραί, οἷαι πολλαὶ ἐκ τῶν σκυτέων ῥάπτονται. ἢν γὰρ μή τι τοιοῦτον ἐγκέηται, οὐ δύναται ἡ πτέρνη ἐξικνέεσθαι πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος. κατατεινομένης γὰρ τῆς χειρός, κοιλαίνεται ἡ μασχάλη. οἱ γὰρ τένοντες, οἱ ἔνθεν καὶ ἔνθεν τῆς μασχάλης ἀντισφίγγοντες, ἐναντίοι εἰσί. χρὴ δέ τινα ἐπὶ θάτερα τοῦ κατα- E τεινομένου καθήμενον κατέχειν κατὰ τὸν ὑγιέα ὦμον, ὡς μὴ περιέλκηται τὸ σῶμα τῆς χειρὸς τῆς σιναρῆς ἐπὶ θάτερα τεινομένης· ἔπειτα ἱμάντος μαλθακοῦ, πλάτος ἔχοντος ἱκανόν, ὅταν ἡ σφαῖρα ἐντεθῇ εἰς τὴν μασχάλην περὶ τὴν σφαῖραν, περιβεβλημένου τοῦ ἱμάντος, καὶ κατέχοντος, λαβόμενον ἀμφοτέρων τῶν ἀρχῶν τοῦ ἱμάντος, ἀντικατατείνειν τινὰ ὑπὲρ κεφαλῆς τοῦ κατατεινομένου καθήμενον, τῷ ποδὶ προσβεβηκότα πρὸς τὸ ἀκρώμιον τὸ ὀστέον. ἡ δὲ σφαῖρα, ὡς ἐσωτάτω, καὶ ὡς μάλιστα πρὸς τῶν πλευρέων κείσθω, καὶ μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ βραχίονος. F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴ τις δὲ τῶν οὕτως εἰρημένων μὴ συνίησιν, οὗτος οὐ δεῖται τῆς διὰ τῶν λόγων ἐξηγήσεως, ἀλλὰ τῆς ἐπ᾽ αὐτῶν ἐναργοῦς δείξεως. διὸ καὶ πολλάκις, ὡς καὶ πρόσθεν εἶπον, ἀξιῶ τὸ βιβλίον ἀναγινώσκειν αὐτὸ τοῦ Ἱπποκράτους ἐπιμελῶς προσέχοντας τῇ λέξει, καὶ πειρωμένους νοεῖσθαι τὸ λεγόμενον. ἐγὼ δ᾽ εἴνα, ὡς ἤδη σοι τῶν ὑπ᾽ αὐτοῦ λεγομένων

τῇ χάριν τῆς μὲν συνακολουθεῖν ἑπομένη τῇ χειρί. B
διὰ μὲν οὖν τῶν δυοῖν τούτων ἐνεργειῶν ἡ ἀντίτασις γίγνεται. διὰ μὲν τοῦ περιβεβλημένου κατὰ τὴν μασχάλην ἱμάντος, εἰς τοὐπίσω τοῦ κάμνοντος ἑλκομένου, διὰ δὲ τοῦ ποδὸς ἀντωθουμένου πρόσω, καὶ σαφῶς γε τούτων τῶν ἀντιτάσεων ἑκατέρα εἰς ἀντίθετον ἐργάζεται. ταῦτα μὲν οὖν κατὰ φύσιν ἐν τῷ τρόπῳ τούτῳ τῆς ἐμβολῆς γίγνεται· ἡ μέντοι μοχλεία λείπεται τῆς πτέρνης, ἀπὸ τῆς μικρᾶς σφαίρας δυναμένης εἰς τὸ μεταξὺ τῶν τε πλευρῶν καὶ τῆς τοῦ βραχίονος κεφαλῆς εἰσελθεῖν, ἔτι πολὺ μᾶλλον τῆς πτέρνης· ὅπου δὲ οὐδὲν εἰς ταύτην τὴν χώραν παρεισέρχεται, πῶς ἂν ἡ μοχλεία γένοιτο; μὴ γινομένης δὲ ταύτης, οὐδὲ τὴν ἐμβολὴν ἔσεσθαι κατὰ φύσιν. C

hac curatione calce homo retrò repellitur, ne ſequatur, quùm brachium attrahitur. Hæc itaque duo agentes in diverſa contendimus: loro quidem circa alam injecto hominem in poſteriorem partem ducimus, pede in priorem repellimus. Patet autem eundem eſſe, qui utrunque efficiens in diverſa contendit. Hæc in propoſito reponendi modo ſecundùm naturam adhibentur. Sed, quùm impulſus abſit, à convenienti modo recedit, eò quod nequeat exigua pila inter latus & humeri caput penetrare, ac multò minus etiam calx. At, ubi eò nihil indatur, quomodo impellemus? ubi non impellamus, neque reponere ſecundùm naturam poterimus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγʹ.

Ἔστι δὲ καὶ ἄλλη ἐμβολή, ὡς καταμίζουσιν ἐς ὀρθόν. μείζω μέντοι εἶναι χρὴ τὸν καταμίζοντα, διαλαβόντα δὲ τὴν χεῖρα, ὑποθεῖναι τὸν ὦμον τὸν ἑωυτοῦ, ὑπὸ τὴν μασχάλην ὀξεῖν.

HIPPOCRATIS TEXTUS XIII.

Eſt & alius reponendi modus, quo ſuper ſummum humerum alterius hominem collocant. Major autem eſſe neceſſariò is debet, ſuper quem collocatur: hic autem apprehenſo brachio laborantis ſummum humerum ſuum excitatum alæ hominis ſubjiciat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. D

Πρῶτος μὲν οὖν αὐτῷ τρόπος ἐμβολῆς εἴρηται, ὁ διὰ τῶν δακτύλων γινόμενος, ἤτοι τοῦ κάμνοντος, ἢ τοῦ ἰατροῦ. δεύτερος δὲ, ὁ διὰ τῆς πτέρνης, ἐφ' οἷς τρίτος, ὁ διὰ τοῦ καταμισμοῦ. καλοῦσι γὰρ οὕτως αὐτόν, ἐπεὶ καὶ αὐτὸς ἔφη, ὡς καταμίζουσιν ἐς ὀρθόν. ὅπως δὲ γίνεται τοῦτο, σαφῶς αὐτὸς ἐδίδαξε, κελεύσας τὸν καταμίζειν μέλλοντα, διαλαβόντα ταῖς ἑαυτοῦ χερσὶ τὴν ἐξηρθρηκυῖαν χεῖρα, καὶ οὕτως ἀποξύσαντα τὸν ἴδιον ὦμον εἰς τὴν τοῦ κάμνοντος ὑποθεῖναι μασχάλην, ὡς ἕδραν αὐτοῦ γενέσθαι τῆς ἐξοχῆς, τὴν ἐν ἐκείνῳ κοιλότητα. E

GALENI COMMENTARIUS.

A

Homo collocatus &c.

PRimus reponendi modus, quem poſuit, per digitos fuit, ſive ægrotantis, ſive medici: alter per calcem: tertius eſt, quem vocant διὰ τοῦ καταμισμοῦ, eò quòd Hippocrates dixit, ὡς καταμίζουσιν ἐς ὀρθόν quùm ſignificare voluit eum modum, quo ſuper ſummum humerum alterius hominem collocant. Quomodo autem hoc fiat, ipſe apertè docuit, quùm præcepit ut qui ſuper ſummum humerum collocaturus hominem eſſet, ſuis manibus prolapſum ipſius brachium prehenderet, atque ita ſummum humerum ſuum attollens in hominis alam conjiceret, ut cavum, quod in ea eſt, ejuſmodi eminentiæ locum præſtaret.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδʹ.

Κἄπειτα ὑποστρέψαι, ὡς ἂν ἐνίζηται ἕδρα, ἔπειτα ἐπ' ἀνασταίη, ὅκως ἀμφὶ τὸν ὦμον τὸν ἑωυτοῦ κρεμάσαι τὸν ἄνθρωπον κατὰ τὴν μασχάλην. αὐτὸς δὲ ἑωυτὸν ὑψηλότερον ἐπὶ τοῦτον τὸν ὦμον ποιείτω, ἢ ἐπὶ τὸν ἕτερον. τοῦ δὲ κρεμαμένου τὸν βραχίονα, πρὸς τὸ ἑωυτοῦ στῆθος προσαναγκαζέτω ὡς τάχιστα. ἐν τούτῳ δὲ τῷ σχήματι προσαναστεσιέτω, ὅκως ἂν μετεωρίσῃ τὸν ἄνθρωπον ὡς ἀντιρρέποι τὸ ἄλλο σῶμα αὐτοῦ, ἀντὶ τοῦ βραχίονος τοῦ κατεχομένου. ἢν δὲ ἄγαν κοῦφος ᾖ ὁ ἄνθρωπος, προσεπικρεμασθήτω ὄπισθεν ὁ ὄπισθεν τις κοῦφος παῖς. αὗται δὲ αἱ ἐμβολαὶ πᾶσαι, κατὰ παλαίστρην εὔχρηστοί εἰσιν, ὅτι οὐδὲν ἄλλο δεῖ ὀργάνου ἐπιτηδείου ἄλλου. χρήσαιτο δ' ἄν τις ἄλλῃ. F

HIPPOCRATIS TEXTUS XIV.

Poſteà convertatur, quaſi ſedili velit inſidere, eò ſpectans, ut ſummo ſuo humero æger ala ſuſpendatur: ipſe verò ſeipſum ab eo humero magis excitet, quàm ab altero, ſuſpenſique humerum ad ſuum pectus, quamcelerrimè adducat. Ita verò figuratus concutiatur, quum hominem ſuſpenderit, ut reliquum corpus in contrariam partem inclinetur, atque humerus contentus. Quod ſi homo levis admodum fuerit, appendatur ei à poſteriori parte levis aliquis puer. Hi reſtituendi modi omnes ad palæſtram ſunt aptiſſimi, quoniam luxata ibi, ut reſtituantur, nullum aliud machinamentum deſiderant, quibus alibi uti etiam convenit.

in partem contrariam. Vult etiam concuti articulum humeri ipſius ægrotantis ab eo, ſuper quem collocatur, ut è regione ſuæ ſedis conſtituatur. Sæpius enim diximus, ubi articulus ita collocetur, facilè recondi; quùm nobis etiam nihil impellentibus, muſculi quod expedit, efficiant.

HIPPOCRATIS TEXTUS XV.

Sed, & qui ſuper piſtillum cogunt, propè ſecundum naturam reſtituunt. Involvatur autem piſtillum molli aliqua faſcia, minus enim elabitur: atque inter latus, & humeri caput demittatur. Quòd ſi piſtillum brevius fuerit, homo alicubi ſedeat, ſic, ut vix injicere humerum ſuper piſtillum poſſit. Ferè autem piſtillum adhiberi longius convenit, ſic, ut homo ſtans penè ex eo pendeat. Deinceps humerus, & brachium juxta piſtillum extendatur, corpus verò alter in alteram partem adurgeat, manibus ad collum datis juxta jugulum.

GALENI COMMENTARIUS.

A
Piſtillum molli faſcia &c.

Atque hi etiam, quatenus in diverſa contendunt, ſecundùm naturam reponunt: quatenus verò humeri caput (ut in ſequentibus oſtendit) piſtillo circunducitur, à reponendo ſecundùm naturam abſunt. Quæ autem hic ſcribit, ſingula in aperto ſunt.

HIPPOCRATIS TEXTUS XVI.

Hic reponendi modus moderatè ſecundùm naturam eſt: ac reſtituere articulum poteſt, ſi rectè adhibeatur.

GALENI COMMENTARIUS.

B
Rotundum quoddam &c.

Hunc modum ſecundum naturam eſſe affirmat moderatè, quod ſignificavit verbo ἐπιεικέως, quemadmodum, & homo moderatus ἐπιεικὴς Græcè dicitur. Putarunt nonnulli verbum ἐπιεικῶς uſurpari pro maximè, atque idcirco (ut opinor) in principio hujus orationis removerunt dictionem, propè, ita ſcribentes; ſed & qui ſuper piſtillum cogunt, ſecundum naturam reſtituunt. Debuerunt autem, etiamſi Hippocrates id non monuiſſet, per ſe intelligere, cujus rei hunc reponendi modum

καὶ αὐτὸ ἀπωθεῖσθαι τὸν βραχίονα, τῆς ἰδίας ἕδρας. εἴρηται γὰρ ἡμῖν πολλάκις ὡς ὅταν ἐν τούτῳ καταστῇ τὸ ἐμβαλλόμενον ἄρθρον, ἑτοίμην ἴσχει τὴν ἔμπτωσιν, εἰ καὶ μὴ συνεπωθοῦμεν ἡμεῖς αὐτὸ, τῶν μυῶν ἐργαζομένων τὸ δέον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

C Ἀτὰρ καὶ οἱ περὶ τὸ ὕπερον ἀναγκάζοντες, ἐγγύς τι τοῦ κατὰ φύσιν ἐμβάλλουσι. χρὴ δὲ, τὸ μὲν ὕπερον κατειλῆσθαι ταινίῃ τινὶ μαλθακῇ, ἧσσον γὰρ ἂν ἀπολισθάνοι, ἀναγκάζει δὲ μεσηγὺ τῶν πλευρέων, καὶ τῆς κεφαλῆς τοῦ βραχίονος, καὶ ἢν μὲν βραχὺ ἔῃ τὸ ὕπερον, καθῆσθαι χρὴ τὸν ἄνθρωπον ἐπί τινος, ὡς μόλις τὸν βραχίονα περιβάλλειν δύνηται περὶ τὸ ὕπερον. μάλιστα δὲ ἔστω μακρότερον τὸ ὕπερον, ὡς ἂν ἑστὼς ὁ ἄνθρωπος, κρέμαιτο μικροῦ δεῖν ἀμφὶ τῷ ξύλῳ. κἄπειτα, ὁ μὲν βραχίων, καὶ ὁ πῆχυς παρατεταμένος παρὰ τὸ ὕπερον ἔστω. τὸ δὲ ἐπὶ θάτερα τοῦ σώματος, καταναγκαζέτω τις περιβαλὼν
D κατὰ τὸν αὐχένα παρὰ τὴν κληῖδα τὰς χεῖρας.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ οὗτοι μὲν καθόσον ἀντιτείνουσι χρῶνται, κατὰ φύσιν ἐμβάλλουσι, καθόσον δὲ ὡσαύτως, ἐφεξῆς περισφάλλεται τὸ κυρτὸν τοῦ ἄρθρου ὑπεροειδὲς, ἐν τούτῳ τὸ κατὰ φύσιν ἁμαρτάνουσι. τὰ δὲ κατὰ μέρος τῆς λέξεως ἁπλᾶ.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ις'.

Αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν ἐπιεικέως ἐστὶ, καὶ ἐμβάλλειν δύναται, ἢν χρηστῶς σκευάσωνται αὐτήν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μετρίως αὐτὴν λέγει κατὰ φύσιν εἶναι. τοῦ-
F το γὰρ σημαίνει ἦν, τὸ, ἐπιεικῶς, ὥσπερ καὶ ὁ ἐπιεικὴς ἄνθρωπος, ὁ μέτριος δηλοῦται πρὸς τῶν Ἑλλήνων. ἔνιοι δὲ νομίσαντες, τὸ ἐπιεικῶς, ἀντὶ μάλιστα λέγεσθαι, καὶ διὰ τοῦτο, οἶμαι, καὶ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως, ἀφείλοντο ἐγγύς τι, γράψαντες. οὕτως γὰρ καὶ οἱ περιαναγκάζοντες κατὰ φύσιν ἐμβάλλουσιν. ἐχρῆν δὲ αὐτοὺς, εἰ καὶ μὴ πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους τοῦτο εἴρητο, κατὰ τὴν ἐφεξῆς ῥῆσιν, ἃ μέμφεται τῆς

dum, ac leniter cavum.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ.

Ἀτὰρ καὶ ἡ διὰ τῆς κλιμακίου ἑτέρη τις τοιαύτη, καὶ ἔτι βελτίων, ὅτι ἀσφαλεστέρως ἂν τὸ σῶμα, τὸ μὲν τῇ, ἀντισηκωθὲν μετεωρισθείη. περὶ γὰρ τὸ ὑπεροειδὲς, ὅμως, εἰ καὶ καταπεπήγῃ, περισφαλῆναι τὸ σῶμα κίνδυνος, ἢ τῇ, ἢ τῇ.

HIPPOCRATIS TEXTUS XVII.

Quin & alius quidam modus eſt per ſcalam adhuc melior: quandoquidem tutius ſuſpenſum corpus non magis in hanc, quàm in illam partem, inclinabitur. Licet enim piſtillo humeri articulus inhæreat, periculum eſt ne corpus in hanc, vel illam partem labatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πέμπτος οὗτος αὐτοῦ τρόπος ἐμβολῆς ἐστι. διότι δὲ βελτίων ἐστὶ τοῦ προειρημένου τοῦ τετάρτου, περὶ τὸ ὑπεροειδὲς, αὐτὸς ἐξηγεῖται σαφέστατα. C

GALENI COMMENTARIUS.

Quintus hic eſt reponendi modus. Ob quam verò cauſam utilior ſit, quàm qui pońitus eſt quarto loco, apertè ipſe expoſuit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη'.

Χρὴ μέντοι καὶ ἐπὶ τοῦ κλιμακτῆρος ἐπιδεδέσθαι τι ἄνωθεν στρογγύλον, ἐναρμόζον ἐς τὸ κοῖλον τῆς μασχάλης, ὃ προσαναγκάσῃ τὴν κεφαλὴν τοῦ βραχίονος ἐς τὴν φύσιν ἀπιέναι.

HIPPOCRATIS TEXTUS XVIII.

Alligandum autem eſt ſuper gradum rotundum aliquid, quod alæ ſinui conveniat, ut humeri caput in ſuam ſedem compellatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D

Ἐξ αὐτοῦ τοῦ κατὰ τὴν κλιμακτῆρα ξύλου τοιοῦτον ἐξέχον, εὐθὺς ἀπ' ἀρχῆς γίνεται κατὰ τὸ μηχανικὸν κλιμάκιον, ᾧ καὶ ἡμεῖς συνήθως χρώμεθα. παραπλήσιον δέ ἐστι τῷ κατὰ τὴν ἐφεξῆς ὑπ' αὐτοῦ μέλλοντι γράφεσθαι ξύλῳ, κατὰ τὴν ἄμβην ἔχοντι τὸ πέρας, ἐφ' ᾧ καὶ τοὔνομα προσαγορεύουσιν αὐτὸ ἄμβην, οἱ μετ' αὐτὸν ἰατροὶ πάντες. ἐπιτίθεται δὲ τοῦτο καὶ τοῖς στασίμοις ὀργάνοις, οἷόν ἐστι τό τε τοῦ Ἀνδρέου, καὶ τὸ τοῦ τέκτονος, ὧν οὐδετέρου ἀναγκαῖόν ἐστι λέγειν νῦν τὴν κατασκευήν. εἴρηται γὰρ μυρίοις τῶν νεωτέρων ὀργανικῶν, ἐν οἷς γεγράφασι περὶ τῶν ὀργάνων. ἡμῖν δὲ νῦν πρόκειται Ἱπποκράτους ἐξηγεῖσθαι, χρωμένου πρὸς ἅπαντα, τὰ σφοδροτέρας ἀντιτάσεως καὶ μοχλείας δεόμενα, τῷ καλουμένῳ βάθρῳ. E

GALENI COMMENTARIUS.

Ex eo ipſo ligno, ex quo gradus conficitur, tale quidpiam exeat initio protinus, quùm ſcalæ machinamentum paratur, quo nos etiam frequenter utimur. Simile autem eſt ligno, quod proximè ſubdet; quod ſummum habet capitulum rotundum, ac leniter cavum, undè apud recentiores medicos ferè omnes Græcè ἄμβης nomen invenit. Conſuevit autem illis organis adjici, quæ è recto collocantur: cujuſmodi eſt organum tum Andreæ, tum Fabri. Neutrius autem ſtructuram adſcribere nunc oportet, poſita enim eſt à ſexcentis architectis junioribus, quà de organis ſcribunt. Nobis autem inſtitutum eſt Hippocratem explanare, qui ad omnia validiſſimè in contrarias partes, ſeu extendenda, ſeu impellenda, eo machinamento utitur, quod ſcamnum appellatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ'.

Κρατίστη μέντοι πασέων ἐμβολέων ἡ τοιήδε. ξύλον χρὴ εἶναι, πλάτος μὲν ὡς πενταδάκτυλον, ἢ τετραδάκτυλον τὸ ἐπίπαν, πάχος δὲ, ὡς διδάκτυλον, ἢ καὶ λεπτότερον, μῆκος δὲ δίπηχυ, ἢ ὀλίγῳ ἔλασσον. ἔστω δὲ ἐπὶ θάτερα τὸ ἄκρον περιφερὲς, καὶ στενότατον ταύτῃ, καὶ λεπτότατον. ἄμβην δὲ ἐχέτω, μικρὸν ὑπερέχουσαν ἐπὶ τῆς ἐσχάτης τῆς περιφερείας ἐν τῷ μέρει, ἀλλὰ μὴ τῷ πρὸς τὰς πλευρὰς, ἀλλὰ τῷ πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος ἔχοντι, ὡς ἐφαρμόζειν τῇ μασχάλῃ παρὰ τὰς πλευρὰς ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος ὑποτιθέμενος·

HIPPOCRATIS TEXTUS XIX.

F *Inter omnes reponendi modos hic præſtantiſſimus eſt. Lignum accipitur ad ſummum quinos, vel certè quaternos digitos latum: craſſum verò binos, aut etiam minus: longum cubitos duos, vel paulo brevius: quod ab altero extremo rotundum ſit, anguſtiſſimum, ac maximè tenue: in ſummum capitulum rotundum, ac leniter cavum habeat, paruḿque extet ab una parte, non quidem versùs latus: ſed versùs humeri caput, ut huic ſubjectum, alæ juxta latus accommodetur.*

aperte exponens ſtructuram ligni, cujus extremo ſuper impoſitum eſt capitulum rotundum, ac leniter cavum. Hoc quia ſimile eſt labro, quod Græci vocant ἄμβωνα, medici totum lignum ἄμβην appellant, tale ſiquidem labrum eſt, quale videmus in ollis converſum in interiorem partem, verſus cavum. undè quidam comicus, ut per jocum morderet, dixit quendam ollarũ ἄμβωνας delingere. Attici igitur maſculino genere ἄμβωνας, Iones fœminino ἄμβας, hujuſmodi librorum figuras appellant. Commodiſſimè autem capitulum hoc demittitur inter latus atque humeri caput, utiliſſimumque eſt ad impellendum, quùm firmiter, quod gibbum eſt ex humeri capite, excipiat. In univerſum autem ſingula ipſius verba plana ſunt.

HIPPOCRATIS TEXTUS XX.

Poſt hæc tignum tranſverſum inter duas columnas bene alligandum eſt, ſuperque id brachium cum ligno imponendum, ita, ut ab una parte brachium ſit, corpus ab altera, ſed tignum juxta alam: dein ab altera parte circa tignum attrahendum brachium cum ligno, ab altera reliquum corpus. Vinciatur autem tranſverſum lignum ſublime, ut reliquum corpus ſuſpenſum imis pedibus ſit. Modus hic reponendi capitis humeri præſtantiſſimus eſt: juſtiſſimè enim impellit, modo lignum retrò magis, quam humeri caput, demittatur: juſtiſſimè item in contrarias partes inclinat, oſque humeri tutum ſervat. Vbi caſus quidem recens ſit, articulus citius opinione reconditur, prius item, quàm extentus videatur.

GALENI COMMENTARIUS.

A

Duæ columnæ, &c.

Columnas conſtat ab ipſo στύλους appellari, tignum verò tranſverſum, quod ab una columna ad alteram pervenit σφαστῆρα.

HIPPOCRATIS TEXTUS XXI.

Sed & quæ jamdiu exciderunt, hoc tantùm modo reponi poſſunt, niſi tempore caro in cavum venerit, atque humeri caput locum ſibi tritum fecerit, in quem veniat. Vbi autem luxato malum ita inveteraverit, hac via arbitror poſſe reſtitui: nam quid non moveat juſtus impulſus? manere tamen ſuo loco non puto, ſed prolabi, ut conſuevit. Idem efficies, ſi ſuper gradum vim adhibeas, hac reponendi ratione uſus.

διδάσκειν ἄρχεται, τὴν κατασκευὴν τοῦ ξύλου, γράφων σαφῶς, ᾧ κατὰ τὸ πέρας ἐπικειμένης ὀφρύος ἄμβωνι παραπλησίας, ὅλον αὐτὸ προσαγορεύουσιν ἄμβην, οἱ ἰατροί. τοιαύτη δέ ἐστιν ἡ ὀφρὺς, οἵα κατὰ τῶν λεπάδων πέρας τὸ ἄνω, γέγονε πρὸς τὴν ἐντὸς ἐστραμμένην κοιλότητα. καί τις τῶν κωμικῶν ἐποίησεν ἐπισκώπτων τινὰ δὲ, τῶν λεπάδων τοὺς ἄμβωνας περιλείχειν. ἀρρενικῶς μὲν οὖν ἄμβωνας οἱ Ἀττικοὶ, θηλυκῶς δὲ C οἱ Ἴωνες τὰ τοιαῦτα σχήματα καλοῦσιν ἄμβας. ἐπιτηδειότατον δὲ ἐπὶ τοῦτο παραδοῦναι μεταξὺ τῆς κεφαλῆς τοῦ βραχίονος, καὶ τῶν πλευρῶν. καὶ μέντοι καὶ μοχλεύουσι χρησιμώτατον, ἀσφαλῶς περιλαμβάνον τὴν κυρτότητα τῆς κεφαλῆς τοῦ βραχίονος, τὰ δὲ κατὰ μέρος ἅπαντα τῆς ῥήσεως αὐτοῦ, σαφῆ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ΄.

D Ἔπειτα χρὴ μεσηγὺ δύο στύλων, σφαστῆρα πλάγιον εὖ προσδῆσαι, ἔπειτα ὑπερτείνειν τὴν χεῖρα ξὺν τῷ ξύλῳ, ὑπὲρ τοῦ σφαστῆρος, ὅκως ἡ μὲν χεὶρ ἐπὶ θάτερα ἔῃ, ἐπὶ θάτερα δὲ τὸ σῶμα. κατὰ δὲ τὴν μασχάλην ὁ σφαστήρ. κἄπειτα ἐπὶ μὲν θάτερα τὴν χεῖρα καταναγκάζειν ξὺν τῷ ξύλῳ περὶ τὸν σφαστῆρα, ἐπὶ θάτερα δὲ, τὸ ἄλλο σῶμα. ὕψος δὲ ἔχων ὁ σφαστὴρ προσδεδέσθω, ὡς τὸ μετέωρον τὸ ἄλλο σῶμα εἶναι ἐπ᾽ ἄκρων τῶν ποδῶν. οὗτος ὁ τρόπος παραπολὺ κράτιστος ἐμβολῆς ὤμου· δικαιότατα μὲν γὰρ μοχλεύει, ἢν καὶ μοῦνον ἐσωτέρω ᾖ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος, δικαιόταται δὲ αἱ ἀντιρροπαὶ, ἀσφαλέες δὲ τῷ τοῦ βραχίονος ὀστέῳ. τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει E θᾶσσον ἢ ὡς ἄν τις οἴοιτο, πρὶν ἢ κατατετάσθαι δοκέειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Στύλους μὲν δῆλον ὅτι λέγει τοὺς κίονας. σφαστῆρα δὲ, ξύλον, μεταξὺ ἧκον ἀπὸ τοῦ ἑτέρου κίονος, ἐπὶ τὸν ἕτερον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα΄.

Ἀτὰρ καὶ τὰ παλαιὰ μούνη αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι, ἢν μὴ ἤδη ὑπὸ χρόνου σὰρξ μὲν ἐπαλλακτήθη ἐπὶ τὴν κοτύλην. ἡ δὲ κεφαλὴ τοῦ βραχίονος, ἤδη τρίβον ἑωυτῇ πεποιημένη ἔῃ ἐν τῷ χωρίῳ ἵνα ἐξεκλίθη, οὐ μὴν ἀλλ᾽ ἐμβάλλειν γὰρ μοι δοκέει, καὶ οὕτω παλαιούμενον ἔκπτωμα τοῦ βραχίονος. τί γὰρ ἂν δικαίη μόχλευσις οὐχὶ κινήσειεν, μένειν μέντοι οὐκ ἂν μοι δοκέῃ κατὰ χώρην, ἀλλ᾽ ὀλισθαίνειν ἂν ὡς τὸ ἔθος. τὸ αὐτὸ δὲ ποιέει καὶ περὶ κλιμακτῆρα καταναγκάζειν, τοῦτον τὸν τρόπον σκευάσαντα.

τας, καὶ μεγάλαις ὀφρύσιν ἐρριζωμένας, αὐτός τε, καὶ ἄλλοι τῶν ἰατρῶν, ὀνομάζουσι κοτύλας. ἀλλὰ νῦν γε κατὰ γνώμην ἥπως παρηγόρευσεν, εἰς ἣν ἐμπίπτουσιν αἱ παρακείμεναι σάρκες, ὅταν ἐξάρθρημα γένηται, καταλαμβάνουσαι τὴν χώραν τὴν πρότερον, ἣν ἡ κεφαλὴ τοῦ βραχίονος κατειλήφει. τοιγαροῦν συμβαίνει ἐκ τοῦ ἀποκλεῖσαι, τήν τε οἰκείαν χώραν τῆς κεφαλῆς τοῦ βραχίονος, ἔκ τε τοῦ τὰς ὑποδεξαμένας τυλωθείσας ἀντὶ κοτύλης αὐτῆς γίνεσθαι, κἂν ἐμβληθῇ ποτε, μὴ δύνασθαι μένειν. ἀποθέμεναι μὲν αὐτὴν σάρκες ἕνεκα τοῦ ἀποκειμένου τῇ κοτύλῃ· παρὰ φύσιν γὰρ αὐτὴν ὑποδεξαμένων τινῶν ὀστῶν, ἐκ τοῦ τυλωθῆναι, παραπλησίαν διαρθρώσει κοιλότητα λαμβανόντων.

B τύλας appellant alta cava, ac magnis oris ſepta: ſed nunc jure ſuo mutuatus eſt hoc vocabulum ad ſignificandum cavum, in quod proxima caro conjicitur, quùm articulus luxatur, & locum occupat, in quod humeri caput antè recipiebatur. Igitur & proptereaquòd ipſe ſinus capitis humeri obſtructus eſt: & proptereaquòd locus, in quem venit, occaleſcens, ſinus vicem præſtat, fit ut, ſi quando reponatur, contineri non poſſit: cum caro, quæ juxta erat, ſinum præter naturam occupet, & ea, quæ oſſi locum facit, occalleſcens commiſſuræ ſinum referat. C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

Πάνυ μὲν ἱκανῶς ἔχει, καὶ περὶ μέγα ἕδος Θεσσαλικὸν ἀναγκάζειν, ἢν νεαρὸν ἔτι τὸ ὀλίσθημα. σκευάζεσθαι μέντοι χρὴ τὸ ξύλον ὥσπερ εἴρηται. ἀτὰρ τὸν ἄνθρωπον καθίσαι πλάγιον ἐπὶ τοῦ δίφρου, κἄπειτα τὸν βραχίονα ξὺν τῷ ξύλῳ ὑπερβάλλειν ὑπὲρ τοῦ ἀνακλισμοῦ, καὶ ἐπὶ μὲν θάτερα τὸ σῶμα καταναγκάζειν, ἐπὶ δὲ θάτερα, τὸν βραχίονα σὺν τῷ ξύλῳ. τὸ αὐτὸ δὲ ποιέειν ἀναγκάζειν καὶ ὑπὲρ δικλίδος θύρης, χρέεσθαι δὲ τούτοισιν ἃ ἂν τύχῃ παρεόντα.

HIPPOCRATIS TEXTUS XXII.

Satiſque omninò fuerit, ſi recens adhuc vitium ſit, ſuper magnum ſedile Theſſalum vim adhibere. Sed parari lignum convenit, quemadmodum dictum eſt, atque hominem in latus converſum ſedili inſidere, brachio cum ligno ſuper eam partem ſedilis injecto, cui ſedentes dorſo inhærent: atque ab una parte corpus attrahere, ab altera humerum cum ligno. Idem quoque facere licet ſuper fores bipartitas. His autem utendum eſt, prout præſto ſunt. D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Θρόνου τι τοιοῦτον ἦν σχῆμα, κατὰ Θετταλίαν μάλιστα πλεονάζων πάλαι, κατ' εὐθείας γραμμῆς ἀνατεταμένον εἰς ὕψος ὀρθὸν ἔχον τὸ μέρος ἐπικλινόμενον τῶν ἑδρίων, περὶ οὗ τὴν ἀντίτασιν ἀξιοῖ ποιεῖσθαι, καθάπερ ἔμπροσθεν ὑπὸ τοῦ σταυροῦ ἐδίδαξεν. ὅπως δὲ χρὴ καθίζειν τὸν χειριζόμενον ἐπὶ τοῦ δίφρου, σαφῶς αὐτὸς ἐδήλωσε. τὸ δὲ αὐτὸ ποιεῖν καὶ ἐπὶ δικλίδος θύρας ἀναγκάζει. εἰσὶ δέ τινες τοιαῦται θύραι, κατὰ μέσον ἑαυτῶν ἔχουσαι ἐγκείμενον ξύλον ἰσχυρόν, οἷον ὀλίγον ἔμπροσθεν ὁ σταυρὸς, μεταξὺ τῶν δύο κιόνων ὑπάρχειν ἐλέγετο. τοῦδε τοῦ ξύλου, κάτωθεν μὲν ἑτέρα τίς ἐστιν ἀνοιγομένη θύρα, ἄνωθεν δὲ ἄλλη, καὶ διὰ τοῦτο δὴ, καὶ τὴν θύραν δικλίδα εἴρηκεν, οἷον διπλῆν τινα, περιέχουσαν ἐν ἑαυτῇ δύο θύρας μικράς. ὑπερβάλλεσθαι κελεύει τὸν ἐξηρθρηκότα ὦμον ὑπὲρ τὸ μεταξὺ δύο θυρῶν ξύλον, ἕνεκα τῆς ἀντιτάσεως.

GALENI COMMENTARIUS.

A

Sedile Theſſalicum, &c.

Sedilis quondam hæc figura fuit potiſſimum in Theſſalia, ut ad rectam lineam attolleretur ea parte, cui ſedentes dorſo inhærent, ſuper quam adhiberi voluit vim in diverſa extendendi, quemadmodum antè ſuper tignum docuit. Verùm, quomodo collocare languentem ſuper ſedile oporteat, ipſe apertè explicavit. † Idem efficiens fores bipartitæ, ſi ſuper eas vis adhibeatur. Inveniuntur autem hujuſmodi fores, in quarum medio interjectum eſt lignum firmum, quale paulo antè dixit tignum inter duas columnas. ex his foribus altera ab inferiori parte aperitur, à ſuperiori altera, atque hac de cauſa bipartitas fores vocavit, quaſi duplicem quandam duas in ſe continentem paruas. Docet igitur prolapſum humerum ſuper lignum inter duas fores ſitum imponi, ut intenſio in diverſa admoveatur.

E F

tror Romæ accidiſſe, quoniam medici omnes, ut me conſulerent, quæ præter opinionem evenirent, mihi oſtendebant. Quater igitur procidit, ac ſemper in priorem partem. erat autem diſcrimen, eò quòd nunc ab ipſa magis ad commiſſuram accedebat, nunc ab ipſa magis diducebatur in longitudinem, vel latitudinem membri. Mirabar autem quodammodo, qui fieret ut Hippocrates hoc nunquam viderit: C ex recentioribus verò unus dicat ſemel ſe vidiſſe, alter bis: nemo autem ità ſæpe, ſicut nos hactenus conſpeximus, & fortè rurſus etiam conſpiciemus. Exiſtimamus autem non caſu, ſed ratione id nobis accidiſſe, ut deinceps oſtendemus. In Aſia noſtra primùm inſpeximus humerum ita prolapſum, quùm Smyrnæ adhuc à præceptoribus erudiremur (eſt autem hæc urbs multo major illa, cujus ubique meminit Hippocrates) ut qui ibi plurimum eſſemus. Poſt trigeſimum, & ſecundum annum Romæ degimus: quam urbem tot homi- D nes habitant, ut Polemo Rhetor eam celebrans dixerit, terræ habitatæ compendium. Quod autem quater hactenus ejuſmodi caſus evenerit, patere plane poteſt, eò quòd omnes medici (ut poſui) mecum communicarent, quæcunque præter opinionem nacti eſſent. ac non modò Romæ nihil latere hujuſmodi potuit, ſed neque in portu, atque in proxima urbe, quam Oſtiam nominant, quùm omnibus amicis uterer, quicunque illis locis medicinam exercerent, quæ & ipſa frequentiſſima ſunt. At urbes, quarum meminit Hippocrates, ubi diutius egit, non plures incolunt, quam Romæ E vicum unum. nihil ergo mirum, ſi in frequentiſſima urbe plures incidunt in idem malum. Illud præterea experientia diſcens, ductus ſum ad cauſam inveniendam: nonnullis enim palæſtra, nonnullis medicorum opera, viſus eſt articulus eo modo excidere. nam duo quidem ex iis quos vidi, articulum in alam veniſſe mihi retulerunt: medicis autem imperitè urgentibus, muſculorum complexu arctè contentum fuiſſe ſecus, ac principio apparuiſſet. Quocirca, ſi Romæ has duas cauſas præter homi- F num frequentiam adjicias, requires, non quidem cur tot nactus ſim, quibus humeri articulus ita prociderit, ſed cur non plures. Hippocratis enim ſeculo medici optimè artis præcepta diſcebant, atque ea præſertim, quæ ad hujuſmodi manus operam pertinent: ea nunc à medicis, vel nullo modo addiſcuntur, vel certè exiguo temporis ſpacio: deinde palæſtræ uſus mirum in modum increvit. ubi ejus magiſtri membra variis modis contorquent, at-

θῆναι, τὸ συμβὰν τινὶ γίνεσθαι πάθημα τοιοῦτον ἐν τῇ πόλει διὰ τὸ πάντας ἰατροὺς ἐοικέναι ἐμοὶ τὰ παράδοξα δεικνύναι, συμβάντων ἕνεκα, ἐγένοντο μὲν τέτταρες ἐκπτώσεις, ἅπασαι μὲν εἰς τὴν πρόσω χώραν, διαφέρουσαι δ' ἀλλήλων πλησιαίτερον, ἢ πορρώτερον εἶναι τῆς διαρθρώσεως, κατὰ τὸ μῆκος τοῦ κώλου, καὶ πλάτος. ἐθαύμαζον δέ πως, τοῦ μὲν οὐδ' ὅλως, τῶν δὲ μετ' αὐτὸν ἑωρακέναι λεγόντων, ὁ μέν τις ἅπαξ, ὁ δὲ δίς, οὐδεὶς δ' οὕτω πολλάκις, ὡς ἡμεῖς ἄχρι δεῦρο. τάχ' ἂν καὶ αὖθις ὀφθῇ μοί τι τοιοῦτον. νομίζω γὰρ οὐ κατὰ τύχην, ἀλλὰ δι' αἰτίας εὐλόγους, οὕτως ἀποτετελέσθαι τὸ πρᾶγμα περὶ οὗ ἑξῆς ἐρῶ. κατὰ μὲν γὰρ τὴν ἡμετέραν Ἀσίαν, τὸ πρῶτον ἐθεασάμην ἔκπτωσιν τοιαύτην, ἔθ' ὑπὸ τοῖς ἐμοῖς διδασκάλοις παιδευόμενος ἐν Σμύρνῃ. ἔστι δ' ἡ πόλις αὕτη, πολλαπλασία τὸ μέγεθος, ἧς Ἱπποκράτης μέμνηται συνεχῶς, ὡς ἐπὶ τὸ πλεῖστον ἐν αὐτῇ διατρίψας, μετὰ τὸ τριακοστὸν ἔτος, ἐν ῥώμῃ διέτριψα, πόλει τοσοῦτον ἀνθρώπων πλῆθος ἐχούσῃ, ὡς ἐπαινοῦντα Πολέμωνα τὸν ῥήτορα, τῆς οἰκουμένης ἐπιτομὴν αὐτὴν εἰπόντα. καὶ τούτων ἐστὶ τέτταρας ἐν αὐτῇ γεγονέναι μέχρι νῦν ἐξαρθρήσεις τοιαύτας, σαφές. διὰ δὲ τὸ πάντας, ὡς ἔφην, ἐμοὶ τοὺς ἰατροὺς κοινοῦσθαι περὶ τῶν παραδόξων ὀφθέντων, οὐ μόνον ἐν ῥώμῃ λαθεῖν οὐκ ἐδύνατο συμβάν τι τοιοῦτον, ἀλλ' οὐδὲ κατὰ τὸν λιμένα, καὶ τὴν πλησίον αὐτοῦ πόλιν ἣν Ὠστίαν ὀνομάζουσι, διὰ τὸ καὶ τοὺς ἐν ἐκείνοις τοῖς χωρίοις ἰατρεύοντας ἅπαντας εἶναι φίλους, εἰσὶ δὲ καὶ αὗται πολυάνθρωποι. αἱ δὲ πόλεις, ὧν Ἱπποκράτης ἐμνημόνευσεν, ὡς ἐν αὐταῖς ἐπὶ πλέον διατρίψας, εἰκὸς ἀμφόδου τῶν ἐν ῥώμῃ, πλείονας οὐκ ἔχειν οἰκήτορας. οὐδὲν οὖν θαυμαστὸν, ἐν πόλει πλῆθος ἀνθρώπων ἐχούσῃ, πλείους ὁμοίως παθόντας. ἔτι δὲ κἀκεῖνο διδαχθεὶς ἀπὸ τῆς πείρας, εἰς τὴν τῆς αἰτίας εὕρεσιν ἐποδηγήθην. ἔνιοι μὲν γὰρ ἐν παλαίστραις τοιοῦτον ἔπαθον πεσόντες, ἐνίοις δ' ἔοικεν ὑπὸ τῶν ἰατρῶν γενέσθαι. δύο γάρ τινες τῶν ὀφθέντων μοι, τὴν μὲν ἔκπτωσιν ἔλεγον εἰς μασχάλην γεγονέναι. μοχλευόντων δ' ἀμαθῶς τῶν ἰατρῶν, σφηνωθῆναι τὸ ἄρθρον, οὐχ ὡς ἑωρᾶτο κατὰ συμβολὰς τῶν μυῶν, ὥστε τῷ κατὰ τὴν τῶν ῥωμαίων πόλιν πλήθει, εἰ προσθείης τὰς εἰρημένας αἰτίας δύο, ζητήσεις, οὐ διὰ τί τοσούτους γε εἶδον, ἀλλὰ διὰ τί γε οὐχὶ πλείους εἶδον, οἷς οὕτως ἐξήρθρησεν. ἐπὶ γάρ τι τῶν Ἱπποκράτους χρόνων, οἱ ἰατρεύοντες ἐμεμαθήκεισαν νομίμως, καὶ μάλιστα περὶ τὰς τοιαύτας χειρουργίας, τέχνην. οἱ δὲ νῦν, ἢ μὴ μαθόντες ὅλως, ἢ παντάπασιν ὀλίγῳ χρόνῳ μαθόντες· εἶτα τῶν παλαισμάτων τῇ ἐμπειρίᾳ, θαυμαστὸν ὅσον ἐπιδέδωκε, τῶν διδασκόντων αὐτὰ πολυειδῶς ἐκστρεφόντων, καὶ λαγι-

[illegible] τῇ κοιλότητι. νῦν δ᾽, ὅτε πάντως μὲν ἐν τοῖς προσθίοις μέρεσι τῆς διαρθρώσεώς ἐστιν, ἤτοι δ᾽ ἐγκέκλεισται πρὸς τὴν ἔνδον, ἢ τὴν ἔξω χώραν, διεσφιγμένον ἐν τοῖς μυσὶν, ὠθεῖν αὐτὸ χρὴ πρὸς τὴν ἐναντίαν χώραν ἐμβαλόντα τῶν μυῶν κατασπασθὲν εἰς τὴν μασχάλην ἐνεχθῆναι. μάλιστα μὲν οὖν, ὅτε ἡ ἀντίτασις ἐναντία γίνεται τούτῳ, καὶ κατὰ ταύτην δὲ τὴν ἀντίτασιν, οὐδὲ χεῖρόν ἐστιν ἐσφηνῶσθαι τὸ κατὰ τὴν μασχάλην χωρίον, ὡς ἐπράξαμεν ἐν Σμύρνῃ περὶ τὸ γενόμενον ἔμπροσθεν ἐξάρθρημα. κατὰ παλαίστραν μὲν γὰρ ἐπί τινι συνέβη, διαπλακείσης τῆς χειρὸς ὑπὸ τοῦ παλαίοντος, ὅτε μάλιστα εἴωθεν εἰς τὸ πρόσω δύνασθαι μεταστῆναι τὸ ἄρθρον. ὑπτίου δὲ κατακλιθέντος τοῦ πεπονθότος, τὴν ἀντίτασιν ἐποιησάμεθα τῇ διὰ τῆς πτέρνης παραπλησίαν, ὄπισθεν μὲν καθίσαντές τινα, παρεμβάλλοντες δὲ τῇ μασχάλῃ πλατὺν ἱμάντα, προϋποβεβλημένου τινὸς εἰς τὸ κοῖλον ἀναπληρώματος. αὖθις δὲ, ὡς ἔφην, ἔξω τῶν περισφιγγόντων τὸ ἄρθρον μυῶν ἀπώσαντες, εἶτ᾽ ἀνέντες τὴν κατάτασιν ἐπετρέψαμεν ἀνασπασθῆναι πρὸς τῶν μυῶν εἰς ἑαυτοὺς συντρεχόντων ἐμβληθῆναι τῇ κοιλότητι. τοῦτο μὲν οὖν εὐκόλως ἐνέπεσε, καὶ γὰρ παραχρῆμα κατ᾽ αὐτὴν τὴν παλαίστραν ἐνεχειρήσαμεν τῇ θεραπείᾳ. καὶ ἤρκεσέ γε ἡ τῆς πεπονθυίας χειρὸς ἡ κατάτασις, ὑφ᾽ ἡμῶν αὐτῶν γενομένη, καθάπερ ἐπὶ τῆς διὰ τῆς πτέρνης ἐμβολῆς, ἄλλοτε δὲ, καὶ διὰ βρόχου τὴν κατάτασιν ἐποιησάμεθα. χρὴ δὲ ἰσότονον εἶναι τὸν βρόχον, οἷός ἐστιν ὁ διπλοῦς καρχήσιος, ὁ ἐκ δυοῖν διαπτίων· ἄλλοτε δὲ, κεχρονισμένου τοῦ ἐξαρθρήματος, ἐδεήθημεν τοῦ Ἱπποκρατείου βάθρου, περὶ οὗ ποιήσεται τὴν διδασκαλίαν αὐτὸς, ἐπὶ προσήκοντι τῷ συγγράμματι, νυνὶ δὲ ἀρκέσει τῶν κατολισθημάτων. ἑξῆς οὖν αὐτῷ περὶ τῆς διαφορᾶς αὐτῶν τῶν σωμάτων, ἐν οἷς ἧττον ἢ μᾶλλον ἐκπίπτει τὰ ἄρθρα, διδάσκοντι συνακολουθήσομεν.

[illegible] cavi : nunc autem, quùm penitus in priori parte commiſſuræ ſit, ſive in interiorem, ſive in exteriorem partem adſtrictus à muſculis inclinetur, impellere ipſum oportet ad contrariam regionem. in quo faciendo periculum eſt, ne ipſe deorſum lapſus à muſculis in alam trahatur. quam rem in diverſa extendentes præcipuè vitamus. Non eſt autem ab re, dum in diverſa contenditur, locum ſepire, qui ſub ala eſt, quod nos Smyrnæ fecimus, ad articulum in priorem partem elapſum. Accidit autem in palæſtra, quùm brachium cuidam à luctante duplicaretur, ſub quo modo potiſſimum articulus in priorem partem prorumpit. nos verò homine reſupinato, intenſionem in contrarias partes adhibuimus ſimilem illi, quæ per calcem fit, quodam à poſteriori parte ſedente, ac loro lato ſub ala injecto, ſinu aliqua re prius completo. Nos (ut diximus) articulum è muſculis, quibus adſtringebatur, expellentes, dein remiſſa intenſione, ſivimus attractum à muſculis in ſe ipſos recurrentibus in ſuum locum reponi. Hic igitur promptè reſtitutus eſt: in palæſtra enim protinus curationem aggreſſi ſumus, ſatiſque fuit affectum brachium à nobis ipſis extendi, non ſecùs atque in eo reponendi modo, ubi calce utimur, interdum etiam extendendi causâ laqueum injicimus. ſit autem laqueus ex iis qui facultatem habent extendendi æqualiter, qualis eſt duplex Carcheſius, qui ex duabus habenis conficitur. Sed, ubi jam diu procidit, opus fuit ſcamno Hippocratis, quod ipſe in ſequentibus tradet. Hæc de articulo prolapſo: pergamus jam ad ea, quæ tractat de corporum varietate, quibus magis, aut minus humeri caput elabitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ΄.

Εἰδέναι μὲν οὖν χρὴ, ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν, ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα. διενέγκοι μὲν γὰρ ἄν τι καὶ κοτύλη κοτύλης, ἡ μὲν εὐυπέρβατος ἐοῦσα, ἡ δὲ ἧσσον. πλεῖστον δὲ διαφέρει καὶ τῶν νεύρων ὁ συνδεσμὸς, τοῖσι μὲν ἐπιδόσιας ἔχων, τοῖσι δὲ ξυντεταμένος ἐών.

HIPPOCRATIS TEXTUS XXIV.

Illud autem ignorare non oportet, quòd in luxatis facilè reſtituendis, naturæ à naturis plurimum differunt, & multum cavum à cavo diſtat: nam hoc quidem facilius, illud verò minus facile ſuperatur: multum etiam diſcriminis eſt inter eos, quibus nervorum conjunctio laxa eſt, & quibus tenſa.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Συντελέσας τὸν περὶ τῶν ἐμβολῶν λόγον, ἤρξατο νῦν διδάσκειν αἰτίας. τισὶν ἐκπίπτει μὲν οὖν ῥᾳδίως, ἐμβάλλεταί τε χωρὶς τῆς μεγάλης πραγματείας ὁποιονοῦν ἄρθρον. ἐν οἷς δὲ ἐκπίπτει ὀλιγάκις, ἐμβάλλεταί γε χαλεπῶς. εἴρηται δ᾽ ὑφ᾽ ἡμῶν ἔμπροσθεν ἤδη, τήν τε τῶν ὀστῶν διαρθρώσεων αἰτιωμένων, τήν τε τῶν περικειμένων αὐταῖς μυῶν, ἤτοι εὐτονίαν, ἢ χαλαρότητα.

GALENI COMMENTARIUS.

Cum ſermonem de reſtituendo abſolverit, cauſam docere incipit, quamobrem nonnullis facilè quivis articulus excidit, ac ſine magno negocio reponitur, nonnullis contrà raro excidit; ſed magno negocio reſtituitur. qua in re nos ſupra, & oſſium commiſſuras cauſati ſumus, & ſuperinjectos muſculos valentes, aut laxos.

HIPPOCRATIS

morem hominis naturalem: at non propterea quod laxiora ſint, idcirco humor ſit in articulis, cujus oppoſitum indicant Hippocratis verba. Videtur autem mihi voluiſſe nervoſa corpora propter humorem hominis facile plurimum extendi, non tamen hoc ſua oratione aſſequitur, ſed particula propter abuſus, lectorem adducit ad intelligendam cauſam.

HIPPOCRATIS TEXTUS XXV.

C

Differunt etiam inter ſe corporis habitus. Quibus enim membrum boni habitus eſt, & carnoſum, articulus minus excidit, & ægrius reponitur: quibus quàm ſoleat tenuius eſt, & minus carnoſum, magis elabitur, & facilius reſtituitur: cujus rei indicio ſunt boves, quibus femur ſuo cavo magis erumpit, tunc quum ipſi emacreſcunt: emacreſcunt autem boves maximè ultima hyeme. Tunc igitur maximè his articuli luxantur, modò quid tale in medicina ſcribere conveniat, ſed certè convenit.

D

GALENI COMMENTARIUS.

Naturæ atque articulorum differentiæ, ſub quibus ipſi, ſeu promptè, ſeu vix procidunt, & revertuntur duæ ſunt, quas ſæpius recenſui, cùm in ſuperioribus habeantur. Illis nonnunquam tertia accedit quam nunc exequitur, à craſſitudine vel macie corporis orta, quam ἕξιν, id eſt habitum dicunt hominibus enim quo habitiores efficiuntur, eò articuli ægrius excidunt, ac reponuntur, quoniam carnis copiâ undique conſtringuntur: contra iis, qui emacreſcunt, relaxatur cutis ejus carnis, quæ commiſſuram complectitur, parumque prohibet, quominùs articulus excidat, & revertatur: nec quicquam deterius agitur cum his qui naturâ graciliores ſunt, quàm cum his qui pleniores: oſtendimus enim in libro de temperamentis, graciſiorem eſſe naturæ ſiccioris, pleniorem magis madere. quocirca muſculi, cùm gracilibus robuſtiores ſint, commiſſuram coarctant: plenioribus caro, quatenus magis abundat, adſtringit id quod articulum ambit; quatenùs autem mollis eſt, facilè pervertitur, quum rotundorum oſſium, quæ ſua ſede moventur, capita admittat, ſicut utrique quod ad articulos excidentes attinet, æquales ſint. Si quis tamen habitior aliquando emacreſcit, facilius huic articuli elabuntur, ac rurſus reconduntur tunc, quàm antea. Non ſecus etiam ſi quis naturâ gracilis, carne impleatur, ei vix procidit,

E

F

γὰρ τὴν ὑγρότητα τῆς φύσεως τῶν ἀνθρώπου γενομένων τῶν νευρωδῶν σωμάτων χαλαρόν, οὐ διότι ταῦτά ἐστι χαλαρά, διὰ τοῦτο ὑγραινομένων τῶν περὶ τὰ ἄρθρα. ἡ λέξις αὐτὴ δὲ ἐναντίον εἴρηκε, δοκεῖ μοι, βουληθεὶς τὴν ἐπὶ μήκιστον ἐπὶ πλεῖον ἔκτασιν τῶν νευρωδῶν ποιῆσαι σωμάτων, ἐκ τῆς τῶν ἀνθρώπων ὑγρότητος, οὐ κρατῆσαι τούτων κατὰ τὴν ἑρμηνείαν, ἀλλὰ χρησάμενος οὐ κυρίως λίαν συνδέσμῳ, πρὸς τὴν τῆς αἰτίας νόησιν ἄγει τοὺς ἀναγινώσκοντας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε'.

Διαφέρει μέντοι καὶ ἕξις τῆς ἕξιος τοῦ σώματος. τοῖσι μὲν γὰρ εὖ ἔχουσι, τὸ γυῖον, καὶ σεσαρκωμένον, ἐκπίπτει τε ἧσσον, ἐμπίπτει τε χαλεπώτερον. ὅταν δὲ αὐτοὶ σφῶν αὐτῶν λεπτότεροι καὶ ἀσαρκότεροι ἔωσι, τότε ἐκπίπτει τε μᾶλλον, ἐμπίπτει τε ῥᾷον. σημεῖον δὲ ὅτι ταῦτα οὕτως ἔχει, τόδε· τοῖσι γὰρ βουσί, τότε ἐκπίπτουσι μᾶλλον οἱ μηροὶ ἐκ τῆς κοτύλης ἡνίκα ἂν αὐτοὶ σφῶν αὐτῶν λεπτότατοι ἔωσι. γίνονται δὲ καὶ βόες λεπτότατοι, τοῦ χειμῶνος τελευτῶντος, τότε οὖν καὶ ἐξαρθρέουσι μάλιστα. εἰ δή τι καὶ τοιοῦτον δεῖ ἐν ἰητρικῇ γράψαι, δεῖ δέ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αἱ μὲν φύσεις καὶ διαφοραὶ τῶν ἄρθρων, ἐφ' αἷς ἢ, τὸ ῥᾳδίως, ἢ μόγις, αἵ τε ἐξαρθρήσεις καὶ ἐμβολαὶ γίνονται, δύο εἰσίν, ἃς ἐγὼ πολλάκις εἶπον, ἔν τε τῇ περὶ ταύτης ἔγραψα ῥήσει. προσέρχεται δὲ αὐταῖς ἐνίοτε καὶ τρίτη περὶ ἧς νῦν διδάσκει, κατὰ πάχος τι, καὶ λεπτότητα τοῦ σώματος γενομένη, ἣν ὀνομάζουσιν ἕξιν. ὅσῳ γὰρ ἂν εὐτραφέστεροι εὐσαρκότεροι γίνωνται ἑαυτῶν οἱ ἄνθρωποι, τοσούτῳ δυσκολώτεραι αἵ τε ἐκπτώσεις τῶν ἄρθρων αὐτοῖς, αἵ τε ἐμβολαὶ συντελοῦνται, διὰ τὸ σφίγγεσθαι πανταχόθεν αὐτὰ ὑπὸ πλήθους τῶν σαρκῶν. ἔμπαλιν δὲ τοῖς λεπτυνθεῖσι, χαλαρὸν μὲν τὸ δέρμα γίνεται τῶν περικειμένων τοῖς ἄρθροις σαρκῶν, ὀλίγαι δέ τε εἰσὶ ταῖς διαρθρώσεσιν. ἐὰν μέν τοί τις ἰσχνὸς ᾖ φύσει, χεῖρον οὐδὲν ἔχει τοῦ παχυτέρου. δέδεικται γὰρ ἐν τοῖς περὶ κράσεων, ὁ μὲν ἰσχνότερος φύσει, ξηρότερος ὢν τὴν κρᾶσιν, ὁ δὲ παχύτερος, ὑγρότερος· ὥστε τῶν μὲν ἰσχνῶν, εὐτονωτέρα οὖσα τῶν μυῶν ἡ οὐσία, σφίγγει τὴν διάρθρωσιν. τῶν δὲ παχυτέρων, καθόσον μὲν πλείους αἱ σάρκες εἰσίν, ἀποκλείουσί γε τὴν πέριξ τῶν ἄρθρων χώραν, καθότι δὲ μαλακαί, ῥᾳδίως διαστέλλονται, παραδέχονται τὰς κεφαλὰς ἑξῆς τῶν ἐξισταμένων φαλακρῶν ὀστῶν. ὥστε ἀνισάζεσθαι τὰ κατὰ τὰς ἐκπτώσεις ἑκατέροις. εἰ μέν τοί τις εὔσαρκος φύσει κατά τινα καιρὸν ἰσχνότερος ἑαυτοῦ γίνεται, ῥᾷον ἂν ἐκπίπτοι τε τότε, καὶ αὖθις ἐμπίπτοι κατὰ τὸν καιρὸν ἐκεῖνον, ἢ πρόσθεν, ὥσπερ καὶ εἰ σαρκωθείη τις, ὢν φύσει λεπτός, ἐκπίπτει τ' ἂν αὐτῷ μό-

ρίων, καὶ βοῶν, οἱ ἀρόται, ὅτι κατὰ τὸν χειμῶνα ἐργάζονται. τούτοισι τοίνυν ἐκπίπτει μάλιστα, ὅτι γὰρ μάλιστα λεπτύνονται. τὰ μὲν γὰρ ἄλλα βοσκήματα δύναται βραχεῖαν τὴν πόαν βόσκεσθαι, βοῦς δὲ οὐ μάλα, πρὶν βαθεῖα γένηται. τοῖσι μὲν γὰρ ἄλλοισίν ἐστι λεπτὴ ἡ προβολὴ τοῦ χείλεος, λεπτὴ δὲ ἡ ἄνω γνάθος· παχεῖα δὲ καὶ ἀμβλεῖα, ἡ ἄνω γνάθος, διὰ ταῦτα ὑποβάλλειν εἰς τὰς βραχείας πόας οὐ δύναται.

B boves (qui arant, quum hyeme laborent: his igitur maximè articulus excidit, quoniam maximè extenuantur. Namque aliud pecus paſcere exiguas herbas poteſt: bos non item, priuſquam grandiores fiant. Aliud enim pecus tenuem habet labrorum prominentiam, tenues item malas: bobus contra labrorum prominentia craſſa eſt, malæ autem hebetes, & craſſæ, atque idcirco exiguis herbis non poſſunt eas ſubjicere.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πρόβατα νῦν εἶπεν, ἅπαντα τὰ βοσκήματα, καθάπερ ἐν τῷ περὶ ἱερῆς νόσου γέγραπται κατὰ λέξιν οὕτως. οὐκ ἔστιν ἄλλο πρόβατον οὐδὲν, ἢ βόες, καὶ αἶγες. καὶ τὸ παρὰ τῷ ποιητῇ τοιοῦτόν ἐστιν, ἔνθα φησί,

Πολλά τε οἱ πρόβατά ἐστι.

Βούλεται γὰρ ἀγέλας βοσκημάτων δηλοῦν. ἐχρήσαντο καὶ ἄλλοι οὕτως τῶν παλαιῶν τῇ φωνῇ.

GALENI COMMENTARIUS.

C Pecus πρόβατα nunc dixit, ſignificare volens univerſum pecus, quemadmodum & in libro de morbo comitiali, ubi ad verbum legitur Οὐκ ἔστιν ἄλλο πρόβατον οὐδὲν ἢ βόες καὶ αἶγες. Simile quid apud Poëtam legitur, ubi ait,

Πολλά τε οἱ πρόβατά ἐστι,

Vult enim ſignificare gregem pecudum armentumque: quam vocem è majoribus multi ſimiliter uſurparunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ'.

Τά τε αὖ μώνυχα τῶν ζώων, ἅτε ἀμφώδοντα ἐόντα, δύναται μὲν γὰρ σαρκάζειν, δύναται δὲ ὑπὸ τὴν βραχεῖαν πόαν ὑποβάλλειν τοὺς ὀδόντας, καὶ ἥδεται τῇ οὕτως ἐχούσῃ πόῃ μᾶλλον, ἢ τῇ βαθείῃ. καὶ γὰρ τὸ ἐπίπαν ἀμείνων, καὶ στερεωτέρη ἡ βραχεῖα πόη τῆς βαθείης, ὅτι καὶ πρὶν ἐκκαρπεῖν τὴν βαθεῖαν. διὰ τοῦτο οὖν ἐποίησεν ὧδε τάδε τὰ ἔπη.

Ὡς δ᾽ ὁπότ᾽ ἀσπάσιον ἔαρ ἤλυθε βουσὶν ἕλιξιν.

ὅτι ἀσμενωτάτη τοῖσιν αὐτοῖσιν ἡ βαθεῖα πόη φαίνεται. ἀτὰρ καὶ ἄλλως, ὁ βοῦς χαλαρὸν φύσει τὸ ἄρθρον τοῦτο ἔχει μᾶλλον τῶν ἄλλων, διὰ τοῦτο καὶ εἰλίπους ἐστὶ μᾶλλον τῶν ἄλλων ζώων, καὶ μάλιστα ὅταν λεπτὸς καὶ γεραλέος εἴη, διὰ ταῦτα πάντα καὶ ἐκπίπτει βοῒ μάλιστα. πλείω δὲ γέγραπται περὶ αὐτῶν, ὅτι πάντων τῶν προειρημένων ταῦτα μαρτύριά ἐστι. περὶ οὗ νῦν ὁ λόγος, τοῖσιν ἀσάρκοισι μᾶλλον ἐκπίπτει, ὡς θᾶσσον ἐμπίπτει, ἢ τοῖσιν εὖ σεσαρκωμένοισι, καὶ ἧσσον ἐπιφλεγμαίνουσι τοῖσιν ὑγροῖσιν καὶ τοῖσιν ἀσάρκοισιν, ἢ τοῖσι σκελιφροῖσι, καὶ σεσαρκωμένοισι.

HIPPOCRATIS TEXTUS XXVII.

D *Verum animalia quæ ſolidi pedis ſunt, utpote quæ utrinque ſint dentata, vellere poſſunt, & exiguis herbis dentes ſubjicere, gaudentque ejuſmodi herba magis quàm grandiori. Omnino enim melior eſt ac firmior exigua herba, quàm quæ grandis eſt, antequàm ad maturitatem veniat: ac propterea ſcripſit,*

Sicut quando redit gratum ver bobus, in orbem

E *Crura quibus vertuntur quoniam grandior herba jucundiſſima illis videtur. Sed & bos naturâ hunc articulum laxiorem reliquis habet, atque ea de cauſa pedem circumvolvit magis quàm cætera animalia, præſertim ubi macie ſenioque confectus ſit: quas ob res omnes bovi maximè prolabitur. Plurima de ipſo ſcripta ſunt, quoniam hæc fidem faciunt eorum omnium quæ propoſita ſunt. Sed, ut eò revertatur oratio, unde digreſſa eſt, gracilibus magis prolabitur articulus, ac citius reponitur, quàm iis, qui bono habitu ſunt: minuſque inflammatione tentantur madentes, ac graciles, quàm ſicci & carnoſi.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ σαρκάζειν, ἔνιοι μὲν δηλοῦν φασὶ, συνάγειν ἀλλήλοις τὰ χείλη σφοδρῶς οὕτως, ὡς δύνασθαι καὶ ἀποσπᾶσθαί τι βοτάνης μέρος ὑπ᾽ αὐτῶν. ἔνιοι δὲ τὸ, τοῖς ὀδοῦσι τὸ κάτω μετὰ τοῦ ἄνω χείλους ἐργάζεσθαι ταὐτὸ, ἐπειδὴ καὶ οἱ σαρκάζοντές τινες δάκνουσι τοῖς ὀδοῦσι τὸ χεῖλος. ἀλλ᾽ ἐκεῖνοι μὲν, τοῖς ἄνωθεν ὀδοῦσι τὸ κάτω χεῖλος δάκνουσι· τὰ δὲ μηρυκάζοντα, τὸν κάτω στοῖχον μόνον ἔχοντα τῶν ὀδόντων, χρώ-

GALENI COMMENTARIUS.

F Vellere Hippocrates σαρκάζειν dixit, quo vocabulo nonnulli ſignificari volunt, labra vehementer inter ſe conjungere, ſic,ut herbæ partem avellant: alii inferioribus dentibus cum ſuperiori labro idem efficere, nam qui derident (σαρκάζοντες græcè dicuntur) dentibus labrum mordent. Verùm illi quidem ſuperioribus dentibus mordent labrum inferius: animalia verò quæ ruminant, quùm inferiorem tan-

gent, quoniam nequeunt exiguam herbam, aut *σαρκάζειν*, id eſt dentibus abſcindere, aut labris prehendere: boves enim non habent labra ita tenuia, ut exiguam herbam circumplicare atque comprehendere poſſint, quemadmodum & capræ & oves. Hæc tria animalium genera multifidos pedes habent: ſed ſolidi pedis ſunt, quæ utrinque ſunt dentata; appellantur autem græcè *μώνυχα* contracto vocabulo, ut aſſerunt, qui nominum interpretationem excolunt, à dictione *μονώνυχα*, eò quòd unum unguem habeant, Græci *μόνον ὄνυχα* dicunt: ſolidipedum enim pedes extremi unguibus hominis reſpondent; minuſque inflammatione tentantur, quùm faciliùs articulus excidat, ſequitur ut ſimiliter recondatur: quo fit ut nulla, vel certè quàm minima inflammatio ſuperveniat: namque ubi magna vi procidat, ac revertatur, muſculi dolore vexantur, quem ſubſequitur inflammatio.

χείαν πόαν, ὁμοίως ἕξει καὶ προβάτοις. ταῦτα μὲν οὖν τὰ τρία γένη τῶν ζώων ἔχει χηλάς· μώνυχα δέ ἐστι τὰ ἀμφόδοντα, συγκεκομμένου τοῦ ὀνόματος, ὥς φασιν οἱ τὰς ἐτυμολογίας ζηλοῦντες, ἐκ τῶν μονώνυχα, ἐπειδήπερ ἔχουσιν ἕνα ὄνυχα. τοιοῦτον γὰρ ἐν τοῖς ὁπλοῖς ἔχουσι ζώοις, οἷς ἐστι τὸ κατ' ἄκρους τοὺς πόδας, οἷοίπερ ἀνθρώποις οἱ ὄνυχες, καὶ ἧσσον ἐπιφλεγμαίνει τούτοις, ὅτι καὶ ῥᾷον ἐκπίπτει. τούτῳ γὰρ ἕπεται καὶ τὸ ἐμβάλλεσθαι· τούτοις δ' ἀκόλουθον τὸ μικρὰν, ἢ μηδ' ὅλως ἐπιγίνεσθαι φλεγμονήν. ἐν γὰρ ταῖς βιαίαις ἐκπτώσεσιν, ὥσπερ καὶ ταῖς ἐμβολαῖς, ὀδύναι γίνονται τοῖς μυσὶν, αἷς ἕπονται φλεγμοναί.

HIPPOCRATIS TEXTUS XXVIII.

Minuſque in poſterum articulus alligatur. Atqui ſi citra inflammationem muci juſto plures fuerint, idcirco etiam facilè procidet. Fere autem circa articulos muci redundant magis in gracili, quàm in pleno.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη'.

Καὶ ἧσσόν γε διδέεται ἐς τὸν ἔπειτα χρόνον. ἀτὰρ καὶ ἢν μύξα πλείων ὑπείη τοῦ μετρίου, μὴ ξὺν φλεγμονῇ, καὶ οὕτως ἂν ὀλισθηρὸν εἴη. μυξωδέστερα γὰρ τὰ ἐπίπαν τὰ ἄρθρα τοῖσιν ἀσάρκοισιν, ἢ τοῖσι σεσαρκωμένοισίν ἐστιν.

GALENI COMMENTARIUS.

Quod inquit in poſterum referri poteſt ad duo tempora, & ad id quod repoſito articulo proximum eſt, cum inflammatæ partes curantur, & ad id, quod deinceps citra moleſtiam inſequitur; eo quidem tempore, quod repoſito articulo proximum eſt, ubi inflammatio fit, articulus ab ipſa conſtringitur, quod ipſe etiam narravit: poſt curationem à validis ejuſmodi hominum muſculis, & à quadam duritie, quam muſculis ingens inflammatio relinquit, articulus quaſi vinculo coarctatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἅπαντα δύναται λέγειν διττὸν ἔπειτα χρόνον, τόν τε μετὰ τὴν ἐμβολὴν εὐθέως, ἐν ᾧ θεραπεύονται τὰ φλεγμαίνοντα μόρια, καὶ τὸν τῆς διαδεχομένης αὐτὸν ἐξῆς ἀοχλήτου καταστάσεως. ὁ μὲν γὰρ μετὰ τὴν ἐμβολὴν εὐθέως, ὅταν μετὰ φλεγμονῆς ᾖ, δι' αὐτὴν ἐκείνην ἔχει ἐσφιγμένον τὸ ἄρθρον, ὡς καὶ αὐτὸς εἴρηκεν. ὁ δὲ μετὰ τὴν θεραπείαν, ὅτι σκληροτέρα ἐστὶν ἐπὶ τῶν τοιούτων ἀνθρώπων ἡ τῶν μυῶν οὐσία, καὶ ὅτι διὰ τὰς ἐπιγινομένας φλεγμονὰς μεγάλας οὔσας, ὑπολείπεταί τις ἐν τοῖς μυσὶ σκληρότης, ὡς ὑπὸ δεσμοῦ σφίγγεσθαι τὸ ἄρθρον.

HIPPOCRATIS TEXTUS XXIX.

Sed & caro quoque gracilium, qui arte non fuerint rectè extenuati, mucoſa magis eſt, quam eorum qui pleni ſunt. Ubicunque autem muci cum inflammatione ſunt, inflammatio articulum illigat: ac propterea non admodum elabitur, ubi muci redundant: qui lapſurus utique fuiſſet, niſi locum vel amplius, vel minus, inflammatio occupaſſet. Qui repoſito articulo, par-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

Καὶ γὰρ αὐταὶ αἱ σάρκες τῶν μὴ ἀπὸ τέχνης ὀρθῶς λελιμαγχημένων, αἱ τῶν λεπτῶν μυξωδέστεραί εἰσιν, ἢ αἱ τῶν παχέων. ὅπου μέντοι ξὺν φλεγμονῇ μύξα ὑπογίνεται, ἡ φλεγμονὴ δήσασα ἔχει τὸ ἄρθρον. διὰ τοῦτο, οὐ μάλα ἐκπίπτει τὰ ὑπόμυξα, ἐκπίπτοντα ἂν, εἰ μὴ ἢ πλέον, ἢ ἔλασσον φλεγμονῆς ὑπεγένετο. οἷσι μὲν οὖν ὅταν ἐμπέσῃ τὸ

πασις τῆς φλεγμονῆς. τοὺς οὖν τοιούτους ἰᾶσθαι χρὴ κηρωτῇ καὶ σπληνίοισι, καὶ ὀθονίοισι πολλοῖσιν ὑποδέοντα. ὑποτιθέναι δὲ ἐς τὴν μασχάλην εἴριον μαλθακὸν, καθαρὸν ξυνελίσσοντα, ἐκπλήρωμα τοῦ κοίλου ποιέοντα, ἵνα ἀντιστήριγμα μὲν τῇ ἐπιδέσει ἔῃ, ἀνακωχῇ δὲ τὸ ἄρθρον. τὸν δὲ βραχίονα, ἐς τὸ ἄνω ῥέποντα, ἴσχειν χρὴ τὰ πλεῖστα, οὕτω γὰρ ἂν ἑκαστάτω εἴη χωρίου ἐς ὃ ὤλισθεν ἡ κεφαλὴ τοῦ ὤμου. χρὴ δὲ ὅταν ἐπιδήσῃς τὸν ὦμον, ἔπειτα προσκαταδεῖν τὸν βραχίονα πρὸς τὰς πλευρὰς ταινίῃ τινὶ κύκλῳ περὶ τὸ σῶμα περιβάλλοντα.

dolore enim prohibentur, atque inflammatione extendente. His itaque mederi oportet cerato panniſque, & multas faſcias circundare: tum lanam mollem, ac mundam in alam ſubjicere, donec id cavum compleatur, ut vinculum fulciat, & articulum ſuſtineat. Continere autem humerum oportet, plerunque in ſuperiorem partem converſum: ſic enim fiet ut humeri caput longe collocetur à loco, in quem proruperat. Convenit autem humeri articulo deligato, humerum ipſum ad latus devincire, faſcia in orbem circa corpus porrecta. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C

Ὅσοι διὰ λιμὸν, ἢ διὰ πολιορκίαν, ἢ πένθος, ἢ λύπην, ἢ ἀνορεξίαν, ἐνδεῶς προσφερόμενοι τροφὴν, ἐλεπτύνθησαν, οὐκ εὐθέως αἱ σάρκες αὐτοῖς γίνονται ξηραὶ, καθάπερ τοῖς ὑπὸ τέχνης ὀρθῶς λελεπτυσμένοις. ἀλλ' ὑγροτέρας τοὐπίπαν ἐν ἁπάσαις εἴρηκα προφάσεσιν ἀποτελοῦσας, συντήξεων τινῶν ἐν αὐταῖς γινομένων διὰ τὴν ἔνδειαν. οἷς δὲ καὶ λυπεῖσθαι συμβέβηκε, καὶ μᾶλλον οὗτοι συντήκονται δὴ, καὶ μελεδῶνας οἱ ποιηταὶ τὰς λύπας καλοῦσιν, ἐν ἴσῳ τὰ μέλη ἐδούσας, καὶ κατεσθιούσας. συντήκεται δὲ ἐν αὐταῖς, ἥ τε πιμελὴ πᾶσα, καὶ ὅση μαλακὴ, καὶ ὅση νεοπαγής ἐστι σάρξ. ὅταν δὲ ἰατρὸς ἑκὼν ἰσχνότητα ἐργάζηταί τινι, σῶμα μὲν εὑρημένοις τισὶ τοῦτο πράττει, καὶ μετὰ τοῦτο τρίβει ὅτι χρή. εἴ τις γένοιτο σύντηξις, ἐκκενοῦν αὐτὴν, εἴτε διὰ τῶν ἱδρώτων αἰσθητῶς, ἢ λόγῳ θεωρητῶς κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοήν. εἰκὸς δὲ δήπου, καὶ τῶν ἐδεσμάτων τι, καὶ πομάτων οὐκ ἀμελῶς ἔχειν αὐτὸν, ἀλλὰ καὶ διὰ τούτων ἐπιχειρεῖν εὐλύτους ἐργάζεσθαι τὰς ἐκκρίσεις ἁπάσας, οὐ μόνον ὅσαι διὰ τῆς γαστρὸς, ἀλλὰ καὶ διὰ τῶν οὔρων γιγνομένας. οὕτω γὰρ ἂν μάλιστα πανταχόθεν, εἴ τις εἴη κατὰ τὸ σῶμα διὰ τὴν σύντηξιν ὑγρότης, περὶ τὴν κένωσιν ἔξω τοῦ σώματος ποιοῖτο. μένουσα γὰρ ἔνδον, ὑπομυξώδεις τῷ χρόνῳ τὰς σάρκας ἐργάζεται. κατὰ τὴν ἄδηλον διαπνοὴν μὲν τῶν ἄλλων μᾶλλον γιγνομένην, ὅσον μὲν γὰρ ἀκριβῶς λεπτόν ἐστι, καὶ ὀρρῶδες ἐν τοῖς συντήγμασιν, ἀποχεῖταί τε, καὶ διαφορεῖται. τὸ δὲ ὑποπαχύτερον, ὑπομένει μόνον, ὅπερ ἐν τῷ χρόνῳ γλισχρότατόν τινα προσλαμβάνον, ὅμοιον μύξῃ γίνεται. D E

GALENI COMMENTARIUS.

Quicunque ſeu fame, ſeu obſidione, ſeu luctu, ſeu mœrore, ſive etiam cibi faſtidio alimenti non ſatis ſumentes extenuati ſunt, caro non ſtatim ſicceſcit, ſicut illis, qui arte rectè ſunt extenuati: ſed ferè in omnibus propoſitis caſibus madentior efficitur, quibuſdam tunc ob inopiam liquatis. Magis adhuc tabeſcunt, qui in mœrore ſunt, quem Græci Poëtæ μελεδῶνα idcirco dicunt, quaſi membra edat, devoretque: ſub hoc itaque adeps omnis tabeſcit, & quæcunque caro mollis, ac recens concrevit. Sed ubi medicus de induſtria corpus aliquod extenuat, per ea quæ excogitavit, moliri id contendit: deinceps frictione utitur, quo tempore opus eſt, ſi quid liquatur, exhaurire, vel per ſudorem, qui ſenſui ſubjicitur, vel per expirationem, quæ non ſenſu, ſed ratione percipitur: Ad hæc par eſt ipſum eſculenta aut poculenta non temerè dare; ſed conari per hæc, ut quæcunque educenda ſunt, bene exitum habeant, non modo quæ per dejectiones, ſed & quæ per urinam; eo enim pacto, ſi quis in corpore humor liquaretur, undique extra corpus efflueret; nam ubi in corpore maneat, tempore mucoſas carnes efficit. Quodcunque igitur tenue omnino, ac ſeri naturam habens liquatur, effertur: & per expirationem quæ ſenſu non comprehenditur, magis quàm alio modo diſcutitur: tantum autem ſubſiſtit id quod aliquatenùs craſſum eſt, quod tempore glutinoſum efficitur, à mucis non abhorret.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ'.

F

Χρὴ δὲ καὶ ἀνατρίβειν τὸν ὦμον ἡσυχαίως καὶ λιπαρῶς. πολλῶν δὲ ἔμπειρον δεῖ εἶναι τὸν ἰητρὸν, ἀτὰρ δὴ καὶ ἀνατρίψιος, ἀπὸ γὰρ τοῦ αὐτοῦ ὀνόματος, οὐ τὰ αὐτὰ ἀποβαίνει. καὶ γὰρ ἂν δήσειεν ἄρθρον ἀνάτριψις, χαλαρώτερον τοῦ καιροῦ ἐόν, καὶ λύσειεν ἄρθρον σκληρότερον τοῦ καιροῦ ἐόν· ἀλλὰ διορίσεται ἡμῖν περὶ ἀνατρίψιος ἐν ἄλλῳ λόγῳ. τὸν γοῦν τοιοῦτον ὦμον μαλ-

HIPPOCRATIS TEXTUS XXX.

Neceſſe eſt inſuper humeri commiſſuram ſenſim molliterque perfricare. Opus autem medico eſt multarum rerum, & frictionis etiam experiente: ſiquidem ab eo, quod eodem nomine appellatur, non idem effectus oritur: poteſt enim frictio laxiorem articulum illigare, & juſto duriorem ſolvere. Verum de frictione alibi pertractabimus. Ergo hanc humeri commiſſuram convenit mol-

[illegible] ad frictionem significandam mutuati ſunt vocabulum ἀνατρίψεως pro τρίψεως; at nolim tibi perſuadeas, quemadmodum nonnulli exiſtimarunt, Hippocratem velle manus in perfricanda humeri commiſſura ferri ab inferiori parte ſurſum, quod τρῖψις frictionem, ἀνὰ ſurſum ſignificet: nam verbum ἀνατρίβειν univerſum frictionis genus exprimit, non eam duntaxat, quæ ab inferiori parte ſurſum procedit, quod & ipſe indicavit, quum inquit, ſed de frictione aliquid pertractabimus, ubi frictionem ἀνάτριψιν vocavit: non enim pollicetur ſe de una ſpecie tractaturum, cæteris omnibus omiſſis. Sed in libro etiam de Officina Medici omnes expoſuit, genus univerſum ἀνάτριψιν appellans, quum inquit, Frictio ad reſolvendum valet, & ad ſtringendum, præter hæc ad implendum, ac minuendum, & quæ ſequuntur, quæ tum in commentariis in eum librum perſequuti ſumus, tum in opere de tuenda ſanitate latiſſimè narravimus.

D

HIPPOCRATIS TEXTUS XXXI.

Articulus non violenter dimovendus eſt, ſed quatenus citra dolorem moveatur. Confirmantur autem omnes, alii quidem longiori tempore; alii breviori.

GALENI COMMENTARIUS.

INflammatione remiſſa nihil expeditius eſt, quàm ejuſmodi motus, ſolvit enim illius E reliquias omnes: quibus neglectis, articuli contracti, atque illigati redduntur, utriſque enim vocabulis appellantur.

HIPPOCRATIS TEXTUS XXXII.

His autem indiciis exciderit ne humerus, intelligendum eſt.

GALENI COMMENTARIUS. F

IN libro de fracturis antè ad eos qui errant, aggreditur, quod nunc quoque facit, nam poſtquam errantes redarguit, reponendi rationem ſubjicit, quæ non ſolùm ſequitur quod propoſitum erat, ſed ejus etiam fidem facit. Eam ergo primùm exequutus, nunc deinceps indicia ſubjicit humeri capitis luxati, quæ in exercenda arte neceſſariò præcedunt, in tra-

τῆς ἐπ' ἐκεῖνον ἐπὶ τὰ δεξιὰ, χωρὶς τοῦ τὰς ἶνας ἀναστὰς μεθίστασθαι τὸν μυῶν. τὸ γὰρ τῆς ἀνατρίψεως ὄνομα, τοῖς παλαιοῖς ἀντὶ τοῦ τῆς τρίψεως ἐλέγετο. μὴ τοίνυν ὑπονοήσῃς ὡς ἔδοξαν τινὲς ἀξιοῦν αὐτὸν ἐκ τῶν κάτω μερῶν, ἄνω πέμπεσθαι τὴν φορὰν τῶν χειρῶν, ὁπότε τὸν ὦμον ἀνατρίβοιμεν, ἀλλὰ τὸ ἀνατρίβειν αὐτὸ συμβαίνει, ὅλου τοῦ γένους τῶν τρίψεων ὂν δηλωτικὸν, οὐ μιᾶς διαφορᾶς τῆς κάτωθεν ἄνω. δηλοῖ δὲ τοῦτο καὶ λέγων αὐτὸς, ἀλλὰ διαιρήσομαι περὶ ἀνατρίψεως ἐν ἄλλῳ λόγῳ. οὐ γὰρ δήπου τὸν περὶ μιᾶς διαφορᾶς λόγον ἐρεῖν ἐπαγγέλλεται, τὰς ἄλλας λιπών. καὶ μέντοι κἀν τῷ κατ' ἰητρεῖον, ἁπάσας ἐδήλωσεν αὐτὰς, ὀνομάζων κἀκεῖ τὸ γένος ὅλον, ἀνάτριψις δύναται λῦσαι, δῆσαι, σαρκῶσαι, μινυθῆσαι, καὶ τὰ τούτοις ἐφεξῆς. ὑπὲρ ὧν ἔν τε τοῖς εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνήμασι λέλεκται, μετὰ μέντοι κατὰ τὴν ὑγιεινὴν πραγματείαν εἴρηται, τελεώτατα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα.

ΤΟ δὲ ἄρθρον διακινέειν μὴ βίῃ, ἀλλὰ τοσοῦτον, ὅσον ἀνωδυνίως κινήσεται. καθίσταται δὲ πάντα, τὰ μὲν ἐν πλείονι χρόνῳ, τὰ δὲ ἐν ἐλάσσονι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥδὲν ἐστὶ χρησιμώτερον τῆς τοιαύτης κινήσεως, ἐν παρακμαζούσαις φλεγμοναῖς. λύει γὰρ αὐτῶν τὸ λείψανον ἅπαν, ἐξ οὗ πέφυκεν ἀμεληθέντος, ἀγκυλοῦσθαί τε καὶ δεσμοῦσθαι τὰ ἄρθρα, καλοῦσι γὰρ ἑκατέρως τὸ πάθημα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ.

ΓΙνώσκειν δὲ εἰ ἐκπέπτωκεν ὁ βραχίων, τοῖσδε χρὴ τοῖσι σημείοισι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑν τῷ περὶ τῶν ἀγμῶν, ἐπὶ τοὺς ἁμαρτάνοντας ἧκε τῷ λόγῳ πρότερον, ὃ νῦν ὥσπερ πράξας, ἐπειδὴ συνάψας τῷ πρὸς ἐκείνους ἐλέγχῳ, καὶ περὶ τῆς ἐμβολῆς εἶπεν, οὐ μόνον ἑπόμενον τοῖς εἰρημένοις, ἀλλὰ καὶ μαρτυροῦσιν, ἐπ' ἐκείνην ἀφίκετο πρότερον, εἶθ' ἑξῆς νῦν διδάσκει τὰ γνωρίσματα τοῦ κατ' ὦμον ὀλισθήματος. ἐπὶ μὲν τῶν ἔργων τῆς τέχνης, ἐξ ἀνάγκης προηγούμενα,

μόνον γνοὺς τοῦτο μεμαθηκότος ἐν ἀρχῇ τοῦ λόγου, τὸ γίγνεσθαι τὴν ἔκπτωσιν εἰς μασχάλην, οὐδ᾽ ἂν ἐπινοῆσαι τὴν ἐμβολὴν ἐδυνάμεθα, καὶ διδάσκοντος ἑτέρου μαθεῖν, οὐ μὴν οὐδὲ τὸ γνῶναι σαφῶς, ὅτι εἰς μασχάλην ἔκπτωσις γίγνεται, πρὸ τοῦ γνῶναι τὴν φύσιν ἁπάσης τῆς διαρθρώσεως. εἰ μὲν οὖν τις εἰπὼν ἐμβολὴν, ἐφεξῆς διδάσκει ποίας διαφορᾶς ὀλισθήματος εἴρηκεν ἐμβολὴν, συγχεῖ τάξιν ἀναγκαίαν, ὥσπερ εἰ καὶ ὅστις ἐπὶ τὴν διαφορὰν τῆς ἐκπτώσεως ἀφικόμενος, ἐν τῇ διδασκαλίᾳ, πρότερον αὐτῆς ἐπὶ τὴν φύσιν ἔρχεται τῆς διαρθρώσεως. εἰ γὰρ ὅλως ἐνόησέ τις ὅπως εἰς μασχάλην ἔκπτωσις γίγνεται, περιττὸν αὐτῷ διδάσκεσθαι τὴν φύσιν τῆς διαρθρώσεως. εἰ δὲ πρότερον μὴ ἀκούσειεν, ὡς μάθοι ταύτην ὁποία τίς ἐστιν, ἐφεξῆς δὲ τὴν ἔκπτωσιν, οὐδὲν εἰς δέον τοῦτο πρὸς τὴν τῆς ἐμβολῆς διδασκαλίαν, ἀμέλει, καὶ νῦν ἡμῖν οὐδὲν ἐνεπόδισεν εἰς τὴν τῶν ἐμβολῶν νόησιν ἡ τῶν σημείων ἄγνοια, καὶ τοῦτο ἐν πάσῃ διδασκαλίᾳ θεραπείας ἐστί. δύναται γάρ τις, ἥπατος φλεγμονῆς διδάσκεσθαι θεραπείαν, ἢ κοιλίας, ἢ νεφρῶν, ἢ κόλου, πρὸ τῆς διαγνώσεως τῶν ἐν αὐτοῖς παθῶν, οὐ μὴν θεραπεῦσαι δύναται πρὸ τῆς διαγνώσεως, ὥσπερ οὐ κατὰ μέθοδον, ἢ εὑρεῖν τὴν θεραπείαν, ἢ διδαχθῆναι πρὸς ἑτέρου, πρὶν ἀκριβῶς γνῶναι τοῦ θεραπευομένου μορίου τὴν φύσιν.

rum in alam prolabi, & ipſi invenire modum reponendi poſſumus, & ab altero etiam doceri: non tamen comprehendere modum reponendi, niſi antè ſciverimus humerum in alam procidere: ſicut neque quo pacto in alam procidit, niſi priùs noverimus naturam univerſæ commiſſuræ. Si quis igitur reſtituendi modum præfatus deinceps adjiciat, in quam partem articulum luxatum reſtitui docuerit, neceſſarium ordinem perturbat; id quod accidit etiam ei, qui primò incipit oſtendere; in quas partes articulus erumpat, dein tranſit ad commiſſuræ naturam exponendam; nam ſi quis penitus noſſet, quomodo articulus in alam excideret, ſupervacuum eſſet commiſſuræ naturam hanc docere: ſed quis primò audier, percipiatque, quonam modo hæc habeat, deinde in quam partem articulus venerit, huic nihil opus eſt ad hoc ut reſtituendi modum doceatur. Eodem etiam modo nunc nihil nos prohibuit ſignorum inſcitia, quominus reponendi rationem intelligeremus: quæ res communiter evenit in omni curatione tradenda: poteſt enim doceri quis qua ratione curetur inflammatio iecinoris, ſeu ventriculi, ſeu renum, ſive inteſtini craſſioris, antequam ipſorum affectus teneat: non tamen curare poteſt, priuſquam eos intelligat: ſicut neque ratione curationem invenire, aut doceri ab altero priuſquam naturam calleat partis, quæ curatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδʹ.

Τοῦτο μὲν ἐπειδὴ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι, καὶ τὰς χεῖρας, καὶ τὰ σκέλεα, παραδείγματι χρῆσθαι δεῖ τῷ ὑγιεῖ, πρὸς τὸ μὴ ὑγιὲς, καὶ τῷ μὴ ὑγιεῖ, πρὸς τὸ ὑγιὲς, μὴ τ᾽ ἀλλότρια ἄρθρα καθορῶντα.

HIPPOCRATIS TEXTUS XXXIV.

Primùm quidem quum homines juſtum habeant corpus, & brachia, & crura ad exemplum integri æſtimare vitiatum oportet, & ad exemplum vitiati integrum, neque ſpectare alterius hominis articulos.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ ἀκριβῶς ἴσον ἑκατέρωθεν, ἔκ τε δεξιῶν γε, καὶ ἀριστερῶν, δίκαιον ὠνόμασεν, ἐπεὶ δὲ τῶν κώλων ἰδέαι διαφέρουσι τοῖς ἀνθρώποις εἰσὶν, ἀξιοῖ παραβάλλεσθαι τὸ τοῦ πεπονθότος αὐτοῦ κῶλον ὁμόζυγον, ἐξ ἐκείνου τε τεκμαίρεσθαι, πόσον ἐξήλλακται τοῦ κατὰ φύσιν.

GALENI COMMENTARIUS.

Quod ab utraque parte tam dextra quam ſiniſtra æquale eſt ad unguem, juſtum appellavit. Sed quoniam membrorum forma in hominibus varia eſt, imperat ut affectum membrum cùm pari ipſius affecti hominis membro conferatur: atque inde quatenus à naturali ſtatu receſſerit, conjectura fiat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λεʹ.

Ἄλλοι γὰρ ἄλλων μᾶλλον ἔξαρθροι πεφύκασιν, ἀλλὰ τὰ αὐτὰ τοῦ κάμνοντος, ἢν ἀνόμοιον εἴη τὸ ὑγιὲς τῷ κάμνοντι.

HIPPOCRATIS TEXTUS XXXV.

Aliis enim magis extant, aliis minus, ſed ipſius laborantis, an integer vitiato diſſimilis ſit.

INſcitiam dixit παραφοσύνην, non omnem ſimpliciter intelligens, ſed eam, quę conjuncta eſt, ac proxima ſcientiæ; indicabit autem ipſe in ſequentibus, qui fiat, ut interdum decipiantur, qui protinus cum vitiato integrum conferunt.

ΟΥΧ ἁπλῶς ἅπασαν ἄγνοιαν ὀνομάζει παραφροσύνην, ἀλλὰ τὴν παρακειμένην πη, καὶ τὴν πλησιάζουσαν τῇ γνώσει. διδάξει δ' αὐτὸς διὰ τῶν ἐφεξῆς, ὅπως ἐξαπατᾶσθαι συμβαίνει τοῖς ἐνίοτε παραβάλλουσι τὸ ἐφεξῆς, τὸ ὑγιὲς, τῷ πεπονθότι.

C

HIPPOCRATIS TEXTUS XXXVII.

MUltis enim articuli præ dolore, vel alia de cauſa; ut non exciderint, nequeunt tamen eo modo quo in ſanis corporibus figurari. Intelligere igitur, ac ſcire hujuſmodi habitum oportet: nam multo magis in ala ſentitur caput humeri prolapſi, quàm ejus qui naturaliter habet: ad hæc locus qui à ſuperiori parte ſuper commiſſuram eſt, cavus apparet: item latum eſt ſcapularum ſummum, quà cum jugulo committitur, extare videtur, quum articulus inferiori loco recipiatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζ'.

ΠΟλλοὶ γὰρ ὑπὸ ὀδύνης, ἢ ὑπ' ἄλλοις προφάσιος, οὐκ ἐξεστεώτων αὐτέοισι τῶν ἄρθρων, ὅμως οὐ δύνανται ἐς τὰ ὅμοια σχήματα καθιστάναι, ἐς οἷα περ τὸ ὑγιαῖνον σῶμα σχηματίζεται. προσξυνιέναι δὲ δεῖ οὖν, καὶ ἐννοεῖν. καὶ τόδε τὸ σχῆμα χρὴ, ἀτὰρ καὶ ἐν τῇ μασχάλῃ ἡ κεφαλὴ τοῦ βραχίονος φαίνεται ἐγκειμένη, πολλῷ μᾶλλον τοῦ ἐκπεπτωκότος ἢ τοῦ ὑγιέος. τοῦτο δὲ ἄνωθεν, κατὰ τὴν ἐπωμίδα, κοῖλον φαίνεται τὸ χωρίον, καὶ τὸ τοῦ ἀκρωμίου ὀστέον ἐξέχον φαίνεται, ἅτε
D ὑποδεδυκότος τοῦ ἄρθρου ἐς τὸ κάτω τοῦ χωρίου.

GALENI COMMENTARIUS.

INſcitiam quam, ipſe παραφροσύνην dixit, nunc unam ponit, quæ in figurando accidit. Interdum enim nequeunt affecta membra aliquo modo figurari, quamvis hoc ægris non accidat, propterea quòd articulus eruperit; ſed vel dolore, vel muſculorum intenſione. Deinceps inſcitiam alteram ſubjicit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΜΙαν μὲν τήνδε παραφροσύνην, ὡς αὐτὸς ὠνόμασεν, νῦν ἐδίδαξεν ἐν τῷ νῦν λόγῳ, περὶ τὰ σχήματα γινομένην, ἐνίοτε γὰρ οὐ δύνανται ταὐτὰ σχήματα περιτίθεσθαι τοῖς πεπονθόσι κώλοις· οἱ κάμνοντες δὲ, οὐ δι' ἔκπτωσιν ἄρθρου τοῦτο πάσχουσι, ἀλλὰ δι' ὀδύνην, ἢ σύστασιν μυός. ἐφεξῆς δὲ, ἑτέραν ἄγνοιαν διδάσκει.

E

HIPPOCRATIS TEXTUS XXXVIII.

IN quo etiam accidit inſcitia, de qua in ſequentibus agemus: eſt enim memoratu digna.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

ΠΑραξυνίεσθαι καὶ ἐν τούτῳ ἔχει τινὰ, ἀλλ' ὕστερον περὶ αὐτοῦ γεγράψεται, ἄξιον γὰρ γραφῆς ἐστι.

GALENI COMMENTARIUS.

IN eo quod locus, qui humeri commiſſuræ ſuperjectus eſt, cavus conſpicitur, quendam incidere errorem ait, quem in ſequentibus dictūrum ſe pollicetur; id autem interdum evenit, ubi jugulum à lato ſcapularum oſſe diducitur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ κατὰ τὴν ἐπωμίδα, κοῖλον φαίνεσθαι τὸ χωρίον, ἔχειν τινὰ διαμαρτίαν φησὶν, ἣν ὕστερον ἐρεῖν ἐπαγγέλλεται. γίνεται γὰρ ἐνίοτε τοῦτο, διασπασθείσης τῆς
F κλειδὸς ἀπὸ τῆς ὠμοπλάτης.

HIPPOCRATIS TEXTUS XXXIX.

PArtim etiam à latere cubiti eminentia recedere magis videtur ab eo humero, qui prolapſus eſt, quàm ab altero: ſi quis tamen cogat, adducitur quidem, ſed cum dolore.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθ'.

ΤΟ δὲ δὴ, τοῦ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται ἀφεστὼς μᾶλλον ἀπὸ τῶν πλευρέων, ἢ τοῦ ἑτέρου. εἰ μέντοι τις προσαναγκάζει, προσάγεται μὲν, ἐπιπόνως δέ.

B Τοῦτο δὲ, ἄρασθαι ἄνω τὴν χεῖρα παρὰ τὸ οὖς, ἐκτεταμένου τοῦ ἀγκῶνος, οὐ μάλα δύναται, ὥσπερ τὴν ὑγιέα, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως. τά τε οὖν σημεῖα ταῦτά ἐστιν ὤμου ἐκπεπτωκότος, αἵ τε ἐμβολαὶ αἱ γεγραμμέναι, αἵ τε ἰητρεῖαι αὗται.

Adde quod cubito extenſo, brachium juxta ejuſdem partis aurem non ita porrigi poteſt, quemadmodum & integrum, neque in latera ſimiliter. Hæc itaque indicia ſunt humeri capitis luxati: reſtituendi verò modi hi, qui ſcripti ſunt, & curationes eædem.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦτο τὸ σημεῖον, ὃ μικρὸν ἔμπροσθεν ἔφη παρασκευάσειν ἔχειν· δῆλον δὲ ἐξ ὧν ἐπήνεγκεν, εἰπὼν, πολλοὶ γὰρ ὑπὸ ὀδύνης εἰ καὶ ὑπὸ ἀλλοίης προφάσιος, C οὐκ ἐξεστεώτων αὐτέοισι τῶν ἄρθρων, ὅμως οὐ δύνανται εἰς τὰ ὅμοια σχήματα καθιστάναι, ἐς οἷά περ τὸ ὑγιαῖνον σῶμα σχηματίζεται. εἰς ἐκτείνειν τὰς χεῖρας πρὸς τὰς πλευρὰς, ὡς εἴρηκεν, ἑτοίμως τις δύναται, βέβαιον γνώρισμά ἐστι, τοῦ κατὰ φύσιν ἔχειν τὸ ἄρθρον. ἐὰν δὲ ἐμποδίζηται κατά τι, δυνατόν ἐστι δι' ὀδύνην, ἢ σπάσιν μυῶν, τοῦτο γίγνεσθαι.

GALENI COMMENTARIUS.

Hoc quoque ſignum ex illis eſt, in quibus eſſe inſcitiam propoſuit; quod evidentiſſimum eſt ex his quæ prodidit, quum inquit: multis enim articuli præ dolore, vel alia de cauſa, ut non exciderint, nequeunt eo modo, quo in ſanis coporibus figurati. Si quis, ut ipſe ait, promptè brachium poſſit ad latera porrigere, id certum indicium eſt articulum naturaliter habere: quod ſi aliqua ex parte prohibeatur, poteſt hujus rei cauſa eſſe dolor, vel muſculorum intenſio.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μα΄.

D Ἐπάξιον δὲ τὸ μάθημα, ὡς χρὴ ἰητρεύειν τοὺς πυκνὰ ἐκπίπτοντας ὤμους. πολλοὶ μὲν γὰρ ἤδη ἀγωνίης ἐκωλύθησαν διὰ ταύτην τὴν ξυμφορὴν, τἄλλα πάντα ἀξιόχρεοι ὄντες. πολλοὶ δὲ, ἐν πολεμικοῖσιν ἀχρεῖοι ἐγένοντο, καὶ διεφθάρησαν διὰ ταύτην τὴν συμφορὴν, ἅμα τε ἐπάξιον καὶ διὰ τοῦτο, ὅτι οὐδένα οἶδα ὀρθῶς ἰητρεύοντα, ἀλλὰ τοὺς μὲν, μηδὲ ἐγχειρέοντας, τοὺς δὲ τἀναντία τοῦ ξυμφέροντος φρονέοντάς τε, καὶ ποιέοντας. συχνοὶ γὰρ ἤδη ἰητροὶ ἔκαυσαν ὤμους ἐκπίπτοντας, κατά τε τὴν ἐπωμίδα, κατά τε τὸ ἔμπροσθεν, ᾗ ἡ κεφαλὴ τοῦ βραχίονος ἐξοχέει, κατά τε τὸ ὄπισθεν, ὀλίγον τῆς ἐπωμίδος. αὗται οὖν αἱ καύσιες, E εἰ μὲν ἐς τὸ ἄνω ἐξέπιπτεν ὁ βραχίων, ἢ ἐς τοὔμπροσθεν, ἢ ἐς τοὔπισθεν, ὀρθῶς ἂν ἔκαιεν. νῦν δὲ δὴ, ὅτι ἐς τὸ κάτω ἐκπίπτει, ἐκβάλλουσιν αὗται αἱ καύσιες μᾶλλον, ἢ κωλύουσιν. ἀποκλείουσι γὰρ τῆς ἄνω εὐρυχωρίης τὴν κεφαλὴν τοῦ βραχίονος· χρὴ δὲ ὧδε καίειν ταῦτα· ἀπολαβόντα τοῖσι δακτύλοισι κατὰ τὴν μασχάλην, τὸ δέρμα ἀφελκύσαι κατ' αὐτὴν τὴν ἴξιν μάλιστα, καθ' ἣν ἡ κεφαλὴ τοῦ βραχίονος ἐκπίπτει.

HIPPOCRATIS TEXTUS XLI.

Maxima autem animadverſione dignum præceptum eſt, qua ratione curare eos conveniat, quibus ſæpè humeri caput elabitur, quum multi ob calamitatem hanc, quanquam alioquin idonei, certare prohibeantur: multi etiam ea de cauſa redditi inutiles ad bellum, ac perierint. Ob id etiam animadverſione dignum eſt, quòd neminem noverint, qui rectè curaret; ſed alios quidem manus homini non injicere, alios contrarium ei quod expediret, excogitare, molirique. Aduſſerunt jam complures Medici, ubi humeri articulus excideret, eum locum, qui à ſuperiori parte commiſſura eſt: & eum qui à priori, quà promovet humeri caput: & à poſteriori parte paulò infra ſuperiorem ſedem commiſſura. Profectò hujuſmodi uſtiones commodæ fuiſſent, ſi humeri caput in ſuperiorem, priorem, aut poſteriorem partem veniſſet: nunc, cùm in inferiorem erumpat, expellunt magis quàm cohibent: excludunt enim humeri caput à ſpatio ſuperiori. Sic autem adurere hos convenit: cutis ſub ala prehendenda digitis eſt, atque attrahenda è regione potiſſimum ejus partis, in quam humeri caput elabitur.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ, ἐν τούτῳ τῷ λόγῳ τὰ πλεῖστά ἐστι σαφῆ, ὧν οὐ μνημονεύσομεν, πλὴν ἐν οἷς ἀσάφειά τις περιέχεται.

GALENI COMMENTARIUS.

In hac etiam oratione pleraque plana ſunt; quare à me prætermittentur, niſi ſi qua videantur obſcura.

HIPPOCRATIS TEXTUS XLIII.

FErramentis autem adurere oportet, non craſſis, neque nimiùm rotundis, ſed oblongis: celeriùs enim manu impulſa trajiciuntur.

GALENI COMMENTARIUS.

FErramenta extremitate rotunda appellavit φαλακρὰ, cujuſmodi ſunt capitulata illa, quibus ad alas utuntur, πυρῆνες vel διαπύρηνα nuncupantur, atque item ſpathæ capitulatæ: quæ verò his contraria, oblonga ſunt, προμήκη dixit, quorum extremitas non eſt rotunda, ſed acuta, illis aliquo modo ſimilis, quæ ad perforandum accommodantur.

HIPPOCRATIS TEXTUS XLIV.

SIntque candentia, ut trajici quàm celerrimè poſſint, quæcunque enim plena ſunt, tardiùs trajiciuntur, & cruſtæ inde latiores reſolvuntur, periculumque eſt ne ulcera abrumpantur: quod etſi nihilo deterius eſſet, turpius tamen, atque expers partis penitus haberetur. Vbi ergo candens ferramentum trajeceris, fere abundè erit in inferiori parte duntaxat aduſſiſſe.

GALENI COMMENTARIUS.

CAndentia eſſe voluit ferramenta, quæ ad alam admoventur, quod expreſſit vocabulo διαφανῆ.

HIPPOCRATIS TEXTUS XLV.

AT ſi nullum inſtare periculum videtur, ne ulcera abrumpantur, ſed magnum ſpacium in medio integrum relinquatur, inſtrumentum, quo ad illinendum utimur, tenue trajiciendum eſt, ab una uſtionis parte ad alteram, cute adhuc extenta, non enim poſſet aliter trajici: quo facto, remittenda cutis eſt, poſtea inter utranque plagam alia media facienda eſt, admoto tenui ferramento candenti, donec ad prius demiſſum inſtrumentum pertineat. Quatenus verò prehendere cutem ſub ala conveniat, hinc conjicere poteris, quod glandulæ ſub ala ſita ſunt, atque in multis aliis corporis partibus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μγ'.

C

ΣΙδηρίοισι δὲ χρὴ τὰ ἐγκαῦτα καίειν μὴ παχέσι, μηδὲ λίην φαλακροῖσιν, ἀλλὰ προμήκεσι. ταχυπορώτερα γὰρ, καὶ τῇ χειρὶ ἐπερείδειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΦΑλακρὰ κέκληκε τὰ περιφερῆ ἔχοντα κατὰ τὸ πέρας, οἷοι οἱ κατὰ τὰς μασχάλας ἔχουσι πυρῆνες, ἤτοι τὰ διαπύρηνα καλούμενα, ἢ αἱ σπαθομήλαι. προμήκη δὲ, τὰ τούτοις ἐναντίως διακείμενα προσηγόρευσεν, ὧν οὐκ ἔστι περιφερὲς τὸ πέρας, ἀλλ' ὀξύτερόν τι ἐμπλήρωμα, παραπλήσιόν πως τοῖς εἰς τὰς παρακεντήσεις ἐπιτηδείοις ὀργάνοις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη'.

D

ΧΡὴ δὲ διαφανέσι καίειν, ὡς ὅτι τάχιστα περαιωθῇ κατὰ δύναμιν, τὰ γὰρ παχέα, βραδέως περαιούμενα, πλατυτέρας τὰς ἐκπτώσιας τῶν ἐσχαρῶν ποιέεται, καὶ κίνδυνος ἂν εἴη ξυρραγῆναι τὰς ὠτειλὰς, καὶ κάκιον μὲν οὐδὲν ἂν εἴη, αἶσχιον δὲ καὶ ἀτεχνότερον. ὅταν δὲ διακαύσῃς ἐς τὸ πέρην, τῶν μὲν πλείστων, ἱκανῶς ἂν ἔχοι ἐν τῷ κάτω μέρει τὰς ἐσχάρας ταύτας μόνας θέσθαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E

ΕΚπυρωθῆναι βούλεται τὰ κατὰ τὴν μασχάλην σιδήρια, τὰ γὰρ ἱκανῶς διάπυρα, διαφανῆ κέκληκεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μθ'.

ΗΝ δὲ μὴ κίνδυνος φαίνηται εἶναι ξυρραγῆναι τὰς ὠτειλὰς, ἀλλὰ πολὺ τὸ διὰ μέσου εἴη, ὑπαλείπτρον χρὴ λεπτὸν διέρσαι διὰ τῶν καυμάτων, ἔτι ἀναλελαμμένου τοῦ δέρματος· οὐ γὰρ ἂν ἄλλως δύναιο διέρσαι· ἐπὴν δὲ διέρσῃς, ἀφεῖναι τὸ δέρμα, ἔπειτα μεσηγὺ τῶν ἐσχαρῶν, ἄλλην ἐσχάρην ἐμβάλλειν λεπτῷ σιδηρίῳ, καὶ διακαῦσαι, ἄχρις ἂν τῷ ὑπαλείπτρῳ ἐγκύρσῃ. ὁκόσον δέ τι χρὴ τὸ δέρμα τὸ ἀπὸ τῆς μασχάλης ἀπολαμβάνειν, τοῖσι δὲ χρὴ τεκμαίρεσθαι· ἀδένες ὕπεισιν ὑπὸ τῇ μασχάλῃ. πολλαχῇ δὲ, καὶ ἄλλῃ τοῦ σώματος.

F

ἐπὶ ταύτῃ δεύτερον καῦσιν ἀξιοῖ σε ποιήσασθαι, καθιέντα τὸ διάπυρον σίδηρον, οὐκέτι ἐγκάρσιον ἐκ τοῦ ἑτέρου μέρους ἐπὶ θάτερον, ἀλλ' εἰς τὸ βάθος ἄχρι ἔσω. χρὴ δὲ δῆλον ὅτι τὸ μεταξὺ τῶν ἑκατέρων βρωμάτων ἀξιόλογον γενέσθαι, μικροῦ γὰρ ὄντος αὐτοῦ, κίνδυνος ξυῤῥαγῆναι τὰς ἑλκώσεις, καὶ γενέσθαι μεγάλην μίαν, ὑφ' ἧς οὐδὲν μὲν ἀποβήσεται χεῖρον, εἴγε καίομεν, ἕνεκα τοῦ ξηρᾶναί τε καὶ σφίγξαι μέρος. οὐ μὴν ἀναγκαῖόν ἐστιν, οὐλὴν μεγάλην ἐργασαμένους, αἰσχρὸν ἀποδεῖξαι τὸ χωρίον, ἐν ᾧ ἐπὶ σμικραῖς τρήσεσι τὴν ἴσην ὠφέλειαν ἔστι ποιήσασθαι. B

ramento, non amplius transverso ab una parte ad alteram, ſed prorſus in altitudinem. Oportet autem inter utramque plagam, quam candens ferramentum fecit, non exiguum ſpacium interjicere; namque ubi exiguum ſit, periculum eſt, ne ulcera abrumpantur, atque una magna exulceratio fiat; quamobrem etſi nihil deterius accidat, ſiquidem adurimus, ut partem exſiccemus, atque adſtringamus, non tamen neceſſe eſt magna inducta cicatrice, locum deformem reddere, quum per exigua foramina liceat æquè ſuccurrere.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μϛʹ.

Ἀλλ' ἐν ἄλλῳ λόγῳ περὶ ἀδένων οὐλομελίης γεγράψεται, ὅτι τέ εἰσι, καὶ οἷα ἐν οἵοισι σημαίνουσί τε, καὶ δύνανται. τὰς μὲν οὖν ἀδένας οὐ χρὴ προσπεριλαμβάνειν, οὐδ' ὅσα ἐσωτέρω τῶν ἀδένων· μέγας γὰρ ὁ κίνδυνος.

HIPPOCRATIS TEXTUS XLVI.

Sed alibi glandularum univerſam naturam perſequemur, quid ſint, quidque & in quibus indicent, aut poſſint. Glandulas itaque prehendere non convenit, nec quæcunque glandulis interiora ſunt, id ſiquidem valde periculoſum eſt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν ὁλόκληρον φύσιν τὴν τῶν ἀδένων φύσιος οὐλομελίην εἴρηκεν, ἣν ἑτέρωθι διδάσκειν ἐπηγγείλατο, οὐ μὴν διασώζεταί γε τοιοῦτον βιβλίον Ἱπποκράτους περὶ ἀδένων οὐλομελίης. ἀλλά τις τῶν νεωτέρων Ἱπποκρατείων, ἔγραψε μικρὸν βιβλίδιον, ἐπιγράψας Ἱπποκράτους περὶ ἀδένων οὐλομελίης, ὃ καὶ τῇ λέξει, καὶ τῇ διανοίᾳ, λείπεται πάμπολυ τῶν γνησίων Ἱπποκράτους συγγραμμάτων, οὐ μὴν οὐδὲ ἐμνημόνευσέ τις περὶ αὐτοῦ τῶν ἔμπροσθεν ἰατρῶν, ἀλλ' οὐδ' οἱ τοὺς πίνακας ποιήσαντες, ἴσασι τὸ βιβλίον. D

GALENI COMMENTARIUS.

Glandularum univerſam naturam appellavit οὐλομελίην, quam pollicitus eſt alibi docere: non tamen extat hic liber Hippocratis de univerſa glandularum natura. Sed quidam ex Medicis junioribus, qui Hippocratem ſequuntur, parvum libellum confecit, quem inſcripſit, Hippocratis de univerſa glandularum natura; qui tam locutionibus, quàm ſententiis, longè ſuperatur à germanis libris Hippocratis; adde quod neque ullus veterum Medicorum ejus libri meminit, neque ab iis, qui indicem ſcripſerunt, commemoratur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μζʹ.

Τοῖσι γὰρ ἐπικαιροτάτοισι τόνοισι γειτονεύουσι. ὅσον δὲ ἐξωτέρω τῶν ἀδένων, ἐπὶ πλεῖστον ἀπολαμβάνειν, ἀσινέα γάρ. γινώσκειν δὲ χρή, ὅτι εἰ μὴ ἰσχυρῶς τὸ βραχίονα ἀνατείνοις, οὐ δυνήσῃ τοῦ δέρματος ἀπολαβεῖν οὐδὲν τοῦ ὑπὸ τῇ μασχάλῃ, ὅ τι καὶ ἄξιον λόγου κατατεῖναι. E

HIPPOCRATIS TEXTUS XLVII.

Proximæ enim ſunt nervis, qui magnam vim habent. Extra glandulas plurimum prehendendum eſt; nam id fit innocenter. Oportet verò ſcire quod ſi quidem fortiter brachium extenderis, nihil quicquam pellis prehendere poteris illius quæ ſub ala quod promptum eſt ad extendendum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὑποκεῖσθαι τοῖς ὑπὸ τῇ μασχάλῃ φησὶ τόνους ἐπικαίρους, οὕτως ὀνομάζων τὰ νεῦρα. γελοῖοι δ' εἰσὶν, ἔνιοι τῶν νεωτέρων ἰατρῶν, οἰόμενοι τόνους τούτους ἐκεῖνα τὰ νεῦρα μόνον προσαγορεύεσθαι νῦν, ὅσα κατὰ τὴν συζυγίαν ἐξ ἐγκεφάλου πέφυκεν, ἐπειδὴ κατὰ τὸ βιβλίον τῶν ἐπιδημιῶν ἔφη. δύο δὲ τόνοι ἀπ' ἐγκεφάλου, παρὰ τὸ ὀστέον τοῦ μεγάλου σπονδύλου, καὶ τὰ τούτων ἐφεξῆς. τὰ γὰρ ἐπὶ χεῖρας φερόμενα, πρὸς ἁπάντων ὁμολογεῖται τῶν ἀνατομικῶν, ἀπὸ τοῦ κατὰ τὸν τράχηλον ἐκφυ- F

GALENI COMMENTARIUS.

Subjectos eſſe ait glandulis in ala nervos magnam vim habentes, quos nuncupavit τόνυς. Ridiculè igitur quidam ex recentioribus Medicis exiſtimant nervos illos duntaxat ab ipſo appellari τόνυς, qui conjugati à cerebro oriuntur, quoniam in ſecundo de morbis vulgaribus, quum dixit, duo enim nervi à cerebro juxta os magnæ vertebræ & quæ ſequuntur, nervos appellavit τόνυς, nervi enim, qui ad brachia intendunt, ut in confeſſo eſt apud omnes, qui incidendi corporis peritiam habent, à ſpinæ medulla in cervicibus depen-

nent, atque extenduntur. Sed, ſi humerus paulùm excitetur, multum cutis apprehendi poterit: & nervi quos cavere oportet, intrò magis recedent, longiuſque abeunt ab eo quod apprehenditur.

πς γίνοι).

GALENI COMMENTARIUS.

ABſumi in ala cutem ait, ubi totum brachium ſurſum porrigatur, ante ſiquidem laxa erat, ita ut ſupereſſe videretur; brachio autem ſic figurato, extenditur circa partes quas contegit, ita ut quod prius ſupereſſe videbatur, pereat, & quaſi abſumatur, quum brachium ſurſum porrigitur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C ΚΑταδαπανᾶσθαί φησι τὸ κατὰ τὴν μασχάλην δέρμα, διὰ τὴν ἀνάτασιν ὅλης τῆς χειρὸς, ἐπειδὴ χαλαρὸν ἔμπροσθεν ἦν, ὡς περιττὸν εἶναι δοκεῖν, ἐν τούτῳ δὲ τῷ σχήματι, περιτείνεται τοῖς ὑποκειμένοις, ὥστε τὸ περιττεῦον πρότερον φαινόμενον, ἀπόλλυσθαί τε, καὶ οἷον ἐκδαπανᾶσθαι κατὰ τὴν ἀνάτασιν τῆς χειρός.

HIPPOCRATIS TEXTUS XLIX.

AT nonne in univerſa arte in primis danda opera eſt, ut quo pacto ſingula juſtè figurentur, inveniamus?

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μθʹ.

D ΑΡ' οὖν οὐκ ἐν πάσῃ τῇ τέχνῃ, περὶ πλείστου χρὴ ποιεῖσθαι τὰ δίκαια σχήματα ἐξευρίσκειν ἐφ' ἑκάστοισι;

GALENI COMMENTARIUS.

JUſtè intellexit quaſi æqualiter; hoc autem it, ubi ſervatur quod unicuique rei convenit, & proprium eſt. Id nunc de quo agitur, uſtio cutis in ala eſt, quam admovere oportet, humero convenienter figurato; nam ſi ita demittatur, ut latus attingat, nimis parum excitabitur, neque poterit altitudo alæ ſe oſtendere, neque cutis ſanè digitis extendi, atque aduri: ſed, ſi humerus plurimùm attollatur, digitis extendi nihil ferè cutis poterit, ſub hoc enim habitu circa ſubjectas partes extenditur: adde quod nervi prominent. Eatenus igitur attollere humerum convenit, atque ab ala reducere, ut locus in conſpectum veniat: ſitque, quà ſubjicere digitos facile poſſimus, & cutem extendere, atque adurere. Quæ, quum primùm excitato brachio fieri poſſunt, admovenda manus eſt membro ita figurato, neque ulterius attollendum; non enim alia de cauſa humerus attollitur, niſi ut poſſit cutis ſub ala digitis extendi hactenùs, ut candens ferramentum admoveatur, prout ipſe indicavit, ita ut ſi hæc præſtare potuiſſemus humero demiſſo, ejuſmodi habitu nihil antiquius fuiſſet, quum laxiorem cutem efficiat: ſic enim plurimum attrahitur, ac manus ſine ullo periculo penitus admovetur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ κατὰ δύναμιν ἴσα, τουτέστιν ἐν οἷς φυλάττεται τὸ κατὰ τὴν ἀξίαν τε, καὶ οἰκεῖον ἑκάστῳ πράγματι. τὸ νῦν γοῦν ἐστι τὸ μὲν προκείμενον πρᾶγμα, καῦσις τοῦ κατὰ τὴν μασχάλην δέρματος, ἣν χρὴ ποιήσασθαι, βραχίονα σχηματίζοντα προσηκόντως. εἰ μὲν οὖν εἰς τοσοῦτον εἴη καθειμένος, ὡς ψαύειν τῆς πλευρᾶς, εἴη παντάπασιν ὀλίγον ἐξηρμένος, οὐδὲ διαστῆναι τὸ βάθος τῆς μασχάλης οἷόν τε, μή τί γε τοῖς δακτύλοις ἀνατεῖναι τὸ δέρμα, καὶ διακαῦσαι, μέχρι πλεῖστόν τε ἐπαρθέντος τοῦ βραχίονος, οὐδὲν ὅτι καὶ ἄξιον λόγου δέρματος, ἀνατεῖναι τοῖς δακτύλοις ἐγχωρεῖ. περιτείνεται γὰρ ἐν τῷδε τῷ σχήματι, τοῖς ὑποκειμένοις σώμασιν, ἅμα δὲ καὶ τὰ νεῦρα πρόχειρα γίνεται, τοσοῦτον ἐξαίρειν χρὴ τὸν βραχίονα, καὶ ἀπάγειν τῆς μασχάλης, ἐφ' ὅσον ὁρᾶσθαι τὸ χωρίον ἡμῖν πρὸς ἕξιν, καὶ τοὺς δακτύλους ἀμφοτέρους ὑποβάλλειν, ἀνατείνειν τε τὸ δέρμα, καὶ διακαίειν δύνασθαι, οἷόν τε γίνηται ταῦτα πράττειν, F κατὰ τοῦτο τὸ σχῆμα τῆς χειρουργίας περιποιεῖσθαι προσῆκει, περαιτέρω δὲ, μηκέτι ἀνατείνειν. οὐδὲ γὰρ ἄλλου τινὸς ἕνεκεν ἐξηρμένον τὸν βραχίονα, πλὴν τὸ δύνασθαι τὸ περὶ τὴν μασχάλην δέρμα, τοῖς δακτύλοις ἀνατείνειν τοσοῦτον, ὡς διακαῦσαι, καθότι προεῖπεν αὐτὸς, ὡς εἴγε δυνατὸν ἦν ἐνεργεῖν ἡμᾶς ταῦτα, καθειμένου τοῦ βραχίονος, σχήματος οὐδὲν χρεία, χαλαρώτερον ἐργαζομένου τὸ δέρμα· καὶ γὰρ πλεῖστον οὕτως ἀναταθήσεται, καὶ τὰ τῆς χειρουργίας ἀκίνδυνα παντελῶς ἔσται.

E

Ἐρύονται αἱ καταλήψιες κατὰ τὸ δέρμα.

Retendere dixit de cute.

B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ να'.

Ἔκτοσθεν δὲ τῆς μασχάλης, δισσὰ μοῦνα ἐστὶ χωρία, ἵνα ἄν τις ἐσχάρας θείη, ἐπικουρεούσας τῷ παθήματι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ ἔκτοσθεν, εἴρηκε νῦν οὐ τὴν τοῦ τόπου διαφορὰν σημαίνων, ἀλλ' ὥσπερ ἐστὶ παρὰ Δημοσθένει, καὶ τοῖς ἄλλοις ῥήτορσιν, ἔξωθέν τι τοῦ πράγματος εἰρῆσθαι λέγεται δηλούντων τὸ πρᾶγμα. τὸ δὲ ὑπὸ τοῦ Ἱπποκράτους λεγόμενόν ἐστι τοιοῦτον· χωρὶς δὲ τῆς εἰρημένης εἰς τὴν μασχάλην καύσεως, ἄλλαι δύο καύσεις εἰσὶ, βοηθοῦσαι τῷ πάθει. τὸ γὰρ ἐπικουρεούσας τῷ παθήματι, πρόδηλον ὅτι βοηθούσας δηλοῖ, καθάπερ καὶ Εὐριπίδης εἰπὼν τὸν Ὀρέστην λέγοντα.

Ἀνόσια μὲν δρᾶν, ἀλλὰ τιμωρῶν τῷ πατρί.

Διαφέρει γὰρ τὸ τιμωρῶν, τοῦ τιμωρούμενος, ὃ μετὰ τῆς κλινομένης αἰτιατικῆς πτώσεως, σημαίνει τὸ κολάζον, ὥσπερ γοῦν καὶ ἑαυτὸν τιμωρούμενος, ἐπιγέγραπται τὸ Μενάνδρου δρᾶμα.

HIPPOCRATIS TEXTUS LI.

Extra alam duæ tantum ſedes ſunt, quum aduruntur, morbo auxiliantes.

GALENI COMMENTARIUS.

Dictionem extra dixit ἔκτοσθεν, quam poſuit non ut loci differentiam notaret; ſed quemadmodum apud Demoſthenem, atque
C alios Rhetores uſurpatur, qui quum ἔξωθέν τι τοῦ πράγματος dicunt, præter rem ſignificare volunt. Id igitur, quod Hippocrates aſſerit, tale eſt. Præter uſtionem alæ, duæ aliæ ſedes ſunt morbo auxiliantes, quum aduruntur; uſus autem eſt vocabulo τιμωρεῦσαι, quo conſtat ipſum non aliud ſignificaſſe, quàm auxiliantes; quod fecit etiam Euripides, quum Oreſtem induxit hæc loquentem,

Ἀνόσια μὲν δρᾶν, ἀλλὰ τιμωρῶν τῷ πατρί.

Differunt autem inter ſe τιμωρῶν & τιμωρούμενος, quod vocabulum cum accuſandi caſu jungitur, hoc ſiquidem ſignificat crucians; eadem
D ratione & Menandri fabula inſcribitur; ἑαυτὸν τιμωρούμενος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νβ'.

Μία μὲν ἐν τῷ ἔμπροσθεν, μεσηγὺ τῆς κεφαλῆς τοῦ βραχίονος, καὶ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν τούτῳ τῷ χωρίῳ, καὶ ἡμῖν ἑώραται τὸ ἄρθρον ἐστηριγμένον, ὅπερ ἐστὶ μόριον ἁπάσης τῆς ἔμπροσθεν χώρας. οὔσης γὰρ ὅλης αὐτῆς πλατείας, ἓν μέν τι μέρος ἐστὶν ἀκριβῶς μέσον, ἄλλα δὲ ἑκατέρωθεν δύο, τὸ μὲν ἐκ τῶν ἔνδοθεν μερῶν, οὗ νῦν ἐμνημόνευσε, τὸ δ' ἐκ τῶν ἐκτὸς, οὗ μετὰ ταῦτα μνημονεύει· καὶ θαυμάσαι γε ἐστὶν αὐτὸν, ὅτι μηδ' ὅλως ἑωρακὼς εἰς ἄλλο χωρίον ἐκπίπτον τὸ ἄρθρον, ἢ κατὰ τὴν μασχάλην, οὐκ ἤρκεσε τῇ κατ' αὐτὴν καύσει μόνῃ· προσέθηκε δὲ δύο ἑτέρας ἐκείνων, ἀκριβῶς ἐστοχάσατο τῶν χωρίων, ἐν οἷς καὶ ἡμεῖς εἴδομεν ἐστηριγμένην τὴν κεφαλὴν τοῦ βραχίονος. ἐν οἷς τῆς ὠμιαίας φλεβὸς χώρα, καθ' ἣν οἱ δύο μύες συμβάλλουσι, ὅ, τε ἀπὸ τοῦ στέρνου μέγας, καὶ ὁ δελτοειδὴς ὀνομαζόμενος, ἑώραται τετράκις ἡμῖν ὑποδεξαμένη τὴν ἔκπτωσιν. ἡ δὲ ἔξωθεν τῆς μέσης χώρας, ἅπαξ, ὑπὲρ ἧς ἐφεξῆς ἐρεῖ.

HIPPOCRATIS TEXTUS LII.

Una quidem eſt à priori parte inter caput humeri, & chordam quæ ad alam eſt.

GALENI COMMENTARIUS.

E Nos quoque vidimus articulum contineri in hoc loco, qui pars totius prioris regionis eſt; nam, quum ea lata ſit, una quidem ejus in medio ad unguem eſt, duæ autem utrinque: una ab interiori parte, cujus nunc meminit, altera ab exteriori, de qua paulo infrà loquitur. Eſt autem admiratione dignus, qui, quum nunquam viderit humeri caput in aliam partem excidere, quàm in alam, non contentus fuerit ipſam tantùm adurere; ſed adjungens duas alias regiones, illas conjecerit, in quibus nos vidimus caput humeri fixum: ex
F his in eam, quà vena ſita eſt, per ſummum humerum procedens, ubi duo muſculi concurrunt, & magnus ille, qui à pectore oritur, & qui à literæ Δ ſimilitudine Δελτοειδὴς nuncupatur, quater vidimus humeri caput prorupiſſe: in exteriorem verò partem mediæ regionis ſemel, de qua tractabit in ſequentibus.

juxta venam eſt. Cavendum autem eſſe, ne adurendo nervus, aut vena attingatur, apertè declaravit, non tamen oſtendit, a priorine, an ab interiori parte venæ, vel prorſus ſuper ipſam, adurendum ſit. Fieri enim hoc poteſt, in primis cutem attrahendo, quo modo in ala diximus; dein tranſverſam adurendo; poſt hæc inſtrumentum, quo ad illinendum utitur, trajiciendo, atque in orbem iterum adurendo. Quemadmodum autem in ala; quamvis ſubſint nervi maximi, & cum ipſis arteria, ac vena latiſſima, tamen aduri cutem voluit, ſecuritatem ſubjectarum partium comparans eo inſtrumento, quo illinimus, demiſſo: ſic in propoſita nunc uſtione nihil mirum, ſi cutem venæ ſuperjectam aduri jubeat. Illos autem nervos dixit ἐπικαιροτάτους, quod vocabulum mutuari ſolet ad ea, quæ magnam vim habent, quemadmodum illi, quòd non longè diſtent à ſpinæ medulla, & maximè pleni ſint. Sed circa venam, quæ ab interiori parte tendit ad cubitum, nervum ſimpliciter dixit, non adjiciens ἐπικαίρων: multum enim diſtat à medulla ſpinæ, atque exiguus eſt.

μα, ἀποτεμνόντας λαμβάνειν. ὁ μὲν οὖν φυλάττεσθαι, φαίνεται τι τοῦ νεύρου, ἢ τῆς φλεβός, ἐν τῇ τοῦ δέρματος καύσει, σαφῶς ἐδίδαξεν, οὐ μὴν ἐδήλωσέ γε, πότερον ἐν τοῖς πρόσω μέρεσι τῆς φλεβός, ἢ ἐν τοῖς ἔνδον, ἢ καὶ αὐτὴν ἀκριβῶς κελεύει καίειν. ἐγχωρεῖ γὰρ τοῦτο ποιῆσαι, πρῶτον μὲν ἀνατείνοντα τὸ δέρμα, καθ' ὃν εἴρηται τρόπον ἐπὶ τῆς μασχάλης, εἶτ' ἐγκάρσιον διακαύσαντα, κἄπειτα τὸ ὑπαλειπτρίδιον διεκβαλόντα, C καὶ κατὰ κύκλον τὴν δευτέραν ἐπέρεισιν τοῦ καυτηρίου ποιησάμενον· ὥσπερ γὰρ ἐν τῇ μασχάλῃ, καίτοι γε ὑποκειμένων νεύρων μεγίστων, καὶ σὺν αὐτοῖς, ἀρτηρίας, καὶ φλεβὸς εὐρυτάτης, ὅμως ἐκέλευσε καίειν τὸ δέρμα, τὴν ἀσφάλειαν τοῖς ὑποκειμένοις παρασκευάζων, ἐκ τῆς τοῦ ὑπαλειπτριδίου διαπεράσεως. οὕτω κἀπὶ τῆς νῦν προκειμένης καύσεως, οὐδὲν θαυμαστόν, εἰ τοῦ κατὰ τῆς φλεβὸς ἐπικειμένου δέρματος ἀξιοῖ αὐτὸν τίθεσθαι τὰς ἐσχάρας. ἐκεῖνα μὲν οὖν τὰ νεῦρα, τόνους ἐπικαιροτάτους εἶπεν, εἰθισμένος χρῆσθαι τούτῳ τῷ ὀνόματι κατὰ τῶν μεγάλην δύναμιν ἐχόντων, ὥσπερ ἔχουσιν ἐκεῖνοι, κατά γε τὸ πλησίον εἶναι τοῦ νωτιαίου, καὶ αὐτοῖς παχυ- D τάτοις τῆς οὐσίας ὑπάρχειν, περὶ δὲ τοῦ τῆς ὠμιαίας φλεβὸς, νεῦρον ἁπλῶς εἶπεν, οὐκέτι προσθεὶς τὸ ἐπίκαιρον, καὶ γὰρ πορρωτάτω, ἐστὶ τοῦ νωτιαίου, καὶ μικρὸν τῷ μεγέθει.

HIPPOCRATIS TEXTUS LIV.

Rurſus alio loco licet adurere ab exteriori parte multo ſupra chordam, quæ ad alam eſt, paulo infra humeri caput. Trajiciatur autem cutis candenti ferramento, ſed non nimis altè; ignis enim nervis eſt inimicus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νη'.

Ὄπισθεν δ' αὖ, ἄλλην ἐσχάρην ἐνδέχεται ἐνθεῖναι, ἀνωτέρω μὲν συχνῷ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην. E κατωτέρω δὲ ὀλίγῳ τῆς κεφαλῆς τοῦ βραχίονος, καὶ τὸ μὲν δέρμα, τελέως χρὴ διακαίειν, βαθεῖαν δὲ, μὴ δὴ κάρτα ταύτην ποιέειν· πολέμιον γὰρ τὸ πῦρ νεύροισιν.

GALENI COMMENTARIUS.

VEnit ad tractandum reliquum ex iis locis, in quibus recipitur humeri caput prolapſum. Hic autem eſt in exteriori parte prioris regionis, in quam ſemel etiam conſpexi humeri caput veniſſe. Non rectè autem in pleriſque exemplaribus legitur, rurſus alius locus, quem licet adurere à poſteriori parte: hic enim locus non à poſteriori, ſed ab exteriori parte commiſſuræ eſt. Si quis igitur exquiſitè definire loca velit, quæ juxta humeri commiſſuram ſunt, latitudinem habentia, hic profectò omnia intuitus, in priori regione mediam dicet eſſe quandam lineam, ſine latitudine conceptam in medio ad unguem, quæ ſupernè in humeri longitudinem tendat: & utrinque in

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπὶ τὴν ὑπόλοιπον χώραν τῶν ὑποδεχομένων, τὸ κατ' ὦμον ἄρθρον ἐκπεσὸν ἀφῖκται τῷ λόγῳ. αὕτη δέ ἐστιν ἐν τοῖς ἔξω μέρεσι τῆς πρόσω χώρας, F εἰς ἣν καὶ αὐτὴν ἑώραταί μοι ἅπαξ ἐκπεσὼν ὁ βραχίων. οὐκ ὀρθῶς δὲ, ἐν τοῖς πλείστοις τῶν ἀντιγράφων, ἡ λέξις οὕτως γέγραπται, ὄπισθεν δ' ἔτι αὖ ἄλλην ἐσχάρην. οὐ γὰρ ὄπισθεν ὁ τόπος οὗτός ἐστι τῆς διαρθρώσεως, ἀλλ' ἔξωθεν. εἰ γοῦν τις ἀκριβῶς ἐθέλοι διορίσασθαι τοὺς περικειμένους τόπους τῇ κατ' ὦμον διαρθρώσει, πλάτος ἔχοντας, δῆλον ὅτι νοεῖν μὲν ἅπαντας ἐν μὲν τοῖς πρόσω, μέσην μὲν εἶναί τινα γραμμὴν ἀπλατῆ, νοουμένην ἀκριβῶς μέσην, ἄνωθεν κατὰ μῆκος τοῦ βραχίονος

τῆς μασχάλης περιγράφοντος ἔξωθεν τείνοντος. ἐπὶ τῆς γραμμῆς ἐκείνης, ὧν ἐξίουν ἀπέχειν διαστήματι, μεταξὺ διάστημά τι τῆς ὠμιαίας φλεβὸς, καὶ τῆς τ' ἀκριβῶς περιγραφείας μέσης γραμμῆς, ὥστε καὶ αὐτὴν διαίρεσιν, ἔστιν ὑψηλότερόν ἐστι τὸ κατὰ τὴν μασχάλην ἔξωθεν τείνοντος, οὐκ ἂν ὀπίσω τῆς διαρθρώσεως ἐστὶ τὸ σιμὸν τῆς ὠμοπλάτης, ὥσπερ γε καὶ τὸ κατ' ὦμον ἡ μασχάλη, τὸ δ' ἄνω, μεταξὺ τοῦ τ' ἀκρωμίου, καὶ τῆς κεφαλῆς τοῦ βραχίονος.

te alam terminat: ſeu exteriorem eam, quæ B incipiens à linea, quæ tantum diſtabat à media linea ſine latitudine concepta, quantum ipſa vena tendit ad chordam, quæ ab exteriori parte alam finit. Quare juxta diviſionem hanc, quidquid erit ſuperius chordâ, quæ ab exteriori parte alæ ſita eſt, non dicetur utique à poſteriori regione commiſſuræ, ſed ab exteriori. Siquidem regio poſterior in commiſſura eſt, quà latum ſcapularum os ſimum eſt: inferior in ala continetur: ſuperior verò inter lati ſcapularum oſſis C ſummitatem, atque humeri caput.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νε'.

Ἰητρεύειν μὲν οὖν χρὴ διὰ πάσης τῆς ἰητρείης τὰ ἕλκεα, μηδέποτε ἰσχυρῶς ἀνατείνοντα τὸν βραχίονα, ἀλλὰ μετρίως, ὅσον τῆς ἑλκέων ἐπιμελείης εἵνεκα, ἥκιστα μὲν γὰρ ἂν διαψύχοιτο. ξυμφέρει γὰρ πάντα τὰ καύματα σκέπειν, ὡς καὶ ἐπιεικέως ἰητρεύεσθαι. ἥκιστα δ' ἂν ἐκπεταλήσοιτο, ἥκιστα δ' ἂν αἱμορραγοίη, ἥκιστα δ' ἂν σπασμὸς ἐπιγένοιτο.

HIPPOCRATIS TEXTUS LV.

Porrò mederi in tota curatione ulceribus debemus, videntes ne multum attollatur humerus, ſed modicè, quatenus ulcerum curatio poſtulat, quoniam frigus eo minùs adſpirabit. Aduſta enim omnia tegenda ſunt, non ſecùs etiam moderatè curanda: nam ſic minus hiant, minus ſanguis erum- D *pit, minus nervorum diſtentio ſequitur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰς αἰτίας αὐτὸς εἶπε, δι' ἃς κελεύει τὸν βραχίονα μηδέποτε ἀνατείνειν ἰσχυρῶς. πρώτην μὲν, ὅτι πάντα τὰ καύματα συμφέρει σκέπειν, ὡς ἰατρεύεσθαι, καὶ μὴ καταψύχεσθαι· καὶ ἄλλως μὲν γὰρ, ὡς αὐτὸς ἔλεγεν, ἕλκεσι τὸ ψυχρὸν δακνῶδες, δέρμα περισκληρυνοῦν, ὀδυνώδη ἀνεκπύητα ποιεῖ· πολὺ δὲ μᾶλλον, ὅσα θερμὸν αἴτιον εἰργάσατο, καθάπερ νῦν τὸ πῦρ. ἥκιστα δ' ἄν, φησιν, ἐκπεταλήσοιτο, τουτέστιν ἐπὶ πλεῖον διΐστασθαι τὰ τοῖς χείλεσι ἕλκος. ἐν τούτῳ γὰρ ψύχεται μᾶλλον, καὶ χρονιώτερον συνουλοῦται, καὶ αὐτὰς τὰς οὐλὰς ἴσχει μείζονας. τὸ δ' ἐφεξῆς εἰρημένον, ἥκιστα δ' ἂν αἱμορραγοίη, προστέθηκεν εἰς τὸν καθόλου λόγον ἀπενεχθεὶς ἁπάντων ἑλκῶν, οὐ τῶν νῦν προκειμένων ἴδιον· εἰ γὰρ, ὡς ἐκέλευσεν, οὕτω τις τὸ δέρμα διακαύσειεν, οὐδεὶς ἀκολουθήσει φόβος αἱμορραγίας. ἴσως δ' ἂν ἐκ τοῦ ψυχθῆναι τὰ νεῦρα γυμνωθέντος τοῦ δέρματος, ὁ τοῦ σπασμοῦ κίνδυνος ἀκολουθήσει μόνος, καὶ αὐτοῦ κατὰ τὴν τελευτὴν ἐμνημόνευσε τῆς ὅλης ῥήσεως.

GALENI COMMENTARIUS.

A

Linta latitudine &c.

Cauſas ipſe expoſuit, cur edicat, ne multùm humerus unquam attollatur: primùm, quòd uſta omnia tegere expedit, ſic tamen, ut curari poſſint, & non frigeant; quùm alioquin (ut ipſe teſtatur) frigus ulcera mor- E deat, cutem induret, pus fieri in dolore non patiantur: ac multo magis in iis quæ calor excitavit, ſicuti nunc ignis, minùs (inquit) hiant, hoc eſt diducuntur ulceris oræ. Ob id enim frigore magis excipiuntur, & tardiùs ſaneſcunt, grandioremque cicatricem recipiunt. Quod autem ſubdit, minus ſanguis erumpit, communiter ad omnia ulcera refertur, non propriè ad ea, quæ propoſita nunc ſunt: Nam ſi quis ſic cutem urat, quemadmodum præcepit, periculum nullum ſanguinis eruptionis ſequetur. Fortaſſe autem nervi tantùm diſtentione F periclitabuntur ob frigus, quod cute nudati contraxerunt: cujus rei in fine orationis meminit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νϛ'.

Ὅταν δὲ δὴ καθαρὰ γένηται τὰ ἕλκεα, ἐς ἀπουλάς τε ἴῃ, τότε δὴ καὶ παντάπασι χρὴ αἰεὶ τὸν βραχίονα πρὸς ταῖς πλευρῇσι προσδεδέσθαι, καὶ νύκτα, καὶ ἡμέρην.

HIPPOCRATIS TEXTUS LVI.

Ubi ulcera pura ſint, & ad cicatricem intendant, tunc ſanè oportet humerum diu noctuque ſemper ad latus deligatum continere.

bant; quin & inflammationis calor extrinſeco frigori obſiſtebat: at, ubi inflammatio conquievit, & pura reddita ſunt, ac ſine ſuperante humore, magis quàm ante ſentiunt ea, quibus læduntur. Ob hæc igitur omnia facilè ſub exterioribus cauſis, ac præcipuè frigidis dolent, & refrigerantur; propter ſenſum verò acriorem vehementiori dolore cruciantur, cui accedunt ea mala, quę ſequi dolorem ſolent.

[illegible] τῆς φλεγμονῆς, ἀντεῖχε τοῖς ἔξωθεν μὴ γενέσθαι ψυχροῖς. ἡνίκα δ' αὖ φλεγμαίνῃ, τότε καθαρὰ καὶ δίχα ἀπερίττωτα γενόμενα, αἰσθάνεται μᾶλλον ἢ πρόσθεν, ὧν πάσχει. διὰ ταῦτα πάντα, ῥᾳδίως μὲν ὑπὸ τῶν ἔξωθεν αἰτιῶν, καὶ μάλιστα τῶν ψυχρῶν, ὀδυνᾶταί τε, καὶ ψύχεται. διὰ δὲ ἀκρίβειαν τῆς αἰσθήσεως, τήν τε ὀδύνην ἴσχει σφοδροτέραν, καὶ τὰς ἐπὶ κειμένας αὐτῇ δυσχερείας ἐπικτᾶται. C

HIPPOCRATIS TEXTUS LVII.

At ubi ulcera convaluerunt, humerus diu debet ad latus ſimiliter deligari: namque hac via cicatrix maximè confirmabitur, atque id ſpacium, in quod maximè humerus procidit, contrahetur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νζ΄.

Ἀτὰρ καὶ ἐπὴν ὑγιέα γένηται τὰ ἕλκεα, ὁμοίως ἐπὶ πουλὺν χρόνον χρὴ προσδεῖν τὸν βραχίονα πρὸς τὰς πλευράς, ὅπως γὰρ αὖ μάλιστα ἐπουλωθείη, καὶ ἀπολειφθείη ἡ εὐρυχωρίη, καθ' ἣν μάλιστα ὀλισθαίνει ὁ βραχίων.

GALENI COMMENTARIUS.

Hic etiam indicavit, quo conſilio hæc præceperit, quum inquit: namque hac via cicatrix maximè confirmabitur, atque id ſpacium, in quod maxime humerus procidit, contrahetur, quaſi ita dixerit: quo minor cicatrix inducetur, eo magis alę cutis contrahetur: quod maximum momentum habet in prohibendo, ne in hanc partem humerus elabatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D

Κἀνταῦθα τὸν σκοπὸν ἐν συνεβούλευσεν αὐτοῖς, ἐδήλωσεν εἰπών, ὅπως γὰρ αὖ μάλιστα ἐπουλωθείη, καὶ ἀπολειφθείη εὐρυχωρίη, καθ' ἣν ὀλισθαίνει ὁ βραχίων, δυνάμει τοῦτο λέγων. ὅσῳπερ γὰρ ἡ οὐλὴ βραχυτέρα γένηται, τοσούτῳ μᾶλλον ἐς ὀλίγον συναχθήσεται τὸ περὶ τὴν μασχάλην δέρμα. μέγιστον δέ ἐστι τοῦτο, πρὸς τὸ μὴ ῥᾳδίως ὀλισθαίνειν ἐνταῦθα τὸν βραχίονα.

HIPPOCRATIS TEXTUS LVIII.

E

Quibus recondi humeri caput non potuit, ſi adhuc creſcunt, humerus non æquè augetur atque is, qui integer eſt: ſed quamvis aliquid augeatur, altero tamen brevior redditur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νη΄.

Ὅσοισι δ' αὖ ὦμος καταπορηθῇ ἐμβληθῆναι, ἢν μὲν ἔτι ἐν αὐξήσει ἔωσιν, οὐκ ἐθέλει συναύξεσθαι τὸ ὀστέον τοῦ βραχίονος, ὁμοίως τῷ ὑγιεῖ, ἀλλὰ αὔξεται μὲν ἐπί τι, βραχύτερον δὲ τοῦ ἑτέρου γίνεται.

GALENI COMMENTARIUS.

Ea nunc perſequitur, quę neceſſario iis accidunt, quibus humeri caput ſuo loco non eſt. Primum ac maxime commune, cui reliqua omnia ſuperveniunt, eſt quod minus alitur: quam rem ſi membrum jam perfecte increvit, gracilitas ſequitur: ſi adhuc augeatur, exiguitas. Non alitur autem membrum ob muſculorum & venarum, quas continet, depravationem: ejus quoque rei cauſa eſt totus articulus immobilis, nam & integra membra, ubi diutius omnino immobilia maneant, apertè graciliora conſpiciuntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ ἀκολουθοῦντα διέρχεται νῦν, ὅσα τοῖς ἐξάρθρον ἔχουσι τὸν ὦμον ἐξ ἀνάγκης ἐπιγίγνεται. πρῶτον μὲν οὖν ἐστί, καὶ κοινότατον, ᾧ καὶ τἄλλα ἕπεται πάντα, τὸ ἀτροφώτερον παντὸς γίγνεσθαι, τούτῳ δ' αὐτοῦ πάλιν ἕπεται. F τελειωθέντος μὲν οὖν ἤδη τοῦ κώλου λεπτότης, ἔτι δ' αὐξανομένου, ἡ σμικρότης. αὕτη δ' ἀτροφία, διά τε τὴν διαστροφὴν γίνεται τῶν κατὰ τὸ κῶλον ἀγγείων τε καὶ μυῶν, αἰτία δέ, ἡ ἀκινησία ὅλου τοῦ ἄρθρου· καὶ γάρ τι τῶν ὑγιῶν κώλων, ἐπὶ χρόνῳ πολλῷ παντάπασιν ἀκίνητον μεῖναν, σαφῶς ἀτροφώτερον φαίνεται.

Εἴτε ἀπὸ τῆς πρὸς τὰς γαλᾶς ὁμοιότητος ἐκλήθησαν οἱ γαλιάγκωνες, εἴτ' ἀπ' ἄλλου τινὸς, ἐπισκέπτειν χρὴ τοῖς περὶ αὐτὰ σπουδάζουσιν, ἐπιμελῶς ζητεῖν. ἰατρῷ δὲ χρήσιμον ἐπίστασθαι, τὸ γίνεσθαί τινας ἐξαρθρήσεις ἀμφοτέρα τὰ κατ' ὦμον ἄρθρα, τό, τε ἀριστερὸν, καὶ τὸ δεξιὸν, ὅτι τε μικροὺς ἐξ ἀνάγκης ἔχουσιν οὗτοι τοὺς βραχίονας. Εἰδέναι δὲ τινὰ καὶ ἄλλην συμφορὰν, ἐργαζομένην ταὐτὸ πάθημα, περὶ ἧς αὐτὸς ἐρεῖν ἐπαγγέλλεται. χαλεπὸν δὲ εὑρεῖν ἑτέραν, ἣν αὐτὸς ἐφεξῆς λέγει συμβαίνειν τοῖς νηπίοις. ἔχει δὲ ἡ λέξις οὕτως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξ'.

Ἀτὰρ καὶ οἷσιν ἔτι νηπίοισιν ἐοῦσι, κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος, βαθεῖαι καὶ ὑπόβροχοι ἐκπυήσιες γίνονται, καὶ οὗτοι πάντες γαλιάγκωνες γίνονται. καὶ ἤν τε τμηθῶσιν, ἤν τε καυθῶσιν, ἤν τε αὐτόματόν σφιν ἐκραγῇ, εὖ εἰδέναι χρὴ ὅτι ταῦτα οὕτως ἔχει. χρέεσθαι μέντοι τῇ χειρὶ δυνατώτατοί εἰσιν οἱ ἐκ γενεῆς γαλιάγκωνες, οὐ μὴν οὐδ' ἐκεῖνοί γε ἀναθεῖναι παρὰ τὸ οὖς τὴν βραχίονα, ἐκτανύοντες τὸν ἀγκῶνα δύνανται, ἀλλὰ πολὺ ἐνδεεστέρως, ἢ τὴν ὑγιέα χεῖρα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δύνασθαι δὲ τοῦτο καὶ κυουμένοις ἐπισυμβαίνειν. συμφορὰν δὲ ἄλλην ἔτι κυουμένοις ἐξαρθρήματος αἰτίαν γίνεσθαι, χαλεπὸν εὑρεῖν, ἀμφοτέρας δὲ ταύτας οὐκ ἀδύνατον συμβῆναι. καὶ γὰρ ἐκπυῆσαι δυνατόν ἐστι, καὶ ἐκραγῆναι, καὶ ἀπουλωθῆναι τῷ κυουμένῳ τῷ βρέφει πρὸς τῆς φύσεως, καὶ τοῦτο μᾶλλον ἔτι κατὰ τὴν ἔμπλασιν ἐνδέχεται τοῦ κατ' ὦμον ἄρθρου, διά τε τὴν ὑγρότητα τῆς φύσεως τοῦ παιδίου, καὶ τὴν κατὰ διάρθρωσιν κοιλότητος τὸ εὐυπέρβατον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξα'.

Οἷσι δ' ἂν ἤδη ἀνδράσιν ἐοῦσιν ἐκπέσῃ ὁ ὦμος, καὶ μὴ ἐμβληθῇ, ἐπωμὶς ἀσαρκοτέρη γίνεται, καὶ ἡ ἕξις λεπτὴ ἡ κατὰ τοῦτο, ὅταν μέντοι ὀδυνώμενοι παύσωνται. ὁκόσα μὲν δὴ ἐργάζεσθαι ἐπάραντας τὸν ἀγκῶνα ἀπὸ τῶν πλευρέων εἰς τὸ πλάγιον, ταῦτα μὲν οὐ δύνανται ἅπαντα ῥωμαλέως ἐργάζεσθαι. ὁκόσα δὲ ἐργάζονται, παραφέροντες τὸν βραχίονα παρὰ τὰς πλευρὰς, ἢ ἐς τοὔπισω, ἢ ἐς τοὔμπροσθεν. ταῦτα δὲ δύνανται ἐργάζεσθαι, καὶ γὰρ ἂν ἀρίδα ἑλκύσειεν, καὶ πρίονα, καὶ πελεκίσαιεν ἄν, καὶ σκάψαιεν, ἢν μὴ κάρτα ἄνω αἴροντες τὸν ἀγκῶνα, καὶ τἄλλα ὅσα τῶν τοιούτων σχημάτων ἐργάζονται.

B Diſtinc ſint γαλιάγκωνες à ſimilitudine felis (γαλῆ græcè dicitur) an ab alio quopiam, relinquenda quæſtio eſt iis, qui in hujuſmodi ſtudia incumbunt; Medicum verò ſcire convenit, naſci quoſdam utriuſque humeri articulo luxato, dextro & ſiniſtro, ſicque humeros breviores eſſe: neque ignorare alteram hujus vitii cauſam, de qua tractaturum ſe pollicetur. Difficile autem eſt alteram invenire, præter illam quam ipſe deinceps ait illis accidere, qui teneri ſunt. Inquit ergo.

C

HIPPOCRATIS TEXTUS LX.

Sed, quibus tenera adhuc ætate juxta humeri caput in intimis partibus, altæque ſuppurationes oriuntur, omnibus ſane humeris breviores ſiunt: ac ſive ſecentur, ſive urantur, ſive per ſe pus aperiatur, ſcire licet hæc ita ſe habere. Maximè vero brachio uti queunt, quibus à primo natali die humeri breviores ſunt: neque ipſi tamen ſurſum ad aurem porrigere brachium poſſunt, cubito extento,

D *niſi multo minus, quàm ab integra parte.*

GALENI COMMENTARIUS.

Poteſt hoc etiam, dum in utero ſunt, accidere: aliam verò noxam, quæ iis qui in utero geruntur, cauſa ſit, ut articulus elabatur, difficile eſt invenire; ſed has ambas accidere nihil prohibet: poteſt enim, dum infans in utero eſt, à natura ſuppuratio fieri, aperiri, & ad cicatricem ulcus perduci: quod magis adhuc evenit, ubi humeri caput elabitur ob humorem infantis naturalem, & quia cavum commiſſuræ ipſius humeri tale eſt, ut facile articu-

E lum expelli patiatur.

HIPPOCRATIS TEXTUS LXI.

Quibus vero ætate jam robuſta, humeri caput erupit, neque reſtitutum eſt, pars quæ ſupra commiſſuram eſt, tenuatur, & gracilioris habitus fit: ubi dolore liberantur, non æquè præſtare poſſunt opera omnia quæcunque requirunt ut cubitus à pectore diductus in latera attollatur. Ad ea autem

F *valent quæcunque efficienda ſunt, humero vel in priorem partem, vel in poſteriorem ad pectus adducto: nam terebra, ſerra, ſecure, ac raſtris utuntur, dummodo cubitum non admodum attollere neceſſe ſit, atque ad alia omnia idonei ſunt, quæ brachia poſtulant ita figurata.*

GALENI

que emacrescit: quandoquidem labor firmat, ignavia tabidum reddit.

πωῖ, ἀργίη δὲ τήκει.

DE SVMMITATE LATI Scapularum oſſis, quà cum Iugulo conjungitur.

ΠΕΡΙ ΤΟΥ ΑΚΡΩΜΙΟΥ, καὶ τῆς συνδέσμου κλειδός.

C

HIPPOCRATIS TEXTUS LXII.

QVibus lati ſcapularum oſſis ſummitas diducitur, extare videtur os, quod recedit: eſt autem hæc ligamentum juguli cum lato ſcapularum oſſe. Diverſa autem eſt hac parte natura homini, à cæteris animalibus. Medici itaque in hoc caſu maximè decipiuntur: excitato enim oſſe, quod recedit, humeri commiſſura pars ſuperior apparet depreſſa, & cava, ita ut quaſi procideris humeri caput, provideant. Novi ergo complures Medicos, alioquin non ignobiles, qui ſummopere læderent, dum niterentur hujuſmodi humeros reſtituere, ut qui luxatos eſſe æſtimarent: nec prius deſiſterent, quam vel rem deſperarent, vel indicarent per ſe non poſſe humeri articulum reſtituere. His eadem curatio convenit, quæ cæteris ejus generis, nempe ceratum, panni, faſciæ, atque eadem vinciendi ratio: veruntamen deorſum cogendum eſt id, quod excedit, tum ea parte plurimi panni injiciendi, maximeque adſtringendum, humeruſque ad latus continendus eſt, ſuſpenſus à parte ſuperiori. Hac enim ratione id quod receſſit, proximè adducetur: quam rem ſcire optimè licet, atque prædicere, omni periculo vacare, ſi alioquin tibi videatur; ex hoc enim caſu, nec parum, nec magnum in humeri commiſſura oritur detrimentum: ſed aliquid decoris eo loco amittitur: nunquam enim hujuſmodi os in naturalem & antiquam ſedem revertitur: ſed neceſſariò, ſive amplius, ſive minus, à ſuperiori parte prominet: neque enim aliud os ullum in priſtinam ſedem revertitur, quod receſſerit ab aliquo oſſe, cum quo naturaliter jungeretur. Paucis autem diebus à dolore liberatur latum ſcapularum os ſummum, ſi commodè vinciatur.

D E F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξβ.

Ὅσοισι δ᾽ αὖ τὸ ἀκρώμιον ἀποσπασθῇ, τουτέοισι φαίνεται ἐξέχον τὸ ὀστέον τὸ ἀποσπασθέν. ἔστι δὲ τοῦτο ὁ σύνδεσμος τῆς κληῖδος, καὶ τῆς ὠμοπλάτης. ἑτεροίη γὰρ φύσις ἀνθρώπου ταύτῃ, ἢ τῶν ἄλλων ζώων· οἱ οὖν ἰητροὶ, μάλιστα ἐξαπατέονται ἐν τούτῳ τῷ τρώματι, ἅτε γὰρ ἀνεχόντος τοῦ ὀστέου τοῦ ἀποσπασθέντος, ἡ ἐπωμὶς φαίνεται χαμηλὴ, καὶ κοίλη· ὥστε καὶ παρασκευάζεσθαι τὸν ὦμον τὸν ἐκπεπτωκότα. πολλοὺς οὖν οἶδα ἰητροὺς, τἄλλα οὐ φλαύρους ἐόντας, οἳ πολλὰ ἤδη ἐλυμήναντο, ἐμβάλλειν πειρώμενοι τοὺς τοιούτους ὤμους, οὕτως οἰόμενοι ἐκπεπτωκέναι, καὶ οὐ πρόσθεν παύονται, πρὶν ἢ ἀπογνῶναι, ἢ ἀπορῆσαι δοκέοντες, αὐτοὶ σφᾶς αὐτοὺς ἐμβάλλειν τὸν ὦμον. τούτοισιν, ἰητρείη μὲν, ἥπερ καὶ τοῖσιν ἄλλοισι τοιούτοισι, κηρωτὴ, καὶ σπλῆνες, καὶ ὀθόνια, καὶ ἐπίδεσις τοιαύτη. καταναγκάζειν μέντοι τὸ ὑπερέχον χρὴ, καὶ τοὺς σπλῆνας κατὰ τοῦτο τιθέναι πλείστους, καὶ πιέζειν ταύτῃ μάλιστα, τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσεστηριγμένον ἐς τὸ ἄνω μέρος ἔχειν. οὕτω γὰρ ἂν μάλιστα πλησιάζοιτο ἀποσπασθέν· ταῦτα δὲ μὲν οὖν εἰδέναι χρὴ, καὶ προλέγειν ὡς ἀσφαλέα, εἰ ἄλλως ἐθέλοις· ὅτι βλάβη μὲν οὐδεμίη, οὔτε μικρὴ, οὔτε μεγάλη περὶ ὦμον γίνεται ἀπὸ τούτου τοῦ τρώματος, αἴσχιον δὲ τὸ χωρίον. οὐδὲ γὰρ τοῦτο τὸ ὀστέον ἐς τὴν ἀρχαίην ἕδρην ὁμοίως ἂν ἱδρυνθείη, ὥσπερ πέφυκεν, ἀλλ᾽ ἀνάγκη, πλέον ἢ ἔλασσον ὀγκηρότερον εἶναι ἐς τὸ ἄνω. οὐδὲ γὰρ ἄλλο ὀστέον, οὐδὲν ἐς τὸ αὐτὸ καθίσταται, ὅπερ ἂν κοινωνέον ἑτέρῳ ὀστέῳ, καὶ προσπεφυκὸς ἀποσπασθῇ ἀπὸ τῆς ἀρχαίης φύσιος. ἀνώδυνον δὲ τὸ ἀκρώμιον ἐν ὀλίγῃσιν ἡμέρῃσι γίνεται, ἢν χρηστῶς ἐπιδέηται.

GALENI COMMENTARIUS.

INdicat lati ſcapularum oſſis ſummitatem eſſe conjunctionem, dicit etiam ipſam eſſe os, quo alligantur propoſita oſſa ambo; conſtat autem ſummitatem lati ſcapularum oſſis eſſe cartilaginoſum os, quod ſitum eſt, quà

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σύνδεσιν ἐνδείκνυται τὸ ἀκρώμιον εἶναι, λέγει δὲ καὶ ὀστοῦν ὑπάρχειν αὐτὸ, καὶ συνδεῖν ἄμφω τὰ εἰρημένα· δῆλον οὖν ὅτι χονδρῶδες ὀστοῦν ἐστι τὸ ἀκρώμιον, ἐπικείμενον τῇ συνάψει τῆς κλειδὸς, καὶ τῆς ὠμοπλάτης, ὑμένας

αὐξανομένων ἔτι δύναται κἂν τελέως καταμαλακιζόμενα, καὶ πολὺ μᾶλλον, ὅταν ᾖ χαῦνα, καὶ σηραγγώδη, καθάπερ ἡ κλείς ἐστι. καὶ ἐγώ γ' ἐπειράθην αὐτὸς ἐπ' ἐμαυτοῦ, καμπτομένης αἰσθανόμενος τῆς κλειδός, ἔσφιγξε γὰρ διὰ βάθους ὁπότε σφοδρῶς κατασπασθῇ τῷ βιαίῳ τῆς ἐπιδέσεως. ὑπέμεινα δὲ τοῦτο μέχρι μ'. ἡμέρας, ἐν αἷς οὕτω προσήχθη τῇ κεφαλῇ τοῦ βραχίονος ἡ κλείς, ὥστε, τοὺς μὲν νῦν ὁρῶντας ἀπιστεῖν εἰ ἀπεσπάσθη ποτέ, τοὺς δὲ ἰδόντας ὁπότε ἀπεσπάσθη, τριῶν δακτύλων διάστημα τὸ μεταξὺ γενόμενον, ἀποθαυμάζειν τὸ πρᾶγμα. συνέβη μέντοι τὸν βραχίονα τελέως ἀτροφῆσαι κατ' ἐκεῖνον τὸν χρόνον, ὡς ἰσχνὸν παντελῶς γενέσθαι, συναποτροφῆσαι δ' αὐτῷ καὶ τὸν πῆχυν. ἀλλὰ ταῦτα μὲν ἐπανορθωσάμενος, ἑνὶ βοηθήματι τῷ τῆς ἐπιδέσεως, ἀνέθρεψα σύμπαν τὸ κῶλον, οὐκ ἐν πολλῷ χρόνῳ, μετὰ τὸ λυθῆναι τοὺς ἐπιδέσμους. ἐπὶ δὲ μειρακίου, καὶ μᾶλλον ἐπὶ παιδίου, ἑτοιμότερον ἡ ἐπίδεσις καταμαλακίζει τὸ ὀστοῦν. ἐμοὶ μὲν γὰρ ἔτος ἄγοντι ε'. καὶ λ'. τοῦτο παθεῖν ἐν παλαίστρᾳ συνέβη. οὐ μὴν ἄλλον γέ τινα τῶν ἤδη τελείων ἐδυνήθην ὁμοίως ἰάσασθαι, διὰ τὸ μὴ φέρειν αὐτοὺς τὸ βίαιον τῆς ἐπιδέσεως. ἐγὼ δ' οὖν καὶ αὐτός, ᾐσθανόμην ψυχροῦ τοῦ χωρίου πάντως, ὡς ἀναγκάζεσθαι δι' ὅλης ἡμέρας, καὶ νυκτός, ἔλαιον καταντλεῖν θερμόν, ὑποβεβλημένου δέρματος ὅλῳ τῷ σώματι. γυμνὸς γὰρ ἐπ' αὐτοῦ κατεκείμην, ὡς ἂν καὶ τῶν ὑπὸ κύνα καυμάτων ὄντων. ὑποκειμένης οὖν κατὰ τὸ πρὸς τῶν ποδῶν μέρος λεκάνης κενῆς, ἐσχημάτιστο κατὰ τοῦτο πρὸς ἔκρουν ἐπιτηδείως τὸ δέρμα, πάλιν τε τὸ ἀθροισθὲν ἐν τῇ λεκάνῃ, μεταβαλόντες εἰς λέβητα κατὰ πυρὸς ἐπικείμενον ἐθέρμαινον, ἐντεῦθεν λαβόντες, ἀπήντλουν τῷ πεπονθότι χωρίῳ παντί. καὶ εἰ βραχύ ποτε διέλιπον, εὐθέως ᾐσθανόμην τάσεως τῶν κατὰ τὸν τράχηλον μυῶν, ὡς εἶναι δῆλον, ὅτι σπασμὸς ἀκολουθήσει, ῥᾳθυμησάντων περὶ τὴν κατάντλησιν. ἐμοὶ μὲν καὶ ἄλλο τι συνέβη κατὰ τὰς κακοπαθείας τῶν μυῶν, αἴτιον οὐ σμικρόν, ὃ καὶ αὐτὸ καλῶς ἔχει δηλῶσαι, χάριν τοῦ νομίσαι τινά, διὰ μόνην τὴν καταμάλαξιν τῆς κλειδός, κακοπαθεῖς γενέσθαι τοὺς μῦς. ἀποσπασθέντος γὰρ τοῦ ἀκρωμίου κατὰ παλαίστραν, ὁ παιδοτρίβης ἰδὼν ταπεινὴν τὴν ἐπωμίδα, καὶ εἰς μασχάλην ὠλισθηκέναι τὸν βραχίονα, κατέτεινέ τε, καὶ μοχλεύειν ἐπεχείρει, καὶ τεχνικῶς ἐνήργει ταῦτα. μὴ προχωροῦντος δὲ τοῦ ἔργου, καὶ μάτην τοῦ χρόνου τριβομένου, νομίσας αὐτὸν ἐν τῇ μοχλείᾳ τι σφάλλεσθαι, τοὺς μὲν ἄλλους μετ' ἐκείνου, τείνειν τε τὸν βραχίονα, καὶ ἀντιτείνειν ἄνω τὸν ὦμον ἐκέλευον, αὐτὸς ὑποβαλὼν τῆς ἀπαθοῦς χειρὸς τοὺς δακτύλους, ὡς ἐσωτάτω τῆς δοκούσης ὠλισθηκέναι τὸν βραχίονα, ἵνα μεταξὺ τῶν πλευρῶν καὶ τῆς κεφαλῆς αὐτοῦ παρενθεὶς, ἀναμοχλεύσαιμι αὐτό, μικρὸν τοῦτο, μηδὲν εὑρὼν ἐν τῇ μασχάλῃ παρὰ φύσιν, ἐκέλευον ἐπισχεῖν τὴν τάσιν, τοὺς ἅμα τῷ παιδοτρίβῃ τείνοντάς τε, καὶ ἀντιτείνοντας.

B cula eorum, qui adhuc increſcunt, coacta curvari poſſunt, ac multò magis, ubi rara ſint, & cavis plena, quale eſt jugulum. Equidem experimento ſenſi jugulum in meipſo curvari: nam quum vinculi vi vehementer compelleretur, alte urgebat; quod ego pertuli quadraginta dies, quibus jugulum ad humeri caput ita adductum eſt, ut iis qui nunc aſpiciunt, nunquam receſſiſſe videatur: quique tunc quum receſſit, diductum intervallo trium digitorum viderunt, rem admirentur. Inde tamen factum eſt ut humerus id temporis minimè
C nutriretur, ita ut penitùs emacreſceret, cumque eo brachium etiam nutriri deſineret. Sed his omnibus, uno vinculi præſidio ſuccurrens, non multo tempore à ſoluto vinculo totum membrum refeci. In adoleſcente autem, ac multo magis in puero, os faciliùs vinculo cogitur: ego verò, quùm id mihi accidit in palæſtra, annum agebam trigeſimum quintum; nullum tamen alium ex iis, qui firmiſſima ætate eſſent, æquè licuit ad ſanitatem perducere, eò quod vinculi vim minimè ferrent. Ipſe igitur ſenſi frigidum prorſus, ſic ut totum diem ac noctem perfundere calidum oleum cogerer,
D pelle toto corpori ſubjecta, ſuper qua nudus jacebam, quùm caniculæ æſtus vigeret. A pedibus igitur inani pelve ſubjecta pellis ita figurata erat, ut oleum per eam commodè funderetur: quidquid autem in pelui coactum erat, in ollam conjiciebatur juxta ignem, ut caleſieret, eoque inde accepto totus affectus locus perfundebatur: at quum vel modicum quid aliquando intermittebatur, ſentiebam continuò muſculos juxta cervices diſtendi, ſic ut apertè conſtaret, ſequuturam eſſe nervorum diſtenſionem, ſi ignavi fuiſſent, qui perfundebant.
E Mihi etiam aliud evenit, quod non parum in cauſa fuit ut muſculi malè afficerentur. Atque id quoque enarraſſe operæpretium erit, ne quis exiſtimet malè affici muſculos, propterеaquod jugulum duntaxat deorſum fuerit coactum. In palæſtra enim, lati ſcapularum oſſis ſummitate diducta, magiſter intuitus partem ſuperpoſitam humeri commiſſuræ depreſſam, exiſtimans humeri caput in alam excidiſſe, intenſionem tentat, atque impulſum, quæ quidem artificiosè agit: at quum ſine ullo profectu operam per-
F deret, arbitror peccati aliquid in impellendo: quamobrem alios adhiberi jubeo, qui cum ipſo humerum, & ab inferiori parte, & à contraria extendant: atque ipſe integræ manus digitos, quantum poſſum, intrò demitto ad humerum, qui excidiſſe videbatur, ut inditi inter latus & humeri caput, ipſum impellerent: nihil autem inveniens in ala præter naturam, jubeo ut extendere ceſſent, qui cum magiſtro ſimul vim adhibebant, eo quod humeri caput non procidiſſet.

vinculum non ſuſtinent, etiamſi id non accidat: ſed malunt in poſterum, quæ ex eo malo moleſtia ſequitur, ferre quàm id quadraginta diebus ſuſtinere: neque enim breviori ſpacio conſequi eos poſſe exiſtimo, ut jugulum ita exquiſitè curvetur. Reliqua Hippocratis verba plana ſunt.

θεῖεν, οἱ μύες ἰδίωσι συνεχεῖς κατοδυνηθῶσιν. οἱ πολλοὶ δὲ, καὶ μὴ γινομένης αὐτοῖς τῆς ἐπιδέσιος, οὐ φέρουσιν, ἀλλ' αἱρέονται τὴν εἰς τὸν ἔπειτα χρόνον ἐκ τοῦ πάθους ἔχειν δυσχέρειαν, παρὰ τὸ μὴ πονεῖσθαι μέχρι τεσσαράκοντα ἡμερῶν. οὐ γὰρ ἡγοῦμαι θᾶττον δύνασθαι τὸ τοιοῦτον, ἀκριβῶς καμφθῆναι τὸ τῆς κλειδὸς ὀστοῦν. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

C

DE IVGVLO FRACTO.

HIPPOCRATIS TEXTUS LXIII.

IVgulum comminutum, ſi ex toto fractum ſit, facilius curatur: ſi in longitudinem, ægriùs: hæc autem contraria ſunt, atque aliquis exiſtimet. Id igitur, quod ex toto fractum eſt, magis utique in ſuam ſedem compelli poteſt: ac ſi ſummâ curâ providetur, quod ſublimius eſt, magis deorſum coge- D *tur idoneo habitu, ac debito vinculo: quamvis autem ex toto in ſuam ſedem non collocetur, tamen ea pars quæ excedit, non valde acuta apparebit. At quibus in longitudinem frangitur, ſimile vitium eſt, atque ubi oſſa diducuntur, de quibus ſupra tractavimus: non ita enim in ſuam ſedem reſtituitur, extanſque oſſis extremitas aſpicitur admodum acuta. In univerſum autem ſcire convenit, nihil humeri commiſſuram, aliamve partem lædi, quum jugulum frangitur, niſi, quod* E *rarò accidit, corrumpatur.*

GALENI COMMENTARIUS.

EX toto frangi dicit, quod nulla parte hæret: cujus contrarium eſt, quod non ex toto abrumpitur. Id uno modo fieri expreſſit, quum inquit ſi longitudinem, ægriùs: ſimulque demonſtravit, quod ex toto abrumpitur, tranſverſùm abrumpi: quod non ex toto, in longitudinem: ergo ubi ex toto comminuitur, partes cedere inter ſe plerumque ſolent, atque una ſurſum F ferri, altera deorſum; tum altera in interiora, in exteriora altera; qua de cauſa videtur fractura gravis & ægrè ſanabilis. Verùm altero modo, quum fractura in longitudinem eſt, levior quidem apparet, ægrius tamen curationem admittit: nequit enim jugulum faſciâ excipi in orbem, ſicut membra: qua via duntaxat propelli, atque adduci poſſet, quod in longitudinem fiſſum eſt. Quòd ſi hæc, quæ nunc oſtendimus, in memoria habeantur, nihil

ΠΕΡΙ ΤΗΣ ΚΛΗΙΔΟΣ ΚΑΤΗΞΙΟΣ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξγ.

ΚΛηῒς δὲ κατηγεῖσα, ἢν μὲν ἀτρεκέως ἀποκαυλισθῇ, εὐιητοτέρη ἐστὶ, ἢν δὲ παραμήκεως, δυσιητοτέρη. τἀναντία δὲ τούτοις ἐστὶν, ἢ ὡς ἄν τις οἴοιτο. τὴν μὲν γὰρ ἀτρεκέως ἀποκαυλισθεῖσαν, προσσημαίνεσθαι ἄν τις D μᾶλλον ἐς τὴν φύσιν ἤγειν, καὶ εἰ πάνυ προμηθηθείη, τὸ ἀνωτέρω, κατωτέρω ἂν ποιήσειε, σχήμασί τε ἐπιτηδείοισι, καὶ ἐπιδέσει ἁρμοζούσῃ. εἰ δὲ μὴ τελέως ἱδρυνθείη, ἀλλ' οὖν τὸ ὑπερέχον γε τοῦ ὀστέου, οὐ κάρτα ὀξὺ γίνεται. ὡς δ' ἂν παραμήκες τὸ ὀστέον καταγῇ, ἰκέλη ἡ ξυμφορὴ γίνεται τοῖσιν ὀστέοισι τοῖσιν ἀποσπασθεῖσι, περὶ ὧν προγέγραπται. οὔτε γὰρ ἱδρυνθῆναι αὐτὰ πρὸς ἑωυτὰ κάρτα ἐθέλει, ἥ τε ὑπερέχουσα ἀκρὶς τοῦ ὀστέου, ὀξεῖα γίνεται κάρτα. τὸ μὲν οὖν σύμπαν εἰδέναι χρὴ, ὅτι βλάβη οὐδεμίη τῷ ὤμῳ οὐδὲ τῷ ἄλλῳ σώματι γίνεται διὰ τὴν κά- E τηξιν τῆς κληΐδος, ἢν μὴ ἐπισφακελίσῃ. ὀλιγάκις δὲ τοῦτο γίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΛΕγει τὴν δι' ὅλως ἀποκαυλισθεῖσαν, ὡς κατὰ μηδὲν περιέχεσθαι. τὸ δ' ἀντικείμενον τούτῳ, τὸ οὐκ ἀτρεκέως ἐστὶ, ὃ καθ' ἕνα τρόπον γινόμενον ἐδήλωσεν εἰπών. ἢν δὲ παραμήκεως, δυσιητοτέρη, μεθ' αὐτοῦ καὶ συνενδεῖξασθαι, τὴν μὲν ἀκριβῶς ἀποκαυλιζομένην, ἐγκαρσίαν πάσχειν τοῦτο, F τὴν δ' οὐκ ἀκριβῶς, κατὰ μῆκος. ὅταν μὲν οὖν ὁλοκλήρως ἀποκαυλισθῇ, παραλλάττειν εἰώθει τὸν τόπον ἀλλήλων τὰ μόρια, καὶ τὸ μὲν, ἄνω χωρεῖν, τὸ δὲ, κάτω, τὸ μὲν ἔσω, τὸ δὲ ἔξω. καὶ κατὰ τοῦτο φαίνεται μέγα τι τὸ κάταγμα, καὶ δυσίατον εἶναι. κατὰ δὲ τὸν ἕτερον τρόπον, ἡνίκα παραμήκης ἐστὶν ἡ διάθεσις τοῦ κατάγματος, ἡ μὲν φαντασία μικροτέρα, χαλεπωτέρα δὲ ἡ ἴασις. οὐ γὰρ ἐνδέχεται τὴν ἐν κύκλῳ περιβολὴν ὥσπερ τὰ κῶλα, μόνην δυναμένην προστεῖλαι, καὶ παραγαγεῖν τὸ παρὰ μῆκος ἐσχισμένον τῆς κλειδός. ἐὰν οὖν

Βέλτιον ἦν εἰπεῖν ἐπὶ ἧσσον γάρ. καὶ ἀρχαὶ μὲν γὰρ τῷ ξένῳ τοῦ πράγματος, αἰσχρὸν αὐτοῖς εἶναι δοκεῖ τὸ γεγονός. ἐν δὲ τῷ χρόνῳ συνεθιζόμενοι, ὥσπερ ἐπὶ τοῖς ἄλλοις ἅπασι, οὕτω καὶ ἐπὶ τῷδε, καταφρονεῖται τὸ αἶσχος.

Satius fuiſſet dicere minus apparet; principio enim rei novitate deforme vitium videtur; procedente tempore, ſicut alia omnia, quibus aſſueſcimus, ita deformitatem parvifacimus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξε´.

Συμφύεται δὲ ταχέως κληῒς, καὶ τἄλλα πάντα ὅσα χαῦνα ὀστέα. ταχεῖαν γὰρ τὴν ἐπιπώρωσιν ποιέεται τὰ τοιαῦτα. ὅταν μὲν οὖν νεωστὶ κατεαγῇ, οἱ τετρωμένοι σπουδάζουσιν, οἰόμενοι μεῖζον τὸ κακὸν εἶναι, ἢ ὅσον ἐστὶν, οἵ τε ἰητροὶ προθυμέονται δῆθεν ἐρρωμένως ἰῆσθαι. προϊόντος δὲ τοῦ χρόνου, οἱ τετρωμένοι, ἅτε οὐκ ὀδυνώμενοι, οὔτε κωλυόμενοι, οὔτε ὁδοιπορίης, οὔτε ἐδωδῆς καταμελέουσιν, οἵ τε αὖ ἰητροὶ, ἅτε οὐ δυνάμενοι καλὰ τὰ χωρία ἀποδεικνύειν, ἀποδιδρήσκουσι, καὶ οὐκ ἄχθονται τῇ ἀμελείῃ τῶν τετρωμένων, ἐν τούτῳ δὲ ἡ ἐπιπώρωσις συνταχύνεται. ἐπιδέσιος μὲν οὖν τρόπος κατέηκε, παραπλήσιος τοῖσι πλείστοισι, κηρωτῇ, καὶ σπλήνεσι καὶ ὀθονίοισι μαλθακοῖσιν ἐπιδέειν· καὶ τόδε δεῖ προσπιστεύειν καὶ τόδε δεῖ προσξυνιέναι, καὶ μάλιστα ἐν τούτῳ τῷ χωρίσματι, ὅτι τούς τε σπλῆνας πλείστους κατὰ τὸ ἐξέχον χρὴ τιθέναι, καὶ τοῖσιν ἐπιδέσμοισι πλείστοισι, καὶ μάλιστα κατὰ τοῦτο χρὴ πιέζειν. εἰσὶ δὲ δή τινες, οἳ ἐπισοφισάμενοι ἤδη μολίβδιον βαρὺ προσεπικαταδεῖν, ὡς καταναγκάζειν τὸ ὑπερίσχον. ξυνιᾶσι μὲν οὖν ἴσως, οὐδὲ οἱ ἁπλῶς ἐπιδέοντες. ἀτὰρ δὴ οὐδὲ οὗτος ὁ τρόπος κληῗδος κατήξιός ἐστιν, οὐ γὰρ δυνατὸν τὸ ὑπερίσχον καταναγκάζεσθαι οὐδὲν, ὅ τι καὶ ἄξιον λόγου. ἄλλοι δή αὖ τινές εἰσιν, οἵ τινες καταμαθόντες τοῦτο, ὅτι αὗται αἱ ἐπιδέσιες περιφερεῖς εἰσι, καὶ οὐ κατὰ φύσιν, καταναγκάζουσι τὰ ὑπερέχοντα. ἐπιδέουσι μὲν οὖν αὐτοὺς σπλῆνας, καὶ ὀθονίοισι χρώμενοι, ὥσπερ καὶ οἱ ἄλλοι, ζώσαντες δὲ τὸν ἄνθρωπον ταινίῃ τινὶ, ᾗ διαζωστότατος ἰθὺς ἑαυτοῦ ἐστιν, ὅταν ἐπιθῶσι τοὺς σπλῆνας ἐπὶ τὰ ὑπερίσχοντα τοῦ κατήγματος, ἐξορκώσαντες ἐπὶ τὰ ἐξέχοντα, τὴν ἀρχὴν τοῦ ὀθονίου προσδήσαντες πρὸς τὸ ζῶσμα, ἐκ τοῦ ἔμπροσθεν, καὶ οὕτως ἐπιδέουσιν ἐπὶ τὴν ἴξιν τῆς κληῗδος ἀποτείνοντες ἐς τοὔπισθεν ἄγοντες· κἄπειτα περιβαλόντες περὶ τὸ ζῶσμα, ἐς τοὔμπροσθεν ἄγουσι, καὶ αὖθις ἐς τοὔπισθεν. οἱ δέ τινες, οὐχὶ περὶ τὸ ζῶσμα περιβάλλουσι τὸ ὀθόνιον, ἀλλὰ περὶ τὸ περίνεόν τι, καὶ παρ᾽ αὐτὴν τὴν ἕδρην, καὶ παρὰ τὴν ἄκανθαν κυκλοῦντες τὸ ὀθόνιον, οὕτω πιέζουσι τὸ κάταγμα. ταῦτα γοῦν, ἀπείρῳ μὲν ἀκοῦσαι, φαίνεται εἰκὸς τὸ κατὰ φύσιν εἶναι, χρωμένῳ δὲ, ἀχρεῖα. οὔτε γὰρ μόνιμα οὐδένα χρόνον, οὐδ᾽ εἰ κατακέοιτό τις, καίτοι ἐγγυτάτω αἱ οὕτως. ἀλλ᾽ ὅμως εἰ κατακείμενος, ἢ τὸ σκέλος συγκάμψειεν, ἢ αὖθις καμφθείη. πάντα αἱ τὰ ἐπιδέσματα κινέεται, ἄλλως τε αἰσχρὴ ἡ ἐπίδεσις.

HIPPOCRATIS TEXTUS LXV.

Saneſcit autem citò jugulum, atque alia oſſa, quæcunque rara ſunt, quoniam callo hæc maturius obducuntur. Igitur, ubi caſus recens eſt, ægri ſollicití ſunt, putantes malum gravius eſſe, quàm ſit. Medici autem ſedulos in probè curando ſe exhibent: procedente tempore laborantes, ut qui non doleant, neque greſſu, neque cibo prohibeantur, rem contemnunt: at Medici, ut qui locum reddere decorum non poſſunt, ſe ſubducunt, neque offenſorum negligentiam iniquo animo ferunt: interim callus feſtinat increſcere. Deligandi autem ratio ea convenit, quæ pleriſque, cerato, pannis, faſciis mollibus adhibitis. Hæc autem providiſſe oportet, atque item noviſſe in hac præſertim curatione, plurimos pannos, quà os extat, objiciendos eſſe; ac faſcias plurimas, ibique maximè premendum. Nonnulli exiſtimarunt plumbi aliquid alligandum, quod oneri eſſet, ut deorſum cogeret, quod extaret. Fortaſſe autem nec illi ſapiunt, qui ſimpliciter vinciunt, quandoquidem neque propoſitus modus fracto jugulo convenit; nihil enim ferè cogere poteſt, quod excedit. Sunt & alii, qui cognoſcentes vincula ipſa aliena eſſe, neque in naturalem locum adducere, quod extat, deligant quidem ejuſmodi ægrotantes pannis faſciiſque ſuperdatis, perinde atque alii: ſed hominem faſcia aliqua cingunt, qua parte commodiſſimè cingitur: ubi pannos objecerint, quà fractura extat, ſic ut ea parte in tumorem aſſurgant, caput faſciæ ad cingulum à priori parte devinciunt, faſciamque è regione juguli porrigunt ad partem poſteriorem, & in cingulum demiſſam ad priorem adducunt, atque inde rurſus ad poſteriorem. Alij faſciam in cingulum non demittunt, ſed inter anum & naturale: tum juxta anum ipſum, dein circa ſpinam ducentes, ſic fracturam comprimunt. Hæc, quum ab eo audiuntur, qui uſum non habet, propè videntur ſecundùm naturam eſſe: at, ubi quis ea experiatur, inutilia comperiet, neque enim aliquod tempus immobiles manent, etiamſi homo cubet, quanquam hoc modo proxima eſſent: tamen ſi cubans crus flectat, aut ipſe curvetur, omnes faſciæ movebuntur: præterquam quòd hæc vinciendi ratio alioquin fœda eſt.

tur. Quæ ſequuntur, ſi diligenter conſiderentur, omnia plana ſunt.

HIPPOCRATIS TEXTUS LXVI.

Siquidem anus comprehenditur, faſciæque in hac loci anguſtia colliguntur. C *Quod verò ad eas faſcias pertinet, quæ in zonam induuntur, non ita arctè hæc cingitur, quin ſurſum ferri cogatur: quod ubi accidit, neceſſe eſt totum vinculum relaxari. Proximè autem moliri quis ſibi videbitur, quamvis nihil magnum efficiat, ſi faſcias nonnullas in cingulum demittat, ſed pleraſque ad primum vinculum adhibeat: hac enim ratione maximè ſtabiles erunt, & alteri circuitui alter auxiliabitur. Plurima quidem dicta ſunt ex iis quæ ad juguli fracturam attinent. Scire autem licet, jugulum plerunque ita frangi, ut ea pars, quæ à pectore eſt, ſurſum feratur: quæ à ſummitate lati* D *ſcapularum oſſis, deorſum: cujus cauſa eſt pectus, quod neque admodum ſurſum, neque admodum deorſum movetur.*

GALENI COMMENTARIUS.

Loci anguſtiam dixit στενοχωρίαν: quod nomen, ut quibuſdam placet, non componitur ex vocabulis ὑγρὸ, στενὸ, & χώρας, quæ ſignificarent humidum, anguſtum, locum; ſed deducitur à voce στενόν, quæ nihil amplius ſibi vult, quàm στενὸν, quod ſignificat anguſtum; E unde quadam additione, quam figuram παραγωγὴν dicunt, deducitur στενυγροχωρίη, quæ nihil aliud ſibi vult, quàm anguſtiam. Quod ex iis evidenter colligitur, quę Simonides ſic ſcribit, ὅπου τὶς ὕπο δασκίοις ἐν ὕρεσιν ἀνὴρ λέγεται λῖν, ὤδε παῖδ' ἄλιν μοῦνος στενυγρῷ συντυχὼν ἐν ἀτραπῷ. effertur autem ſecunda ſyllaba tenui ſpiritu.

HIPPOCRATIS TEXTUS LXVII.

Exiguus eſt enim motus articuli, à parte oſſis F *pectoris.*

GALENI COMMENTARIUS.

Exiguum motum vocavit κιγκλισμόν. At ſive vocabulum ſumatur à motacilla ave, quæ græcè κίγκλος dicitur, eò quòd aſſiduè caudam moveat, ſive à quovis alio, non pertinet propriè ad hunc locum: ſed magis perſequi cauſam oportet, cur commiſſura juguli cum pectore, quamvis ſicut aliæ nonnullæ, referri inter

ὡς εἴρηται, κατὰ τὸ ἐκτὸς ἐπιφάνειαν, δεῖ δὲ σημεῖον ἵνα ἀχθῶμεν. τὰ δὲ ἑξῆς ἅπαντα, δῆλα τοῖς προσέχουσι τὸν νοῦν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξϛ'.

Ἤτε γὰρ ἕδρη ἀπολαμβάνεται, ἀθρόα τε τὰ ὀθόνια ἐν ταύτῃ τῇ στενοχωρίῃ γίγνεται. τὰ τε αὖ περὶ τὴν ζώνην παραδεδεμένα, οὐχ οὕτως ἰσχυρῶς ζώσαι, ὡς οὐκ ἀναγκάσαι ἐς τὸ ἄνω τὴν ζώνην ἐπαναβαίνειν, καὶ οὕτως ἀνάγκη ἂν εἴη πάντα χαλᾶν τὰ ἐπιδέσματα, ἄριστα δ' ἂν τις δοκέοι ποιέειν, καίπερ οὐ μεγάλα ποιέων, εἰ τὰς μὲν τινὰς τῶν ὀθονίων περὶ τὴν ζώνην περιβάλλοι. τὰς δὲ πλείστας τῶν ὀθονίων, τῇ ἀρχαίῃ ἐπιδέσει ἐπιδέοι. οὕτω γὰρ ἂν μάλιστα τὰ ἐπιδέσματα μόνιμά τε εἴη, καὶ ἀλλήλοισι ἐπίκουρα. τὰ μὲν οὖν πλεῖστα εἴρηται ὅσα κατὰ λαμβάνει τὴν κλεῖδα κατεαγνυμένας. προσξυνιέναι δὲ καὶ τάδε χρή, ὅτι κληῒς, ὡς ἐπὶ τὸ πολὺ κατάγνυται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος πεφυκὸς ὀστέον, ἐς τὸ ἄνω μέρος ὑπερέχειν, τὸ δὲ ἀπὸ τοῦ ἀκρωμίου πεφυκὸς ὀστέον, ἐς τὸ κάτω μέρος εἶναι. αἴτια δὲ τούτων τάδε, ὅτι τὸ μὲν στῆθος, οὔτε κατωτέρω ἂν πολὺ, οὔτε ἀνωτέρω χωρέοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ἔστι σύνθετον ὄνομα τὸ στενυγροχωρίη, ἔκ τε τοῦ ὑγροῦ, καὶ τοῦ στενοῦ, καὶ τῆς χώρας γεγονὸς, ὡς ἔνιοι νομίζουσιν, ἀλλ' ἀπὸ τοῦ στενυγρὸν, ὅπερ οὐδὲν ἄλλο πλέον σημαίνει τοῦ στενοῦ κατὰ παραγωγὴν ἵνα γεγενημένης στενυγροχωρίας μηδὲν πλέον δηλούσης τῆς στενότητος. εὔδηλον δὲ τοῦτο κἀξ ὧν Σιμωνίδης εἶπεν, ὧδέ πως ἔχοντων. ὅπου τις ὕπο δ' ἀσκίοις ἐν ὕρεσιν ἀνὴρ λέγεται λῖν ἐν ὁδῷ παῖδ' ἄλιν, μοῦνος στενυγρῷ συντυχὼν ἐν ἀτραπῷ. ψιλοῦται δὲ δηλονότι κατὰ τὴν δευτέραν συλλαβήν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξζ'.

Μικρὸς γὰρ ὁ κιγκλισμὸς τοῦ ἄρθρου, τοῦ ἐν τῷ στήθει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν βραχεῖαν κίνησιν, ὠνόμασε κιγκλισμόν. εἴτε δὴ ἀπὸ τοῦ ζώου τοῦ κίγκλου γέγονε τοὔνομα, διότι κινεῖ συνεχῶς ἐκεῖνο τὰ πτεραίεια πτέρυγα, ἢ ἀπὸ τινος ἄλλου τῆς προειρημένης πραγματείας, οὐκ ἔστιν οἰκεῖον, ἀλλὰ μᾶλλον δεῖται αἰτίαν εἰπεῖν, εἰπεῖν, δι' ἣν ἡ πρὸς τὸ στέρνον τῆς κλειδὸς διάρθρωσις, ἐν τῇ μικροτάτων οὖσα, καθάπερ

Αὐτὸ γὰρ ἑωυτῷ συνεχές ἐστι τὸ στῆθος, καὶ τῇ ῥάχει.

B Ipſum enim os pectoris ſibi continuatur, & ſpinæ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν οὖν ἑαυτῷ συνεχὲς εἶναι τὸ στέρνον, ἐναργῶς φαίνεται. τὸ δὲ τῇ ῥάχει, νοηθήσεται σαφῶς, ἐὰν σκελετῷ ζώου τὰς πλευρὰς ποτὲ ἴδῃς ἐναργῶς ἐρηρεισμένας, ὀπίσω μὲν, ἐπὶ τῆς ῥάχεως, ἔμπροσθεν δὲ, πρὸς τὸ στέρνον.

GALENI COMMENTARIUS.

Os pectoris ſibi ipſi continuari manifeſtiſſimum eſt; ſed & ſpinæ etiam liquidò conſtabit, ſi quando in cadavere, detracta carne coſtas videris à poſteriori parte, ſpinæ: à priori, oſſi pectoris, inhærere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξθ'.

C

Ἄγχιστα μὲν ἡ κληῒς πρὸς τὸ τοῦ ὤμου ἄρθρον πλωῶδές ἐστι. ἠνάγκασται γὰρ πυκνοκίνητος εἶναι, διὰ τὴν τῆς ἀκρωμίης σύζευξιν. ἄλλως τε ὅταν μὲν πάθῃ, φεύγει ἐς τὸ ἄνω μέρος τὸ πρὸς τῷ στήθει προσεχόμενον, καὶ οὐ μάλα ἐς τὸ κάτω μέρος ἀναγκάζεσθαι ἐθέλει. καὶ γὰρ πέφυκε κοῦφον, καὶ ἡ εὐρυχωρίη αὐτοῦ, ἄνω πλείων ἢ κάτω. ὁ δὲ ὦμος, καὶ τὰ προσηρτημένα τούτοισιν, εὐαπόλυτά εἰσιν ἀπὸ τῶν πλευρέων, καὶ τοῦ στήθεος, καὶ διὰ τοῦτο, δύναται καὶ ἀνωτέρω πολὺ ἀνάγεσθαι, καὶ κατωτέρω. ὅταν γοῦν καταγῇ κληῒς, τὸ πρὸς τῷ ὤμῳ ὀστέον ἐς τὸ κατωτέρω ἐπιῤῥέπει. ἐς τοῦτο γὰρ ἐπιτηδειότερον αὐτῷ, ἅμα τῷ ὤμῳ καὶ τῷ βραχίονι, κάτω ῥέψαι μᾶλλον, ἢ ἐς τὸ ἄνω. ὁπότε οὖν ταῦτα ἐστὶν, ἀξυνετέουσιν, ὅσοι τὸ ὑπερέχον τοῦ ὀστέου ἐς τὸ κάτω καταναγκάζειν οἴονται εἶναι, ἀλλὰ δῆλον, ὅτι τὸ κάτω πρὸς τὸ ἄνω προσακτέον ἐστί. τοῦτο γὰρ ἔχει κίνησιν, τοῦτο γάρ ἐστι καὶ τὸ ἀποστὰν ἀπὸ τῆς φύσιος. δῆλον οὖν, ὅτι ἄλλως μὲν οὐδαμῶς ἐστιν ἀναγκάσαι τοῦτο. αἵ τε γὰρ ἐπιδέσιες, οὐδέν τι μᾶλλον προσαναγκάζουσιν ἢ ἀπαναγκάζουσιν. εἰ δέ τις τὸν βραχίονα πρὸς τῇσι πλευρῇσιν ὡς μάλιστα ἐόντα ἀναγκάζοι ἄνω, ὡς ὅτι ὀξύτατος ὁ ὦμος φαίνεσθαι εἶναι, δῆλον ὅτι οὗτος ἂν ἁρμοσθείη πρὸς τὸ ὀστέον τὸ ἀπὸ τοῦ στήθεος πεφυκὸς, ὅθεν ἀπεσπάσθη.

HIPPOCRATIS TEXTUS LXIX.

Sed & jugulum propè humeri articulum ſupernatat. Cogitur autem moveri ſæpiſſimè, eò quòd cum ſummitate lati ſcapularum oſſis jungatur. Maximè autem ubi perrumpitur pars, quæ ob oſſe pectoris eſt, ſurſum fertur, neque facile ſolet deorſum repelli, quoniam naturâ levis eſt, ſpatiumque ipſi latius patet à ſuperiori parte, quàm ab inferiori: latum verò ſcapularum os, humerus & quæ his inhæreſcunt, à coſtis, & oſſe pectoris, optimè ſolvuntur: quamobrem poſſunt plurimùm attolli, atque D *demitti. Itaque ubi jugulum frangitur, ea pars, quæ eſt à lato ſcapularum oſſe, deorſum convertitur: faciliùs enim deorſum fertur unà cum humero, ac lato ſcapularum oſſe, quàm ſurſum. Quando igitur ſic ſe res habet, decipiuntur, qui cenſent poſſe, quod ſuperexcedit os, deorſum compelli: namque in aperto eſt inferiorem partem ad ſuperiorem adducendam eſſe, ea ſiquidem movetur, ea à naturali ſede recedit; conſtat autem hanc aliter nullo modo propelli poſſe: vincula enim nihil magis adducunt, quàm repellant. Si quis autem humerum, ad latus, quantum poteſt, adductum ſurſùm attollat, ut humeri commiſſura maximè acutam ſe oſtendat, hoc pacto concurret cum oſſe* E *pectoris, à quo receſſit.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τροπικοῖς ὀνόμασι, καὶ γλωσσηματικοῖς εἴωθεν ὁ Ἱπποκράτης ἐνίοτε χρῆσθαι, καί τοι πολιτικὴν ἑρμηνεὺ ἑρμηνεύων ἑρμηνείαν, ὅμοιόν τι τούτῳ πεπονθὼς ὁ Ξενοφῶν. καὶ γὰρ ἐκεῖνος, εἴπερ τις καὶ ἄλλος, ἑρμηνεύων πολιτικῶς, ὅμως παρεμβάλλει πολλάκις ὀνόματα γλωσσηματικὰ, καὶ τροπικά. σπανιώτερον μὲν οὖν παρ' ἐκείνῳ τὸ τοιοῦτον, συνεχέστερον δὲ παρὰ τῷ Ἱπποκράτει. καθάπερ ἐπὶ τῇ προγεγραμμένῃ ῥήσει, τὴν κιγκλισμὸν εἶπε, ἐνταῦθά τε τὸ, πλωῶδές ἐστιν. ἐνδείκνυται γὰρ διὰ τῆς φωνῆς, τὸ οἷον ἀστήρικτος, ᾧ καὶ τὸ ζῶον φαινόμενον μαρτυρεῖ, καθ' ὅ φησιν ἠνάγκασται, καὶ ὃ πυκνοκίνητος αὐτὸς ἐδήλωσεν εἰπὼν, διὰ τὴν τῆς ἀκρωμίης σύζευξιν. αὕτη δὲ πάλιν ἡ ἀκρωμίη, διὰ τὸ

GALENI COMMENTARIUS.

Solet Hippocrates quaſdam figuras, ac linguarum proprietates uſurpare, quamvis conſuetam locutionem ſequatur. Simile quid apud Xenophontem legitur: ipſe enim, ſi quiſquam eſt, qui uſitata locutione utatur, in his nomen profitetur ſuum; ſæpiùs tamen inſerit F vocabula linguæ propria, ac tranſlata: quod rariùs apud hunc, frequentiùs apud Hippocratem reperitur: quemadmodum in præcedentibus verbis, ubi κιγκλισμὸν dixit parvum motum, nunc verò, πλωῶδές ἐστι, quod ſupernatat; id autem quaſi ſine fulcro ſignificat: cujus rei teſtimonium facit quod ſubjicit, quùm inquit: cogitur autem moveri ſæpiſſimè, eò quòd cum ſummitate lati ſcapularum oſſis conjungatur: at ſummitas lati ſcapularum oſſis ruſsùs

celeriter glutinetur, cætera verò omnia extra hujuſmodi habitum ſupervacua exiſtimet, rectè utique ſentiet, celeriterque hominem ad optimam valetudinem perducet: quem jacere maximè ad rem pertinet, ſatiſque ſunt quatuordecim dies, ſi quieſcat, ad ſummum viginti.

GALENI COMMENTARIUS.

Legitimum vinculum appellat, quod omnibus in conſuetudine eſt, ac jam eſt veluti lex quædam non ſcripta; ſic enim, & in vita fit, ut quos mores omnes ſtudent, legibus ſimiles ſint. Vinculum igitur quod ad fracturas pertinet, huc non admodum accommodatur, atque idcirco fuſiùs de ipſo ſcripſit in primo de fracturis: hîc autem nullum vitium exponitur, ad quod ejuſmodi vinculum adhibeatur. Oſtendimus enim in commentariis in eos libros, & nunc etiam in memoriam redigemus, morbos omnes, quibus accommodatur id vinculum, quod ad fracturas pertinet, traditos fuiſſe ab Hippocrate in eo volumine: in hoc autem omnes, qui alteram vinciendi rationem poſtulant. Porrò autem in eo vinculo, quod ad fracturas pertinet, faſcia ſuper affectum membrum in orbem circundatur; ſed in altera vinciendi ratione fertur ad alias partes, ac plurimùm ad eas, quæ vitiatæ ſedi contrariæ ſunt: quod in libro de officina Medici teſtatur, quùm inquit: Conſentit autem cum capite humeri faſcia ad alteram alam demiſſa.

HIPPOCRATIS TEXTUS LXXI.

Si in juguli fractura, quod rarò accidit, contrarium eveniat, ut ſcilicet id oſſis, quod à pectore eſt, ſubjiciatur, id quod à ſummitate lati ſcapularum oſſis ſublimiùs feratur, ac ſuper alterum excedat, nullo magno præſidio opus eſt: demiſſo enim lato ſcapularum oſſe, cum humero, rectè oſſa inter ſe concurrent: ac quævis ratio vinciendi ſatis erit, & callus paucis diebus increſcet.

GALENI COMMENTARIUS.

In ſuperioribus quidem demonſtravit, ubi totum jugulum tranſverſum abrumpatur, ferè quod à pectore eſt, ſurſum converti: Quod à ſummitate lati ſcapularum oſſis, deorſum: nunc eum modum perſequitur, qui rariùs accidit, ſub quo ea pars juguli, quæ eſt à ſummitate lati ſcapularum oſſis, ſurſum fertur, quæ à pe-

Ἐσπουδάσθαι δεῖσθαι εἵνεκα, ἡγήσαιτο δὲ τἄλλα πάντα μάταια εἶναι, ἀλλὰ τὸ ἅμα τὸ εἰρημένον, ὀρθῶς τε ἂν ξυνίη, ἐκβάλλοι τ' ἂν τάχιστα καὶ κάλλιστα. κατακεῖσθαι μέντοι τὸν ἄνθρωπον, μέγα τὸ διαφέρον ἐστὶ, καὶ ἡμέραι ἱκαναὶ τεσσαρεσκαίδεκα, εἰ ἀτρεμέοι, εἴκοσι δὲ τὰ μάλα πολλαί.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Νομίμην ἐπίδεσιν λέγει, τὴν ὑπὸ πάντων εἰθισμένην, καὶ ὥσπερ ἄγραφον ἤδη νόμον οὖσαν. οὕτως γὰρ κἂν τῷ βίῳ, ἵνα τὰ ἔθη, ὅσα πρὸς ἁπάντων ἐπιτηδεύεται, τοῖς νόμοις ἐστὶ παραπλήσια. τὴν μὲν οὖν καταγματικὴν ἐπίδεσιν, οὐ πάνυ τι οἰκείαν τοῦ προσήκοντος, καὶ διὰ τοῦτο, πλείονα περὶ αὐτῆς ἔγραψεν ἐν τῷ προτέρῳ βιβλίῳ περὶ τῶν ἀγμῶν. ἐνταυθοῖ δὲ οὐδεμία παθήματος ἐπίδεσις οἰκεῖος [illegible]. δέδεικται γάρ μοι καὶ διὰ τῶν εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνημάτων, ἀλλὰ καὶ νῦν ἀναμνησθῇ, πάντα μὲν ὅσα τῷ τρόπῳ τῆς καταγματικῆς ἐπιδέσεως ὑποπίπτει παθήματα, κατ' ἐκεῖνο τὸ βιβλίον ὑπ' αὐτοῦ γεγράφθαι· πάντα δ' αὖ πάλιν ὅσα τῇ λοιπῇ κατὰ τοῦτο. γίνεται γὰρ ἡ καταγματικὴ, περιβαλλόντων ἡμῶν ἐν κύκλῳ τὰ ὀθόνια τῷ πεπονθότι μορίῳ. τὸ δεύτερον εἶδος τῆς ἐπιδέσεως, ἐπ' ἄλλα μόρια τὴν νομὴν ποιουμένων. καὶ κατά γε τὸ πλεῖστον, ἐπὶ τὰ ἀντικείμενα τῷ πεπονθότι, καθάπερ κἂν ἰητρείῳ εἶπεν. ὁμολογέει δὲ ὤμου μὲν ἡ περὶ τὴν ἑτέρην μασχάλην περιβολή.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οα'.

Εἰ μέντοι γένοιτο ἐπὶ τἀναντία ἡ κληῒς κατεηγυῖα, ὃ οὐ μάλα γίνεται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος ὀστέον ὑποδεδυκέναι, τὸ δὲ ἀπὸ τοῦ ἀκρωμίου ὀστέον ὑπερέχειν, καὶ ἐποχέεσθαι ἐπὶ τοῦ ἑτέρου, οὐδεμιῆς μεγάλης ἰητρείης ταῦτά γ' ἂν δέοιτο. αὐτὸς γὰρ ὁ ὦμος ἀφιέμενος, καὶ ὁ βραχίων, ἱδρύοι ἂν τὰ ὀστέα πρὸς ἄλληλα, καὶ φαύλη δή τις ἐπίδεσις ἀρκέοι, καὶ ὀλίγαι ἡμέραι τῆς πωρώσιος γένοιτ' ἄν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔμπροσθεν μὲν ἔλεγεν, ὡς τὸ πολὺ, τὸ ἀπὸ τοῦ στέρνου μέρος τῆς κλειδὸς, ὁπόταν ὅλη δι' ὅλης ἐγκαρσία ἀποκαυλισθῇ, πρὸς τὴν ἄνω χώραν μεθίστασθαι, ταπεινότερον δὲ γίνεσθαι τὸ ἀπὸ τοῦ ἀκρωμίου. νυνὶ δὲ περὶ τοῦ σπανιωτέρου τρόπου γράφει, καθ' ὃν ὑψηλότερον μὲν γίνεται τὸ ἀπὸ τοῦ ἀκρωμίου, ταπεινότερον, τὸ πρὸς τῷ στέρνῳ. ὃ καὶ

δίοι, ἀναγαγόντα τὸν ὦμον πρὸς τὸ βραχίονι, ὥσπερ καὶ πρόσθεν εἴρηται. ὅταν δὲ ἵζηται εἰς τὴν ἀρχαίην φύσιν, ταχείη αὖ ἡ ἄλλη ἰητρείη εἴη. τὰ μὲν οὖν πλεῖστα τῶν παρηλλαγμένων, κατορθοῖ αὐτὸς ὁ βραχίων, ἀναγκαζόμενος πρὸς τὰ ἄνω.

totum collocandum erit, lato ſcapularum uſque una cum humero excitato, quemadmodum & in ſuperioribus explicavimus: ubi reſtitutum fuerit in priſtinum ſtatum, reliqua curatio celerrimè perficietur. Plerunque igitur, quum partes inter ſe ceſſerunt, ipſo humero ſurſum coacto, reſtituitur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀκούειν σε χρὴ, νῦν εἰρῆσθαι πρὸς αὐτοῦ, κατὰ τὴν ἔνδον, ἢ ἔξω μετάστασιν τῶν ὀστῶν. ἄκουε δέ μου λέγοντος, ἔνδον μὲν εἰς τὸ βάθος τοῦ σώματος, ἔξω δὲ, ἐπὶ τὸ πρὸς τὸ δέρμα. C

GALENI COMMENTARIUS.

QUod ab ipſo nunc proponitur, accipere debemus in oſſe, quod in interiorem, vel exteriorem partem prolabitur: intellige nunc, quam dico interiorem partem, eam, quæ altè ſita eſt in corpore: exteriorem, quæ in ſuperficie ad cutem.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οα'.

Α ἵνα συνάπτεσθαί τι, καὶ σωδιῆται εἰς τὰ ὀπίσω, τὸν ἱμάντα.

A … gulique inter ſe …

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ

ΕΝταῦθα κελεύει στενότερά πως ὑπάρχειν αὐτὰ, μεμειωμένα κατὰ βραχὺ τοῦ πλάτους, ὅπως ἡ δέσις ἀσφαλεστέρα γένηται. τὰ γὰρ πλατύτερα πέρατα, κἂν ἐπιμελῶς τις δήσῃ, τὸ μόνιμον οὐκ ἔχει.

GALENI COMMENTARIUS.

PRæcipit hìc ut habenæ quodammodo anguſtiores ſint, paulatim latitudine imminuta, quò junctura firmior reddatur: capita enim quæ lata ſunt, quamvis ſummâ curâ vinciantur, non tamen fideliter continentur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λ΄.

ΕΝ δὲ τῇ κολλήσει, ἡ σὰρξ τοῦ σκύτεος, πρὸς τοῦ χρωτὸς ἔστω, ἰσχεκολλότερον γὰρ οὕτως.

HIPPOCRATIS TEXTUS XXX.

C

IN glutinando corii caro cutem contingat, ſic enim magis inhæreſcit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ σκῦτος, ἐκ δέρματος ζώου γὰρ, διπλῆν ἔχοντος φύσιν. ὅσον μὲν γὰρ ἔξωθέν ἐστι τοῦ δέρματος ὁμιλοῦν τῷ πέριξ ἀέρι, πυκνότερόν τε γίνεται, καὶ νευρωδέστερον. ὅσον δ᾽ ἐντὸς ἐστὶ, μαλακώτερόν τε καὶ ἀραιότερον. αὐτοῦ δὲ τούτου, τὸ μὲν ἐγγύτερον τοῦ ἔξω πέρατος, ἧττόν ἐστι. τὸ δὲ ἔνδον, ὃ ψαύει τῶν ὑποκειμένων τῷ δέρματι, μᾶλλόν τι ἀραιὸν, καὶ σαρκῶδες, ὅπερ δὴ καὶ σάρκας τοῦ σκύτεος ὠνόμασε, καὶ συμβουλεύει κατὰ τοῦτο γίνεσθαι τὴν κόλλησιν, ἅτε γὰρ μαλακώτερον, καὶ ἀραιότερον, ἐπιτηδειότερόν ἐστιν εἰς ταύτην χρείαν.

GALENI COMMENTARIUS.

COrium fit ex pelle animalis duplicem naturam habente; id enim ex ipſa, quod exterius eſt, cùm ambienti aëri objectum ſit, magis denſum evadit, & nervoſum eſt: quod interius, mollius & rarius, atque ex hoc ipſo minus id, quod ad exteriorem partem magis accidit: quod ad interiorem, quà id tangit, quod tuti ſubjicitur, rarius eſt & carnoſum, quod ſane corii carnem nominavit, à qua parte

D

glutinari voluit: nam, quum rarius & mollius ſit, ad ejuſmodi uſum magis accommodatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα΄.

Ἔπειτα καταταείνοντα χρὴ ἐκδεῖν τὸν ἱμάντα, μᾶλλον δὲ τὸν περὶ τὸ γένειον, ὡς ὅτι μάλιστα μὴ ἀποσμυλαίνῃ ἡ γνάθος, ξυνάψαι τοὺς ἱμάντας κατὰ τὴν κορυφὴν, κἄπειτα περὶ τὸ μέτωπον ὀθονίῳ καταδῆσαι.

HIPPOCRATIS TEXTUS XXXI.

DEinceps extendenda eſt hujuſmodi habena, magis autem quæ à mento ſita eſt, ut potiſſimùm cautio ſit, ne maxilla in acutam figuram ducatur: in vertice autem jungendæ ſunt utraque habenæ, dein citra frontem faſciâ alligandæ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E

ΑΝενεχθέντων δηλονότι πρὸς τὴν κεφαλὴν τοῦ κάμνοντος, ἀμφοτέρων τῶν περάτων τοῦ ἱμάντος, ἡ δέσις αὐτῶν πρὸς τὴν κορυφὴν αὐτῆς. μᾶλλον δὲ βούλεται τετάσθαι τὴν κάτω, χάριν τοῦ τὴν γένυν, ὡς αὐτὸς εἶπε, μὴ ἀποσμυλαίνεσθαι, ὅπερ ἐστὶν, εἰς ὀξὺ περιάγεσθαι.

GALENI COMMENTARIUS.

VTræque habenarum extremitates dari debent ad caput laborantis, atque in vertice deligari: magis autem extendi voluit inferiorem, ne maxilla, ut dixit, ἀποσμυλαίνει, id eſt in acutam figuram ducatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ΄.

ΚΑὶ κατάβλημα χρὴ εἶναι, ὥσπερ νομίζεται, ὡς ἀτρεμῇ τὰ δεσμὰ, τὴν δὲ κατάκλισιν ποιείσθω ἐπὶ τὴν ὑγιέα γνάθον, μὴ τῇ γνάθῳ ἐρηρεισμένος, ἀλλὰ τῇ κεφαλῇ. ἰσχναίνειν δὲ χρὴ τὸ σῶμα, ἄχρι ἡμερῶν δέκα, ἔπειτα ἀναθρέψειν, μὴ βραδέως. ἢν γὰρ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι μὴ φλεγμήνῃ, ἐν εἴκοσιν ἡμέρῃσιν γνάθος κρατύνεται. τελέως γὰρ ἐπιπωροῦται, ὥσπερ καὶ τἄλλα τὰ ἀραιὰ ὀστέα, ἢν μὴ ἐπισφακελίσῃ. ἀλλὰ γὰρ περὶ σφακελισμοῦ τῶν

HIPPOCRATIS TEXTUS XXXII.

F

ALiquid etiam ſuper omnia extrinſecus injici debet, ut fieri ſolet, quo vincula immobilia reddantur. Cubet autem homo in maxillam integram, non tamen huic, ſed capiti innixus. Corpus verò extenuandum eſt, uſque ad decimum diem: poſtea reficiendum eſt non tardè: nam, ubi primis diebus inflammatio non oritur, maxilla viginti diebus conſervet: celeriter enim callus increſcit, ſicut in aliis oſſibus, quæ rara ſunt, niſi corrumpantur: ſed reſtat alius ſermo longus de cunctis oſſibus,

… quidem ad propoſitum uſum propter mollitiem commodiſſima ſunt, quæ ubi non ſint, licebit aliquid ſimile admovere.

ῥαπτέσθω αὐτά. μάλιστα γὰρ ἐπιτήδεια, διὰ μαλακότητα, ταῦτά ἐστιν εἰς τὴν προκειμένην χρείαν, δύναιτο δ' ἄν τις ἀπορῶν αὐτῶν, ἐπὶ τὰ ὅμοια ἀφικέσθαι.

HIPPOCRATIS TEXTUS XXXIII.

Omne enim vinculum maxillæ ita abruptæ ad fracturam oſſa inclinat, magis quàm ſecundùm naturam.

GALENI COMMENTARIUS.

Maxillæ inquit ita abruptæ, hoc eſt, quæ tranſverſa fracta ſit, vinculum ad fracturam magis oſſa convertit, quàm dirigat, propterea quod faſciæ in orbem circundari nequeant circa ſedem affectam, ſed ab exteriori parte duntaxat imponi.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

C Πᾶσα γὰρ ἔνδεσις γνάθου ὧδε κατεαγείσης, ἐκκλίνει τὰ ὀστέα, τὰ ἐς τὸ κάταγμα ῥέποντα, μᾶλλον, ἢ ἐς τὴν φύσιν ἄγει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῆς οὕτω, φησί, κατεαγείσης γένυος, τουτέστι τῆς καυληδόν, ἡ ἐπίδεσις ἐκκλίνει μᾶλλον εἰς τὸ κάταγμα, ἢ εὐθύνει τὰ ὀστᾶ, διὰ τὸ μὴ δύνασθαι περιελιχθῆναι τὰ ὀθόνια κύκλῳ τὰ περὶ τὸ πεπονθός, ἀλλ' ἔξωθεν μόνον ἐπιβάλλεσθαι.

D

HIPPOCRATIS TEXTUS XXXIV.

Sed ſi maxilla, quà ad mentum jungitur, diducatur: ſola autem junctura eſt hæc in maxilla, in malis multæ; ſed à propoſito ſermone diſcedere conſilium non eſt: in aliis enim morborum generibus de iis dicendum eſt, ſi junctura, inquam, quæ in mento eſt, diducatur, componi à quovis poteſt: nam quod extat, intus repellendum eſt digitis ſuper datis: quod in interiorem partem convertitur, in exteriorem adducendum digitis adurgendo: hæc autem facienda ſunt oſſibus in diverſa diductis.

GALENI COMMENTARIUS.

Maxilla quidem ex duobus oſſibus conſtat, quæ in imo mento ad unguem inter ſe junguntur: Malæ verò, ex multis, quæ juncturam habent omni motu carentem, κατὰ συνάρθρωσιν dicunt: ſed curioſum hoc hujuſmodi vocabulorum ſtudium apud veteres non fuit, atque idcircò Hippocrates juncturam oſſium malarum ſub ξυμφύσιος genere poſuit, id tantum in ipſis indicium ſpectans, quod in ejuſmodi oſſium juncturis nullus ſit motus, qui ſenſui ſubjiciatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδ'.

Ἢν δὲ ἡ κάτω γνάθος, κατὰ τὴν σύμφυσιν, τὴν κατὰ τὸ γένειον, διασπασθῇ, μόνη δὲ αὕτη ξύμφυσις ἐν τῇ κάτω γνάθῳ ἐστίν, ἐν δὲ τῇ ἄνω πολλαί, ἀλλ' οὐ βούλομαι ἀποπλανᾶν τὸν λόγον· ἐν ἄλλοισι γὰρ εἴδεσι νουσημάτων, περὶ τούτων λεκτέον. ἢν οὖν διασπασθῇ ἡ κατὰ τὸ γένειον σύμφυσις, κατορθῶσαι μέν, παντὸς ἀνδρός ἐστι. τὸ μὲν γὰρ ἐξεστεὸς ἐσωθέειν χρὴ εἰς τὸ εἴσω μέρος, προσβιαζόμενον τοῖς δακτύλοις. τὸ E δὲ εἴσω ῥέπον, ἀναγκάζειν εἰς τὸ ἔξω μέρος, ἐνερείδοντα τοῖς δακτύλοις· ἐς διάστασιν μέντοι διατεινάμενοι, ταῦτα χρὴ ποιέειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐκ δυοῖν μέν, ἡ κάτω γένυς, ὀστῶν σύγκειται, κατ' ἄκρον τὸ γένειον ἀκριβῶς ξυμπεφυκότων, ἐκ πολλῶν δέ, ἡ ἄνω, κατὰ συναρθρώσεις κειμένων. ἀλλ' ἡ τοιαύτη τῶν ὀνομάτων λεπτολογία, παρὰ τοῖς παλαιοῖς οὐκ ἦν. διὸ καὶ Ἱπποκράτης, τὴν ἄνω γένυν, ξυντεθέντων F τῶν ὀστῶν τὰς ἁρμονίας, ὑπὸ τῆς ξυμφύσεως ἔταξε γένος, ἑνὶ γνωρίσματι προσέχων τὸν νοῦν ἐπ' αὐτῶν, μηδεμίαν αἰσθητὴν κίνησιν ἐν ταῖς τοιαύταις τῶν ὀστῶν συνθέσεσι.

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΤΟ ΠΕΡΙ ΑΡΘΡΩΝ ΒΙΒΛΙΟΝ,

ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟ

ΥΠΟΜΝΗΜΑΤΑ ΤΕΣΣΑΡΑ.

HIPPOCRATIS

DE ARTICULIS LIBER

ET GALENI IN EUM

COMMENTARII QVATVOR.

ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ.

ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΕ ΚΑΙ ΥΠΟΜΝΗΜΑΤΟΣ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Ἐπὶ λοιπῶν δὲ τῆς χειρὸς ἄρθρων. περὶ τῆς ὄψεως, γνάθου, μυκτήρων τε καὶ ὤτων ἰατρεύσεως.

COMMENTARIUS SECUNDUS.

LIBRI ET COMMENTARII ARGUMENTUM.

Agit de reliquis manûs articulis: de faciei malis, ac maxillis: de naribus & auribus curandis; cùm luxata, vel fracta fuerint.

ΠΕΡΙ ΑΓΚΩΝΟΣ. A *DE CVBITO.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α΄.

Ἀγκῶνος δὲ ἄρθρον, παραλλάξαν μὲν, ἢ παρ[illegible] πρὸς πλευρὴν, ἢ ἔξω μένοντος τοῦ [illegible] τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος [illegible], τὸ ἐξέχον [illegible], καὶ [illegible] τὰ δὲ τελέως ἐκβαίνοντα, [illegible]

HIPPOCRATIS TEXTUS I.

Cubiti articulum, ubi paululum dimotus ſuo loco exceſſerit, vel ad latus, vel in partem exteriorem, maneatque pars ejus acuta in cavo humeri, recta extendere oportet, & quod extat repellere, atque ad latus urgere. At ubi toto loco motus fuerit in hanc vel illam partem, idem extendendi modus

turæ, & uſui commodum erit, modo callus non malè increſcit; increſcit autem celeriter. Lintea verò adhibenda eo modo ſunt, quo articulorum ratio poſtulat, ut pars quoque acuta adligetur. Malum autem luxato cubito maximè recrudeſcit febre, dolore, vomitu puræ bilis: præcipuè quum in poſteriorem partem exciderit, quòd chartilaginoſa ſit: deinde quum in priorem: ſed curatio eadem eſt. Vbi in poſteriorem partem prolapſus reponitur, rectà extendere oportet: ſignum autem ſic prolapſi eſt, quòd homo extendere brachium nequit; nam ubi in priorem venit, flectere non poteſt: tunc autem durum aliquid implicitum convenit injicere, & cubitum porrectum plurimùm repentè circa ipſum flectere. Diducta autem oſſa intelliges, ubi eam partem tangas, quà vena in humero dividitur: ſed hæc celeriter callo circundantur. Oſſa autem à primo natali die breviora fiunt, præſertim quæ proximæ ſunt cubito, deinde quæ manui, tum quæ digitis. Humerus autem & ſcapula propter metum validiora evadunt: ſed & alterum brachium propter opera validius eſt. Minuitur caro ubi in exteriorem partem venit ab interiori, alioquin à contraria illi, in quam venit. At ubi cubitus in interiorem, vel exteriorem partem prolabitur, diſtentio ita adhibenda eſt, ut cubitus ad rectum angulum cum humero collocetur. Attollere autem alam oportet faſcia ſubjecta, & cubitum ſuper rem aliquam collocare, ac juxta articulum grave aliquid appendere, aut manibus deorſum urgere. Suſpenſo autem articulo, neceſſe eſt prominentioribus palmarum partibus adurgere, quemadmodum in manibus. Hæc figura convenit dum deligatur, dum ſuſtenditur, dum collocatur: ubi in poſteriorem partem ſubito extendere oportet, & prominentioribus palmarum partibus in ſuam ſedem compellere, quod ſimiliter ſervandum eſt in aliis reponendis, ubi in priorem impoſito linteo in pilæ ſpeciem involuto flectere ſimul, & reponere neceſſe eſt: quòd ſi in alteram partem vergat, quùm reponitur, utrumque fieri debet. Figura autem, quæ communiter aptatur, quùm reponitur, & quùm deligatur, idonea eſſe etiam poteſt, quùm diſtenditur, ita ut in omnibus communiter requiratur. Quòd ſpectat ad modos reponendi, reponuntur alii ſuſpendendo, alii diſtendendo, alii circumducendo: quæ celeriter fiunt, ubi figuræ in hanc vel illam partem excedant.

λῆψις, καὶ θέσις, καὶ ἀνάφορσιν, καὶ φύσις, ἐς χρῆσιν ἐν κοινῷ. ἢν ἄρα μὴ κακῶς πωρωθῇ, πωροῦνται δὲ ταχέως. ἴησις δὲ, ὀθονίοισι κατὰ τὸν νόμον τὸν ἀρθριτικὸν, καὶ τὸ ὀξὺ συνεπιδεῖν. πολυκινδυνότατον δὲ ὁ ἀγκὼν, πυρετῶσιν ὀδύνησι, ἀσώδει, ἀκρητοχόλῳ. ἀγκὼν δὲ, μάλιστα ἐς τοὐπίσω, διὰ τὸ σαρκῶδες, δεύτερον δὲ τοὔμπροσθεν. ἴησις δὲ ἡ
C αὐτή. ἐμβολαὶ δὲ, τῶν μὲν ὀπίσω, ἐκτείναντα κατατεῖναι. σημεῖον δὲ, οὐ γὰρ δύνανται ἐκτείνειν, τῶν δὲ ἔμπροσθεν οὐ δύνανται ξυγκάμπτειν. τουτέῳ δὲ ἐνθέντα τι συνειλιγμένον σκληρὸν, περὶ τοῦτο ξυγκάμψαι ἐκ τάσιος ἐξαίφνης. διαστάσιος δὲ ὀστέων σημεῖον κατὰ τὴν φλέβα τὴν κατὰ βραχίονα σχιζομένην διαψαύοντι. ταῦτα δὲ ταχέως διαπωροῦνται. ἐκ γενεῆς δὲ, βραχύτερα τὰ κάτω τοῦ σίνεος ὀστέα. πλεῖστον τὰ ἔγγιστα τοῦ πήχεος, δεύτερα χειρὸς, τρίτα δακτύλων, βραχίων δὲ καὶ ὦμος, ἐγκρατέστερα διὰ τὴν τροφήν. ἡ δὲ ἑτέρη χεὶρ, διὰ
D τὰ ἔργα, ἔτι πλείω ἐγκρατεστέρη. μινύθησις δὲ σαρκῶν, εἰ μὲν ἔξω ἐξέπεσεν, εἴσωθεν, εἰ δὲ μὴ, ἐς τοὐναντίον ᾗ ἐξέπεσεν. ἀγκὼν δὲ, ἢν εἴσω ἢ ἔξω ἐκβαίη, κατάστασις μὲν, ἐν σχήματι κοινῷ τοῦ πήχεος πρὸς βραχίονα. τὴν μὲν γὰρ μασχάλην ἀναλαμβάνοντα ταινίῃ ἀνακρεμάσαι, ἀγκῶνι δὲ ἄκρῳ ὑποτιθέντα τι παρὰ τὸ ἄρθρον βάρος ἐκκρεμάσαι, ἢ χερσὶ καταναγκάζειν. ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου,
E αἱ παραγωγαὶ τοῖσι θέναρσιν, ὡς τὰ ἐν χερσὶ ἐπίδεσις ἐν τούτῳ τῷ σχήματι, καὶ ἀνάληψις, καὶ θέσις. τὰ δὲ ὄπισθεν, ἐξαίφνης ἐκτείναντα, διορθοῦν τοῖσι θέναρσιν, ἅμα δὲ δεῖ ἐν τῇ διορθώσει καὶ ἐν τοῖσιν ἑτέροισιν. τὰ δὲ ἔμπροσθεν ἀμφιδινὲς ὀθόνιον συνειλημμένον, εὔογκον, συγκάμπτοντα ἅμα διορθοῦν. ἢν δὲ ἑτεροκλινὲς ᾖ ἐν τῇ διορθώσει, ἀμφότερα ἅμα χρὴ ποιέειν. τῆς δὲ μελέτης τῆς θεραπείης, κοινὸν δὲ τὸ σχῆμα, καὶ ἡ ἐπίδεσις. δύναται δὲ καὶ ἐκ τῆς διατάσιος κοινῇ συμπίπτειν ἅπαντα. τῶν δὲ ἐμβολέων, αἱ μὲν ἐξ
F ὑπεραιωρήσιος ἐμβάλλονται, αἱ δὲ ἐκ κατατάσιος, αἱ δὲ ἐκ περισφάλσιος. αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων, ἢ τῇ, ἢ τῇ, σὺν τῷ τάχει.

OS enim, quod à malis procedit, cum eo conjungatur, quod ab aure, hoc autem maxillæ capita excludit: quorum unum à ſuperiori parte ſitum eſt, alterum ſubjectum. Item ex maxillæ capitibus unum quidem ob longitudinem non facilè expellitur, quod roſtro ſimile, jugale os excedit.

GALENI COMMENTARIUS.

ANteà quoque diximus in expoſitione libri de fracturis, & in primo commentario, ſi quis non intelligit, quæ ita clarè ab Hippocrate exponuntur, huic opus eſſe monſtratione oſſium, præcipuè hominis, vel certè ſimiæ; ſatius autem non eſt tunc, quum liber legitur, ſed priùs per ocium oſſa inſpicere. Diximus item ſcriptum fuiſſe à nobis librum de oſſibus ad eos qui primas inſtitutiones addiſcunt, in quo antè exerceri melius eſt eum, qui percepturus eſt, quæ ab Hippocrate ſcribuntur. Atqui ut in ſuperioribus ſcripſi, ſic etiam nunc faciam mediam quandam doctrinam inter eam, quæ convenit iis, qui inſpexerint, & eam quæ iis, qui non inſpexerint. Hoc enim pacto, qui inſpexerint moleſtè ſermonis longitudinem non ferent: qui non inſpexerint quaſi deſcriptionem quandam habebunt exquiſitæ cognitionis, quæ haberi non poteſt, niſi oſſa ipſa inſpiciantur. Intelligito igitur ex partibus oris, quæ dentes continent, eam quæ movetur, eſſe maxillam: quæ immobilis eſt, malas: in utroque item oſſe dentes contineri, tam magnitudine, quàm numero inter ſe æquales. Procedit autem à malis os tenue continuatum illi oſſi, quo continetur angulus oculi temporibus propior; cum hoc alterum os nectitur, in quo ſitum eſt foramen auris; quà verò coeunt hæc inter ſe, commiſſura fit ſuturæ ſimilis. Hoc igitur os, quod malas capiti annectit, ab iis qui incidendis corporibus operam dederunt, jugale os appellatur: quandoquidem, & ipſe Hippocrates: conjugatur inquiens, oſtendit duo oſſa inter ſe conjungi, quaſi jugo ſubjecta; huic autem jugo cavum ſubjectum eſt non mediocre, in quod ſe inſerit alterum maxillæ caput, quod roſtrum refert; hoc & fœmineo genere κορώνην, & neutro κόρωνον, Græci appellant. Juxta hunc proceſſum maxilla quoque alterum exigit, per quem cum capite propè aurem com-

ΟΣτέον τε γὰρ τὸ ἀπὸ τῆς ἄνω γνάθου πεφυκὸς, ὑποζύγωται πρὸς τὸ ὑπὸ τὸ οὖς ὀστέον προσπεφυκότι, ὅπερ ἀποκλείει τὰς κεφαλὰς τῆς κάτω γνάθου. τῆς μὲν ἀνωτέρω
C ἐὸν, τῆς δὲ, κατωτέρω τῶν κεφαλέων. τά τε ἄκρεα τῆς κάτω γνάθου, τὸ μὲν διὰ τὸ μῆκος οὐκ εὐπετὲς ἐκδῦναι, τὸ δ' αὖ τὸ κορωνόν τε, καὶ ὑπερέχον, ὑπὲρ τὸ ζυγώματος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙρηταί μοι καὶ πρόσθεν, ἔν τε τῇ περὶ τοῦ κατάγματος ἐξηγήσει, καὶ τῷ προτέρῳ τῶν ὑπομνημάτων. καὶ εἴ τις οὐ νοεῖ σαφῶς τὰ οὕτως ὑφ' Ἱπποκράτους λεγόμενα, δείκνυσι καὶ τοῦτο περὶ τοῦ διδάσκοντος ὀστᾶ, μάλιστα μὲν ἀνθρώπων, εἰ δὲ μὴ πιθήκων. ἄμεινον δὲ μὴ νῦν, ὁπότ' ἀναγινώσκει τὰ βιβλία,
D ταύτην ἔχειν γνῶσιν τῶν ὀστῶν, ἀλλ' ἔμπροσθεν ἐπὶ σχολῆς γεγονέναι. λέλεκται δὲ καὶ ὡς ὑφ' ἡμῶν γέγραπται βιβλίον τοῖς εἰσαγομένοις, περὶ ὀστῶν, ὅ τι τε τῷ μέλλοντι συνιέναι δῆλον, τί ἐν τούτοις τοῖς γράμμασιν ὁ Ἱπποκράτης λέγει, προγεγυμνάσθαι βέλτιόν ἐστιν ἐν ἐκείνῳ. καὶ τοίνυν ἔμπροσθεν ἔγραψα, καὶ νῦν ποιήσω μέσην τινὰ τοῖς θ' ἑωρακόσι, καὶ μὴ ἑωρακόσι, διδασκαλίαν. οὕτως γὰρ οἵ θ' ἑωρακότες οὐκ ἀνιάσονται τῷ μήκει τῶν λόγων, οἵ τ' οὐδ' ὅλως ἑωρακότες, οἷον ὑπογραφήν τινα ἕξουσι τῆς ἀκριβοῦς μαθήσεως, ἣν οὐχ οἷόν τε, χωρὶς τῆς ἐπὶ
E τῶν ὀστῶν αὐτοψίας γενέσθαι. νόει δή μοι καὶ τὸ μὲν κινούμενον ἐν τοῖς ὀδοῦσι στόμα, τὴν κάτω γένυν εἶναι, τὸ δ' ἀκίνητον, τὴν ἄνω. περιέχεσθαι δὲ περὶ τῶν ὀστῶν, τοὺς ἀλλήλοις ὀδόντας, κατά τε τὸ μέγεθος, καὶ τὸ πλῆθος. ἐκπεφυκὸς δὲ τὸ τῆς ἄνω γνάθου, λεπτόν ἐστι, καὶ συνεχὲς τῷ περιέχοντι τὸ μικρὸν, καθ' ὃν ὀστῷ τούτῳ δ' ἄγαν τ' αὖ ἕτερον ἐκ τοῦ τῶν ἀκουστικῶν πόρων ἐν αὐτῷ περιέχοντες ὀστοῦ. καθ' ὃ δὲ συμβάλλει ταῦτα ἀλλήλοις, γίνεται συνάρθρωσιν ὁμοίαν ῥαφῇ. τὸ τοίνυν ὀστοῦν τοῦτο λεπτὸν, ὃ συνάπτει
F τὴν ἄνω γένυν τῇ κεφαλῇ, καλεῖται ζύγωμα πρὸς τῶν ἀνατεμνόντων. ἐπειδὴ καὶ αὐτὸς ὁ Ἱπποκράτης φάσκων ὑποζυγῶσαι, δηλοῖ συνάγειν ἀλλήλοις τὰ δύο ὀστᾶ, καθάπερ ζυγὸν ὑποκείμενον αὐτοῖς. ὑπὸ δὲ τούτῳ τῷ ζυγώματι κοιλότης ἐστὶν ἀξιόλογος, ἣν κατείληφεν ἡ ἑτέρα τῶν ἀποφύσεων τῆς κάτω γένυος, ἥν τε κορώνην θηλυκῶς ὀνομάζουσι, καὶ κόρωνον οὐδετέρως. ὥσπερ καὶ ἑτέρας ἀποφύσεως μετὰ τοῦτο δεήσειεν, καθ' ἣν διαρθροῦται τῷ τῆς κεφαλῆς ὀστῷ, πλησίον τοῦ

ζυγώματος τῆς κορώνης, οὐ μὴν ἤδη ἁπλῶς τοῦτο γενόμενον, ἐξαρθρεῖν αὐτὴν ἐργάσεται. ἀνοιγομένου γὰρ τοῦ στόματος, εἰς τὴν ἰδίαν ἐπανήξει χώραν. εἰ τοίνυν ἐξαρθρεῖσθαι μέλλοι, κωλυθῆναι χρὴ τὴν ἐπάνοδον αὐτῆς, εἰς τὸ πλάγιον ἐκτραπείσης. ὀρθῶς οὖν ἐφεξῆς εἶπε, χωρὶς τοῦ μέγιστον χαίνοντος, εἰς τὰ πλάγια ἐκτρέψαι τὴν γένυν, ἀδύνατον αὐτὴν ἐκπεσεῖν. ὅπως γὰρ αὐτὴ ἀποχωρῆσαι δύναται κατωτέρω τοῦ ζυγώματος ἡ κορώνη, πλέον ὑπὲρ τὸ ἴσον ἀποστῆναι τὴν κάτω γένυν, ἢ τὴν ἄνω. τοῦτο δ' ἐν τῷ μέγιστον χαίνειν γίνεται, οὐκ ἀρκοῦν τῆς εἰς τὸ πλάγιον ἐκτροπῆς, ἡ πρὸς τὴν οἰκείαν χώραν ἐπάνοδος κωλύεται. διά τε οὖν ταῦτα, δυσχερῶς ἐκπίπτει, καὶ διὰ τῶν ἀνεχόντων μυῶν ῥώμην, περὶ ὧν κατὰ τὴν ἑξῆς λέξιν ἤδη νῦν αὐτοῦ λέγοντος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ'.

Ἅμα τε ἀμφοτέρων τῶν ἀκρέων τούτων νευρώδεις τένοντες πεφύκασιν, ἐξ ὧν ἐξήρτηνται οἱ μύες, οἱ κροταφῖται, καὶ μασσητῆρες καλεόμενοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἃς ἔμπροσθεν ὠνόμασε κεφαλὰς τῆς κάτω γένυος, ἄκρεα νῦν προσηγόρευσε, ἐπ' ἀμφοτέρων, λέγων νευρώδεις τένοντας πεφυκέναι. καλεῖν δ' εἴωθεν τένοντας, ἔνια τὰ πέρατα τῶν μυῶν, ἃ προσαγορεύουσιν ἀπονευρώσεις οἱ ἀνατομικοί, νευρωδέστερα μὲν ἀεὶ τοῦ μέσου ὄντα, διαφέροντα δ' ἀλλήλων, ἐν τῷ, ποτὲ μὲν πλείονα τῆς σαρκώδη φύσιν ἔχειν τὸ νευρῶδες, ποτὲ δ' ἐλάττονα. ὁπότε μὲν οὖν ἡ τῆς σαρκὸς οὐσία πλείων ᾖ, σαρκώδη τὴν ἀπονεύρωσιν καλοῦσι τοῦ μυός. ὁπόταν δ' ἐλάττων ᾖ, νευρώδη προσαγορεύουσι. νῦν οὖν ἐπειδὴ τῆς σαρκώδους οὐσίας ἡ νευρώδης ἐστὶ πλείων, εἰκότως ἔφη νευρώδεις τένοντας ἐκπεφυκέναι τῶν κεφαλῶν. ἀπὸ γὰρ τῶν ὑψηλῶν τῆς κάτω γένυος, ἐξηρτῆσθαί φασι μύας, τοὺς κροταφίτας, καὶ μασσητῆρας καλουμένους. ἄδηλον δὲ, πότερον τοὺς αὐτοὺς μύας τοῖς τοιούτοις προσηγόρευσεν ὀνόμασιν, ἢ ἄλλους μὲν εἶναι βούλεται τοὺς κροταφίτας, ἄλλους δὲ τοὺς μασσητῆρας. οἱ μὲν γὰρ μετ' αὐτὸν ἀνατομικοί, κροταφίτας μὲν ὀνομάζουσι, τοὺς ἐκ τῶν κατὰ κροτάφους ὀστῶν τῆς κεφαλῆς ἐκφυομένους, οἷς ἂν διανοίγειν τε καὶ συνάγειν τὸ στόμα σαφῶς ὁρῶμεν ἐντεινομένους. τοὺς δ' ἐπικεκλεισμένους τοῖς πλατέσι τῆς κάτω γνάθου, καὶ τούτους δὲ ἑκατέρωθεν ἕνα μασσητῆρα, ἐπειδὴ περιάγουσιν ἐν τῷ μασᾶσθαι τὴν γένυν, οὐκέτι δυναμένων τῶν ἄνωθεν καταφερομένων. ἀνασπῶσι γὰρ ἐκεῖνοι μόνον αὐτήν, οὐ μὴν εἰς τὰ πλάγια περιάγουσιν, διὸ κἂν ἐν τῷ συνάγειν τὸ στόμα, τούτων χρῄζομεν, ὡς ἂν κἀπειδὰν διαιροῦντές τι τοῖς προσθίοις ὀδοῦσιν ἀποτρώγωμεν, ἢν βουλώμεθα μὲν ἀποθλάσαι τι διὰ τῶν κυνοδόντων ὀνομα-

B illud accidat: aperto enim ore in ſuum locum revertetur. Ad hoc igitur, ut luxetur, neceſſe eſt reditum prohiberi, eò quod ipſa in latus convertatur. Rectè igitur in ſequentibus inquit: luxari autem non poteſt, niſi ore vehementer operto in latera convertatur: neque enim ferri poteſt ipſe proceſſus infra os jugale, priuſquàm maxilla à malis plurimùm diducatur; quod accidit, ubi homo maximè hiat, neque reditu, in ſuam ſedem prohibetur, niſi in latus convertatur. Ægrè igitur prolabitur, & ob hæc, & ob muſculorum robur, quibus ad ſuperiores
C partes alligatur, de quibus agit proximis verbis.

HIPPOCRATIS TEXTUS VI.

Iam vero ab utraque parte harum ſummitatum nervoſæ oriuntur chordæ, quibus muſculi illigantur, qui κροφῖται, & μασσητῆρες dicuntur.

GALENI COMMENTARIUS.

D Quæ antè κεφαλαὶ, id eſt capita maxillæ vocavit, nunc ἄκρεα, id eſt ſummitates appellat, ab utriſque inquiens nervoſas chordas oriri, quas τένοντας vocat: ſolet autem ſic appellare eas muſculorum extremitates, quæ Græcè ab iis, qui verſantur in corporibus incidendis ἀπονευρώσεις nuncupantur. Semper autem magis nervoſæ ſunt, quàm medius muſculus: verùm inter ſe differunt, eò quòd aliæ naturam magis nervoſam habeant, aliæ minus: ubi carnoſa natura plurimum abundat, muſculi extremitatem carnoſam vocant, contra ubi ner-
E voſa ſuperat, nervoſam. Nunc quia nervoſæ magis ſunt, quàm carnoſæ, jure dixit ab utroque horum capitum nervoſas chordas oriri: innecti enim inquit ſummitatibus maxillæ muſculos, qui κροταφῖται, & μασσητῆρες nuncupantur. Sed incertum eſt, num eoſdem muſculos his vocabulis appellet, an alios eſſe velit κροταφίτας, alios μασσητῆρας, quoniam, qui poſt Hippocratem verſati ſunt in corporibus incidendis, κροταφίτας vocant eos, qui à temporum oſſibus oriuntur, quos, ubi intenduntur, claudere, & contrahere os apertè videmus: eos verò, qui
F maxillæ, qua lateſcit, illigantur, utrunque ſcilicet unus, μασσητῆρας nominant, eò quod in mandendo maxillam circumagant: quod efficere non amplius poſſunt, qui à ſuperiori parte oriuntur, hi enim ſurſum ſolummodo ipſam adducunt: non tamen in latera movent. Quocirca ipſis opus eſt in contrahendo ore, non ſecus etiam, ubi prioribus dentibus aliquid mordentes abſcindimus, vel ubi comminuere aliquid caninis volumus. Sed ubi cibum, ut contenda-

maxillam, quæ [illegible], comprehendant. Ergo, quum Hippocrates ait, jam vero ab utraque harum ſummitatum nervoſæ oriuntur chordæ, quibus muſculi illigantur, qui *κροταφῖται*, & qui *μασητῆρες* dicuntur, conſtat nullo modo loqui
C de muſculis, qui ab externa parte maxillæ ſuperinnectuntur; ſed duo muſculorum paria indicaſſe, eos ſcilicet, qui evidenter ab extrema fronte oriuntur, & eos, qui juxta ſinum oſſis [illegible]: hi enim alterum proceſſum attrahunt, quem inſeri in commiſſuræ cavum diximus: ſed alterum muſculorum par, quod, ut retuli, maxillæ extremitatem roſtro ſimilem in orbem amplectitur, rurſus ipſos maxillæ proceſſus ſurſum ad caput adducit.

D

HIPPOCRATIS TEXTUS VII.

ET propterea vocantur, ac propterea moventur, quod inde illigantur.

GALENI COMMENTARIUS.

QUum propoſitos muſculos dixerit nominari *μασητῆρας*, cauſam reddidit, cur ita appellentur; inde enim illigantur, hoc eſt maxillæ ſummitatibus. propterea moventur, quum mandimus, & *μασητῆρες* vocantur.

E

HIPPOCRATIS TEXTUS VIII.

NAm, quum edimus, loquimur, aut aliter ore utimur.

GALENI COMMENTARIUS.

MAxilla ſolummodo movetur, quum à malis ipſam reducant poſteriores duo cervicum muſculi, cumque *μασητῆρες* illam adducant.
F Jure igitur evidenter moventur, quum ei oſſi, quod maximè movetur, illigentur. Dicti autem ſunt ob hujuſmodi motum *μασητῆρες*, à mandendo, quæ maxillæ actio valentiſſima eſt: leviter enim movetur, dum loquimur.

[illegible] ἐπὶ τῆς κάτω γένυος, ὡς τὸ [illegible] αὐτῆς ὃ πλατύ, [illegible] αἱ προειρημέναι δύο κορυφαί, ἑκατέρωθεν [illegible]. ὅταν οὖν ὁ Ἱπποκράτης εἴπῃ, ἀπὸ δὲ ἀμφοτέρων τῶν ἀκρέων τούτων νευρώδεις τένοντες πεφύκασιν, ἐξ ὧν ἐξήρτηνται οἱ μύες, οἱ κροταφῖται, καὶ μασητῆρες καλούμενοι,
C πρόδηλος μέν ἐστιν ὅτι περὶ τῶν ἐπιβεβλημένων μυῶν τῇ γένυι, μηδὲ ὅλως μνημονεύειν. ἀλλὰ ἡ [illegible] συζυγίας [illegible] τῶν μυῶν, εἴτε [illegible] ἔκφυσιν ἔχουσιν ἐκ τῶν [illegible] τῶν μυῶν, [illegible] παρὰ τὴν κορώνην, [illegible] περὶ [illegible] ὀστοῦ. [illegible] μὲν γὰρ τὴν [illegible] τὴν εἰρημένην [illegible] τὴν κοιλότητα. ὁ δὲ ἕτερον ζεῦγος, ὅσα περὶ τὰς κορώνας ἔξω [illegible], ταῦτα πάλιν αὐτὰ τῆς γένυος [illegible] πρὸς τὴν κεφαλὴν ἀνασπᾷ.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ.

Διὰ τοῦτο κεκλέαται, καὶ διὰ τοῦτο κινέονται, ὅτι ἐντεῦθεν ἐξήρτηνται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΜΑσητῆρας εἰπὼν καλεῖσθαι τοὺς προειρημένους μύας, τὴν αἰτίαν ἀποδίδωσι τῆς προσηγορίας αὐτῶν. ὅτι γὰρ ἐντεῦθεν ἐξήρτηνται, τουτέστιν ἐκ τῶν κορυφῶν τῆς γένυος, διὰ τοῦτο κινοῦνται μασώμενοι, καὶ καλοῦνται μασητῆρες.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η.

ΕΝ γὰρ τῇ ἐδωδῇ, καὶ ἐν τῇ διαλέκτῳ, καὶ ἐν τῇ ἄλλῃ χρήσει τοῦ στόματος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Η Κάτω γένυς ὅτι [illegible] κινουμένη, ἀπαγόντων μὲν αὐτὴν ἀπὸ τῆς [illegible], τῶν κατὰ τὸν τράχηλον δυοῖν
F ὀπισθίων μυῶν, προσαγόντων δὲ τῶν μασητήρων. εἰκότως οὖν ἐναργῆ τὴν κίνησιν ἔχει, ἐξηρτημένην μεγίστην ἔχοντος τοῦ ὀστοῦ τὴν κίνησιν, ὠνομάσθησάν τε διὰ τὴν κίνησιν ταύτην μασητῆρες ἀπὸ τοῦ σφοδροτάτου τῶν ἔργων τῆς κάτω γένυος· ἀσθενὴς γὰρ ἐν ταῖς διαλέκτοις κίνησις.

T[illegible] [illegible], συνάπτεται γιγγλύμοις [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible], [illegible] [illegible] [illegible], [illegible] [illegible] [illegible].

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι΄.

Δ[illegible] [illegible] [illegible] [illegible], [illegible] [illegible] [illegible] [illegible] [illegible], [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] ἐν ἄλλῳ λόγῳ [illegible].

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δ[illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] τὸν λόγον ποιήσασθαι [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible].

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια΄.

Περὶ δὲ τοῦ μὴ κάρτα ἐξαρθρέειν [illegible] [illegible].

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΟῖα [illegible] [illegible] [illegible] [illegible] [illegible], [illegible] [illegible] [illegible] [illegible], ἅμα τῷ [illegible] [illegible].

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ΄.

Α[illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible].

B VErbum intercidunt [illegible] [illegible] dixit non nulli ſcriptores [illegible] [illegible] [illegible], [illegible] [illegible] propterea, quod Hippocrates [illegible] [illegible] eſſe [illegible] [illegible], interdum eorum, quæ vix, interdum eorum, quia nullo modo moveri videntur: ſicut [illegible] naturalem commiſſuram offium, quæ aperte moventur. In propoſito autem [illegible] commiſſuram articulorum [illegible] vocat, quod idem notat, ac [illegible], ſiquidem & [illegible] [illegible] ſignificat.

C

HIPPOCRATIS TEXTUS X.

AT quamobrem nervorum diſtentionis, rigorisque hic articulus primus indicio ſit, ubi contrahitur: & quam ob rem plagæ in temporum muſculis graves ſint, & ſtuporem inferant, alibi explicabimus.

GALENI COMMENTARIUS

PAucis perſequi rem potuit: quoniam hic articulus ad nervorum initium propius accedit, primus nervorum diſtentionem concitat, plagaſque habet ſtuporem inducentes: neſcio autem quo pacto reſervaverit, fortaſſe voluit in ſcribendo demonſtratione uti, mentionem faciens nervorum qui a cerebro ad hos muſculos perveniunt: quod neceſſarium non fuit, in propoſita doctrina, atque ideirco in alium locum perfectam ſermonem diſtulit.

D

HIPPOCRATIS TEXTUS XI.

E *ATque hæ cauſæ ſunt, cur non admodum prolabitur.*

GALENI COMMENTARIUS.

SEd quænam ſunt? nempe non aliæ, quàm quæ dictæ ſunt, quarum duplex eſt caput, natura oſſium (ut narravi) & robur muſculorum.

HIPPOCRATIS TEXTUS XII.

F *ILlud etiam in cauſa eſt, quod nulla ferè in edendo neceſſitas eſt, quæ cogat hominem aperire os, ultra quam poſſit. luxari autem aliter maxilla non poteſt, quomodocunque aperiatur, quam cum ore vehementer aperto, in alteram partem convertitur.*

GALENI

egregium factum, ultrò ſemper hiare ampliùs conabatur.

HIPPOCRATIS TEXTUS XIII.

Veruntamen illud etiam efficit ut maxilla excidat, quod ex omnibus nervis, ac muſculis, qui juxta articulos ſunt, vel non longè ab articulis, quibus illigantur, quicunque in uſu frequenter dimoventur, dum extenduntur, maximè idonei ſunt, qui extenti ſequantur, perinde atque coria, quæ, quùm optimè mollita ſunt, plurimùm extendi poſſunt.

GALENI COMMENTARIUS.

Quod ad propoſitas cauſas attinet, neceſſe eſt maxillam, vel nullo modo, vel rarò admodum luxari. Videtur tamen res aliter habere: excidit enim rarò, & non adeò, ut permulti noſtrum ejuſmodi caſum non viderint, quod in iis evenit, quæ ſunt rariſſima: eo enim quòd ejuſmodi commiſſura multum movetur, muſculi nervique ipſius tenduntur, & opportuniores ſunt, qui extendantur, quàm quibus rarò motis opus eſt: quemadmodum ait & coria εὐδεψητότατα, hoc eſt optimè mollita, plurimùm extendi poſſunt: quoniam Poëta verbum δεψῆν mutuantur ad ſignificandum mollire, quùm inquit χερσὶ δεψήσας μελιηδέα.

HIPPOCRATIS TEXTUS XIV.

Ergo, quod propoſitum erat, maxilla rarò excidit: mutatur tamen ſubitò ſæpè, quum homo hiat, ut compluribus aliis muſculorum, nervorumque motionibus accidit.

GALENI COMMENTARIUS.

Mutatur ſubitò dixit χάσκει, quod verbum quid ſignificet, intelligemus, ſi ea, cum quibus in oratione conjungitur, animadvertamus: inquit enim, ut compluribus aliis muſculorum, nervorumque motionibus accidit: quare χάσκειν vitium eſt nervorum, ac muſculorum articulo non erumpente. Quidnam hoc vitii ſit, aperit, quùm inquit motionibus: voluit enim ex naturali ſitu in alterum mutari, idque ſubitò: idem & paulò pòſt indicat ſignificari verbo χάσκει, quùm ait, dein ſubitò mutare ad tres habitus ſimul conſilio directo,

γον. εἰώθει δὲ σπουδαίως οὕτως σχηματίζειν, καὶ ὥσπερ καλὸν ἔργον, ἐκεῖνο ἀεὶ μεῖζον ἐπειρᾶτο τὸ περίεργον χαίνειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ'.

Προσσυμβάλλεται μέντοι καὶ τόδε πρὸς τὸ ἐκπίπτειν. ὁκόσα γὰρ νεῦρα, καὶ ὁκόσοι μύες παρὰ τὰ ἄρθρα εἰσίν, ἢ ἀπὸ τῶν ἄρθρων, ἀφ' ὧν ξυνδέδενται, τούτων ὅσα ἐν τῇ χρήσει πλειστάκις διακινέεται, ταῦτα καὶ ἐς τὰς κατατάσιας δυνατώτατα ἐπιδιδόναι, ὥσπερ καὶ τὰ δέρματα τὰ εὐδεψητότατα, πλείστην ἐπίδοσιν ἔχει. περὶ οὖν οὕτως ὁ λόγος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅσον ἐπὶ τοῖς προειρημένοις αἰτίοις, ἢ οὐδ' ὅλως ἐχρῆν, ἢ πάνυ σπανίως ἐκπίπτειν τὴν γένυν, οὐ μὴν φαίνεταί γε μὴν οὕτως ἔχειν. ἐκπίπτει γὰρ σπανίως, οὐ μὴν ὥστε παμπόλλους τινὰς ἡμῶν ὁρᾶσθαι, καθάπερ τὰ σπανιώτατα. διὰ γὰρ τὸ πολυκίνητον τῆς διαρθρώσεως, οἵ τε αὐτῆς μύες, καὶ τὰ νεῦρα τείνεται, καὶ τούτους ἑτοιμοτέρας ἔχουσι τῶν ὀλιγάκις ἐς χρείαν κινήσεως ἀφικνουμένων, ὥσπερ φησί, καὶ τὰ δέρματα τὰ εὐδεψητότατα, τουτέστι τὰ κάλλιστα μεμαλαγμένα, πλείστην ἐπίδοσιν ἔχει. καὶ γὰρ ὁ ποιητὴς ἐπὶ τοῦ μαλάξαι, τὸ δεψῆσαι λέγει. χερσὶ δεψήσας μελιηδέα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

Ἐκπίπτει μὲν γνάθος ὀλιγάκις, χάσκει μέντοι πολλάκις ἐν χάσμασιν, ὥσπερ καὶ ἄλλαι μυῶν παραλλαγαί, καὶ νεύρων, τοῦτο ποιοῦσι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ, χάσκει τί ποτ' αὐτὸ σημαίνει, γνωσόμεθα, τοῖς συμφραζομένοις προσέχοντες τὸν νοῦν· φησὶν οὖν, ὡς αἱ ἄλλαι μυῶν παραλλαγαί, καὶ νεύρων, τοῦτο ποιοῦσιν, ὥστε τὸ χάσκειν, μυῶν καὶ νεύρων ἐστὶ πάθος, ἄνευ ἐξαρθρήματος. ὁποῖον δέ τι τὸ πάθος τοῦτ' ἐστί, δηλοῖ μὲν κἀκ τῆς φωνῆς παραλλαγαί. βούλεται μὲν γὰρ αὐτός, ἐκ τῆς κατὰ φύσιν θέσεως, εἰς ἑτέραν μεθίστασθαι, βούλεται δέ, καὶ ἀθρόως τοῦτο γίνεσθαι. καὶ γὰρ καὶ μετ' ὀλίγον ἐνδείξεται τοῦτο σημαίνειν, τὸ χάσκει λέγων οὕτω, ἔπειτα ἐξαπίνης χάσκει, τρισὶ σχήμασιν ὁμοῦ προσέχοντα τὸν νοῦν,

μάτων, ὡς μὴ φυλάττεσθαι τὴν ἀρχαίαν θέσιν τῶν μυῶν, ἀλλὰ διαστρέφεσθαί τι, καὶ τείνεσθαι κατά τι.

muſculi antiquam ſedem minime retineant; ſed aliqua ex parte depraventur, aliqua etiam extendantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιέ.

Δῆλος δὲ τοῖσι μάλιστά ἐστιν ὅταν ἐκπεπτώκῃ. προΐσχει γὰρ ἡ κάτω γνάθος ἐς τοὔμπροσθεν, καὶ παρέστραπται τἀναντία τοῦ ὀλισθήματος, καὶ τὸ ὀστοῦν τὸ κόρωνον, ὀγκηρότερον γίνεται παρὰ τὴν ἄνω γνάθον, καὶ χαλεπῶς ξυμβάλλουσι τὰς C κάτω γνάθους.

HIPPOCRATIS TEXTUS XV.

Hinc autem evidentiſſimum eſt, quùm excidit: maxilla enim in priorem partem projicitur, convertiturque in contrariam, atque unde luxata eſt, ſummitaſque oſſis roſtrum referens magis extat juxta malas, maxillaque cum malis ægrè committitur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηται δέ μοι καὶ πρόσθεν, ὡς τὸ καλούμενον ζύγωμα, προβέβληται τῆς ἄνω χώρας, ἐν ᾗ τὸ κόρωνόν ἐστι τῆς γένυος. ὅτι τε μὴ παρενεχθέντος αὐτοῦ πρὸς θάτερα μέρη πρὸς τὴν οἰκείαν χώραν, ἡ γένυς ἀνασπασθήσεται. ἀναγκαῖον οὖν ἐστιν, ὅταν ἡ γένυς ποτὲ ἐκπέσῃ, τὴν κορώνην αὐτῆς, ἔξω φέρεσθαι τοῦ ζυγώματος. ἄλλην γὰρ οὐδεμίαν ἔχει χώραν εἰς ἣν ἐνεχθήσεται, ὥστ' εἰκότως ἐξέχουσα, φαίνεται κατὰ τῆς κάτω γένυος, ἔνθα D τὸ ζύγωμά ἐστιν. αὐτὸ δὲ δὴ τοῦτο τὸ ζύγωμα, καθ' ὅ, τι μάλιστα τέτακται, μαθήσῃ σαφῶς ἐπὶ τῶν ἰσχνῶν ἀνθρώπων, κατασκεψάμενος τόν τε κροταφίτην μῦν, καὶ τὸ μῆλον. ἐν γὰρ τῷ μεταξὺ, τὸ προφανές ἐστι τὸ ζύγωμα, μεμνημένος αὐτοῦ τῆς χώρας τῆς θέσεως, ὅταν ἴδῃς τινὰ μὴ δυνάμενον κλεῖσαι τὸ στόμα, προεληλυθυίας εἰς τὸ πρόσω τῆς γένυος, ἅμα τε παρῆχθαι, ζήτησον ἀκριβῶς διαγνῶναι τοῖς ὀφθαλμοῖς τε, καὶ τοῖς δακτύλοις τὸ κόρωνον ἐξέχον, παρά τε τὸ μῆλον καὶ τὸ ζύγωμα. κἄπειδὰν εὕρῃς οὕτως ἔχον, ἀκριβὴς ἔστω σοι διάγνωσις τοῦ τὴν γένυν ὠλισθηκέναι. E

GALENI COMMENTARIUS.

Diximus etiam in ſuperioribus, os quod jugale appellatur, ita ſitum eſſe, ut ſuperinjiciatur maxillæ ſummitati roſtrum referenti; ac niſi in alteram partem prolabatur, maxillam ad ſuum locum reverſuram. Neceſſe igitur eſt, ſi quando maxilla excidat, propoſitam ſummitatem extra jugale os ferri; nullus enim alius locus eſt in quem impellatur. Quare meritò extat juxta malas, quà ſitum eſt jugale os: ſed quà potiſſimùm ſitum ſit, facilè percipies in homine gracili, muſculum temporis, genamque intuitus, inter utrunque enim ſitum eſt jugale os. In memoria itaque habens ejus ſitum, ubi aliquem videris, qui os claudere nequeat, maxilla in priorem partem projecta, atque in alteram inclinata, conari debes, exquiſitè oculis, digitiſque ſummitatem comprehendere, quæ juxta genam & jugale os extat. At ubi ſic habere comperies, optimum indicium erit maxillam excidiſſe.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ´.

Τούτοισι δὲ, ἐμβολὴ πρόδηλος, ἥ τις γίνοιτ' ἂν ἁρμόζουσα. χρὴ γὰρ τὸν μέν τινα κατέχειν τὴν κεφαλὴν τοῦ τιτρωμένου· τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον, καὶ ἔσωθεν καὶ ἔξωθεν τοῖσι δακτύλοισι, κατὰ τὸ γένειον, χάσκοντος τοῦ ἀνθρώπου, ὅσον μετρίως δύναται. πρῶτον μὲν διακινέειν τὴν γνάθον χρόνον τινὰ, τῇ καὶ τῇ παράγοντα τῇ χειρὶ, καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὴν τὴν γνάθον χρόνον ἔχειν, καὶ συμπαράγειν, καὶ F συνενδιδόναι ὡς μάλιστα.

HIPPOCRATIS TEXTUS XVI.

His qua ratione apertè reponi debeat, in aperto eſt. Oportet enim aliquo laborantis caput continente, alterum digitis maxillam ad mentum comprehendere, tam ab exteriori parte, quàm ab interiori, homine hiante quantum modicè poteſt: ac primo quidem aliquandiu maxillam manu in hanc, atque illam partem adductam dimovere; imperareque ut ipſe homo maxillam relaxet, ſimulque cum Medico ipſam adducat, & adducenti quammaximè pareat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῖς θεασαμένοις ἐξ ἀνατομῆς ἀκριβῶς, τὴν σύνθεσιν ὧν διηγήσατο μορίων, ἡ ἐμβολὴ πρόδηλός ἐστι πρὸς ἣν καὶ αὐτὸς ἀποβλέπων, οὕτως εἶπε. τὰ δ' ἐφεξῆς εἰρημένα περὶ τῆς ἐμβολῆς, σαφῆ πάντα, πλὴν εἴ πού τις μία λέξις ἢ δύο παρεμπέσοιεν, περὶ ὧν ἐπισημανοῦμεν.

GALENI COMMENTARIUS.

Ratio reponendi evidentiſſima eſt iis, qui in corporibus incidendis, partium quas narrat, compoſitionem diligenter inſpexerint: ad quos reſpectum habens, hæc ſcripſit. Quæ deinceps adjungit de reſtituendo, omnia plana ſunt, niſi ſicubi unum, vel alterum verbum occurrat, quod à nobis notabitur.

VBi, priùs nervis, & muſculis agitatis atque emollitis maxillam deorſum traxerimus, & quantum poteſt, à malis reduxerimus, debemus agere, quod ab Hippocrate jubemur, quùm inquit, dein ſubitò mutare, quod χάσαι dixit, id eſt repentè, ac ſimul articulum collocare è regione ſuæ ſedis: tum ita collocatum rurſus in poſteriorem partem momento impellere, homini imperantes ut os claudat. Anteà quidem præcipiebat ut homo hiaret, laxam maxillam præbens, id eſt nullum muſculum intendens: id enim maximè confert ad nervos, muſculoſque agitandos, repenteque ad naturalem ſedem adducendum maxillam depravatam, atque ad compellendum in poſteriorem partem. Nunc jam, ubi utraque maxillæ ſummitas ſita eſt è regione ſuæ ſedis, permittit muſculos, qui κροταφῖται dicuntur, agentes, eam totam ad ſeipſos attrahere: agunt enim, ubi æger comprimere, claudereque os velit.

HIPPOCRATIS TEXTUS XVIII.

A

ALiquis autem caput offenſi contineat.

GALENI COMMENTARIUS.

DVm maxilla agitatur, ac modicè deorſum demittitur, præcipit ut caput contineatur, ne ſequatur maxillam; quod perpetuum eſt in omnibus, quæ in diverſa duci debent. Offenſum appellavit πεπηρωμένον, Iones enim quamlibet offenſam πῆρωμα dicunt.

HIPPOCRATIS TEXTUS XIX.

QVod ſi maxilla utraque parte elabatur, curatio eadem eſt: ſed homo minus comprimere os poteſt; tunc enim mentum magis prominet, ſed in neutram partem inclinatur: intelliges autem in neutram partem inclinari, præcipuè ex dentium finibus, ubi inferiores è regione ſuperioribus reſpondeant.

GALENI COMMENTARIUS.

MAxilla ab utraque parte, dixit, γνάθοι ἀμφότεραι; videbitur autem γνάθους appellaſſe non maxillam totam, ſed utranque

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΜΕτὰ τὸ περιδιακινῆσαι, καὶ μαλάξαι τὰ νεῦρα, καὶ τοὺς μύας, ἕλκοντα κάτω τὴν γένυν, ἀπάγοντά τε καθόσον ἐνδέχεται τῶν ἄνω, προσήκει πρᾶξαι τὸ ὑπ᾽ αὐτοῦ κελευόμενον, ὅπερ εἶπεν ἐξαπίνης χάσαι, τουτέστιν ἐξαίφνης, καὶ ἅμα ὀρθῶς περιάγειν εἰς τὸ κατ᾽ εὐθὺ τῆς κατὰ φύσιν χώρας τὸ ἄρθρον, ἐν τούτῳ γε κατασταθέντα, παραχρῆμα πάλιν ὠθεῖν εἰς τοὐπίσω, κελεύοντα τῷ πάσχοντι, συνάγειν τὸ στόμα. πρότερον μὲν οὖν αὐτὸν ἠξίου χάσκειν, χαλαρὰν παρέχοντα τὴν γένυν, ὅπερ ἐστὶ, μηδένα τῶν μυῶν τείνοντα. τοῦτο γὰρ συμφορώτατον, εἴς τε τὸ διακινῆσαι τὰ νεῦρα, καὶ τοὺς μῦς, ἐξαίφνης τε περιαγαγεῖν ἐπὶ τὴν κατὰ φύσιν τὴν διεστραμμένην γένυν, ἀπώσασθαί τε πρὸς τοὐπίσω. νυνὶ δ᾽ ὅταν ἤδη κατ᾽ εὐθὺ τῶν οἰκείων χωρῶν ἑκατέρων τῶν ἄκρων τῆς γένυος γένηται, σύμφησιν τοὺς κροταφίτας ἐνεργήσαντας, ἐπισπάσασθαι πρὸς ἑαυτοὺς ὅλην αὐτήν. ἐνεργήσουσι δὲ, προθυμηθέντος τοῦ κάμνοντος, συνάγειν τε, καὶ κλεῖσαι τὸ στόμα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιη´.

Προσκατέχειν δέ τινα χρὴ τὴν κεφαλὴν τοῦ πεπηρωμένου.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τῷ διακινεῖσθαι τὴν γένυν, ἀπάγειν τε μετρίως εἰς τὸ κάτω, τὴν κεφαλὴν κελεύει κατέχεσθαι, χάριν τοῦ μὴ συνακολουθεῖν αὐτὴν τῇ κάτω γένυϊ. τοῦτο δὲ κοινὸν ἐπὶ πάντων ἀντιτασεῶν ἐστὶ τὸ παράγγελμα. τὸν πεπηρωμένον δὲ λέγει, ἐν ἴσῳ τοῦ προειρημένου βεβλαμμένον. πάσας γὰρ τὰς βλάβας οἱ Ἴωνες ὀνομάζουσι κοινῶς πηρώματα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιθ´.

ΗΝ δ᾽ ἀμφότεραι γνάθοι ἐξαρθρήσωσιν, ἡ μὲν ἴησις ἡ αὐτή· συμβάλλειν δέ τι ἧσσον οὗτος τὸ στόμα δύναται, καὶ γὰρ προπετέστεραι αἱ γένυες τούτοισιν, ἀστραβέες δέ. τὸ δὲ ἀστραβὲς, μάλιστ᾽ ἂν γνοίης τοῖσιν ὄρχοισι τῶν ὀδόντων, τῶν τε κάτω κατ᾽ ἴξιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ ταύτῃ τῇ ῥήσει, δόξει γνάθους ὀνομάζειν, οὐ τὸ γένυν ὅλως, ἀλλ᾽ ἑκάτερον τῶν μερῶν, καθ᾽ ἃ πλατύνεται αὐτή.

θέντος ἢ ἐκπλώσεως γένηται, μᾶλλον μὲν εἰς τὸ πρόσω χωρεῖ τοῦ ἡ κάτω γένυς, ἢ ἐφ' ὅτε κατὰ θάτερον μέρος ἐκπέπτωκε, καὶ πλέον ἀφεστηκυῖα φαίνεται τῶν ἄνω γενύων, οὐ μὴν παρατέτραπταί γε, οὐδὲ διαστρέφεται, φυλάττουσα τὸ κατὰ φύσιν ἀδιάστροφον. διαγνώσεις δὲ τῇ τῶν ὀδόντων εὐθυωρίᾳ, τουτέστιν, ὅταν οἱ κάτωθεν ἀντικείμενοι κατ' εὐθύ· τομεῖς μὲν τομεῦσι, κυνόδοντες δὲ κυνόδουσι, τὰς μύλας δὲ ταῖς μύλαις.

luxetur ab utraque commiſſura, magis quidem
B in priorem partem propellitur, quam ubi excidit altera parte duntaxat, magiſque à malis recedit: non tamen depravatur, aut pervertitur, ſed naturalem ſedem ſine inclinatione tuetur; id autem indicant dentes, qui è regione reſpondent, hoc eſt, inferiores ſuperioribus, qui ſecant ſecantibus, canini caninis, maxillaribus maxillares.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κ'.

Οὕτω συμφέρει ἐμβάλλειν ὡς τάχιστα, ἐμβολῆς δὲ τρόπος προείρηται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τάχιστα μὲν ἐμβάλλειν συμφέρει, πρὶν, διὰ τὴν τάσιν τῶν μυῶν, εἰς συμπάθειαν ἀφικέσθαι τὸν ἐγκέφαλον. ὁ δὲ τρόπος τῆς ἐμβολῆς, ὃν ἐπὶ τῆς κατὰ τὸ ἕτερον μέρος ἐξαρθρήσεως εἶπε, οὐ κατὰ πᾶν ὁ αὐτὸς μοι δοκεῖ νῦν γίνεσθαι προσήκειν. τότε μὲν γὰρ εἰς τὸ πλάγιον μέρος ἡ γένυς ἠρέμα περιήγετο, νυνὶ δὲ, ἰσόρροπός ἐστιν, ὥστε αὐτάρκως διασείσαντα, καὶ μετὰ τὸ κάτω τὸ γένειον ἑλκύσαντα, χρὴ τὸ τὸ πέρας τῆς κορώνης κατωτέρω γενέσθαι τοῦ ζυγώματος, οὕτως ἤδη πρὸς τὸ ἔσω χωρεῖν ὠθεῖν ἑκατέρωθεν ὅλην τὴν γένυν, ἅμα τῷ κελεῦσαι τῷ κάμνοντι, κλείειν τὸ στόμα.

HIPPOCRATIS TEXTUS XX.

C *His quamceleriimè reſtituenda eſt: qua autem ratione, ſuprà explicavimus.*

GALENI COMMENTARIUS.

Celerrimè quidem reponenda eſt, priuſquàm muſculi diſtenti ob conſortium, cerebrum afficiant; modus autem reponendi, quem docuit, ubi altera parte prolabitur, mihi non videtur ex toto idem nunc accommodari: tunc enim paulatim maxilla in alteram partem
D convertitur, nunc pariter in utramque; quare ſatis eſt concutere, mentumque adducere deorſum, ut proceſſus extremitas roſtro ſimilis, jugali oſſe inferiùs collocetur, ſicque in interiorem partem utrinque totam maxillam compellere, ſimulque præcipere homini ut os claudat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'.

Ἢν δὲ μὴ ἐμπέσῃ, κίνδυνος περὶ τῆς ψυχῆς, ὑπὸ πυρετῶν ξυνεχέων, καὶ νωθρῆς καρώσιος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ἀκίνδυνος μὲν οὖν, οὐδ' ἡ καθ' ἕτερον μέρος ἐξάρθρησις. ἡ δὲ κατ' ἄμφω διαπλασίς ἐστι χαλεπωτέρα, πάντας τοὺς κατέχοντας τὴν κάτω γένυν ἐντείνουσα μύας. ἐντείνονται δὲ, ὡς εἴρηται, τέτταρες. δύο μὲν οἱ ἐκ τῶν κροτάφων ἀρχόμενοι, δύο δ' οἱ ἐκ τῶν παρὰ τὰ πτερυγοειδῆ, καλουμένων. ἰσχόντων δ' αὐτῶν ἀπὸ τοῦ ἐγκεφάλου τὰ νεῦρα, καὶ μόνον οὐ ψαυόντων αὐτοῦ τοῦ ἐγκεφάλου, διὰ τάχιον εἰκὸς ἐστι γίνεσθαι τὴν συμπάθειαν. οὗτοι μὲν οὖν τέτταρες μύες, ἐν ἐκπτώσει μάλιστα πονοῦσι, κυριώτατοι πάντων ὄντες, ὡς ἂν ἀπὸ τῆς τρίτης συζυγίας, ἐξ ἐγκεφάλου τὰ νεῦρα λαμβάνοντες, ἥτις οὐ πόρρω τέτακται τῆς ἀρχῆς αὐτοῦ. συμβαίνει γε μὴν, καὶ τοὺς ἔξωθεν ἐπικειμένους τῇ γένυι, καθ' ἕτερον μέρος διεκφυέντας, ἐν ταῖς τοιαύταις ἐκπτώσεσι πιέζεσθαι παρὰ φύσιν.

HIPPOCRATIS TEXTUS XXI.

E *Si reverti nequeat, mortis periculum inſtat propter febres continentes, atque marcorem, & inexpugnabilem dormiendi neceſſitatem.*

GALENI COMMENTARIUS.

Periculo quidem non vacat maxilla, etiamſi altera parte luxetur: ſed ſi utraque, ægriùs reſtituitur, quùm muſculos omnes, quibus maxilla continetur, intendat; ſunt autem quatuor, ut dictum eſt, duo ſcilicet, qui à temporibus incipiunt: duo qui à ſinibus juxta os,
F quod πτερυγοειδὲς nominatur. Habent autem hi muſculi nervos ab ipſo cerebro, ac propè ipſum contingunt: quo fit, ut celerrimè afficiantur. Hi ergo quatuor muſculi, ubi maxilla prorumpit, maximè affliguntur, quùm inter omnes præcipui ſint, ut qui nervos ex cerebro habeant à tertia conjugatione quæ non longè ab ipſo principio ſita eſt. Atqui fit etiam, ut muſculi qui maxillam intrinſecùs comprehendunt, orti ab utraque parte ejus, præter naturam extendantur, ubi maxilla luxetur: quan-

HIPPOCRATIS TEXTUS XXII.

Huiuſmodi enim muſculi inexpugnabilem dormiendi neceſſitatem inducunt, quum alienantur, & præter naturam extenduntur.

GALENI COMMENTARIUS.

Poteſt utrunque ex propoſitis inexpugnabilem dormiendi neceſſitatem inferre, & alienatio muſculorum, & diſtentio, quum uterque affectus ob conſenſum ad cerebrum pertineat. Diſtentio inde proficiſcitur, quòd fibræ quæ priùs laxæ erant, nunc omnes ad rectam lineam extendantur: alienatio, ubi ultra modum calefiant, frigeſcant, madeſcant, ſiccentur, inflammentur, eryſipela prehendantur, vel putreſcant, in quibus omnibus eorum natura alienatur: ſed in diſtentione fibræ duntaxat extenduntur citra naturæ ipſius alienationem.

HIPPOCRATIS TEXTUS XXIII.

His ſolet alvum bilem puram, atque exiguam reddere: ac ſi evomant, vomitus purus eſt.

GALENI COMMENTARIUS.

IN febribus admodum acutis nihil mirum ſi pura bilis in corpore producitur, ſiquidem & adeps, & caro tenera, ac paulò antè concreta, ſub hujuſmodi febribus tabeſcit, & ſanguis aduritur: concurrere autem hæc ad alvum, atque inteſtina, quùm tabent, proprium eſt, ubi tantum nervoſæ partes laborant: cum ipſis enim vitiatur læditurque os ventriculi, quod maximè nervoſum eſt. Rectè autem ab ipſo docemur proximas, communeſque partes primùm potiſſimùmque affici: propterea, ubi ventriculi os lædatur, dolorem ne levem quidem poſſe ſuſtinere: ſequitur enim animæ defectio, ubi ipſum malè affligatur, & quum animus deficit, omnia quæ ſuperſunt, tenuia ad ventrem concurrunt; quin etiam, ſi hoc non accidat, ſub vehementi dolore, atque mœrore, quæ ſuperant in corpore hujuſ generis, videntur ad ventriculum atque inteſtina decurrere: quæ in ventriculo coeunt, vomitu excernuntur: quę in inteſtinis, dejectione.

[illegible], ἐν τῇ μνήμῃ, καὶ τὴν αἴσθησιν ἅμα, καὶ τὴν καθ' ὁρμὴν κίνησιν, διέφθαρται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

Καρώδεις γὰρ οἱ μύες οὗτοι, καὶ ἀλλοιούμενοι, καὶ ἐκτεινόμενοι παρὰ φύσιν.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἱκανὸν ἑκάτερον τῶν εἰρημένων, ἐργάσασθαι κῶμα, ἥ τε ἀλλοίωσις, καὶ ἡ τάσις τῶν μυῶν, εἰς συμπάθειαν τοῦ ἐγκεφάλου ἀγομένης κατ' ἄμφω. ἡ μὲν οὖν τάσις αὐτὴ γὰρ τῶν ἰνῶν, αἳ πρότερον ἦσαν χαλαραί, νῦν ἁπασῶν κατ' εὐθεῖαν γραμμὴν ἀποτεινομένων. ἡ δ' ἀλλοίωσις, ὅταν ἤτοι θερμανθῶσιν, ἢ ψυχθῶσιν ἀμέτρως, ἢ ὑγρανθῶσιν, ἢ ξηρανθῶσιν, ἢ φλεγμήνωσιν, ἢ ἐρυσιπελατώδεις γένωνται, ἢ σήπωνται·
D ἐν ἅπασι γὰρ τοῖς τοιούτοις καὶ αὐτὴ ἡ οὐσία ἀλλοιοῦται. τεινόμενοι δὲ, μόνον εὐθύνονται κατὰ τὰς ἶνας, οὐδὲ τὴν οὐσίαν αὐτῶν [illegible].

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κγ'.

Φιλέει δὲ καὶ ἡ γαστὴρ ὑποχωρέειν τούτοισι χολώδεα, ἄκρητα ὀλίγα, καὶ ἢν ἐμέωσιν, ἄκρητα ἐμέουσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E

Τὸ μὲν ἐν τοῖς ὀξυτάτοις πυρετοῖς ἄκρατα χολώδη γεννᾶσθαι κατὰ τὸ σῶμα, θαυμαστὸν οὐδέν. εἴ γε δὴ καὶ πιμελὴ, καὶ σὰρξ ἁπαλὴ, καὶ νεοπαγὴς, ὑπὸ τῶν τοιούτων πυρετῶν τήκεται, καὶ κατοπτᾶται τὸ αἷμα. τὸ δὲ καὶ συῤῥεῖν εἰς τὴν γαστέρα, καὶ ἔντερα, τὰς τοιαύτας συντήξεις, ἴδιον τῶν ὀδυνωμένων ἐπὶ νευρώδεσι μόνων. ὑπό τε οὖν τούτοις κακοῦται καὶ πάσχει τὸ τῆς γαστρὸς σῶμα, νευρωδέστατον ὄν. εἴρηται δ' ὀρθῶς ὑπ' αὐτοῦ,
F τὰ συνεχῆ, καὶ τὰ κοινὰ, πρῶτα καὶ μάλιστα κακοῦσθαι, καὶ ὅτι παθοῦν τοῦτο τὰς ὀδύνας οὐκ ἀνέχεται, καίτοι μικραὶ τυγχάνουσαι οὖσαι. λειποψυχίαι γὰρ γίνονται κακοπαθοῦντι τῷ σώματι τῆς γαστρός. ἐν δὲ ταῖς λειποψυχίαις, συῤῥεῖ τὰ λεπτὰ περιττώματα πάντα εἰς τὴν γαστέρα. καὶ μέντοι καὶ χωρὶς τοῦ πεπονθέναι τοῦτο, κατὰ τὰς ἰσχυρὰς ὀδύνας τε καὶ λύπας, φαίνεται τὰ τοιαῦτα περιττώματα, συῤῥέοντα πρὸς τὴν γαστέρα, καὶ τὰ ἔντερα. τῶν μὲν οὖν εἰς τὴν γαστέρα παραγινομένων ἐκκένωσις, δι' ἐμέτων γίνεται· τῶν δ' εἰς τὰ ἔντερα, διὰ τῶν ὑποχωρήσεων.

...φῶντες τὸ σημαινόμενον ... ὥρᾳ, ... φαί-
τ(αι) παρὰ τῷ Ἱπποκράτει τὸ ἔγγιστα ποσαχὸν ἐμφαῖνον τοῦ λεγομένου κατὰ τὸν ἀριθμὸν πράγματος, ὡς εἰ καὶ οὕτως εἰρήκει. B καὶ ἀπόσχωσιν οἱ οὕτως ἔχοντες ἐπὶ τὸ πολὺ, περὶ τὴν δεκάτην ἡμέραν, ὥστ᾽ εἰ καὶ ἐναταῖοι καὶ ἑνδεκαταῖοι τοῦτο πάθωσιν, ἀληθῶς εἰρῆσθαι τὸν λόγον. ὅτι δ᾽ οὕτω χρῶνται τῷ, μάλιστα, δῆλον ἐστὶ καὶ ἐκ τῶνδε τῶν παραδειγμάτων. Θουκυδίδης μὲν ἐν τῷ πρώτῳ φησί· ταῦτα δὲ ξύμπαντα, ὅσα ἔπραξαν οἱ Ἕλληνες, πρός τε ἀλλήλους, καὶ τὸν βάρβαρον, ἐγένετο ἐν ἔτεσι πεντήκοντα μάλιστα, καὶ ἐν τῷ αὐτῷ, ἀπέχει δὲ ξ. σταδίους μάλιστα. Ἀνδοκίδης δὲ ἐν τῷ περὶ μυστηρίων, ἄδων δ᾽ ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους, C πολλὴ δὲ ἐστὶν ἡ χρῆσις τῆς λέξεως κατὰ τοῦτο τὸ σημαινόμενον ἅπασι τοῖς Ἕλλησιν.

ſicut nunc ab Hippocrate accipitur, ut conjecturam numeri ejus rei, quæ proponitur, proximè oſtendat, quaſi ita dixerit: Hi ergo decedunt plerunque circiter decimum diem, ita ut, quamvis nono, vel undecimo intereant, vera oratio ſit. Teſtantur autem exempla vocabulum μάλιστα ita uſurpari. Thucydides quidem in primo libro inquit: Hæ omnes Græcorum, & inter ſe, & contra barbarum res geſtæ fuerunt, maximè quinquaginta annis; atque ibidem, Diſtat ſexaginta ſtadia maximè. Andocides item de myſteriis inquit, Homines maxime trecentos; ubi maxime μάλιστα dicunt, in quam ſignificationem hujuſmodi vox à Græcis ſæpenumerò accipitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε΄.

ΗΝ δὲ κατεαγῇ ἡ κάτω γνάθος. ἢν μὲν μὴ ἀποκαυλισθῇ παντάπασιν, ἀλλὰ ξυνέχηται τὸ ὀστέον, ἐγκεκλιμένον δὲ ᾖ, κατορθῶσαι μὲν χρὴ τὸ ὀστέον, παρὰ γε τὴν γλῶσσαν πλαγίους ὑποτείνοντα τοὺς δακτύλους, τὸ δὲ ἔξωθεν ἀντερείδειν, ὡς ἂν ξυμφέρῃ, καὶ ἢν διεστραμμένοι ἔωσιν οἱ ὀδόντες D οἱ κατὰ τὸ τρῶμα κεκινημένοι, ὁκόταν τὸ ὀστέον κατορθωθῇ, ζεῦξαι τοὺς ὀδόντας χρὴ πρὸς ἀλλήλους, μὴ μόνον τοὺς δύο, ἀλλὰ καὶ πλείονας, μάλιστα μὲν δὴ χρυσίῳ, ἔστ᾽ ἂν κρατυνθῇ τὸ ὀστέον. εἰ δὲ μὴ, ἐν λίνῳ, ἔπειτα ἐπιδεῖν κηρωτῇ, καὶ σπλήνεσιν ὀλίγοισι, καὶ ὀθονίοισιν ὀλίγοισι, μὴ ἄγαν ἐρείδοντα, ἀλλὰ χαλαροῖσιν.

HIPPOCRATIS TEXTUS XXV.

Sed ſi maxilla comminuatur, ubi non frangitur omninò tranſverſa, ſed aliqua parte icta oſſa inter ſe cohærent, in ſuam ſedem compellenda ſunt, digitis utrinque prementibus, tum ab ore lingua in latus adducta, tum à cute, ut conveniet, repellendo. Quòd ſi pervertantur dentes ad fracturam moti, ubi oſſa in ſuam ſedem collocata ſunt, non ſolùm bini, ſed etiam plures, inter ſe ligandi ſunt auro potiſſimùm, vel certè lino, donec oſſa confirmentur. Quo facto vincire oportet, paucis pannis ceratoque injectis, paucisque faſciis, non valde adſtrictis, ſed laxioribus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤαν τοῦ καταγέντος ὀστοῦ μηδὲν ἀπαθὲς ὑπολείπηται, διαλυθέντων ἀπ᾽ ἀλλήλων τῶν μερῶν, ὡς E κατὰ μηδὲν τοῦτο συνέχεσθαι τὸ εἶδος τοῦ κατάγματος, οἱ νεώτεροι τῶν ἰατρῶν ὀνομάζουσι καυληδόν. ἐπειδὴ καὶ ὁ Ἱπποκράτης εἶπε, ἐὰν μὴ ἀποκαυλισθῇ παντάπασι. τὰ δ᾽ ἄλλα καὶ ταύτης τῆς ῥήσεως, καὶ τῶν ἐφεξῆς, σαφῆ, πλὴν εἴ πού τι βραχὺ παρεμπίπτοι, καὶ τοῦτ᾽ ἐπισημανούμεθα.

GALENI COMMENTARIUS.

VBi comminuto oſſe nihil integrum relinquitur, partibus inter ſe recedentibus, ita, ut nullo pacto cohæreant, hujuſmodi fracturæ ſpeciem recentiores Medici Græce καυληδὸν à fracti caulis ſimilitudine appellant, eò quòd Hippocrates illud ubi non frangitur omnino tranſverſa dixerit, Ἐὰν μὴ ἀποκαυλισθῇ παντάπασι. Reliqua omnia tam in hac oratione, quàm in ſequentibus, plana ſunt; ſed ſi parum quid offendimus, id quoque explicabimus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ΄.

ΕΥ γὰρ εἰδέναι χρὴ, ὅτι ἐπιδέσιες ὀθονίων, γνάθου κατεαγείσης, F μικρὰ μὲν ἂν ὠφελέοι, εἰ χρηστῶς ἐπιδέοιτο. μεγάλα δὲ ἂν βλάπτοι, εἰ κακῶς ἐπιδέοιτο.

HIPPOCRATIS TEXTUS XXVI.

Scire autem convenit maxillam fractam faſciis parum juvare, ſi rectè injiciantur: ubi minus rectè multum lædi.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν μέγα βλάπτειν τὴν μοχθηρὰν ἐπίδεσιν, κοινὸν ἁπάντων καταγμάτων ἐστίν. τὸ δὲ μηδὲν ὠφελεῖν μέγα τὴν ἀγαθὴν ἐπίδεσιν, ἐν ὅσοις τῶν ὀστῶν κατάγμασιν, οὐκ ἄρα πάντων κοινὸν ἐστὶ τῶν ὀστῶν, ἀλλὰ μόνων ἐκείνων,

GALENI COMMENTARIUS.

COmmune eſt omnibus fracturis ſummoperè lædi à vinculo, quod non rectè ſuperdetur: at non admodum juvari maxillæ fracturam vinculo rectè injecto non pertinet communiter ad omnia oſſa; ſed ad ea duntaxat,

modo quo dictum eſt, os in ſuam ſedem oportet. Quo facto deligare dentes inter ſe convenit, veluti ſuprà oſtendimus: hoc ſiquidem maxillam valdè immobilem præſtat, ſi quis capita rectè ut oportet, ſuturâ inſuper conjunxerit. Univerſam verò manus curationem ad unguem ſcribere non facile eſt. Sed ex iis, quæ ſcripta ſunt, exprimenda eſt.

προσθήσῃς, τοὺς ὀδόντας χρὴ ζευγνύναι, ὡς ἔμπροσθεν εἴρηται· μέγα γὰρ αὖ συλλαμβάνει ἐς τὴν ἀτρεμίην. προσέτι καὶ εἴ τις ὀρθῶς ζεύξῃ, ὥσπερ χρὴ τὰς ῥαφὰς ῥάψας. ἀλλὰ γὰρ οὐ ῥηΐδιον, ἐν γραφῇ χειρουργίην πᾶσαν ἀτρεκέως ἡγέεσθαι, ἀλλ' ὑποτυπώσασθαι χρὴ ἀπὸ τῶν γεγραμμένων.

GALENI COMMENTARIUS.

MAσᾶσθαι ſignificat inquirere, ſed ἐσμάσασθαι altè inquirere, ſicut nunc, ubi altè inquirere ἐσμάσασθαι dixit: præcipit enim Hippocrates digito in os demiſſo conſiderare, num fracti oſſis ſpatium altera ſuper alteram excedat: atque ita digito adurgeri, quò expedire videatur, id quod in interiorem partem converſum eſt, in exteriorem repellendo. In aperto autem eſſe exiſtimo Hippocratem imperare, non ut Medicus aſſiduè, ſed ut æger hoc efficiat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν μάσασθαι, ζητεῖν σημαίνει. τὸ δὲ ἐσμάσασθαι, τὸ ἐν βάθει τι ζητεῖν, ὥσπερ καὶ νῦν. ἀξιοῖ γὰρ ὁ Ἱπποκράτης ἐμβιβάζοντα τῷ στόματι τὸν δάκτυλον, ἐπισκέψασθαι μὴ παραλλάσσῃ τὰ μέρη τοῦ κατεαγότος ὀστοῦ, καὶ οὕτως ἐπανορθοῦσθαι τῷ δακτύλῳ πρὸς ὅ τι περ ἂν δόξῃ συμφέρειν, ἀντωθοῦντα εἰς ὃ ῥέπει πρὸς τὴν ἐκτὸς χώραν. ὅτι δὲ οὐκ αὐτὸν τὸν ἰατρὸν αἰεὶ χρὴ τοῦτο ποιεῖν, ἀλλὰ τὸν κάμνοντα διδάξει προσάττειν οὕτως, εὔδηλον εἶναι νομίζω.

A
Habena inferiori, &c.

HIPPOCRATIS TEXTUS XXVIII.

DEin ſi is, quem fractura malè habet, puer ſit, ſatis erit corii Carthaginenſis, exterioris partis id, quod durius eſt & magis denſum, admovere: ſed, ſi robuſtior fuerit, ipſum corium. Incidenda autem habena eſt, quæ trium digitorum latitudinem æquet, vel quanta convenit, tum maxilla gummi inungenda; maxilla enim, quà tranſverſa fracta eſt, firmius hæret extrema habena agglutinata interpoſito digiti ſpatio, vel paulo longiori, idque ab inferiori parte: incidaturque habena hæc mediæ in longitudinem, ut utrinque mente complectatur; altera item habena æqualis, vel paulo latior ſuperiori parti maxillæ agglutinetur, diſtetque à fractura quantum prior; ſcindatur autem, quatenus poſſit aurem comprehendere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη΄.

ΕΠειτα καὶ δέρματος Καρχηδονίου, ἢν μὲν νεώτερος ᾖ ὁ τρωθείς, ἀρκεῖ τῷ λοιπῷ χρέεσθαι. ἢν δὲ πλειότερος ᾖ, αὐτῷ τῷ δέρματι, τάμνοντα χρὴ εὖρος ὡς τριδάκτυλον, ἢ ὅκως ἂν ἁρμόζῃ, ὑπαλείψαντα κόμμι τὴν γνάθον. εὐσθενέστερον γὰρ κόλλῃ προσκολλῆσαι τὸ δέρμα ἄκρον πρὸς τὸ ἀποκεκαυλισμένον τῆς γνάθου, ὡς δάκτυλον ἀπὸ τοῦ τρώματος, ἢ ὀλίγῳ πλέον. τοῦτο μὲν ἐς τὸ κάτω μέρος. ἐχέτω δὲ ἐντομὴν κατὰ τὴν ἴξιν τοῦ γενείου ὁ ἱμάς, ὡς ἀμφιβεβήκει ἀμφὶ τὸ ὀξὺ τοῦ γενείου. ἕτερον δὲ ἱμάντα τοιοῦτον, ἢ ὀλίγῳ πλατύτερον προσκολλῆσαι χρὴ πρὸς τὸ ἄνω μέρος τῆς γνάθου, ἀπολιπόντα κατὰ τοσοῦτον ἀπὸ τοῦ τρώματος, ὅσον περ ὁ ἕτερος ἀπέλιπεν. ἐσχίσθω δὲ καὶ οὗτος ὁ ἱμὰς τὸ ἀμφὶ τὸ οὖς περίβασιν.

GALENI COMMENTARIUS.

MOlle accipi voluit corium, cujuſmodi tunc fortaſſe fuit Carthagini: hujus enim exempli causâ nominatim meminit, quemadmodum Ægyptii corii antea in opere de fracturis: conſtat autem in eo corio partis, quæ maximè ſumma eſt, id quod durius eſt, ac magis denſum, nunc λοιπὸν ab ipſo nuncupari. At quomodo illud adhibeat, ut maxillæ fractæ partes in diverſa extendat, ipſe nobis eviden-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΜΑλακὸν εἶναι βούλεται τὸ δέρμα, καθάπερ ἦν ἴσως τότ' ἐν Καρχηδόνι. τούτου γὰρ ἐμνημόνευσεν ὀνομαστὶ παραδείγματος ἕνεκεν, ὥσπερ καὶ πρόσθεν ἐν τῷ περὶ ἀγμῶν, Αἰγυπτίου δέρματος. εὔδηλον δὲ ὅτι τοῦ δέρματος τούτου τοῦ ἐξωτάτου, σκληρότερόν τε, καὶ πυκνότερον ὀνομάζει λοιπόν. ὅπως δὲ αὐτῷ χρῆται, τῆς ἀντιτάσεως ἕνεκα τῶν κατεαγότων μορίων τῆς γένυος, αὐτὸς δηλώσει, παρακο-

ctum propter mollitiem commodiſſima ſunt, quæ ubi non ſint, licebit aliquid ſimile admovere.

HIPPOCRATIS TEXTUS XXXIII.

Omne enim vinculum maxillæ ita abruptæ ad fracturam oſſa inclinat, magis quàm ſecundùm naturam.

GALENI COMMENTARIUS.

Maxillæ inquit ita abruptæ, hoc eſt, quæ tranſverſa fracta ſit, vinculum ad fracturam magis oſſa convertit, quàm dirigat, proptereaquod faſciæ in orbem circundari nequeant circa ſedem affectam, ſed ab exteriori parte duntaxat imponi.

D

HIPPOCRATIS TEXTUS XXXIV.

Sed ſi maxilla, quà ad mentum jungitur, diducatur: ſola autem junctura eſt hæc in maxilla, in malis multæ, ſed à propoſito ſermone diſcedere conſilium non eſt: in aliis enim morborum generibus de iis dicendum eſt, ſi junctura, inquam, quæ in mento eſt, diducatur, componi à quovis poteſt: nam quod extat, intus repellendum eſt digitis ſuper datis: quod in interiorem partem convertitur, in exteriorem adducendum digitis adurgendo: hæc autem facienda ſunt oſſibus in diverſa diductis.

E

GALENI COMMENTARIUS.

Maxilla quidem ex duobus oſſibus conſtat, quæ in imo mento ad unguem inter ſe junguntur: Malæ verò, ex multis, quæ juncturam habent omni motu carentem, κατὰ συνάρθρωσιν dicunt: ſed curioſum hoc hujuſmodi vocabulorum ſtudium apud veteres non fuit, atque idcircò Hippocrates juncturam oſſium malarum ſub ξυμφύσεως genere poſuit, id tantum in ipſis indicium ſpectans, quod in ejuſmodi oſſium juncturis nullus ſit motus, qui ſenſui ſubjiciatur.

F

ταῦτά ἐστιν εἰς τὴν προκειμένην χρείαν, δύναιτο δ' ἄν τις ἀπορῶν αὐτῶν, ἐπὶ τῶν ὁμοίων ἀφικέσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

C Πᾶσα γὰρ ἔνδεσις γνάθου ὕπο καταγείσης, ἐκκλίνει τὰ ὀστέα, τὰ ἐς τὸ κάταγμα ῥέποντα, μᾶλλον, ἢ ἐς τὴν φύσιν ἄγει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῆς ὕπο, φησὶ, καταγείσης γένυος, τουτέστι τῆς καυληδὸν, ἡ ἐπίδεσις ἐκκλίνει μᾶλλον εἰς τὸ κάταγμα, ἢ ἐξευθύνει τὰ ὀστᾶ, διὰ τὸ μὴ δύνασθαι περιελιχθῆναι τὰ ὀθόνια κύκλῳ τὰ περὶ τὸ πεπονθὸς, ἀλλ' ἔξωθεν μόνον ἐπικαλεῖσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδ'.

Ἢν δὲ ἡ κάτω γνάθος, κατὰ τὴν σύμφυσιν, τὴν κατὰ τὸ γένειον, διασπασθῇ, μούνη δὲ αὕτη ξύμφυσις ἐν τῇ κάτω γνάθῳ ἐστὶν, ἐν δὲ τῇ ἄνω πολλαί, ἀλλ' οὐ βούλομαι ἀποπλανᾶν τὸν λόγον· ἐν ἄλλοισι γὰρ εἴδεσι νουσημάτων, περὶ τούτων λεκτέον. ἢν οὖν διασπασθῇ ἡ κατὰ τὸ γένειον σύμφυσις, κατορθῶσαι μὲν, παντὸς ἀνδρός ἐστι. τὸ μὲν γὰρ ἐξεστεὸς ἐσωθέειν χρὴ εἰς τὸ εἴσω μέρος, προσβάλλοντα τοὺς δακτύλους. τὸ δὲ εἴσω ῥέπον, ἀναγκάζειν ἐς τὸ ἔξω μέρος, ἐνερείδοντα τοὺς δακτύλους· ἐς διάστασιν μέντοι διατεινομένοιν, ταῦτα χρὴ ποιέειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐκ δυοῖν μὲν, ἡ κάτω γένυς, ὀστῶν σύγκειται, καθ' ἕτερον τὸ γένειον ἀκριβῶς ξυμπεφυκότων, ἐκ πολλῶν δὲ, ἡ ἄνω, κατὰ συνάρθρωσιν κειμένων. ἀλλ' ἡ τοιαύτη τῶν ὀνομάτων λεπτουργία, παρὰ τοῖς παλαιοῖς οὐκ ἦν. διὸ καὶ Ἱπποκράτης, τὴν ἄνω γένυν, ξυντεθέντων τῶν ὀστῶν κατὰ ἁρμονίας, ὑπὸ τὸ τῆς ξυμφύσεως ἔταξε γένος, ἑνὶ γνωρίσματι προσέχων τὸν νοῦν ἐπ' αὐτῶν, μηδεμίαν αἰσθητὴν κίνησιν ἐν ταῖς τοιαύταις τῶν ὀστῶν συνθέσεσι.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔθος ἐστὶν Ἱπποκράτει, ὅσα κοινὰ παραγγέλματα τῶν μερῶν ἐστιν, ἅπαξ αὐτὰ περὶ ἑνὸς εἰπόντα, δηλῶσαι τοῦ πράγματος τὴν δύναμιν, ὅτι κοινὴ πάντων τῶν ὁμοίων, ὥσπερ καὶ νῦν ἀξιοῖ τὰ προδιατείνοντα τὴν κάτω γένυν, οὕτω διαπλάττειν ἐπήνεσεν. ῥᾷον γὰρ εἰς τὴν φύσιν ἥξει, ἢ εἴ τις ἐγχειρήσειεν εἰς ἄλληλα τὰ ὀστᾶ παραναγκάζειν πειρᾶται. αὐτὸ δὲ τὸ νῦν εἰρημένον, ὅτι κοινὰ ἁπάντων ἐστὶ τῶν διαπλαττομένων ὀστῶν, ἐπεσημήνατο C διὰ τῆς προκειμένης ῥήσεως.

GALENI COMMENTARIUS.

IN omni ejuſmodi commentario ſcire licet conſueviſſe Hippocratem in iis præceptis, quæ ſingulis communia ſunt, cùm ſemel unius mentionem facit, exponere vim rei communem eſſe omnium ſimilium: quemadmodum & nunc volens maxillam prius extentam ita componi, ſubjicit: oſſa enim ſic facilius in ſuum locum revertentur, quàm ſi quis tentet altero ſub altero condito compellere. Hoc autem, quod nunc proponitur, attinere ad oſſa omnia quæ componuntur, propoſitis verbis indicavit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛʹ.

Ἐπίδεσιν δὲ βραχεῖαν, ἢ ποικίλην, μάλιστα τοῦτο τὸ χωρίον ἐπιδέχεται, ἐγγὺς γάρ τι τοῦ ἰσοῤῥόπου ἐστὶν, ὡς δὲ μὴ ἰσόῤῥοπον ἐόν.

HIPPOCRATIS TEXTUS XXXVI.

Vinculum autem exiguum variumque maximè huic loco accommodatur: propè enim ſine inclinatione eſt, quamquam non ex toto ſine inclinatione ſit.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀκριβῶς μὲν ἰσόῤῥοπόν ἐστι μόριον, ὅπερ ὁμοιότατον ἦ κατὰ τὸ σχῆμα κυλίνδρῳ. καλῶ δὲ κύλινδρον, οὐχ ᾧ παίζουσιν οἱ παῖδες, ἀλλὰ ὃ τοῖς κίοσιν ὑπάρχει σχῆμα. τοῦτο δ' ἀκριβῶς μὲν οὐδενὶ τῶν ὀστῶν ἐστι, μᾶλλον μέντοι τῶν ἄλλων, ἐν μηρῷ καὶ βραχίονι. τῆς δὲ κάτω γένυος, ὅτι μὲν οὐκ ἔστι τοιοῦτον σχῆμα, πρόδηλον, ὥστε οὐδὲ ἰσόῤῥοπον αὐτὴν εἶναί φασιν, ἐγγὺς μέντοι τοῦ ἰσοῤῥόπου, διὰ τοῦτ' αὐτὴν εἶπε, ὅτι τὸ ἀριστερὸν μέρος, τῷ δεξιῷ κατὰ πάντα ἐξωμοίωται, καὶ ἴσον ἐστὶ, καὶ διὰ τοῦτο, E τὸ συγκείμενον ἐξ ἀμφοῖν, ἰσόῤῥοπον γὰρ, μηδεμίαν ἔχον ῥοπὴν ἐπὶ θάτερα μέρη. δέχεται δὲ ποικίλας ἐπιδέσεις ἡ γένυς, ὡς κἂν τῇ τῶν ἐπιδέσμων γυμνασίᾳ πρώτῃ πάντων οὔσῃ, μεμαθήκατε.

GALENI COMMENTARIUS.

PArs exquiſitè ſine inclinatione eſt, ubi ſimillimam cylindro figuram repræſentat; voco autem cylindrum, non quo pueri ludunt, ſed qui columnæ imaginem refert: hæc autem ex toto in nullo oſſe reperitur; magis tamen in femore, atque humero, quàm in aliis oſſibus, conſpicitur. In maxilla autem conſtat non eſſe hujuſmodi figuram: quocirca eam inclinatione vacare non protulit, propè tamen ſine inclinatione eſſe, eò quòd ſiniſtra ejus pars dextræ ex toto ſimilis ſit & æqualis; atque idcircò, quod ex utraque componitur, ſine inclinatione eſt, & in neutram partem inclinatur; admittit autem maxilla varia vincula, ſicut in faſciando, quæ exercitatio omnium prima eſt, ut didiciſtis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λζʹ.

Τοῦ δὲ ὀθονίου τὴν περιβολὴν ποιέεσθαι χρὴ, ἢν μὲν ἡ δεξιὴ γνάθος ἐξεστήκῃ ἐπὶ δεξιά· ἐπὶ δεξιὰ δὲ νομίζεσθαι εἶναι, ἢν ἡ δεξιὰ χεὶρ ἡγέηται τῆς ἐπιδέσιος. ἢν δὲ ἡ ἑτέρη γνάθος ἐξεστήκῃ, ὡς ἑτέρως χρὴ τὴν ἐπίδεσιν ἄγειν, κἂν μὲν ὀρθῶς τις κατορθώσηται, καὶ ἐπατρεμήσῃ ὡς χρὴ, ταχεῖα μὲν ἡ ἄλθεξις, οἱ δὲ ὀδόντες ἀσινέες γίνονται. ἢν δὲ μὴ, χρονιωτέρη μὲν ἡ ἄλθεξις, διαστροφὴν δὲ ἴσχουσα, οἱ ὀδόντες δὲ καὶ σιναροὶ, καὶ ἀχρεῖοι γίνονται.

HIPPOCRATIS TEXTUS XXXVII.

ATtrahi autem faſcia debet, ſi maxilla à dextro latere extat, à parte dextra: tunc autem à dextra parte eſſe indicatur, cum dextra manus F *faſciam ducit; ſed ſi ab altero latere maxilla excedat, alio ſanè modo attrahenda faſcia eſt. Ubi autem rectè componatur, atque, ut oportet, immobilis ſervetur, citò ſaneſcit, denteſque integri remanent: ſin ſecus, longiori tempore confirmatur, tum pervertitur; dentes autem vitiantur, atque inutiles redduntur.*

ram faſcias adducit, hujuſmodi vinculum à dextra parte nuncupat, attendens non quò ferantur faſciæ, ſed utra præcipue manu attrahantur; namque, ubi intueatis Medicum è regione ejus qui deligatur, collocatum, faſcia quæ à dextro maxillæ ad ſiniſtrum procedet, à dextra manu attrahetur; contraria, à ſiniſtra.

υτον ἀπὸ τῶν δεξιῶν μερῶν ἀρξάμενός τις, ὅτι λέγεται ποιεῖσθαι τὴν νομὴν τῶν ὀθονίων, ἐπὶ δεξιὰ κατὰ τὴν τοιαύτην ἐπίδεσιν, οὐ τῇ φορᾷ τῆς ἐπιδέσεως προσέχων τὸν νοῦν, ἀλλὰ τῇ τῆς χειρὸς ἡγεμονίᾳ, ἐὰν γὰρ νοήσῃς κατ' ἀντικρὺ τὸν μὲν ἐπιδούμενον τὸν ἰατρὸν, ἡ μὲν ἀπὸ τῆς δεξιᾶς γνάθου φορὰ τῶν ὀθονίων, ἐπὶ τὴν ἀριστερὰν ἀγομένη, ἡ τῆς δεξιᾶς ἔσται χειρὸς, ἡ δ' ἐναντία τῆς ἀριστερᾶς.

C

DE NASO.

ΠΕΡΙ ΡΙΝΟΣ.

HIPPOCRATIS TEXTUS XXXVIII.

Quod ſi naſus perfringatur, fracturæ modus non eſt unus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

Ἢν δὲ ἡ ῥὶς καταγῇ, τρόποι μὲν οὐχ εἷς ἐστι κατάξιος.

D

GALENI COMMENTARIUS.

Ipſe deinceps modos adſcribet; aut enim pars ejus abrumpitur, ipſe tamen ſervatur perpetuus, ſic, ut neque deorſum inclinetur, nec in alteram partem convertatur: aut horum alterum fit, idque aut in parte ejus, quæ cartilaginoſa prominet, aut in reliqua, quæ oſſibus continetur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὐτὸς δ' ἐφεξῆς ἐρεῖ τοὺς τρόπους. ἤτοι γὰρ μέρος αὐτῆς καταγνῦται, τῆς συνεχείας φυλαττομένης, ὡς μήτε κάτω χωρῆσαι, μήτ' ἐφ' ἑκάτερα παρατραπῆναι, ἢ καὶ τούτων τι προσγίγνεται. καὶ ἤτοι κατὰ τὸ χονδρῶδες αὐτῆς τὸ πρόσω, τούτων τι συμβαίνειν εἴωθεν, ἢ κατὰ τὸ λοιπὸν, τὸ ὀστῶδες.

E

HIPPOCRATIS TEXTUS XXXIX.

Sed, qui præſtantia vincula amant ſine mente, complura alia lædunt, atque adeò naſum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθ'.

Ἀτὰρ πολλὰ μὲν δὴ καὶ ἄλλα λωβῶνται, οἱ χαίροντες τῇσι καλῇσιν ἐπιδέσεσιν, ἄνευ νόου, ἐν δὲ τοῖσι περὶ τὴν ῥῖνα, καὶ μάλιστα.

GALENI COMMENTARIUS.

Præſtantia καλὰ dixit irridens, non quò verè ſignificaverit præſtantia, quorum conſilium eſt affectam partem ad ſuam naturam reſtituere; ſed pulchra & aſpectu jucunda: qualia hæc ſint, in ſequentibus oſtendet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰρωνευόμενος εἴρηκεν, οὐ τὰς ὄντως καλὰς σημαίνων, ὧν σκοπός ἐστιν εἰς τὸ κατὰ φύσιν ἄγειν τὸ πεπονθὸς, ἀλλὰ τὰς εὐμόρφους, καὶ τερπούσας τοὺς ὁρῶντας· ὁποῖαι δὲ εἰσὶν αὗται, διὰ τῆς ἑπομένης ῥήσεως μαθήσῃ.

F

HIPPOCRATIS TEXTUS XL.

Inter omnia enim vincula hoc maximè varium eſt, ac plurimis locis aſciæ imaginem refert, & aliquod ſpatium cutis nudum, ac ſine faſcia intermittit, quo rhombi variè admodum repræſentantur. Igitur, ut dictum eſt, qui ſine mente hujuſmodi vinculis ſtudent, comminutum naſum libenter deligant: ſed vinculo injecto, uno, vel altero die Medicus lætus eſt; lætus item & qui deligatur, deinceps

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μ'.

Ἐπιδεσίων γὰρ ἐστὶν αὕτη ἡ ποικιλωτάτη, καὶ πλείστους μὲν σκεπάρνους ἔχουσα, διαρρωγὰς δὲ, καὶ διαλήψιας ποικιλωτάτας τοῦ χρωτὸς, ῥομβοειδέας. ὡς οὖν εἴρηται, οἱ τὴν ἄνοον εὐχειρίην ἐπιτηδεύοντες ἄσμενοι, ῥινὸς καταγείσης, ἐπιτυγχάνουσιν ὡς ἐπιδήσωσι. μίαν μὲν οὖν ἡμέρην, ἢ δύο, ἀγάλλεται μὲν ὁ ἰητρὸς, χαίρει δὲ καὶ ὁ ἐπιδεδεμένος, ἔπειτα

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σκέπαρνον μὲν, ἐπίδεσμον, ὅτι καλεῖ τὸν ἐγκεκλιμένον ὀλίγον ἐκ τῆς ἐγκαρσίου ἐπιβολῆς, ἔμπροσθεν εἴρηται. διαρρώγας δὲ λέγει, τὰ μεταξὺ διαστήματα τῶν ὀθονίων. ῥομβοειδῆ δὲ σχήματα, τὰ ἰσόπλευρα μὲν, οὐκ ὀρθογώνια δέ. καὶ γὰρ καὶ ὁρίσασθαι τὸν ῥόμβον οὕτως ὁ Εὐκλείδης. ἴσμεν δὲ ὡς ἐν ταῖς ἐπιδέσεσι, ταύτην σχεδὸν πρώτην ὀνομάζουσι ῥόμβον, ἀπὸ τοῦ τὰ τοιαῦτα μάλιστα ἐργάσασθαι σχήματα.

B

GALENI COMMENTARIUS.

Aſciam appellat, ubi faſcia à traverſo circuitu recedens paululùm inclinatur, ut ſupra oſtenſum eſt; ſpacium verò, quod faſcia intermittit, dixit διαῤῥώγας: rhombi verò figuram, eam quæ æqua latera habet; ſed angulos non rectos: nam & Euclides ita rhombum finit. Noſti autem ex faſciis primam ferè nominari rhombum, quum eam figuram potiſſimùm repræſentet.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μα'.

Οὐχ οὕτω γὰρ συναρμόσει παρακλίνει τὸ ἐπὶ θάτερον τῆς ῥινὸς, καί τι οὐδὲ τοῦτο ποιέουσιν οἱ ἐπιδέοντες.

HIPPOCRATIS TEXTUS XLI.

Sic autem panni à latere naſi haud bene aptantur: quanquam neque hoc faciunt, qui alligant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐδὲν ὠφελεῖσθαι φησιν ἐξ ἐπιδέσεως τὴν εἰς τὸ πλάγιον, ἐν τῷ κατεαγῆναι διαστραφεῖσαν ῥῖνα. ὃ γάρ τοι δόξῃ ἄν τι βοηθεῖν αὐτῇ, μηδ' αὐτὸ δύνασθαί τι. δόξειε δ' ἂν τι βοηθεῖν, στηρίζειν κατὰ τὸ πλάγιον αὐτὴν ὀθονίοις, ἐς ὃ παρεγκλιθῇ, ἀλλ' οὐδὲ τοῦτό φησιν ἀκριβῶς δύνασθαι πρᾶξαι τόδε.

GALENI COMMENTARIUS.

Nihil conferre ait vinculum ad naſum ſub fractura in latus converſum, quum id præſtare non poſſit, quod utile eſſe videtur; videtur autem utile eſſe per pannos naſum fulcire ab ea parte, in qua jacet; ſed neque ad

D

hanc rem inquit id prorsùs accommodari.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μβ'.

Ἄγχιστα δ' ἡ ἐπίδεσίς μοι δοκέει αὐτὴ ποιέειν, εἰ κατὰ μέσον τὴν ῥῖνα κατὰ τὸ ὀξὺ ἐμφλασθείη ἡ σὰρξ κατὰ τὸ ὀστέον, εἰ ἢ τὸ ὀστέον μικρόν τι σιναρὸν εἴη, καὶ μὴ μέγα. τοῖσι γὰρ τοιούτοισιν ἐπιπώρωμα ἴσχει ἡ ῥίς, καὶ ὀχθωδεστέρη τι γίνεται. ἀλλ' ὅμως οὐδὲ τούτοισι δήπου, πολλοῦ ὄχλου δεῖται ἡ ἐπίδεσις, εἰ δή τι καὶ δεῖ ἐπιδεῖν.

HIPPOCRATIS TEXTUS XLII.

Proximè autem vinculum mihi videtur occurrere, ſi in medio naſo, quà acutus eſt, caro juxtà os conteratur, vel paululum etiam os ipſum lædatur, non tamen multum: his ſiquidem naſus callo obducitur, & aliquanto aſperior fit: neque tamen vinculo egent magni negotii, ſi ſanè alligandi ſunt.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν εὐθυτάτῳ δόξειεν ἂν ὠφελεῖν ἡ κοινὴ τῆς ῥινὸς ἐπίδεσις, ὅταν ἐν τῷ μέσῳ αὐτῆς, ἤτοι ἐπίθλασις γίνεται τοῦ δέρματος, ἢ καὶ πάθη τι τὸ ὀστοῦν, ἐπ' ὀλίγον. ἐξοχὴ γάρ τις ἕπεται κατὰ τὴν πώρωσιν αὐτοῦ. ἡ τοίνυν ἐπίδεσις ἐν τοῖς τοιούτοις παθήμασιν, εἴργουσα καὶ περιστέλλουσα τὸ πεπονθὸς, ὠφέλειάν τινα δόξει δύνασθαι παρέχειν, ἔστι δ' οὐδὲν τούτοις ἀναγκαῖον ἐπιδεῖν· τὰ γὰρ θλάσματα, πειρᾶσθαι χρὴ μάλιστα μὲν ἀφλέγμαντα διαφυλάττειν, εἰ δὲ καὶ φλεγμαίνοιεν, ἀφλέγμαντα ποιεῖν, ὡς τάχιστα. ὅσοι ἐπιπεφυόμενος πῶρος ὀλίγος, οὐδὲν δὴ τούτων ἐπιδέσεων δεῖται.

GALENI COMMENTARIUS.

Commune vinculum naſi proximè ad ſalubre accedere videtur, ubi in medio cutis contuſa fuerit, vel os parumper vitiatum; ſequitur autem, ut promineat, quà callo circundatur. Vinculum itaque in hujuſmodi caſibus coërcens, repellenſque affectum locum, prodeſſe aliquid videbitur; ſed neque his ullo modo neceſſarium eſt: conari enim debemus, quæ contuſa ſunt, maximè ab inflammatione

F

defendere: atque ubi inflammentur, celerrimè inflammationem tollere; quin & callus, quum parvus increſcit, nihil profectò hujuſmodi vinculis eget.

farinâ tritici hujus anni, lotâ, glutinoſâ, reſperſâ, paucâ.

Ἄρτῳ μόνῳ ἰῆσθαι τῷ ἀλήτῳ τῷ σητανίῳ, τῷ πλυτῷ, γλίσχρῳ, πεφυρημένῳ, ὀλίγῳ, καταπλάσσειν τὰ τοιαῦτα.

GALENI COMMENTARIUS.

QUi optimè videntur verba Hippocratis enodare, aſſerunt *σητάνιον* triticum ab ipſo appellari, id quod ſatum eſt, *σῆτες*, quod Attici utraque ſyllaba per τ prolata *τῆτες* dicunt: quo verbo ſignificari volunt hoc anno id eſt quod vere ſatum eſt, quod & duorum menſium, & quadraginta dierum, appellatur. Equidem in Co, & in tota Græcia Aſiæ, vidi tritici genus *σητάνιον* appellatum; ſed parum furfurum habet, & ejus farina ex aqua ſubacta plurimùm glutinoſa eſt; quam rem nunc Hippocrates maximè exigit, quemadmodum ipſe deinceps narrabit: qui, ubi farina hæc non ſit, imperat, ut pulvis qui ex concuſſo thure habetur, vel gummi admiſceatur; ſeritur autem ejuſmodi triticum vere ineunte, ut duorum menſium ſit: rectéque ſic dicitur, quoniam ſummùm ad id temporis perducitur, cujus farina ex aqua ſubacta maximè glutinoſa redditur, ubi molito tritico, furfures ex toto detrahantur, id quod fit & cribris tenuibus, & tritico antè eloto. Nam idem tritico evenit, atque hordeo: ex hoc enim, ubi ptiſſana præparanda eſt, cortex magis remittitur, ſi anteà madefactum fuerit. Quo pacto igitur dixit, lota, quum non idem ſit madefieri, & lavari? in quolibet enim piſtrino madefit triticum, priuſquàm molatur: non tamen lavatur in quolibet; ſed in compluribus Aſiæ civitatibus; ubi calathos habent magnos intextos ex tenuibus juncis exigua ſpacia intermittentibus, per quæ excerni pulvis poſſit; & arenâ, retineatur. Id ergo triticum, quod molendum eſt, ſed triticum primò in calathos conjiciunt, atque excutiunt: deinde calathos in aquam demittunt, ſic, ut triticum lavetur, ac modicè madefiat, calatho ex aqua recepto humoris plurimum effluit: tantùm autem in tritico remanet, quantum idoneum eſt, ut moli poſſit; nam niſi madefiat, cortex circunpoſitus, qui tanquam innata cutis eſt, ſub mola in tenues partes diſſipatur, atque ita, cum farina per cribrum excernitur, educitur aliquid ex furfuribus in tenues tres diviſis: ſed tritico priùs madefacto, furfures, grandiorum partium quùm ſint, manent, & cum farina non excernuntur; atque idcirco tritico priùs madefacto, farina magis purgatur, & quod ab interiori parte eſt tritici

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΣΙτανίους πυροὺς, οἱ δοκοῦντες ἄριστα τὴν Ἱπποκράτους ἐξηγήσασθαι λέξιν, εἰρῆσθαί φασι πρὸς αὐτοῦ C τοὺς σῆτες ἐσπαρμένους, ὅπερ οἱ Ἀττικοὶ, τῆτες ὀνομάζουσι, διὰ τοῦ τ, τὰς συλλαβὰς ἀμφοτέρας λέγοντες, ἐξ οὗ σημαίνεσθαί φασι τοὺς ἐν τῷ ἔτει τούτῳ, τουτέστι κατὰ τὸ ἔαρ ἐσπαρμένους, διμηνιαίους τε, καὶ τεσσαρακονθημέρους ὀνομαζομένους. ἐγὼ δὲ, πυρῶν εἶδός τι σιτανίους καλουμένους οἶδα, κατά τε τὴν Κῶον αὐτὴν, καὶ σύμπασαν δὲ κατὰ τὴν Ἀσίαν Ἑλληνικήν. ὀλίγον ἔχουσιν οὗτοι τὸ πίτυρον, ἱκανῶς δὲ γλίσχρον τὸ σταῖς· οὗ μάλιστα νῦν ὁ Ἱπποκράτης δεῖται, καθότι καὶ αὐτὸς ἐφεξῆς ἐρεῖ. καὶ ὅταν μὴ ἔχῃ τοιοῦτον, ἤτοι μάνναν, ἢ κόμμι κελεύει μιγνύναι αὐτῷ. σπείρονται μὲν οὗτοι πυροὶ, D κατὰ τὸ ἔαρ εἰσβάλλον, ὡς αὐτοῖς διμηνιαίοις, καὶ καλεῖσθαι, καὶ κατὰ τὴν ὥραν τὸ πλεῖστον ὀνομαζομένοις. γίγνεται δὲ αὐτῶν μάλιστα γλίσχρον τὸ σταῖς, ὅταν πλυθέντων ἀφαιρεθῇ τὸ πιτυρῶδες ἐπτόρω. γίγνεται μὲν καὶ διὰ τῶν λεπτῶν κοσκίνων, γίγνεται δὲ καὶ τῷ προαποπλύνεσθαι τοὺς πυρούς. ὥσπερ γὰρ αἱ πτισσόμεναι κριθαὶ, τὸ λέπος ἀφιᾶσι μᾶλλον ὅταν προβραχῶσιν, οὕτως καὶ οἱ πυροί. πῶς οὖν εἶπε λοτῷ; οὐ γὰρ ταὐτόν ἐστι βεβρέχθαι τε, καὶ πεπλύσθαι. βρέχονται μὲν γὰρ ἐν τοῖς μύλωσιν ἅπασιν οἱ πυροὶ, E πρὶν ἀλεῖσθαι. πλύνονται δὲ οὐκ ἐν ἅπασιν, ἀλλ' ἐν ταῖς πλείσταις πόλεσι τῆς Ἀσίας, ὧν καίτοι ὄντι γεγονότων ἔχουσι πλοκάνα μεγάλα, πεπλεγμένα, διὰ λεπτῶν σχοινίων μικρὰ διαστήματα ἐχόντων, ὡς χοῦν μὲν, καὶ ψάμμον διέρχεσθαι, τὸν πυρὸν δὲ ἐπιμένειν εἰς ταῦτα. ἐμβάλλοντες οὖν μύλωσιν, ἀλεῖν πυρόν· πρότερον μὲν προδιασείουσιν, ἔπειτα δὲ καθιᾶσιν εἰς ὕδωρ ὅλον τὸ πλόκανον, ὥσπερ πλύνεσθαί τε ἅμα, καὶ βρέχειν συμμέτρως τοὺς πυρούς. αἰωρουμένου δὲ ἐκ τοῦ ὕδατος τοῦ πλοκάνου, τὸ μὲν πλεῖστον ἀπορρεῖ ἀπὸ τῆς ὑγρότητος, ἀπομένει δὲ πρὸς τοῖς πυροῖς F τοσοῦτον, ὅσον ἀλουμένοις ἐπιτήδειόν ἐστιν. εἰ γὰρ μὴ βραχείη τὸ περικείμενον ἔξωθεν αὐτοῖς λέμμα, ὃ τοῖς τῶν δέρμα σύμφυτον, εἰς λεπτὰ καταθραύεται κατὰ τὰς μύλας, καὶ οὕτως, ἐν τῷ διαττᾶσθαι, συνδιεξέρχεταί τι τοῦ καταθραυσθέντος τῷ ἀλεύρῳ. τοῦ δὲ προβραχέντος πυροῦ, τὸ πιτυρῶδες ἁδρομερὲς μένον, οὐ συνδιαττᾶται, καὶ κατὰ τοῦτο, καθαρώτερον γίγνεται τὸ ἄλευρον, ἐκ τοῦ βεβρέχθαι τοὺς πυρούς. ἔνθεν δέ φησι, πλυτῷ, καὶ γλίσχρῳ τῷ σιτανίῳ

μένον. ἀλλὰ μάχεται τούτῳ τὸ ἐκλύεσθαι ... φυρᾶσθαι ... B
ρον, ἕψειν γὰρ εἴρηκε. καὶ οὐ φυρᾶται δὲ τὸ οὕτως ὑγρόν, ἀλλ' ἕψεται μόνον. ἔτι δ' ἂν μᾶλλον ὃ λέγει, διὰ τῆς πεφυρημένης λέξεως κατενοήσαμεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ με´.

Χρὴ δὲ, ἢν μὲν ἀγαθὸν ᾖ, τῶν πυρῶν τὸ ἄλητον, καὶ εὐόλκιμον, τούτῳ χρέεσθαι πάντα τὰ τοιαῦτα. ἢν δὲ μὴ πάνυ ἕλκιμον ᾖ, ἐς ὀλίγην μάνναν, ὕδατι ὡς λεπτοτάτην, διέντα, τούτῳ φυρᾷν τὸ ἄλητον, ἢ κόμμι πάνυ ὀλίγον ὡσαύτως μίσγειν. C ὁκόσοισι μὲν οὖν ῥὶς ἐς τὸ σιμὸν ῥέπουσα κατάγνυται, ἢν μὲν ἐκ τοῦ ἔμπροσθεν μέρεος κατὰ τὸν χόνδρον ἵζηται, οἷόν τέ ἐστι καὶ ἐντιθέναι τι διόρθωμα εἰς τοὺς μυκτῆρας, ἢν δὲ μὴ, διορθοῦν μὲν χρὴ πάντα τὰ τοιαῦτα, τοὺς δακτύλους ἐς τοὺς μυκτῆρας ἐντιθέντα, ἢν ἐνδέχηται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀγαθοὺς πυροὺς, τοὺς ἀρίστους δηλονότι λέγει. ταύτην D γὰρ οἱ παλαιοὶ τὴν προσηγορίαν ἐπιφέρειν εἰθισμένοι κατὰ παντὸς, τοῦ πρώτου ὄντος ἐν τῷ οἰκείῳ γένει. λέγουσι δὲ καὶ νῦν ἅπαντες οἱ περὶ τὴν σιτοποιίαν, ἀρίστους εἶναι πυροὺς τοὺς πυκνοὺς τὴν οὐσίαν. οἱ γὰρ χαῦνοι, πολὺ τὸ πιτυρῶδες ἔχουσι, καὶ τὸ σταῖς αὐτῶν οὐ γίνεται γλίσχρον, ὡς καὶ πυκνῶν. ὅλκιμον δὲ ὠνόμασε τὸ γλίσχρον, ἀπὸ τοῦ συμβεβηκότος, ἐπειδὴ τεινόντων ἡμῶν αὐτὸ πρὸς τἀναντία μέρη, συνεχὲς μένει οὐ διασπώμενον, τοῦ μὴ γλίσχρου φθάνοντος διασπᾶσθαι κατὰ τὰς τοιαύτας ἐνεργείας. εἰ δὲ διασπᾶται, πῶς ἂν ἔτι ἕπεσθαι φαίνηται τεινούσαις χερσὶν αὐτό; εἰ δ' οὐχ ἕπεται, πῶς E ἂν ὅλκιμον ἔτι λεχθείη; τό γε μὴν ἀδιάσπαστον, καὶ συνεχὲς ἑπόμενον, εἰκότως ἄν τις ὅλκιμον ὀνομάσοι, καθάπερ καὶ τὸν ἰξόν. ἐπὶ πλεῖστον γὰρ οὗτος ἕλκεται πρὸς τἀναντία μέρη, διαλαμβανόμενος ὑπὸ τῶν ἡμετέρων χειρῶν, ὥστε καὶ ἐκ τούτων δῆλός ἐστιν ὁ Ἱπποκράτης, γλίσχρον ἀξιῶν εἶναι τὸ σταῖς. ὅπου γε καὶ ὅταν μὴ τοιοῦτον ᾖ, μάνναν αὐτῷ προστίθησιν, ἢ κόμμι. κελεύει· μάννα δὲ καλεῖται τὸ ἀπόσεισμα τοῦ λιβανωτοῦ. μὴ παρούσης δὲ μάννης, αὐτὸν λειώσεις δηλονότι τὸν λιβανωτὸν, F καὶ τούτου πάλιν αὐτοῦ, τὸ λιπαρώτερον ἐκλεξάμενος. ἐγὼ δέ ποτε μήτε λιβανωτοῦ, μήτε κόμμεως εὐπορῶν, ἐχρησάμην ὑγρᾷ ῥητίνῃ, παρέτυχε γάρ πως αὕτη. χρήσαιο δ' ἄν ποτε καὶ μέλιτι, μηδὲ ταύτης παρούσης, ἀλλ' ἄμεινον ἐπὶ τὴν μάνναν ἔρχεσθαι, καὶ τὸ κόμμι. θερμαίνει γάρ πως τό γε μέλι, καὶ ἡ ῥητίνη· τὰ δὲ τοιαῦτα, παρὰ τὰς ἀρχάς ἐστιν ἄχρηστα. προϊόντος μὲν τοῦ χρόνου, καὶ μένοντος τοῦ λειψάνου τῆς φλεγμονῆς, ταῦτα γίνεται τῶν ἄλλων χρησιμώ-

xiſſet: non enim reſpergitur hujuſmodi humor, ſed coquitur duntaxat. Ex verbo igitur, reſperſa, quid ſibi voluerit, magis demonſtratur.

HIPPOCRATIS TEXTUS XLV.

Vti autem convenit ad omnia hæc hujuſmodi farina, ſi ex optimo tritico fuerit, facileque duci poſſit: ſed, ſi non omninò bene ducatur, modicum pulveris illius, qui ex thure concuſſo habetur, in tenuiſſimum pollinem redacti, & aqua diluti, farinæ adjicere, vel paulum omnino gummi ſimiliter admiſcere. Quibus igitur fractus naſus in inferiorem partem demittitur, ſimul'que efficitur, ſi ab inferiori parte, qua cartilago eſt, deſidat, poteſt in nares indi aliquid, quod dirigat: quod ubi non fiat, omnia hæc excitanda ſunt digitis, ſi fieri poteſt, in nares conjectis.

GALENI COMMENTARIUS.

Optimum triticum dixit ἀγαθοὺς πυρούς: majores enim ſoliti ſunt ἀγαθοῦ vocabulo uti, ad notandum id omne, quod in ſuo genere primum eſt: nunc autem omnes, qui in pannificus verſantur, aſſerunt optimum triticum eſſe, quod denſum eſt: nam quod rarum, multis furfuribus continetur, farinaque ejus ex aqua ſubacta non æquè efficitur glutinoſa, atque illius quod denſum eſt. Glutinoſum autem expreſſit, cùm ait, facile ducitur, eâ loquutione ſumpta ab eo, quod ipſi accidit, quandoquidem à nobis in diverſa attractum, ſervatur perpetuum, neque diſſipatur: contrà quod minimè glutinoſum eſt, quùm ita tractatur, divellitur: ſed ſi divellatur, quo pacto ſequi dicetur, cum manu trahitur? Ac ſi non ſequitur, quinam dicetur facilè duci? Id verò quod non diſſipatur, ſed perpetuum eſt, jure quis dicet facilè ſequi, quemadmodum & viſcum, hoc ſiquidem manibus noſtris prehenſum in contrarias partes plurimùm attrahitur. Quare ex his conſtat velle Hippocratem farinam ex aqua ſubactam glutinoſam eſſe, atque ubi ejuſmodi non ſit, gummi, vel pulverem ex concuſſo thure collectum (quem μάνναν appellat) adjici jubet, ubi ejus pulveris copia non ſit, contundere thus ipſum eâ de cauſâ oportet, atque ex eodem id, quod maximè pingue eſt. Ego interdum, quùm nec thuris, nec gummi copia eſſet, reſinâ liquidâ uſus ſum, hanc fortè nactus: at ubi, neque hæc ſit, melle uti poteris; ſed utiliùs pulvis ex concuſſo thure, vel gummi adjicitur. Nam mel & reſina quodammodo calefaciunt; ſed talia ab initio aliena ſunt: procedente verò tempore, remanentibus inflammationis reliquiis, ut ſi quid aliud commodiſ-

rem partem, ſed quà deſidet: extrinſecus autem digitis utrinque compreſſis impellere ſimul convenit, & excitare. Sed ſi fractura omninò in inferiori parte fuerit, licet aliquid in nares inſerere, ſicut jam diximus, vel linamentum, vel aliud linteolo cinctum, vel magis Carthaginenſi pellicula, circunſutumque & ita figuratum, ut idoneum ſit, quod in hunc locum demittatur. At, ubi fractura fuerit ſuperior, nihil demitti intus poteſt: nam ſi in inferiori parte id præſidium alienum eſt, qui non in ſuperiori? Primò itaque & ab interiori parte dirigere naſum oportet, & ab exteriori utrinque compellere, atque in priſtinam ſedem reſtituere: commodiſſimè enim reſtituitur naſus fractus, præcipuè eodem die, vel certè paulò poſt. Sed torpent Medici, & primò mollius rem pertractant, quàm opus ſit: utrinque enim digitos qui naſo accommodentur, demittere oportet, quantum fieri poteſt, in imum, & ipſum ab inferiori parte ſurſum compellere, atque excitare, ſimulque ab interiori parte dirigere: ad quam rem nullus alius Medicus magis idoneus eſt, ſi homo ad id dare operam velit, audeatque, quàm ipſius digiti indices: hi enim maximè ſecundùm naturam ſunt. Admovere autem utrumque digitum convenit, ut toti naſo inhæreat, atque ita quieſcere, potiſſimùm, ſi fieri poſſet aſſiduè, donec glutinaretur, vel certè plurimum tempus, ut dictum eſt: aut ſi non ipſe ægrotans, ſaltem puer, vel mulier aliqua digitos demittat: mollibus ſiquidem manibus opus eſt, ut optimè naſus curetur. Verùm, uti non reddatur ſimus, ſed deorſum ſpectans, in neutram partem inclinetur. Equidem nullum unquam naſum vidi ita fractum, qui non poſſet protinùs componi, ſi priuſquàm callus increſceret, compelleretur, modò quis rectè mederi vellet. Atqui deformitatem homines maximè oderunt: curationem vero partim ignorant, partim non ſuſtinent, niſi dolore premantur, aut mortem pertimeſcant: quanquam in naribus callus citò increſcit, nam decem diebus ſaneſcit, niſi corrumpatur. Quibus os à latere abrumpitur, curatio eadem eſt: dirigere nimirum oportet, non æquè ab utraque parte, ſed eam, quæ inclinat, ad naturalem ſitum adurgere ab exteriori parte compellendo: in naribus item aliè conquirere, quod in interiorem partem converſum eſt, dirigendo aſſiduè, dum reſtituatur, cum eo, ut ſciamus naſum, niſi protinus dirigatur, dirigi poſtea non poſſe, ſed perverti. Quo ad naturalem ſedem compulſo, ad eum locum admovendi ſunt digiti, vel unus, vel plures, ſeu ipſius hominis, ſeu alte-

ῥινὸς ἁπαρτῶντα τοῖσι δακτύλοισιν, ἀλλ' ᾗ ἵδρυται, ἔξωθεν δὲ τῆς ῥινός, ἔνθεν καὶ ἔνθεν ἀμφιλαμβάνοντα τοῖσι δακτύλοισι, συνδιαναγκάζειν τι ἅμα, καὶ ἀναφέρειν ἐς τὸ ἄνω, καὶ ἢν μὲν πάνυ ἐς τὸ ἔμπροσθεν τὸ κάτηγμα ᾖ, οἷόν τέ τι καὶ εἴσω τῶν μυκτήρων ἐντιθέναι, ὥσπερ ἤδη εἴρηται, ἄχνην τὴν ἀφ' ἡμιτυβίου, ἢ ἄλλο τι τοιοῦτον ἐν ὀθονίῳ εἰλίσσοντα, μᾶλλον δὲ ἐν Καρχηδονίῳ δέρματι ἐρράψαντα, σχηματίσαντα τὸ ἁρμόσον σχῆμα τῷ χωρίῳ ἵνα ἰκνεῖσθαι. ἢν μέντοι προσωτέρω ᾖ τὸ κάτηγμα, οὐδὲν οἷόν τε εἴσω ἐντιθέναι. καὶ γὰρ εἰ ἐν τῷ ἔμπροσθεν ἀσηρὸν τὸ φόρημα, πῶς γε δὴ οὐκ ἐν τῷ ἐσωτέρω. τὸ μὲν οὖν πρῶτον, καὶ ἔσωθεν ἀναπλάσσεσθαι, καὶ ἔξωθεν, ἀφειδέως χρὴ ἀνάγειν ἐς τὴν ἀρχαίην φύσιν, καὶ διαρθρῶσαι. κάρτα γὰρ οἱ ἤτοι ῥῖνες κατεαγεῖσαι ἀναπλάσσονται, μάλιστα μὲν αὐθημερόν· ἢν δὲ μή, ὀλίγῳ ὕστερον, ἀλλὰ καταβλακεύουσιν οἱ ἰητροί, καὶ ἁπαλωτέρως τὸ πρῶτον ἅπτονται, ἢ ὡς χρή. προσβάλλοντα γὰρ τοὺς δακτύλους χρὴ ἔνθεν καὶ ἔνθεν κατὰ τὴν φύσιν τῆς ῥινός, ὡς κατωτάτω κάτωθεν συναναγκάζειν, καὶ οὕτω μάλιστα ἀνορθοῦνται σὺν τῷ ἔσωθεν διαρθροῦσθαι διορθοῦντα. ἔπειτα δὲ ἐς ταῦτα ἰητρὸς οὐδεὶς οὐδαμῶς τοιοῦτός ἐστιν, εἰ ἐθέλοι μελετᾶν, καὶ τολμᾶν, ὡς οἱ αὐτοῦ δάκτυλοι οἱ λιχανοί· οὗτοι γὰρ κατὰ φύσιν μάλιστά εἰσι. προσβάλλοντα γὰρ χρὴ τῶν δακτύλων ἑκάτερον παρὰ πᾶσαν τὴν ῥῖνα ἐρείδοντα, ἠρέμα οὕτως ἔχειν, μάλιστα μὲν εἰ οἷόν τε εἴη αἰεί, ἔστ' ἂν κολληθῇ· εἰ δὲ μή, ὡς πλεῖστον χρόνον, ὡς εἴρηται· εἰ δὲ μή, ἢ παῖδα, ἢ γυναῖκά τινα. μαλθακὰς γὰρ τὰς χεῖρας δεῖ εἶναι. οὕτως, ὡς ἂν κάλλιστα ἰητρευθείη ἡ ῥίς, ὅτε μὴ ἐς τὸ σκολιόν, ἀλλ' ἐς τὸ κάτω ἱδρυμένη εἴη ἰσόρροπος. ἐγὼ μὲν οὖν οὐδεμίαν πω ῥῖνα εἶδον, ἥτις οὕτω κατεαγεῖσα, οὐχ οἵη τε διορθωθῆναι αὐτίκα, πρὶν πωρωθῆναι συναναγκαζομένη ἐγένετο, εἴ τις ὀρθῶς ἐθέλοι ἰητρεύειν. ἀλλ' οἱ ἄνθρωποι, αἰσχροὶ μὲν εἶναι πολλοῦ ἀποτιμῶσι· μελετᾶν δὲ ἅμα μὲν οὐκ ἐπίστανται, ἅμα δὲ οὐ τολμέουσιν, ἢν μὴ ὀδυνῶνται, ἢ θάνατον δεδίωσι, καίτοι ὀλιγοχρόνιος ἡ πώρωσις τῆς ῥινός. ἐν γὰρ δέκα ἡμέρῃσι κρατύνεται, ἢν μὴ ἐπισφακελίσῃ. ὁκόσοισι δὲ τὸ ὀστέον ἐς τὸ πλάγιον κατάγνυται, ἡ μὲν ἴησις αὕτη. τὴν δὲ διόρθωσιν δῆλον ὅτι χρὴ ποιέεσθαι, οὐχ ἰσόρροπον ἀμφοτέρωθεν, ἀλλὰ τό τε ἐγκεκλιμένον ὠθέειν ἐς τὴν φύσιν ἔκτοσθεν ἀναγκάζοντα, καὶ ἐσματτευόμενον ἐς τοὺς μυκτῆρας, καὶ τὰ εἴσω ῥέψαντα διορθοῦν ἀόκνως, ἔστ' ἂν κατορθώσῃ, εὖ εἰδότα, ὅτι ἢν μὴ αὐτίκα κατορθώσηται, οὐχ οἷόν τε μὴ οὐ διεστράφθαι τὴν ῥῖνα. ὅταν δὲ ἀγάγῃς ἐς τὴν φύσιν, προσβαλόντα χρὴ ἐς τὸ χωρίον, ἢ τοὺς δακτύλους, ἢ τὸν ἕνα δάκτυλον, ἢ ἐξέσχεν, ἀνακωχεύειν,

ἔχει, μήτε ἄλλως προσηνέα ἐστίν. ἐγὼ δέ ποτε πνεύμονος προβάτου ἀπότμημα ἐνέθηκα· τοῦτο γάρ πως παρέτυχεν, οἱ γὰρ σπόγγοι ἐντιθέμενοι, ὑγράσματα δέχονται.

B *data quæ odorem non movent, & alioquin mollia ſunt. Ego interdum fruſtum pulmonis ovilli conjeci, id enim fortè nactus ſum: nam ſi ſpongiæ indantur, humorem combibunt.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰ μὴ δυνατὸν, φησὶν, εἴη, ἐνθεῖναι τῇ ῥινὶ τοὺς δακτύλους, ὑπαλειπτρίῳ χρηστέον. ὀνομάζει δ' οὕτως, ὡς ἤδη πρόσθεν εἶπεν, ἅπαν ὅ, τι ἂν ὑπαλείφειεν, οἷαί περ εἰσὶ μῆλαί τε, καὶ σπαθομῆλαι, καὶ τὰ διαπύρηνα, κατὰ τὸ πέρας αὐτῶν ἔχοντα ταῦτα πάντα κεφαλὰς περιφερεῖς. ὥσπερ δὲ ἐν τῷ καίειν τὴν μασχάλην, ἐδεόμεθα λεπτοτάτου ὑπαλειπτρίου, οὕτω νῦν παχέος ἐστὶ χρεία, ὁπότε γε καὶ τοῖς δακτύλοις, ὅταν ἐγχωρῇ, χρώμεθα, κἂν ἐντιθῶμεν εἰς τοὺς μυκτῆρας ὅσοιπερ ἂν αὐτοῖς ἁρμόττωσιν, καὶ ὅσοι διαπλάττουσι τὸ κατεαγὸς μέρος τῆς ῥινός. ὅπως δὲ προσήκει χρῆσθαι τῷ ὑπαλειπτρίῳ, σαφῶς αὐτὸς ἐδίδαξεν, ἀνάγειν αὐτὸ κελεύσας οὐ κατὰ τὸ πρόσθεν μέρος τῆς ῥινός, ἀλλὰ καθ' ὃ μάλιστα καταπέπτωκεν εἰς τὴν κοιλότητα, τὸ κατεαγὸς αὐτῆς. ἐκεῖνο γάρ ἐστι τὸ καὶ τῆς μοχλείας δεόμενον, ἵνα ὑψωθὲν, εἰς τὴν κατὰ φύσιν ἀφίκηται χώραν. οὐδὲ γὰρ οὐδ' ἄλλο τι τὸ διαπλάττειν ἐστὶν ὁποιουοῦν μέρους, ἔξω ἢ τὴν οἰκείαν ἑκάστῳ τῶν μορίων αὐτοῦ ἀποδοῦναι χώραν. τὰ δ' ἐφεξῆς τούτων τῆς ῥήσεως, ἄχρι πολλοῦ, πάντ' ἐστὶ σαφῆ.

GALENI COMMENTARIUS.

Si nequeant, inquit, digiti in nares demitti, adhibendum eſt id inſtrumentum, quod nunc ſicut in ſuperioribus etiam, ὑπαλειπτρίον appellat; quo verbo intelligitur omne id, quo ad illinendum utimur, qualia ſunt ſpecillum, C ſpathæ, idque inſtrumentum, quod διαπύρηνον dicitur, quæ omnia in ſummo capitulum habent rotundum; ſed quemadmodum in ſuperioribus ad alæ uſtionem opus fuit tenuiſſimis, ita nunc plenioribus, quandoquidem & digitos, ubi licet, admovemus, & in nares conjicimus, eos nempè, qui aptantur, & qui fractam naſi partem componant. Qua ratione autem uti conveniat hoc inſtrumento, ipſe apertè expoſuit imperans, ut indatur in cavum, non in inferiorem partem naſi; ſed quà potiſſimum fracta pars in ejus cavum decidit; ea D ſiquidem eſt, quæ impulſu eget, ut excitata poſſit in ſuam ſedem reverti; nihil enim aliud eſt componere quamlibet partem, quam unamquamque ejus particulam in ſuum locum compellere. Quæ ſubjiciuntur, per magnam partem orationis plana ſunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

Ἔπειτα χρὴ Καρχηδονίου λειπὸν, πλάτος ὡς τοῦ μεγάλου δακτύλου τετμημένον, ἢ ὅκως ἂν ξυμφέρῃ, προσκολλῆσαι ἐς τὸ ἔκτοσθεν πρὸς τὸν μυκτῆρα τὸν ἐγκεκλιμένον, κἄπειτα κατατεῖναι τὸν ἱμάντα, ὅκως ἂν ξυμφέρῃ. μᾶλλον δὲ ὀλίγον τείνειν χρὴ, ὥστε ὀρθὴν καὶ ἀπαρτὶ τὴν ῥῖνα εἶναι. ἔπειτα, μακρὸς γὰρ ἔστω ὁ ἱμὰς, κάτωθεν τοῦ ὠτὸς ἀγαγόντα ἰθὺν, ἀναγαγεῖν περὶ τὴν κεφαλήν. καὶ ἔξεστι μὲν κατὰ τὸ μέτωπον προσκολλῆσαι τὴν τελευτὴν τοῦ ἱμάντος, ἔξεστι δὲ, μακρότερον ἄγειν, ἔπειτα περιελίσσοντα περὶ τὴν κεφαλὴν καταδεῖν. τοῦτο ἅμα μὲν δικαίην τὴν διόρθωσιν ἔχει, ἅμα δὲ εὐταμίευτον, καὶ μᾶλλον ἢν ἐθέλῃς, ἐς τοὐναντίον ἀντιρρόπησιν ποιῆσαι τῆς ῥινός. καὶ γὰρ ὁκόσοισιν ἐς τὸ πλάγιον ἡ ῥὶς κατάγνυται, τὰ μὲν ἄλλα ἰητρεύειν χρὴ, ὡς προείρηται. προσδεῖται δὲ τοῖσι πλείστοισι καὶ τοῦ ἱμάντος πρὸς ἄκρην τὴν ῥῖνα προσκολλῆσαι τῆς ἀντιρροπίης εἵνεκα. ὅσοισι δὲ, ἢν τὸ κάτηξις καὶ ἕλκεα προσγένηται, οὐδὲν δεῖ ταράσσεσθαι διὰ τοῦτο. ἀλλ' ἐπὶ μὲν τὰ ἕλκεα ἐπιτιθέναι πισσηρὴν, ἢ τῶν ἐναίμων τι, εὐδέχεται γὰρ τὰ τοιαῦτα· ὁμοίως κἂν ὀστέα μέλλῃ ἀπιέναι, τήν τε διόρθωσιν τὴν πρώτην, ἴκως χρὴ ποιέεσθαι μηδὲν ἐλλείποντα, καὶ τὰς διορθώσιας τοῖσι δακτύλοισιν ἐν

HIPPOCRATIS TEXTUS XLVII.

Ad hæc ex parte exteriori corii Carthaginenſis incidenda habena eſt, quæ vel pollicem lata ſit, vel quantum convenit: E *& extrinſecus naſo, quà declinatur, agglutinanda: poſt hæc intendenda eſt, quantum expedit, paulò autem magis quàm ut naſus dirigatur, intendi debet: tum ſub aure (longa enim eſſe habena debet) ſurſum circa caput adducenda. Licet autem fronti extremam agglutinare: licet & ulterius ferre, & circa caput volutam vincire: hæc ſiquidem juſtè naſum dirigit, & intendi & remitti poteſt, atque ubi velis, naſum in contrariam partem, ac jacet, magis aut minus repellere. Nam & quibus à latere* F *naſus abrumpitur, in cæteris eadem curatio convenit, quæ propoſita eſt: pleriſque autem opus eſt naſo extremam habenam agglutinare, ut in contrariam partem repellatur, atque inclinet. Quòd ſi fracturæ ulcus accedit, nihil ſollicitare nos debet; ſed nutriendum eſt cerato, quod picem habeat, vel aliquo ex iis medicamentis, quæ protinus cruentis vulneribus injiciuntur; hæc ſiquidem facile curationem admittunt. Æquè etiam ubi oſſa receſſura ſint, primo dirigere aſſiduè convenit, nulla re prætermiſſa, & in poſterum digitis compellere laxius ſuperdatis,*

DE AVRE.

HIPPOCRATIS TEXTUS XLVIII.

IN fractura auris quodlibet vinculum inimicum est, neque enim ita laxum circundabitur: quod si magis astringatur, plurimum afficiet, quandoquidem integra auris sub vinculo astricta dolet, pulsu vexatur, atque inflammatione.

GALENI COMMENTARIUS.

VBi continuum solvitur Græcè in carne ἕλκος appellatur, in osse κάταγμα: in cartilagine non habet proprium vocabulum, sed eam fracturam Hippocrates abusus κατάγματος nomine nuncupavit.

HIPPOCRATIS TEXTUS XLIX.

SEd & cataplasmata, quæ maximi oneris sunt, penitùs aliena sunt: pleraque etiam noxia sunt, atque abscessum concitant, & mucos plurimos, suppurationemque infestam reddunt: quibus minime opus est auri comminutæ.

GALENI COMMENTARIUS.

OMnia sigillatim iis consentanea sunt, quæ ostendimus in libro de ratione curandi; namque Hippocrates etiam nunc lædi aurem asserit cataplasmate, quod experimento conspicitur, abundè enim siccari eam voluit, quum naturâ siccissima sit, eo quod ex cute constet & cartilagine. Ostensum autem est unamquamque partem, quatenus siccior est, catenùs sicciorem curationem requirere.

HIPPOCRATIS TEXTUS L.

PRoxima quidem est, modò quid superimponi conveniat, farina glutinosa. Hæc autem

ΠΕΡΙ ΩΤΟΣ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη'.

ΗΝ δὲ οὖς καταγῇ, ἐπιδέσιες πᾶσαι πολέμιαι· οὐ γὰρ οὕτως χαλαρῶς περιβάλλοι. ἢν δὲ μᾶλλον πιέζῃ, πλέον κακὸν ἐργάσεται, ἐπεὶ καὶ ὑγιὲς οὖς ἐπιδετὸν πιεχθὲν, ὀδυνηρὸν, καὶ σφυγματῶδες, καὶ πυρετῶδες γίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗς συνεχείας ἡ λύσις, ἕλκος μὲν ἐν σαρκώδει μορίῳ, κάταγμα δὲ ἐν ὀστῷ καλεῖται. τὸ δὲ ἐν χόνδρῳ γινόμενον οὐκ ἔχον ἰδίαν προσηγορίαν, καταχρησάμενος ὁ Ἱπποκράτης τῷ κατάγματος ὀνόματι προσηγόρευσεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μθ'.

ΑΤὰρ καὶ τὰ ἐπιπλάσματα, κάκιστα μὲν τὰ βαρύτατα ἐπίπαν, ἀτὰρ καὶ τὰ πλεῖστα φλαῦρα, καὶ ἀποστατικὰ, καὶ μύξας τὸ ἐπίπαν πλείω, κἄπειτα ἐκπυήσιας ἀτερπέας, τούτων δὲ οὖς ἥκιστα καταγὲν προσδεῖται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΙς ἀπεδείξαμεν ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ, τὰ κατὰ μέρος ὁμολογεῖται πάντα. καὶ γὰρ καὶ νῦν ἐπὶ τῶν ἐπιπλασμάτων, βλάπτεσθαί φησι τὸ οὖς ὁ Ἱπποκράτης, ὥσπερ καὶ φαίνεται διὰ τῆς ἐμπειρίας. ἱκανῶς γὰρ βούλεται ξηραίνεσθαι δεῖν, ὅτι ξηρότατόν ἐστι τὸ σῶμα ἔχον ἀπὸ χόνδρου καὶ δέρματος συγκείμενον. ἐδείχθη δὲ ἕκαστον μόριον, εἰς ὅσον ἂν ξηρότερον, εἰς τοσοῦτο τῆς ξηραντικωτέρας ἀγωγῆς δεόμενον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ν.

ΑΓχιστα μὲν, εἰ ἐπιθεῖναι χρὴ, τὸ γλίσχρον ἄλευρον, χρὴ δὲ μηδὲ τοῦ βάρος ἔχειν, φαίνεται δὲ ὡς ἥκιστα ξυμφέρει ἀγαθὸν

E[illegible] τὸ γλίσχρον ἄλευρον. ἔστι γὰρ δῆλον ὅτι τοῦτο τῶν ἄλλων ξηραντικώτερον· εἴρηται δὲ ὀλίγῳ ἔμπροσθεν ἡμῖν, ὁποῖον λέγει τὸ γλίσχρον ἄλευρον, ἡνίκα τὸν περὶ τῆς καταπλασσομένης ῥινὸς ἐποιεῖτο λόγον. ὁμοιότατον δὲ τούτῳ ποιοῦσι κατάπλασμα, τῇ πείρᾳ διδαχθέντες οἱ κατὰ παλαίστρας ἔχοντες, ἐκ τοῦ χόνδρου, βρέχοντες αὐτὸν ὄξει, μέχρι διοιδήσεως, καὶ οὕτως λεαίνοντες.

B [illegible] eſt, cataplaſma ex farina glutinoſa: conſtat enim hoc magis ſiccare, quàm alia; diximus autem paulò antè, ubi de illinendo naſo tractavit, qualem appellet farinam glutinoſam; huic ſimillimum cataplaſma conficiunt experimento edocti, qui in palæſtra verſantur, ex farre in aceto madefacto, dum maceretur, atque ita temperato.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

Ἢν δὲ καὶ εὐέμετος ᾖ, ἐμεῖν ἀπὸ συρμαϊσμοῦ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Συρμαϊσμοὺς δὲ ἐκάλουν οἱ παλαιοὶ τὰς μετρίας κενώσεις, εἴτε διὰ τῆς ἕδρας, εἴτε καὶ δι' ἐμέτων γίγνοιντο, τοιαύτας τινὰς κελεύει καὶ νῦν ποιεῖσθαι. πολλαὶ δ' ὗλαι τοῦτο περιεργάζονται· καὶ γὰρ μέλι πλεῖον ληφθὲν αὐτὸ, καὶ μελίκρατον ἀκρατέστερον, καὶ πτισάνης χυλὸς ἐξ ὕδατος ἑψημένος μόνον, καὶ αὐτὸς καθ' ἑαυτὸν, καὶ μετὰ μέλιτος· καὶ τούτων μᾶλλον ὁ ἀπὸ ῥαφανίδων ἔμετος, καὶ ὁ ἀπὸ ναρκίσσου βολβοῦ. μείζων δὲ τούτων, οὐ μὴν ἤδη γλίσχρος, ὅταν εἰς ῥαφανῖδας, ἐλλεβόρου λευκοῦ κάρφη πήξαντες, ἐν τῇ ὑστεραίᾳ τὰς ῥαφανῖδας διδῶμεν φαγεῖν, εἴτε μόνας, εἴτε καὶ δι' ὀξυμέλιτος.

HIPPOCRATIS TEXTUS LI.

C *Sed, ſi homo facile vomat, vomere debet, ut modicè exhauriatur.*

GALENI COMMENTARIUS.

Veteres appellabant *συρμαϊσμοὺς*, quùm modicè homo exhauriebatur, ſeu vomitu, ſeu dejectione; tale quid nunc fieri jubet eodem vocabulo uſus. Multa autem ſunt medicamenta, quæ hoc præſtant; nam & mel copioſè aſſumptum, & mulſa minus diluta, vel cremor priſanæ ex aqua decoctus, ſeu per ſe,
D ſeu cum melle: magis adhuc vomitum citat radicula, & bulbus narciſſi. His efficacior eſt, nondum tamen valens radicula, in qua ſurculos radicum veratri albi defixeris, data poſtridie, ſive per ſe, ſive ex oxymelle.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

Ἢν δὲ ἐς πύησιν ἔλθῃ, ταχέως μὲν οὐ χρὴ τομοῦν. πολλὰ γὰρ καὶ τῶν δοκεόντων ἐκπυΐσκεσθαι, ἀναπίνεταί ποτε, κἢν μηδέν τις καταπλάσσῃ.

HIPPOCRATIS TEXTUS LII.

Sed, ſi ad ſuppurationem veniat, non eſt celeriter aperienda: multa enim ex iis, quæ videntur ſuppurare, interdum abſorbentur, etiamſi
E *nullum cataplaſma inducatur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φυλάττεσθαι δὲ δεῖ, ἄτε μὴν διὰ τὸν ὑποκείμενον τῷ δέρματι χόνδρον· ἂν γὰρ μὴ ταχέως τμηθὲν, συναχθῇ τε καὶ κολληθῇ, κίνδυνός ἐστι λεπτυνθῆναι τὸν χόνδρον. ἀναπίνεται δὲ, τουτέστιν ἐκδαπανᾶται καὶ διαφορεῖται τὸ συνιστάμενον αὐτόθι πύον, ἐνίοτε διὰ τῶν ἔξωθεν ἐπιτιθεμένων, ἁπλῶν καὶ κούφων φαρμάκων, ὅσα ξηραίνειν ἀδήκτως πέφυκεν, οἷόν ἐστι καὶ ἡ τοῦ κοχλίου μύξα, μετὰ λιβανωτοῦ, καὶ εἰ δέοι ξηραίνεσθαι σφοδρότερον, ἤτοι μετ' ἀλόης, ἢ μετὰ σμύρνης, ἢ μετ' ἀμφοῖν. οὕτως δὲ καὶ μέλι καταχριόμενον Ἀττικὸν, ἐπιπασσομένου λείου, τῶν εἰρημένων ἑκάστου ξηραντικόν ἐστι τὸ φάρμακον. ἄδηκτον δὲ λέγω, τόν τε λιβανωτὸν, καὶ τὴν ἀλόην, καὶ τὴν σμύρναν.

GALENI COMMENTARIVS.

Cavendum eſt, ne auris incidatur ob cartilaginem cuti ſubjectam; nam, niſi ubi inciſa eſt, conſolidetur & glutinetur, periculum eſt, ne cartilago obeſa reddatur. Abſorberi (quod *ἀναπίνεσθαι* dixit) hoc eſt, diſcuti, ac digeri pus ibi collectum: nonnunquam per ea, quæ ſuperimponuntur ſimplicia medicamenta, ac levia, ſine morſu ſiccandi
F vim habentia, cujuſmodi eſt mucus cochleæ, adjecto thure: ac, ſi valentiùs ſiccare opus ſit, vel aloe, vel myrrha, vel utriſque. Eodem modo ſiccare poteſt mel Atticum inunctum, inſperſo quovis ex propoſitis medicamentis, bene contrito; voco autem ſine morſu thus, aloen, & myrrham.

…ectum ſi res aliquot dies protrahatur, neque cutis à ſectione protinus coeat, & glutinetur.

C

HIPPOCRATIS TEXTUS LIV.

Sed ſi candenti ferramento non trajiciatur, incidere convenit, quod magis excedit, ſectione non admodum exigua.

GALENI COMMENTARIUS.

Ne quid ſuperſit puris, quo cartilago lædatur, incidi non parum jubet.

D

HIPPOCRATIS TEXTUS LV.

Quandoquidem pus ulterius invenitur, quàm quis exiſtimet.

GALENI COMMENTARIUS.

Decipiuntur, qui ſecant, in cognoſcendo pure, quod ſubjectum eſt, ita ut exiſtiment id in ſummo contineri, & cutem extenuatam eſſe. Quo pacto autem in hunc errorem incidant, ipſe Hippocrates proxime demonſtrabit.

E

HIPPOCRATIS TEXTUS LVI.

Verùm, ut ſummatim dicam, cætera quoque omnia quæ mucoſa ſunt, & mucos producunt, utpote glutinoſa, ubi tangantur, cito in hanc vel illam partem digitis elabuntur: quamobrem altiora hæc Medici reperiuntur, quàm exiſtiment.

F

GALENI COMMENTARIUS.

In dignoſcendo loco ſuppurante, ubi in affecta parte, quum tangenti moderate cedit, ſectione adhibita contentum pus invenitur, Medici quoque poſtquam eundem cedendi modum in quavis alia parte comprehenderint, putantes eam ſimiliter ſuppurare, ut illæ, quas prius intuiti fuerint, venientes ad ſectionem errant; iſque error interdum duplex eſt, & quod nullo modo ibi pus inveniatur, quùm

…ειαις χειρίσεσι, μετὰ δὲ τμηθῆναι μὴ συμφῦναι καὶ κολληθέντος τοῦ δέρματος εὐθέως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νδ'.

Ἢν δὲ μὴ πυρὶ καίηται, τάμνειν χρὴ τὸ μετέωρον, μὴ πάνυ σμικρὴν τομήν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἕνεκα τοῦ μηδὲν ἐμμεῖναι τοῦ πύου, καὶ βλάπτειν τὸν χόνδρον, ἀξιόλογον κελεύει ποιεῖσθαι τὴν τομήν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νε'.

Διὰ παχυτέρου μὲν, τὸ πύον εὑρίσκεται, ἢ ὡς ἄν τις δοκέοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κατὰ τὴν διάγνωσιν τοῦ περιεχομένου, γίνεταί πως τις ἀπάτη τοῖς ἀνατέμνουσιν, ὡς δοκεῖν ἤδη πολύ τι εἶναι αὐτὸ, καὶ λεπτύνεσθαι τὸ δέρμα. κατὰ δὲ τίνα τρόπον εἰς τὴν τοιαύτην ἀπάτην ἀφικνοῦνται, διὰ τῶν ἑξῆς αὐτὸς ὁ Ἱπποκράτης δηλώσει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νς'.

Ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν, καὶ πάντα τἄλλα τὰ μυξώδεα, καὶ μυξοποιὰ, ἅτε γλίσχρα ἐόντα ὑποθιγγανόμενα, διολισθαίνει ταχέως ὑπὸ τοὺς δακτύλους, ἔνθα καὶ ἔνθα, διὰ τοῦτο διὰ παχυτέρου εὑρίσκουσι τὰ τοιαῦτα οἱ ἰητροὶ, ἢ ὡς οἴονται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κατὰ τὰς διαγνώσεις τῶν ἐκπυϊσκομένων μερῶν ἐπειδὰν συμμέτρως πρὸς τὴν ἁφὴν, τὸ πάσχον σῶμα, διαιρεθὲν εὑρίσκεσθαι πύον ἔχον. ἐπειδὰν οὖν εὕρωσιν οἱ ἰατροὶ τὴν αὐτὴν ποσότητα τῆς εἴξεως, ἐπὶ πάντως ἄλλου μέρους, ὁμοίως ἐκπεπυηκέναι νομίζοντες τοῖς ἔμπροσθεν ἑωραμένοις, ἐπὶ τὸ τέμνειν ἀφικόμενοι, διαμαρτάνουσιν· ἐν ᾧ τι διττὴν ἁμαρτίαν, ὡς τὸ μηδ' ὅλως εὑρεῖν πύον ἐπὶ τόπον, διὰ τοῦ παχυτέρου πολλῷ

Ε... καὶ μυξώδεα ἔρχεται, πολλοὶ τεμνόμενοι, οἱ μὲν οὐ ῥεῦμα αἰθρήσιν ἐς τὸ διαῦτα. ἡ μὲν οὖν γνώμη τοῦ ἰητροῦ ἀπατᾶται, τῷ δὲ πράγματι τῷ τμηθέντι οὐδεμία βλάβη συμβαίνει. ὅσα δὲ δι' ὑδατώδεα χωρία ἐστὶν, ἢ μύξης πεπληρωμένα, καὶ ἐν οἵοισι χωρίοισιν ἕκαστα ἀνατεμνόμενα, ἢ κτείνει, ἢ κατ' ἄλλας βλάβας, περὶ τούτων ἐν ἄλλῳ λόγῳ γεγράψεται.

Q... licuntur, quùm humida ſunt, & mucoſa carne continentur à multis aperiuntur, inde fluxurum humorem putantibus. Medicum itaque in ſectione animus fallit: ſed ei qui ſectus eſt, nullum affertur detrimentum. Quæ autem loca aquoſa ſint, vel mucorum plena, quibuſve partibus ſingula, quæ aperiuntur, hominem interimant, vel alterius noxæ cauſa ſint, alibi exponentur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C

ΤΑ γὰρ χονδρώδη καὶ τὰ τοιαῦτα τὰ γαγγλία, καὶ συστροφά τινά εἰσι περὶ νεῦρα, τὴν θρέψιν ἐξ ὑγροῦ γλίσχρου τε καὶ μυξώδους ἐχόντων. τοιαύτη γὰρ ἡ οἰκεία τῶν νεύρων τροφή.

GALENI COMMENTARIUS.

HÆc enim ganglia circa cartilaginoſas partes, & circa nervos, ex horum alimento increſcunt, oriunturque ex humore glutinoſo, ac mucoſo: hoc enim eſt proprium nervorum alimentum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νη'.

ΟΤαν οὖν τάμῃ τις τὸ οὖς, πάντων μὲν καταπλασμάτων, πάσης δὲ μοτώσιος ἀπέχεσθαι χρή. ἐπιδεῖν δὲ, ἢ ἐναίμοις, ἢ ἄλλῳ, ὃ, τι μήτε βάρος, μήτε πόνον παρέξει.

HIPPOCRATIS TEXTUS LVIII.

D

VBi quis igitur aurem ſecuerit, abſtinere ab omni cataplaſmate, atque omni linamento debet, mederique, vel medicamentis, quæ protinus cruentis vulneribus injiciuntur: vel alio, quod neque onere lædat, neque moleſtiam afferat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠεὶ ξηρόν ἐστι μόριον τὸ οὖς, καὶ διὰ τοῦτο, τῶν ξηραινόντων δεῖται φαρμάκων, χρὴ μέντοι οὐ μέγαν τοῦ προσήκοντος αὐτὸ ξηραίνειν, ὅταν ἐπὶ τὸ τμηθὲν εὐθέως τὰ ξηραίνοντα περιστρέφωνται. πόνον γὰρ ἐργάζεται, μηδὲν ἔχοντα πραϋντικόν, ἀλλ' οὐδὲ βαρύνεσθαι χρὴ τὸ οὖς τῷ ἐπιτιθεμένων ὄγκῳ. καὶ γὰρ τὰ ὦτα γ' ὀδυνᾶσθαι, καὶ ἄλλα ἀπορεῖ. ἄριστον οὖν ἐστι χρῆσθαι φαρμάκοις, μετὰ τὸ συμμέτρως ξηραίνουσιν, οἷα τὰ ἔναιμα καλούμενα. τὰ γὰρ καταπλάσματα ἰσχνεῖ τι, καὶ θηλύνει μὲν ξηραίνοντα τὰς περιττὰς ὑγρότητας αὐτοῦ, καὶ μάλιστα γλίσχρας, καὶ παχείας οὔσας.

GALENI COMMENTARIUS.

E

AUris quia ſicca eſt, idcirco ſiccantia medicamenta requirit; non tamen plus juſto ſiccanda eſt, ubi à ſectione protinus medicamenta inducuntur, diſtendunt enim, quùm nihil habeant, quod leniat: Sed neque onerari auris debet mole eorum, quæ ſuperimponuntur, dolet enim & infeſtatur. Optimum eſt igitur à ſectione medicamentis uti, quæ modicè ſiccent, cujuſmodi ſunt, quæ cruentis vulneribus protinus injiciuntur. Cataplaſmata leniunt quidem, ſed reſolvunt, atque effœminant: ſuperantem verò humorem non diſcutiunt, præſertim quùm glutinoſus ſit & craſſus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νθ'.

ΗΝ δὲ ὁ χόνδρος ἄρξηται ψιλοῦσθαι, καὶ ὑποστάσιας ἴσχῃ πυώδεας, ἢ γλοιώδεας ὀχληρόν.

HIPPOCRATIS TEXTUS LIX.

F

NAmque ubi cartilago nudari incipiat, coitumque habeat purulentum ac mucoſum, res infeſtiſſima eſt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΡοσθεῖναι δὲ χρὴ τῇ λέξει τὸ ὀχληρόν, ὥσπερ καὶ προσγράφουσί τινες, ὡς εἶναι τὴν ὅλην γραφὴν τοιαύτην· ὅτε γὰρ ὁ χόνδρος ἄρξηται ψιλοῦσθαι καὶ ὑποστάσιας χρὴ ἰσχ. καλεῖ δὲ ὑποστάσεις τὰς ἔνδον μυλὰς τῶν

GALENI COMMENTARIUS.

ADjicere orationi oportet humeri, ſicut nonnulli adſcribunt, ut univerſa ſit hujuſmodi: namque ubi cartilago nudari incipiat, coitumque humorum habeat. Vocat autem ὑποστάσεις coitum humorum, qui intus

ΙΠΠΟΚΡΑΤΟΥΣ
ΤΟ ΠΕΡΙ ΑΡΘΡΩΝ ΒΙΒΛΙΟΝ,
ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟ
ΥΠΟΜΝΗΜΑΤΑ ΤΕΣΣΑΡΑ.

HIPPOCRATIS
DE ARTICULIS LIBER
ET GALENI IN EUM
COMMENTARII QVATVOR.

ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ.

ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΕ ΚΑΙ ΥΠΟΜΝΗΜΑΤΟΣ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Τὰ ἐξαρθρήματά τε καὶ λοιπὰ νοσήματα τὰ χειρουργούμενα λέγει, ὅταν ἡ ῥάχις, πλευρὰ, μηρὸς πάσχωσι.

COMMENTARIUS TERTIUS.

LIBRI ET COMMENTARII ARGUMENTUM.

Luxationes, ac reliquas noxas, quæ manu curantur, abſolvit, cum Spina, Coſta, aut Femur patitur.

ΠΕΡΙ ΣΦΟΝΔΥΛΩΝ τῶν κατὰ ῥάχιν.

A

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

Σφόνδυλοι δὲ οἱ κατὰ ῥάχιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ ὡς τὸ καθ' ἕτερον μέρος ἐν τῷ σώματι σφονδύλων ὄντων, προσθήσεται, τὸ κατὰ ῥάχιν· ἡ γὰρ ἁπάντων τῶν σφονδύλων σύνθεσις, ὀνομάζεται ῥάχις, ἀλλ' εἰ τὸ οὕτως ἔτυχεν εἰπὼν, σφόνδυλοι δὲ, οἷς ὑπάρχει τὸ κατὰ ῥάχιν εἶναι. Τισὶ μὲν τοι τῶν νεωτέρων ἰατρῶν,

DE SPINÆ VERTEBRIS.

HIPPOCRATIS TEXTUS I.

Spinæ autem vertebræ.

GALENI COMMENTARIUS.

Adjecit, ſpinæ, non quæ in aliis corporis partibus vertebræ reperiantur, omnium enim vertebrarum compoſitio vocatur ſpina, ſed quaſi ita dixerit: vertebræ, quarum ſitus eſt in ſpina. Quibuſdam tamen ex junioribus

Qui vero ex morbo trahuntur, ut gibbum efficiant.

GALENI COMMENTARIUS.

Gibbum dixit κυφὸν. Vocatur autem ſpina gibba, quum in poſteriorem partem convertitur, quod vitium ὀπισθοκύφωσιν Græce nominatur: ſicut curva, quando in priorem partem; dicitur autem hoc Græcè λόρδωσις: ſed σκολίωσις, cum depravatur a latere. Nonnulli autem exiſtimant ſpinam in poſteriorem partem perverti (quod vitium κύφωσιν quoque Græci nominant) ubi in ea fuerint cruda tubercula magna, dura, ac diuturna, quorum onere vertebræ in poſteriorem partem compellantur. Neque intelligunt, ſi ſupinus homo jaceat, non poſſe ſubjectas vertebras tuberculis onerari, neque etiam ſi ſtet, aut ſedeat, ac neque ſi in latus converſus cubet. Ad hæc abſurdum eſt, exiſtimare tubercula ad tantum pondus, ac duritiem pervenire, ut oſſibus graviora fiant, & duriora. ſed, & a crudis tuberculis ſpinam in priorem partem converti Hippocrates ipſe paulo poſt docebit. Illud item animadvertendum eſt, non ſolum eos, qui librum hunc exponunt: ſed Hippocratem in propoſitis nunc verbis dixiſſe, trahuntur, ut gibbum efficiant, quum dicere, potuiſſet, impelluntur, quemadmodum his placet. Abſurdum vero videbitur aſſerere vertebras, quæ in poſteriorem partem erumpunt, trahi à morbo in priorem: hoc ſiquidem magis proprium eſt illius vitii, ſub quo ſpina in interiorem partem convertitur. Quonam igitur pacto res vera ſit, quidque Hippocrates ſentiat, conabor exponere. Vertebrarum quidem oſſa per ſe, neque pervertuntur à tuberculis, neque trahuntur, ſed primum vitium eſt in iis corporibus, quibus vertebræ alligantur. Igitur, ubi ad vertebras tuberculum oriatur, cum in tumorem aſſurgit atque augetur, ab interiori ſive priori parte (utroque enim vocabulo appellatur, neceſſe eſt, ut tuberculum ſequantur ligamenta, atque hæc rurſus vertebræ. Itaque, ſi in una parte duntaxat tuberculum oriatur, ubi hæc in interiorem trahatur, ſpina in priorem partem convertetur: ſed ſi in duabus, ubi aliqua interjecta ſit inviolata, gibba evadet. Utroque enim tuberculo adjunctam vertebram trahente, quæ in medio ſunt, a poſteriori parte gibbæ fiunt. Quod evidenter intueri licet omnibus

Ὁσοισι μὲν ὑπὸ νοσημάτων ἑλκυσθαι ἐς τὸ κυφόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὀπισθοκύφωσις ὀνομάζεται, ἡ εἰς τοὐπίσω διαστροφὴ
C τῆς ῥάχεως, ὥσπερ ἡ μὲν εἰς τὸ πρόσω, λόρδω-
σις, ἡ δὲ εἰς τὰ πλάγια, σκολίωσις. εἰώθασι δέ τινες,
γίνεσθαι τὴν εἰς τοὐπίσω διαστροφὴν, ἣν δὴ καὶ κύφω-
σιν ὀνομάζουσι, φυμάτων ἀπέπτων συνισταμένων ἐπὶ τῆς
ῥάχεως, μεγάλων τε, καὶ σκληρῶν, καὶ χρονίων, ὑφ᾽ ὧν
βαρυνομένους ὠθεῖσθαι πρὸς τὴν ὀπίσω χώραν τοὺς σφον-
δύλους, οὐκ ἐννοοῦντες, ὅτι οὔτε κατακειμένων ὑπτίων,
ἐγχωρεῖ τοῖς φύμασι τοῖς ὑποκειμένοις ἑαυτοῖς βαρύνειν
σφονδύλους, οὔτε ὀρθῶν ἑστηκότων, οὔτε καθημένων.
ἀλλ᾽ οὐδ᾽ εἴ ποτε κατὰ τὴν πλευρὰν κλινόμεθα. πρὸς δὲ
D καὶ ἄλλως, ἐστὶν ἄτοπον, εἰς τοσοῦτον βάρος, ἢ σκληρό-
τητα ἥκειν τὰ φύματα νομίζειν, ὡς καὶ τῶν ὀστῶν βαρύτερα,
καὶ σκληρότερα γίγνεσθαι. ὅτι μὲν οὖν ὑπὸ φυμάτων ἀ-
πέπτων, εἰς τὸ ἔμπροσθεν ἀποτελεῖται διαστροφὴ
τῆς ῥάχεως, αὐτὸς ὁ Ἱπποκράτης ὀλίγον ὕστερον ἐρεῖ.
προσέχειν δὲ χρὴ τοῖς ἐξηγουμένοις τὸ βιβλίον, ἢ τούτῳ
μόνον, ἀλλὰ καὶ ὅτι κατὰ τὴν προκειμένην ῥῆσιν εἶπεν ἐς
τὸ κυφὸν ἕλκεσθαι, δυνάμενος εἰπεῖν, ὠθεῖσθαι, καθάπερ
οὗτοι ἔλεγον. ἔδοξε γε μὴν ἄτοπον εἶναι, τοὺς σφονδύλους
ὀπίσω μεθισταμένους, ὑπὸ νοσημάτων ἕλκεσθαι λέγειν εἰς
E τὸ πρόσω. τοῦτο γὰρ οἰκειότερον ἦν, ἐπὶ τῆς λορδώσεως
εἰρῆσθαι. τί ποτ᾽ οὖν ἐστιν ἀληθὲς ἅμα, καὶ πρὸς Ἱππο-
κράτην, ἤδη πειράσομαι δηλῶσαι. αὐτὰ μὲν τὰ τῶν σφον-
δύλων ὀστᾶ, κατὰ τὸν ἴδιον λόγον, οὔτ᾽ ἀνωθεῖσθαι πρὸς
τῶν φυμάτων, οὔθ᾽ ἕλκεται, τῶν δὲ συνδούντων αὐτοὺς
σωμάτων ἐστὶ τὸ πάθημα πρῶτον. ὅταν οὖν γεννηθησόμε-
νον γένηται τοῖς σφονδύλοις φῦμα, μετεωριζόμενον, καὶ
αὐξανόμενον πρὸς τὴν ἔσω, ἢ πρόσω χώραν, ἑκατέ-
ρως γὰρ ὀνομάζουσιν, ἀναγκαῖόν ἐστιν ἕπεσθαι τοῖς φύμα-
F σι τοὺς συνδέσμους, οἷς πάλιν αὖθις τοὺς σφονδύλους
ἀκολουθεῖν. ἐὰν μὲν οὖν κατὰ μίαν χώραν γένηται τὸ
φῦμα, τούτοις ἑλκομένοις ἐντὸς, ἡ λόρδωσις συμβαί-
νει τῆς ῥάχεως σφονδύλοις. ἐὰν δὲ κατὰ δύο, μεταξύ
τινος ἀπαθοῦς παρεμβαλλομένης χώρας, ἡ κύφωσις.
ἑκατέρου γὰρ τῶν φυμάτων, ἕλκεσθαι πρὸς ἑαυτὸ τὸν συνε-
χῆ σφόνδυλον, οἱ μέσοι κυρτοῦνται πρὸς τοὐπίσω. φαίνεται
δὲ ἐναργῶς εἰρῆσθαι τοῦτο συμβαῖνον ἐπὶ πάντων, ἴσα

σιν, κύφωσις, λόρδωσις, καὶ σκολίωσις. ἐπὶ τούτῳ δὲ τέταρτον γίνεται ἡ κύφωσις, εἰς τὰ πρόσω δὲ ἰόντων, ἡ λόρδωσις· ἐπὶ δὲ τὰ πλάγια ἐκκλινομένων, ἡ σκολίωσις· ἔξωθεν δὲ τούτων, ἡ σεῖσις καλουμένη, τὸ τέταρτον πάθος ἐστὶ τῶν ἐν τῇ ῥάχει σπονδύλων, ὅταν ἡ μὲν ἁρμονία κινῆται, κατὰ χώραν δὲ οἱ σπόνδυλοι μένωσιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ΄.

Τὰ μὲν πλεῖστα ἀδύνατα λύεσθαι, μάλιστα δὲ ὅσα ἀνωτέρω τῶν φρενῶν τῆς προσφύσιος, κυφοῦται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ ἄλλα μὲν, φησι, τὰ κατὰ ῥάχιν ἐστὶ δύσλυτα. μάλιστα δ' αὐτῶν, ὅσα ἀνωτέρω τῆς προσφύσιος κυφοῦται τῶν φρενῶν, τουτέστιν ἐν τοῖς κατὰ τὸν θώρακα σπονδύλοις. ὅτι δὲ οὕτως χρῆται τῇ φωνῇ, καὶ κατ' ἀρχὰς εὐθέως τοῦδε τοῦ βιβλίου δῆλόν ἐστιν, ἔνθα φησὶ καὶ γὰρ καὶ τὸ ἐπίπαν, ἀμείνων καὶ στερεωτέρη ἡ βραχεῖα πόα, τῆς βαθείης, ὅτι καὶ πρὶν ἀκμάσαι τὴν βαθεῖαν. διὰ τί δὲ μάλιστα δύσλυτα γίνεται τὰ κατὰ τὸν θώρακα φύματα, διὰ τῆς ἐπιφερομένης μαθήσῃ ῥήσεως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ΄.

Τὰ δὲ κατωτέρω μετεξέτερα λύουσι κιρσοὶ γενόμενοι ἐν τοῖσι σκέλεσι, μᾶλλον δέ τι ἐγγενόμενοι κιρσοὶ ἐν τῇ κατ' ἰγνύην φλεβί. οἷσι δ' ἂν τὰ κυφώματα ᾖ, λύονται. γίνονται δὲ καὶ ἐν τῇ κατὰ βουβῶνα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔνια, φησι, τῶν κατωτέρω τοῦ θώρακος παθῶν, τουτέστι τὰ κατ' ὀσφὺν, ὑπὸ κιρσῶν ἢ δυσεντερίας λύεται, μεταλαμβανομένων δηλονότι τῶν ἐργαζομένων αὐτὰ χυμῶν, εἰς πρώτην μὲν αὐτὴν τὴν ἐπὶ τῇ ῥάχει μεγίστην φλέβα. μετ' ἐκείνην δὲ, εἰς τὰς ἀπ' αὐτῆς ἀπιούσας ἐπὶ τὰ σκέλη. τοιαύτη δὲ οὐδεμία φλέψ ἐστι κατὰ θώρακα ἡ δυναμένη τοὺς χυμοὺς ὑποδέξασθαι [illegible]. μία μὲν γάρ ἐστιν ἡ τὰς ὀκτὼ πλευρὰς ἑκατέρωθεν φέρουσα, δύο δ' ἄλλαι μικραὶ, ταῖς ὑψηλαῖς τε τρέφουσαι ἐξ ἑκατέρου μέρους μία, πασῶν δ' αὐτῶν εἰς τὸν θώρακα καταμεριζομένων τε, καὶ διαλυομένων. εἰ δὲ μεταβάλλοιέν τινες χυμοὶ εἰς αὐτὰς, ἐκ τῶν φυμάτων ἐκκενοῦσθαι οὐ δύνανται, [illegible] [illegible] [illegible], γλίσχροι τέ εἰσι καὶ παχεῖς, ὥστε οὐ ῥᾳδίως εἰς τὰς στενὰς μεταλαμβάνονται φλέβας. ἡ δὲ κατ' ὀσφὺν φλέψ, εὐρυτάτη τ' ἐστὶ, καὶ πάσαις ταῖς κά-

quidem partem convertitur, κύφωσις, quum in priorem, λόρδωσις: quum in latus inclinat, σκολίωσις. Extra hæc, quartum vitium in ſpina incidit, quod σεῖσις vocatur, ubi vertebræ loco manent, ſed earum compago dimovetur.

HIPPOCRATIS TEXTUS III.

Plerumque ſolvi nequeunt, præcipuè. ubi ſpina ſupra ſepti tranſverſi conjunctionem gibba fiat.

GALENI COMMENTARIUS.

Nonnulla (inquit) quæ in ſpina incidunt, ægre ſolvuntur, præcipuéque, ubi ſupra eam regionem, qua cum ſepto tranſverſo conjungitur, gibba fiat, hoc eſt, in vertebris thoracis. Dixit autem ταῦτα, ſignificare volens præcipuè, quemadmodum etiam in principio hujus libri, quum inquit. omnino enim melior eſt, ac firmior exigua herba, quàm grandior, præcipue antequam ad maturitatem veniat, ubi verbum præcipuè dixit ταῦτα. Sed qua ratione ægrè tubercula ſolvantur, proximis verbis intelliges.

HIPPOCRATIS TEXTUS IV.

Infra verò quadam ſolvuntur, cùm varices in cruribus fiunt: illæ autem magis gibbam ſpinam ſolvunt, qui in vena poplitis oriuntur: fiunt etiam, & in venis inguinum.

GALENI COMMENTARIUS.

Quædam (ait) vitia infra thoracem, nempe ad lumbos, à varicibus, vel torminibus ſolvuntur, cum ſucci qui ea faciunt, primò ferantur in venam maximam ipſius ſpinæ, deinde in eas, quæ ab eadem diductæ ad crura intendunt. Hujuſmodi autem in thorace nulla vena eſt, quæ poſſit vitiatos ſuccos recipere, quandoquidem utrinque octo coſtis una alimentum ſubminiſtrat: ſed ſuperioribus, duæ aliæ tenues, ſcilicet ab utroque latere una: quæ omnes per thoracem diſtribuuntur, diſſipanturque. Idcirco, ſi ſuccus aliquis ad ipſas ex tuberculis transferatur, excerni non poteſt, præterquam quòd ægrè etiam admittitur. Succi enim, qui cruda, & dura tubercula faciunt, glutinoſi ſunt, & craſſi, quare non facile per tenues venas feruntur: ſed vena, quæ ad lumbos eſt, latiſſima eſt, & ſanguinem ad venas omnes

inferiores concurrunt, quæ anguſtiores ſunt. In univerſum autem in varicibus craſſus ſanguis continetur: nam id vitium plerumque à ſucco melancholico, interdum etiam ab aliis crudis craſſiſque concitatur.

θος ἐργάζονται, ποτὲ δὲ εἰς τὰς κατωτέρας χωροῦσιν, ὅσαι στενότεραι. παχὺ δὲ πάντως ἐν τοῖς κιρσοῖς ἐστι τὸ αἷμα, μελαγχολικῶν δ' ἐστὶ πλειστάκις τὸ πάθος. ἔστι δ' ὅτε ἑτέρων ὠμῶν καὶ παχέων χυμῶν.

HIPPOCRATIS TEXTUS V.

C

Solutum quoque jam id vitium eſt à torminibus diuturnis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛʹ.

Ἤδη δὲ ἴσον ἔλυσε καὶ ἡ δυσεντερίη πολυχρόνιος γενομένη.

GALENI COMMENTARIUS.

Ubi ſucci, qui præter naturam in corpore ſunt, ad inteſtina transferuntur, tormina fiunt, quùm abradantur inteſtina ob ſuccos acres, qui ad ipſa confluunt, nempè, ubi tubercula ſuppurant; neque enim aliter ob ſuam craſſitudinem confluere ad inteſtina potuiſſent. Sed in ſuppurationibus craſſi ſucci extenuantur, & naturam affectæ partis ad expellendum excitant id quod in ea contentum jam moleſtum eſt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅταν εἰς ἔντερα μετάληψις γένηται τῶν παρὰ φύσιν χυμῶν, ἐπὶ δυσεντερία, τῶν ἐντέρων ξυομένων τῇ δριμύτητι τῶν εἰς αὐτὰ συρρεόντων χυμῶν, ἐκπυϊσκομένων, δηλονότι τῶν φυμάτων. οὐδὲ γὰρ ἄλλως οὐδὲ συρρεύσειεν ποτ' εἰς ἔντερα, διὰ τὸ πάχος αὐτῶν. αἱ δ' ἐκπυήσεις λεπτύνουσί τε τοὺς παχεῖς χυμοὺς, καὶ τὴν ἐν τοῖς πάσχουσι μορίοις φύσιν ἐπεγείρουσιν εἰς ἀπόκρισιν ἀνιαρῶν ἤδη τῶν περιεχομένων χυμῶν.

D

HIPPOCRATIS TEXTUS VI.

Quibus verò adhuc pueris ſpina gibba fit, antequam corpus perfectè increſcat, his corpus ad ſpinam, non augetur: ſed crura, & brachia duntaxat perficiuntur; quæ ſunt ad ſpinam, non complentur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζʹ.

Καὶ οἷσι μὲν κυφοῦται ῥάχις παισὶν ἐοῦσι, πρὶν ἢ τὸ σῶμα τελειωθῆναι ἐς αὔξησιν, τούτοισι μὲν οὐδὲ συναύξεσθαι ἐθέλει κατὰ τὴν ῥάχιν τὸ σῶμα, ἀλλὰ σκέλεα μὲν, καὶ χεῖρες τελεοῦνται, ταῦτα δὲ ἐνδεέστερα γίνονται.

E

GALENI COMMENTARIUS.

Nihil mirum eſt, ſi in his morbis ſpina non increſcat, quemadmodum ſupra in luxatis tradidit, cùm inquit: quibus recondi non potuit. Nam & propter venas perverſas, & proptereaquod ægriùs membrum moveatur, naturaque in ejuſmodi affectibus langueat, læſæ partes neceſſariò deteriùs, quàm antè, nutriuntur. Quo fit, ut quæ jam perfectè increverunt, emarceſcant: quæ adhuc increſcunt, incremento juxta ſpinam prohibeantur. Sed, quæ à vitiatis partibus longius abſunt, ut brachia, & crura, ſine noxa omninò ſervantur: ea enim quæ ſic vitiata ſunt, non totum corpus; ſed ſolummodò proximas partes afficiunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐδὲν θαυμαστόν ἐστιν ἀναυξῆ γενέσθαι τὴν ῥάχιν, ἐν τοῖς τοιούτοις νοσήμασιν, ὥσπερ κἀπὶ τῶν ἐξαρθρημάτων, ἔμπροσθεν ἠκούσαμεν αὐτοῦ λέγοντος, ὧν ἡ ἔμπτωσις ἠπορήθη. διά γε γὰρ τὴν διαστροφὴν τῶν ἀγγείων, καὶ τὴν δυσκινησίαν, καὶ τὸν τῆς φύσεως κάματον, ὃν κάμνει κατὰ τὰ τοιαῦτα πάθη, χεῖρον ἢ πρόσθεν, ἀνάγκη τρέφεσθαι τὰ πεπονθότα μόρια. τοῦτο δὲ, ἐν μὲν τοῖς ηὐξημένοις ἤδη, καὶ τελείοις σώμασιν, ἰσχνότερα ποιεῖν εἴωθε τὰ μόρια, τοῖς δ' ἔτ' αὐξανομένοις, ἡ αὔξησις ἐμποδίζεται τῆς κατὰ ῥάχιν. ὅσα δ' ἀπωτέρω τῶν πεπονθότων ἐστὶν, οἷον αἱ χεῖρες, καὶ τὰ σκέλη, παντάπασιν ἀβλαβῆ διαμένει. συμπάσχει γὰρ οὐχ ὅλον τὸ σῶμα τοῖς οὕτω πεπονθόσιν, ἀλλ' ὅσα πλησίον ἐστὶ μόρια.

F

πνεῦσαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. B

Ἐπεὶ τὸ ἔτι ἐν αὐξήσει λόγῳ ποιεῖται, περὶ ὧν προείρηκεν, ἔτι οὐχὶ συναύξεται τὰ κατὰ τὴν ῥάχιν αὐτοῖς. ὅταν οὖν ἐν τοῖς κατὰ τὸν θώρακα σφονδύλοις τὸ κύφωμα γένηται, μάλιστα τούτοις ἀναυξητέα ἀποτελεῖται κατὰ τὸ μῆκος. ἔκ τε οὖν τούτων, καὶ ὅτι κατὰ τὸ κυφὸν εἰς τοὐπίσω μετάστασις ἐγένετο τῶν σφονδύλων, ἀναγκαῖόν ἐστι, στενὸν καὶ ὀξὺν αὐτοῖς γίνεσθαι τὸν θώρακα, καὶ κατὰ τοῦτο, καὶ τὰς ἐντὸς κοιλίας, τὰς ὑποδεχομένας τὸ πνεῦμα μικροτέρας, ὥστε καὶ τοῦ πνεύματος, ὅταν ἀναπνέωσιν, ἐλάττονος ἀπολαύειν τὸ σῶμα. λέλεκται δὲ κἀν τοῖς περὶ δυσπνοίας, ὡς ἀναγκαῖόν ἐστιν, ἔνθα τῆς χρείας ἔλαττον εἰσπνεῖν γένηται, τὴν ἐφεξῆς αὐτῇ, τὴν δευτέραν, μετ᾽ ἐλάττονα χρόνον, ἢ εἰ κατὰ φύσιν ἡ προτέρα, ποιήσασθαι τὴν ἀρχήν. τὸ δὲ μετ᾽ ἔλαττον καὶ πυκνὸν ἐργάζεται τὸ πνεῦμα, καὶ τοῦτο τὸ τῆς δυσπνοίας εἶδος συνίσταται, τὸ κατὰ μικρότητα, καὶ πυκνότητα. κερχνώδεις δὲ γίνονται, διότι τὴν κατὰ τὸν φάρυγγα καὶ τραχείαν ἀρτηρίαν μορίων στενότητα. συναύξει δὲ ταύτην τὴν στενότητα, καὶ τοῦτο, περὶ οὗ κατὰ τὴν ἑξῆς ῥῆσιν διδάσκει. C

GALENI COMMENTARIUS.

De iis agens, quæ adhuc increſcunt, dixit, quæ juxtà ſpinam ſunt, his augeri non conſueſſe: Ergo, ubi ſpina gibba fiat in vertebris thoracis, hæ maximè increſcere in longitudinem prohibentur. Hac igitur de cauſa, & illa etiam, quòd vertebræ, cùm ſpina gibba ſit, in poſteriorem partem convertantur, neceſſe eſt thoracem anguſtum reddi, atque acutum: & idcircò interiora cava, quæ ſpiritui accommodantur, minora effici, ut, ſic ubi ſpiritum attrahunt, corpus minori modo ipſius fruatur. Diximus autem, & in libro de difficultate ſpiritus, ubi is minus attrahatur, quàm opus ſit, neceſſe eſſe breviori temporis intervallo proximè rurſus attrahi, quàm ſi priùs ſecundùm naturam attrahi cœpiſſet. Spiritus autem, qui breviori intervallo attrahitur, creber redditur, in quo conſiſtit id genus difficultatis, ſub quo & exiguus, & creber cooritur. Sonus autem adjicitur, ob anguſtiam juxtà fauces, & aſperam arteriam. Auget anguſtiam hanc id, quod proximè ſubjicit.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η´.

Καὶ μέντοι καὶ ἀναγκάζονται, κατὰ τὸν μέγαν σφόνδυλον, λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς ἡ αὐτοῖσιν ἡ κεφαλή. στενοχωρείην μὲν οὖν πολλὴν τῇ φάρυγγι παρέχει καὶ τοῦτο ἐς τὸ εἴσω ῥέπον. καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύσει, δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἢν ἔσω ῥέψῃ ἐς τ᾽ ἂν ἀναπιεσθῇ. διὰ οὖν τὸ τοιοῦτον σχῆμα, ἐξεχέβρογχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται ἢ ὑγιέες.

HIPPOCRATIS TEXTUS VIII.

Atqui coguntur etiam cervices juxta magnam vertebram in priorem partem convertere, ne caput in eandem projiciatur, hoc autem fauces reddit admodum anguſtas: nam iis etiam, qui naturâ recti ſunt, id oſſis, ſi in interiorem partem inclinetur, ſpiritus difficultatem affert, dum repellatur. Ob id igitur, quòd ita figurentur, guttur his hominibus magis extare videtur, quàm benè valentibus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. E

Εἰς τἀναντία ἐχόντων τῶν κατὰ τὸν θώρακα σφονδύλων, εἰς τὴν ὀπίσω χώραν μεταστάντων, ἐν τοῖς κυφώμασιν, ἀναγκαῖόν ἐστιν, ὅλον τὸν τράχηλον εἰς τὸ πρόσω ῥέπειν, ὥστε καὶ τὴν κεφαλήν, ἐπίκειται γὰρ τούτῳ, κατ᾽ εὐθὺ τοίνυν συμβήσεται τοῖς κυφοῖς ἐν τοιούτῳ σχήματι βαδίζειν, ἐν ᾧ οἱ πάντες, ὅταν ἐπινεύσωμεν ὅλον τὸν τράχηλον ἅμα τῇ ῥάχει, καὶ κάμψαντες ἄμφω, καὶ κυρτώσαντες εἰς τοὐπίσω, κάτω βλέπομεν εἰς τὴν γῆν. ὅπως οὖν μὴ πάσχωσιν οἱ κυρτοὶ τοῦτο, τὸν τράχηλον ἀναγκάζονται πρὸς τοὐπίσω, τοῖς αὐτῶν σφονδύλοις ὀλίγον εἰς τοῦτο συντελοῦσιν, ὡς ἂν ἐλαχίστην ἔχουσι τὴν κίνησιν· ἵνα μάλιστα ταύτην ἀξιόλογον ὑπείκουσιν, ἐνταῦθα πλεῖστον ἀνακλῶσιν. ὑπείκουσι δὲ κατὰ τὴν τῶν πρώτων δυοῖν σφονδύλων διάρθρωσιν, ἣν πρὸς ἀλλήλους, καὶ τὴν κεφαλὴν ἔχουσιν. ὥσπερ οὖν τοῖς ἀπαθέσιν, ἄγουσιν εἰς ὀπίσω τὴν κεφαλὴν γίνεται σχῆμα, κατὰ τὴν διάρθρωσιν αὐτῆς, τοῦτο τοῖς κυφοῖς F

GALENI COMMENTARIUS.

Cum vertebræ, quæ ad pectus ſunt, ubi gibba ſpina fit, in poſteriorem partem ſpectent, neceſſe eſt collum in priorem converti, quare & ipſum caput illi etiam è regione ſuperimpoſitum eſt. Accidet igitur iis, qui gibbi ſunt, ambulare ita figuratis, ſicut cæteris omnibus, cùm totum collum ſpinamque inclinant, & utrumque curvantes à poſteriori parte gibbi terram ſpectant. Quod ut evitent, qui gibbi ſunt, coguntur collum in poſteriorem partem recurvare, ejus vertebris, ut quæ minimùm moventur, ad hoc parum conferentibus: ſed, quà potiſſimum moveri aliquid poſſunt, valde recurvantur: poſſunt autem quà duæ primæ vertebræ inter ſe & cum capite committuntur. Quemadmodum igitur figurantur juxtà capitis commiſſuram illi, qui benè valentes caput in poſteriorem partem compellunt, ita

conjicere magnam vertebram appellari ſecundam, quæ magis poteſt in priorem partem urgeri, atque inde rurſus repelli. Conſtat autem eandem regionem, & priorem, & interiorem, ab ipſo vocari: priorem quidem, quùm vertebræ à poſteriori parte in eam erumpant: interiorem, quùm ſit in profunditate corporis, ſi ſpectetur ſumma pars, ſive prior, ſive poſterior. C

HIPPOCRATIS TEXTUS IX.

His tubercula plerumque circa pulmonem ſunt, eaque dura, & cruda: pleriſque enim ejuſmodi tumores ſunt cauſa gibbi, & diſtentionis, quibus nervi afficiuntur.

GALENI COMMENTARIUS.

D Quibus ſpina ſupra ſeptum tranſverſum gibba eſt, his plerumque ait tubercula fieri circa pulmonem: conſtat autem, & quibus ad lumbos gibba fit, in his ea parte tubercula verſari. Dixit, plerumque, proptereaquòd & caſu & ictu ſpina gibba redditur, & tum in priorem partem, tum in latus convertitur. Ac cum inquit: plerumque enim ejuſmodi tumores cauſa gibbi ſunt, & diſtentionis, eandem ſententiam tradit, quam à principio, cùm ait, ſpinæ vertebræ, quibus ob morbos trahuntur, E ut gibbum efficiant. Quod autem nunc ſcribit, quibus proximi nervi afficiuntur, ad nervos dorſi refertur, ac vertebrarum. Nos vero anteà cauſam ſumus vertebrarum ligamenta attrahentia, quibus cum & ipſæ vertebræ trahuntur. Non enim arbitramur nervos, qui à ſpinæ medulla oriuntur, attrahere ſecum vertebras poſſe, cùm & propter exiguitatem, & propter mollitiem longè imbecilliores ſint, quàm ut præſtare id poſſint: quippe, qui ab oſſibus non dependent, quemadmodum ligamenta, quæ F firmiora ſunt, & nervis [illegible], ſi tuberculis afficiantur, ſecum trahere vertebras poſſunt.

HIPPOCRATIS TEXTUS X.

Verum ex his, quibus [illegible] ſepto tranſverſo gibba ſpina eſt, [illegible], & veſicæ [illegible] ad ilia, & in-

[illegible] σφονδύλων, [illegible] ἔχειν, [illegible] εἶτ' αἴ τις, μέγαν σπόνδυλον ὀνομάζειν αὐτὸν, τὸν δεύτερον, ὃς χωρῆσαι μάλιστα δυνάσθαι πρόσω, καὶ πάλιν ἐν-[illegible] αὐτὴν [illegible]. πρόδηλον δ' ὅτι καὶ τὴν αὐτὴν χώραν, τὴν πρόσω καὶ ἔσω κέκληκεν· πρόσω μὲν, ὡς βαίνοντα ἐκ τῶν ὀπίσω μερῶν εἰς αὐτὴν σφόνδυλον, ἔσω δ', ὅτι κατὰ τὸ βάθος ἐστὶ τοῦ σώματος, εἰ μή τι πρὸς τὴν ἔσωθεν ἐπιφάνειάν τις, ἐάν τε πρὸς τὴν ὀπίσω σκοπῇ. C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ θ΄.

Φυμάτιά τε, ὡς ἐπὶ τὸ πολὺ, κατὰ τὸν πνεύμονά εἰσι τοῖσι τοιούτοισι, σκληρὰ φυμάτων καὶ ἄπεπτα. καὶ γὰρ ἡ πρόφασις τῆς κυφώσιος, καὶ ἡ ξυντάσις τοῖσι πλείστοισι, διὰ τὰ τοιαῦτα συστρέμματα γίνεται, ἦσιν ἂν κοινωνήσωσιν οἱ τόνοι, οἱ πλησίοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Οἷς ἐν τοῖς ἄνω τῶν φρενῶν ἐστι τὸ κύφωμα, τούτοις κατὰ τὸν πνεύμονα, τὰ φύματα φησὶν ὡς ἐπὶ τὸ πολὺ γίνεσθαι. δῆλον δ' ὅτι καὶ οἷς ἐν ὀσφύϊ τὸ κύφωμα ἢ, καὶ τούτοις ἐνταῦθα τὰ φύματα συνίσταται. ὡς ἐπὶ τὸ πολὺ δ' εἶπεν, ἐπειδὴ καὶ κατὰ τὰς [illegible], [illegible] πληγὴν, κυφοῦται ῥάχις, [illegible] καὶ λορδοῦται, καὶ σκολιοῦται. [illegible] καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος, καὶ ἡ ξυντάσις, τοῖσι πλείστοισι διὰ τὰ τοιαῦτα συστρέμματα γίνεται, τὴν αὐτὴν γνώμην ἐνδείκνυται κατ' ἀρχὰς, ὁπότε λέγει. σφόνδυλοι δὲ, οἱ κατὰ ῥάχιν, [illegible] νοσήματος E [illegible] εἰς τὸ κυφοῦσθαι. τὸ δ' ἐν τῇ [illegible] λελεγμένην, ἦσιν δ' ἂν κοινωνήσωσιν οἱ τόνοι, οἱ ξυνεγγύς, [illegible] τοὺς νεύρους τοὺς διαφοροῦς [illegible], κατὰ τὴν [illegible], καὶ τοὺς σφονδύλους. ἐγὼ δὲ πρόσθεν [illegible] τοὺς συνδέσμους τῶν σφονδύλων [illegible], ἑαυτοῖς συνεπισπᾶσθαι καὶ αὐτοὺς τοὺς σφονδύλους. οὐ γὰρ [illegible] τὰ ἀπὸ [illegible] νωτιαίου [illegible], [illegible] τοῦ φύματος, ἑαυτοῖς δύνασθαι συνεπισπᾶσθαι τοὺς σφονδύλους. καὶ γὰρ ἀσθενέστερα πολὺ τῆς [illegible] δυνάμεώς ἐστι, διά τε σμικρότητα, καὶ μαλακότητα, διό καὶ [illegible] F ἐκ τῶν ὀστῶν, ὥσπερ οἱ σύνδεσμοι. ῥωμαλεώτεροι γὰρ ὄντες [illegible], καὶ [illegible] τοῖς [illegible]. οἱ δ' ἂν κακωθῶσι τοῖς φύμασι, δύναιντ' ἂν ἐπισπᾶσθαι τοὺς σφονδύλους.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι΄.

Ὅσοισι δὲ κατωτέρω τῶν φρενῶν τὸ κύφωμα ἐστι, τούτοισι [illegible] μὲν ἐνίοισι [illegible], καὶ κατὰ κύστιν, [illegible] ἐς [illegible], καὶ κατὰ κενεῶνας, καὶ

σιν τῷ ἐργαζομένῳ ἢ φύματα χυμῶν γινόμενα περιστέλλει τὴν κύφωσιν. ὅσα δὲ κατὰ συμπάθειαν γίνεσθαι νοσήματα, τούτων οὐδέν ἐστι λυτικὸν τῶν ἐξ ἀρχῆς παθῶν. B

tur. Totumia igitur, & varices, quorum cauſa erat ſaccorum tubercula excitantium tranſfuſio, gibbum curant: ſed ex iis malis, quæ conſenſus cauſâ oriuntur, nullum eſt, quod priorem morbum depellat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια΄.

Ἰσχία δὲ τούτοισιν ἀσαρκότερα γίνεται, ἢ τοῖσιν ὄπισθεν κυφοῖσι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἷς κατ' ὀσφὺν ἐστὶ τὸ κύφωμα, τούτοις ἰσχία μᾶλλόν ἐστιν ἄσαρκα, τῶν κατὰ θώρακα κυφῶν. ἐκ τούτου δὲ δῆλον, ὡς καὶ τοῖς κατὰ θώρακα κυφοῖς, ἄσαρκα μετρίως γίνεται τὰ κατ' ἰσχίον, ὡς ἂν κοινωνοῦντα τῇ ῥάχει. C

HIPPOCRATIS TEXTUS XI.

His autem coxæ extenuantur, magis quàm quibus ſpina ſupra gibba eſt.

GALENI COMMENTARIUS.

Quibus ſpina ad lumbos gibba eſt, his coxæ graciliores ſunt, quam quibus ad pectus. Hinc autem manifeſtum eſt coxas, quibus ſpina ad pectus gibba eſt, graciles modicè reddi propter conſenſum quem habent cum ſpina.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ΄.

Ἡ μὲν τοι σύμπασα ῥάχις, μακροτέρη τούτοισιν, ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν. D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῖς μηδέπω τελείοις κατὰ τὴν ἡλικίαν, πρὸς τῇ κοινῇ τῆς ἀτροφίας, ἔτι καὶ ἀναύξητα τὰ πεπονθότα μόρια γίνεται, καθότι καὶ πρόσθεν ἐρρέθη. νυνὶ δὲ, προστίθησιν ἄλλην διαφορὰν, οὐκ ἀπὸ τῆς ἡλικίας, ἀλλ' ἀπὸ τῶν πεπονθότων μορίων. ὅσῳ γὰρ ἐν ἀρχῇ μᾶλλον ἑαυτῆς ἡ ῥάχις πάθῃ, τοσούτῳ μᾶλλον ἀναυξέστερα γίνεται, διότι τῆς γενέσεως αὐτῇ, καὶ τῆς αὐξήσεως ἄνωθεν ἐστίν. E

HIPPOCRATIS TEXTUS XII.

Tota autem ſpina longior his eſt, quàm quibus à ſuperiori parte gibba eſt.

GALENI COMMENTARIUS.

His qui ætate nondum robuſtâ ſunt, præterquàm quod communis eſt macies, accedit quòd affectæ partes non augentur, quemadmodum & anteà dictum eſt: Nunc diſcrimen aliud adjungit, non ab ætate, ſed à locis affectis: nam ſpina, quò magis verſus ſuum initium vitiatur, eò minus augetur, cùm habeat & originem, & incrementum ſupernè.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ΄.

Ἥβη δὲ, καὶ γένειον βραδύτερα, καὶ ἀτελέστερα, καὶ ἀγονώτεροι ἔτι τῶν ἄνωθεν κυφῶν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῷ κοινῷ λόγῳ τῆς συμπαθείας, προσέρχεται διαφορὰ κατὰ τὴν τῶν τόπων φύσιν. ὁ μὲν οὖν κοινὸς λόγος ἐστὶ, τὰ πλησιάζοντα, τοῖς πεπονθόσι συμπάσχειν. ἴδιος δὲ ἔνθα μὲν ἀναπνευστικὰ μόρια, δυσπνοωτέρους γίνεσθαι τοὺς πάσχοντας, καὶ κερχνώδεις. ἔνθα δὲ τὰ κατωτέρω τῶν φρενῶν, γίνεται βραδυτέρα ἡ ἥβη. ἔπεται δὲ ταύτῃ, καὶ ἡ κατὰ τὸ γένειον βλάβη. F

HIPPOCRATIS TEXTUS XIII.

Pubes autem & barba ſerius increſcit, & minus completur; minus item fœcundi ſunt, quàm quibus gibba eſt pars ſuperior.

GALENI COMMENTARIUS.

Ad communem rationem conſenſus accedit differentia ex natura locorum. Communis igitur ratio eſt, ut quæ vitiatis locis proxima ſunt, conſenſu afficiantur: propria autem, ut ubi hæ partes læduntur, quæ ſpiritui accommodantur, ſequatur, ut ſpiritus ægrè, & cum ſono moveatur: ubi, quæ infra ſeptum tranſverſum, pubes ſerius increſcat, lædaturque etiam barba.

pelluntur, videturque ex toto morbus ſummotus: ſuperſunt tamen reliquiæ parvæ, quæ irritantur, ſi quid, vel in ratione victus peccetur, vel noxium extrinſecus occurrat.

HIPPOCRATIS TEXTUS XV.

Multi quidem gibbi, facile, & non ſecus, quàm bene valentes, jam uſque ad ſenectutem id mali ſuſtinuerunt, præſertim quibus corpus carnis plenum, & pingue effectum eſt: pauci tamen ex iis ad ſexageſimum annum pervenerunt, pleri-que enim citius moriuntur.

GALENI COMMENTARIUS.

Ob validas vires, ob morbum levem, jamque ob univerſam victus rationem, qua vivunt, nonnulli gibbi quaſi ſani ad ſenectutem uſque vitam degunt.

HIPPOCRATIS TEXTUS XVI.

Nonnullis etiam vertebræ ab hac, vel illa parte in latus moventur. Hæc tamen, vel omnia, vel complura incidunt, eò quòd ſpina ab interiori parte depravetur.

GALENI COMMENTARIUS.

Anteà jam diximus ſpinam ad latus converti orto ab ejus latere tuberculo, quod ad ſe traheret ligamenta. Hoc Hippocrates fieri dixit διὰ τοὺς τόνους, ideſt, per nervos.

HIPPOCRATIS TEXTUS XVII.

Quoſdam etiam in id vitium compellit, unà cum morbo habitus ille, quo jacere conſueverunt.

GALENI COMMENTARIUS.

Concurrit ad ſpinam gibbam efficiendam, & quod materia magis confluat ad id, quod humilius eſt: & quòd pars, in quam quis cubat, magis comprimatur. Prima autem, & præcipua cauſa, & tuberculi, & cujuſlibet vitii, eſt partium natura morbo opportunior. Demonſtravimus enim ad ejuſmodi partes concurrere ea quæ ſuperant.

τὸ πάθος αἱρεῖσθαι παντάπασιν. ὑπολείπεσθαι μέντοι τι λείψανον βραχὺ παροξυνόμενον, ἐπί τε τοῖς ἐν τῇ διαίτῃ ἁμαρτήμασι, καὶ ἐν τῇ τῶν ἔξωθεν ἀπάτῃ βλαβερῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε′.

Πολλοὶ μέντοι ἤδη καὶ εὐφόρως ἤνεγκαν, καὶ ὑγιεινῶς, τὴν κύφωσιν, ἄχρι γήρως, μάλιστα δὲ οὗτοι, οἷσιν ἂν ἐς τὸ εὔσαρκον καὶ πιμελῶδες τραπῆναι τὸ σῶμα. ὀλίγοι μὲν ἤδη καὶ τῶν τοιούτων ὑπὲρ ἑξήκοντα ἔτη ἐβίωσαν, οἱ δὲ πλεῖστοι βραχυβιώτεροί εἰσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ ῥώμην φύσεως, καὶ τοῦ πάθους τὴν ἐπιείκειαν· ἤδη δὲ καὶ τὴν ὅλην δίαιταν, ἣν ὁ πάσχων διαιτᾶται, μέχρι γήρως ἔνιοι τὴν κύφωσιν ὑγιεινῶς ἤνεγκαν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ′.

Ἔστι δὲ οἷσι καὶ ἐς τὸ πλάγιον σκολιοῦνται σπόνδυλοι, ἢ τῇ, ἢ τῇ. πάντα μὲν, ἢ τὰ πλεῖστα, τὰ τοιαῦτα γίνεται διὰ συστροφὰς τὰς εἴσωθεν ῥάχιος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴπομεν ἔμπροσθεν ἤδη περὶ τῆς σκολιώσεως, ὡς γίνεται, κατὰ τὸ πλάγιον μέρος τῶν σπονδύλων συστάντος φύματός τινος, καὶ ἑλκύσαντος ἐπὶ ἑαυτὸ τοὺς συνδέσμους. τοῦτο λέγει δὲ καὶ ὁ Ἱπποκράτης, ὅτι διὰ τοὺς τόνους.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιζ′.

Προσξυμβάλλεται δὲ ἐνίοισι, σὺν τῇ νούσῳ καὶ τὰ σχήματα, ἐφ᾽ ὁποῖα ἂν ἐθισθέωσι κεκλίσθαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μέν τοι τὸ συῤῥεῖν μᾶλλον ὡς ἐπὶ τὸ ταπεινότερον. τὸ δέ τι καὶ τῷ θλίβεσθαι μᾶλλον, ἐφ᾽ ᾧ κατακεῖσθαί τις, εἰς τὴν τοῦ κυφώματος γένεσιν ἢ συντελεῖ γίνεται. πρώτη δὲ αἰτία, καὶ κυριωτάτη τῶν φυμάτων, καὶ τῶν ἄλλων νοσημάτων, ἡ φυσικὴ τῶν μερῶν εὐπάθεια· δέδεικται γὰρ εἰς τὰ τοιαῦτα μόρια συῤῥεῖν τὰ περιττά.

Πολλὰ μὲν κατὰ τὸ βιβλίον τοῦτο γράψαι ἐπηγγείλατο, μὴ συγγράμματα νῦν, ἃ ἤτοι μὲν, οὐδ' ὅλως ἐγράψεν, ἢ οὐκ ἐπὶ τὰ καθάπερ καὶ ἄλλα πολλὰ τῶν παλαιῶν βιβλίων οὐκ ἔτι σώζεται, περὶ ὧν τῆς ἀπωλείας, πολλοῖς γέγραπται. περὶ δὴ οὖν τῶν κατὰ πνεύμονα χρονίων, εἴρηται μὲν πολλὰ καὶ ἐν τῷ μείζονι περὶ παθῶν, οὗ ἐστιν ἡ ἀρχή, ἢν ἡ τοῦ πνεύμονος ἀρτηρίη ἑλκωθῇ. εἴρηται δὲ κἂν τῷ πρώτῳ περὶ νούσων, οὐκ ὀρθῶς ἐπιγεγραμμένῳ, οὗ ἡ ἀρχή, ὃς ἂν περὶ ἰήσιος ἐθέλῃ ἐρωτᾶν ὀρθῶς, καὶ ἐρωτώμενος ἀποκρίνεσθαι. ἀλλ' οὐδ' ἐν ἑτέρῳ τούτων, ἃ νῦν ἐπηγγείλατο τελέως διεξεισι. [illegible]

ΙΠΠΟΚΡΑΤΟΥΣ ῬΗΣΙΣ ιθ'.

Ὅσοισι δὲ ἐκ καταπτώσιος ῥάχις κυφοῦται, ὀλίγα δὴ τούτων ἐκρατήθη, ὥστε ἐξιθυνθῆναι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἄχρι νῦν ἔγραψε περὶ τῆς ἔξωθεν αἰτίας διαστρεφομένης ῥάχεως. ἔστι δὲ ἀπὸ τῆσδε τῆς ῥήσεως ἐφεξῆς γεγραμμένα πάντα, περὶ τῶν ἐκ καταπτώσεως, ἢ ὑπὸ πληγῆς, βλαπτομένων σπονδύλων, ὧν καὶ τὰ πλεῖστα σαφῆ, πλὴν εἴ πού δέοι τὴν παραλελειμμένην αἰτίαν προσθεῖναι, καθάπερ καὶ νῦν, τὸ ὀλίγα τῶν ἄχρι τελέας ἐξαρθρήματος ἐκτελεσθῆναι. καίτοι τούτου νῦν δυνάμενος τὴν αἰτίαν ἐν τοῖς ἐφεξῆς αὐτὸς ἐνδείκνυται, γιγγλυμοειδῶς εἰπὼν εἶναι σπονδύλους συγκεῖσθαι, ὥστ' εἰ καὶ πρὸς αὐτὸν καθ' ἓν ἐκπέσοι ἐκ τῆς ἕδρας, χαλεπώτατόν ἐστιν ἐμβιβάσαι. πολλαὶ μὲν ἀποφύσεις εἰσί, πολλαὶ δὲ κοιλότητες ἐν ἑκάστῳ. τοῦτο γὰρ καὶ δι' αὐτῆς τῆς ὄψεως, ἐπὶ τῶν ὀστῶν ἐμάθετε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ῬΗΣΙΣ κ'.

Τοῖσι μὲν γὰρ, αἱ ἐν τῇ κλίμακι κατασείσιες οὐδένα ἀπίθυναν, ὧν γε ἐγὼ οἶδα. χρέονται δὲ οἱ ἰητροὶ μάλιστα αὐτῇ οὗτοι, οἱ ἐπιθυμέοντες ἐκχαυνοῦν τὸν πολὺν ὄχλον. τοῖσι γὰρ τοιούτοισι ταῦτα θαυμάσιά ἐστιν, ἢν ἢ κρεμάμενον ἴδωσιν, ἢ ῥιπτεόμενον, ἢ ὅσα τούτοισιν ἔοικε, καὶ ταῦτα κληίζουσιν αἰεί, καὶ οὐκ ἔτι αὐτοῖσι μέλει, ὁκοῖόν τι ἀπέβη ἀπὸ τοῦ χειρίσματος, εἴτε κακὸν, εἴτε ἀγαθόν. οἱ μέντοι ἰητροὶ οἱ τὰ τοιαῦτα ἐπιτηδεύοντες, σκαιοί εἰσιν, ὧν γε ἐγὼ ἔγνων. τὸ μὲν γὰρ ἐπινόημα ἀρχαῖον, καὶ ἐπαινέω ἔγωγε σφόδρα τὸν πρῶτον ἐπινοήσαντα, καὶ τοῦτο καὶ ἄλλο πᾶν μηχάνημα ὅ τι κατὰ φύσιν ἐπενοήθη. οὐδὲν γάρ μοι ἄελπτον, εἴ τις καλῶς σκευάσας κατασείοι, κἂν ἐξιθυνθῆναι ἔνια. αὐτὸς μέντοι κατῃσχύνθην πάντα τὰ τοιαῦτα ἰητρεύειν οὕτω, διὰ τὸ πρὸς τῶν ἀπατεώνων μᾶλλον τοὺς τοιούτους τρόπους εἶναι.

[illegible] Multa quoque [illegible] tum ſe pollicetur, quæ nunc non extant.
B Ea tractaſſe, vel non ſcripſit, vel interierunt, quemadmodum & multa alia Antiquorum volumina, quæ nunc non extant, de quorum interitu complures ſcripſerunt. De diutinis igitur affectibus pulmonis multa habentur, & in majori libro de morbis, cujus initium eſt: Si pulmonis arteria exulceretur. Atque etiam in primo libro de morbis, qui non rectè ita inſcribitur, cujus initium eſt: Qui utique interrogare de curatione rectè velit, rogatuſque reſpondere. Sed in neutro horum plene exequitur, quæ hic pollicetur. [illegible]
C

HIPPOCRATIS TEXTUS XIX.

Quibuſcunque cadentibus gibba ſpina fit, paucis ita convaleſcit, ut dirigatur.

GALENI COMMENTARIUS.

Adhuc ſcripſit de ſpina citrà exteriorem cauſam depravata: quæ deinceps adſcribit,
D omnia ſunt de vertebris, quæ ob caſum, vel ictum aliquem læduntur. Pleraque autem plena ſunt, niſi ſicubi opus ſit omiſſam cauſam adjicere, quemadmodum & nunc, cum aſſerit rarò luxatam ſpinam reſtitui. Cujus rei cauſam, etſi nunc afferre potuiſſet, in ſequentibus demonſtrat, cum ſcribit vertebras cardinis modo inſtructas, ita, ut ubi una aliqua quovis modo exciderit, in ſuam ſedem magno negocio revertatur, cùm in ſingulis multi proceſſus ſint, multi ſinus. Hoc autem & aſpectu
E ipſo in oſſibus didiciſtis.

HIPPOCRATIS TEXTUS XX.

Jam verò intenſio, quæ ſuper ſcalam adhibetur, nullum, quod ſciam, reſtituit. Ea potiſſimum utuntur medici, qui apud vulgus videri volunt magnum aliquid moliri. Apud hos enim admirandum eſt ſuſpenſum hominem intueri, vel projectum, vel tale quidpiam: ſemperque hæc ab ipſis laudantur, cui nec ulterà cura eſt, quinam effectus
F *ſequatur ex hujuſmodi præſidio, bonus ne an malus: medici verò, qui hæc ſtudent, rudes ſunt, quos quidem novi. Inventio quidem vetuſta eſt: atque ego ſanè primum auctorem laudo, non ſolùm hujus, ſed cujuſque machinamenti ſecundum naturam excogitati, minime enim diffido nonnulla reſtitui poſſe, ſi quis rectè præparans concutiat. ſed turpe exiſtimavi ejuſmodi morbis ità mederi, quum ejuſmodi machinationes magis ſint impoſtorum.*

lit, docet, quomodo facere id optimè poſſit. Ergo in intendenda ſpina propoſitum eſt ſuperiorem partem intendere per vincula propè affectum locum injecta: inferiorem, per corporis pondus. Ad hoc itaque ſpectans, quæ ab ipſo ſubjiciuntur, percipies: maxima enim ex parte clara ſunt.

γένοιτο ἄν πως κάλλιστα. περιέχεται γὰρ ἐν τῇ κατατάσει, τὴν μὲν ἄνω τὰ τῆς ῥάχεως ἐργάσασθαι διὰ τῶν δεσμῶν, οὐ πόῤῥω ἀλλ' ὁμοῦ πλησίον τοῦ πεπονθότος μέρους, τὴν δὲ κάτω, διὰ τοῦ βάρους τοῦ σώματος. πρὸς τοῦτον οὖν ἀποβλέπων τὸν σκοπὸν, ἀκολουθήσεις τοῖς ὑπ' αὐτοῦ λεγομένοις ἐφεξῆς· C ἔστι γὰρ τὰ πλεῖστα σαφῆ.

HIPPOCRATIS TEXTUS XXI.

Quibus prope cervices ſpina gibba fit, par eſt minus ſuccurri intenſione adhibita per caput deorſum demiſſum; parum enim ponderis habent caput, & utrinque lati ſcapularum oſſis ſummitas, cùm deorſum ſpectant: ſed hos veriſimile eſt in pedes deorſum concuſſos magis reſtitui; in eam enim partem demiſſi majus pondus habent. At quibus infra gibba fit, hos concutere magis convenit capite, deorſum ſpectantes. Si quis igitur concutere velit, rem ſic rectè molietur. Scalam ſternere ſcorteis pulvinis tranverſis debet, vel ex lana benè alligatis, ac paulo plus, & longitudinis & latitudinis ſcalæ tenentibus, quàm occupet hominis corpus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κα'.

Ὅσοισι μὲν οὖν ἐγγὺς τοῦ αὐχένος ἡ κύφωσις γίνεται, ἧσσον εἰκὸς ὠφελέειν κατατάσιας ταύτας τὰς ἐπὶ κεφαλήν· μικρὸν γὰρ τὸ βάρος ἡ κεφαλὴ, καὶ τὰ ἀκρώμια καταῤῥέποντα. ἀλλὰ τούς γε τοιούτους εἰκὸς ἐπὶ τοὺς πόδας κατασεισθέντας μᾶλλον ἐξιθυνθῆναι. μείζων γὰρ οὕτως καταῤῥοπίη ἐπὶ τὰ τοιαῦτα. ὅσοισι δὲ κατωτέρω τὸ ὕβωμα, τούτοισιν εἰκὸς μᾶλλον ἐπὶ κεφαλὴν κατασείεσθαι. D εἰ οὖν τις ἐθέλει κατασείειν, ὀρθῶς ἂν ὧδε σκευάζοι. τὴν κλίμακα χρὴ σκυτίνοισιν ἐν ὑποκεφαλαίοισιν πλαγίοισιν, ἢ ἐρινέοισι καταστρῶσαι εὖ προσδεδεμένοισιν, ὀλίγῳ πλέον καὶ ἐπὶ μῆκος, καὶ ἔνθεν, καὶ ἔνθεν, ἢ ὅσον ἂν τὸ σῶμα τοῦ ἀνθρώπου κατέχοι.

GALENI COMMENTARIUS.

Quùm ſpina, vel propè initium lædatur, vel propè finem, vel in medio ſpacio, primò agit de noxa ipſius propè cervices. Ergo in hoc caſu, ſi quis ſuper ſcalam à pedibus hominem ſuſpendat, ſicut nonnulli medici Hippocratis ſeculo conſueverunt, nulla ferè intenſio fiet ab inferiori parte, quum parum ponderis ſit in capite, & in cervicibus: ſed, ſi in ima vitium ſit propè os ſacrum, maximè ſperare quis poterit hujuſmodi vim ab inferiori parte abundè futuram. Subdit deinceps, qua ratione id optimè fiat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπειδὴ πάσχει ἡ ῥάχις, ἤ τοι πλησίον τῆς ἄνωθεν ἀρχῆς, ἢ τῇ κάτω τελευτῇ, ἢ κατά τι τῶν μεταξὺ, περὶ πρώτης λόγον ποιεῖται βλάβης, τῆς ἐγγὺς τοῦ τραχήλου γινομένης, E ἐπὶ ταύτης οὖν, εἴ τις ἐπὶ κλίμακος, τὸν πεπονθότα κρεμάσειεν ἐκ τῶν ποδῶν, ὡς εἰώθεσαν ἔνιοι τῶν κατ' αὐτὸν ἰατρῶν ποιεῖν, οὐκ ἂν εἰς τὸ κάτω γίνοιτο τάσις ἀξιόλογος, ὡς ἂν μικροῦ βάρους ὄντος, τοῦ κατὰ τὸν αὐχένα καὶ τὴν κεφαλήν. εἰ δὲ κάτω τὸ πάθος εἴη, πλησίον τοῦ ἱεροῦ ὀστοῦ, μάλιστα ἂν ἐλπίσειέ τις αὐξῆσαι τὴν κατάτασιν, ὅθεν ἐφεξῆς γράφει πῶς ἂν πως κάλλιστα.

HIPPOCRATIS TEXXUS XXII.

Poſt hac homo ſuper ſcalam reſupinetur, dein pedibus non divaricatis juxta talos ad ſcalam alligetur vinculo, quod quidem firmiter, ac ſine compreſſu teneat, ſed molle ſit: vinciatur item, & ab inferiori, & à ſuperiori parte circa utrumque genu, & tum circa coxas, circa ilia inſuper & pectus, habenâ ita latâ, ut concuti non prohibeatur: ſed brachia juxtà latera extenſa ad ipſum corpus, non ad ſcalam religentur.

F ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κβ'.

Ἔπειτα τὸν ἄνθρωπον ὕπτιον κατακλῖναι ἐπὶ τὴν κλίμακα χρὴ, κἄπειτα προσδῆσαι μὲν τοὺς πόδας παρὰ τὰ σφυρὰ, πρὸς τὴν κλίμακα, μὴ διαβεβῶτα, ἐν δεσμῷ ὀχυρῷ μὲν, μαλθακῷ δέ. προσδῆσαι δὲ κατωτέρω ἑκάτερον τῶν γουνάτων, καὶ ἀνωτέρω προσδῆσαι καὶ κατὰ τὰ ἰξία. κατὰ δὲ τοὺς κενεῶνας, καὶ κατὰ τὸ στῆθος χαλαρῇσι ταινίῃσι περιδεδέσθαι οὕτως, ὅκως μὴ κωλύωσι τὴν κατάσεισιν. τὰς δὲ χεῖρας παρὰ τὰς πλευρὰς παρατείναντα προσκαταδῆσαι πρὸς αὐτὸ τὸ σῶμα, καὶ μὴ πρὸς τὴν κλίμακα.

Ὅταν δὲ κατασκευάσῃς οὕτως, ἀνέλκειν τὴν κλίμακα, ἢ πρὸς τύρσιν τινὰ ὑψηλὴν, ἢ πρὸς αἴτωμα οἴκου. B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τύρσιν μὲν τὸν πύργον ἀκούειν χρὴ, οἴκου δὲ αἴτωμα, τὸ ὑψηλότατον μέρος· οὕτω γὰρ ὀνομάζουσι τὰς εἰς ὕψος ἀναβάσεις τῆς ὀροφῆς, τριγωνοειδεῖς. εἰ μὲν γὰρ ἡλιαστήριον ποιήσει τις, ἀντὶ κεράμου, ποιήσει τὴν ὀροφὴν ἐπίπεδον, οὐκ ἄλλην ἔχουσαν ἐργασίαν. κέραμον δὲ ἐπιτιθεὶς εὐαπόρρυτον αὐτῇ τὸ ὕδωρ τὸ ὄμβριον εἶναι βούλεται. κατὰ τοῦτ' οὖν, ὑψηλὸν ἐργασάμενος τὸ μέσον τῆς ὀροφῆς, κατὰ τὸ μῆκος, ἐκ τῶν ὄπισθεν πρὸς τὸ πρόσω τεταγμένον, οὕτω γὰρ ἐντεῦθεν ἐφ' ἑκατέρων τῶν πλαγίων τείχων καταγὴν τῆς ὀροφῆς ταπεινὴν μένειν, ὥσπερ τινὰς δὲ τὰς πτέρυγας καθειμένας. οὕτω γὰρ ἐοίκασιν εἰκάσαντές τινες οἱ παλαιοὶ καλέσαι τοῦτο τῆς οἰκίας τὸ μέρος, αἰετὸν δὲ καὶ οἶδε, καθάπερ καὶ ὁ Πίνδαρός φησιν ἐν ταῖς Πλειάσιν. C

Χρύσεα δ' ἐξύπερθε αἰετοῦ ἄειδον κηληδόνες.

καὶ Εὐριπίδης ἐν Ὑψιπύλῃ φησίν.

Ἰδοὺ πρὸς αἰθέρα ἐξαμιλλῆσαι κόρας.

Γραπτοὺς οἶν προσβλεπτον τύπους.

Ὅτι δὲ καὶ ἡ τύρσις πύργον σημαίνει, μάρτυς ἀξιόπιστος ὁ Διοκλῆς, ὁ Καρύστιος, ταύτην τὴν νῦν εἰρημένην λέξιν παραφράζων ἐν τῷ περὶ ἐπιδέσμων βιβλίῳ, κατὰ τόνδε τὸν τρόπον ἔγραψεν. ἀνέλκειν δὲ τὴν κλίμακα πρὸς πύργον ὑψηλὸν, ἢ οἰκίας στέγην. D

Scala ita praeparata attrahenda eſt ad turrim altam, vel ad culmen domus.

GALENI COMMENTARIUS.

Turrim dixit τύρσιν: culmen verò domus, id eſt, altiſſimam partem ipſius, αἴτωμα, ita enim appellant eam tecti partem, quæ attollitur in ſpeciem trianguli. Si quis enim ſolarium faciat, pro tegulis tectum ſtruet planum, quod calorem non prohibeat: ſed ſi tegulæ imponantur, propoſitum eſt ut pluvialis aqua poſſit effluere. Hac igitur de cauſa medium tectum in longitudinem à priori, & poſteriori parte attollitur, utrinque autem à parietibus humile eſt. Majores igitur ad exemplum alarum demiſſarum hanc partem domus ab aquila videntur ἀετὸν appellaſſe, quo vocabulo tectum appellat & Pindarus in Pleiadibus, ubi ait,

Χρύσεα δ' ἐξύπερθε αἰετοῦ ἄειδον κηληδόνες.

& Euripides in Hypſipyle, quùm inquit.

Ἰδοὺ πρὸς αἰθέρα ἐξαμιλλῆσαι κόρας

Γραπτοὺς ἐν αἰετοῖσι προσβλέπειν τύπους.

Quòd τύρσις turrim ſignificet, idoneus teſtis eſt Diocles Chariſtius, qui juxta verba, (παραφράσιν Græci dicunt) locum hunc exponit in libro de faſciis. Inquit igitur, attrahenda ſcala eſt ad turrim altam, vel ad culmen domus, ubi turrim, quam Hippocrates τύρσιν, πύργον dixit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κδ'.

Τὸ δὲ χωρίον ἵνα ὅκου κατασείεις, ἀντίτυπον ἔστω. τοὺς δὲ ἀνασπῶντας, εὖ πεπαιδευμένους χρὴ εἶναι, ὅκως ὁμαλῶς, καὶ καλῶς καὶ ἰσορρόπως, καὶ ἐξαπιναίως ἀφήσουσι, καὶ μήτε ἡ κλίμαξ ἑτερόρροπος εἰς γῆν ἀφίξεται, μήτε αὐτοὶ προπετέες ἔσονται. E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πρὸς ὑψηλόν τι, τὴν ἀρχὴν τῆς κλίμακος ἀναλαβὼν ἔχουσαν ἐπιδεδεμένον, ὡς εἴρηκε, τὸν ἄνθρωπον, ἀφίησιν ἀθρόαν ἐπ' ἐδάφους, ἵνα προσπεσούσης τῆς διασεισθείσης σφοδρῶς, ἡ ῥάχις, εἰς τὴν κατὰ φύσιν χώραν ἐμβιβάσῃ τὸν προπεπτωκότα σφόνδυλον. εὔλογον οὖν ἐν τούτῳ τῷ ἔργῳ, σκληρὸν εἶναι, καὶ ἀντίτυπον τὸ ἔδαφος. εἰ γὰρ οὕτως εἴη μαλακὸν, ὡς εἰκὸς, ἐκλύει τὴν διάσεισιν τῆς ῥάχεως, οὐδὲν ἂν ἀνύσειε πλέον. F

HIPPOCRATIS TEXTUS XXIV.

Locus autem ſuper quem concuti homo debet, renitatur: qui verò ſurſum attrahunt, non ignari ſint, ut æqualiter, rectè, & in neutram partem inclinantes repenteque demittant, ne ſcala in alteram partem inclinata ad terram perveniat, neve ipſi in priorem partem convertantur.

GALENI COMMENTARIUS.

Summam ſcalam à ſublimiori loco ſuſpenſam, quæ, ut dictum eſt, alligatum hominem habeat, in pavimentum ſubitò demittit, ut cadente hac, atque concuſſâ, recondantur ſpinæ vertebræ ſuo loco motæ. Meritò autem ad hunc uſum duro, & renitenti pavimento opus eſt: nam, ſi ita molle ſit, ut cedat, ſpinæ concuſſus remittitur, ac ſine ullo effectu res erit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κε'.

Ἀπὸ μέντοι τύρσιος ἀφιεὶς, ἢ ἀπὸ ἱστοῦ καταπεπηγότος, καρχήσιον ἔχοντος, ἔτι κάλλιον ἄν τις σκευάσαιτο, ὥστε ἀπὸ τροχιλίης τὰ χαλάσματα εἶναι ὅπλα, ἢ ἀπὸ ὄνου. ἀηδὲς μὲν καὶ μακρηγορεῖν περὶ

HIPPOCRATIS TEXTUS XXV.

Ubi verò à turri demittas, vel à malo, qui carcheſium habeat annexum, commodius adhuc rem parabis, ſi à trochlea, vel ab axe funes demittas: ſed moleſtum eſt in his longius immorari.

atque erectum tignum, cui ſummo ſuperpoſitum eſt aliud lignum tranſverſum, à quo ſuſpenditur velum, quod ἱστίον Græcè nuncupatur. Differunt enim inter ſe ἱστίον trium ſyllabarum, & ἱστὸς duarum: hoc ſiquidem vocabulo malus ſignificatur, qui, ut retuli, tignum eſt, quod in navi erectum affigitur: ſed illo linteum, quod à ventis inflatur; funes verò in ſummo malo, carcheſii nominantur. Ergo ubicunque ad ſuſpendendam ſcalam malo utendum eſt, id efficiendum eſt per trochleas, & carcheſios; nihil etiam deterius eſſe affirmat ad hæc uti axiculis, quos appellat ὀνίσκους.

θῆκε διπλοῦν, οὐ ξύλον, ὅτι τὸ μέγιστόν τι, καὶ ὄρθιον ξύλον, ὡς κατὰ τὸ ἄνω πέρας ἐπιτίθεται, ἄλλο δὲ ξύλον, ἤτοι ἐγκαρσίαν ἔχον, ὡς πρὸς τὸν ἱστὸν, ἐξ οὗ ξύλου τὸ ἱστίον ἐξῆπται. διαφέρει γὰρ ἱστίον εἰπεῖν ἐν τρισὶ συλλαβαῖς, ἢ ἱστὸν, ἐν δυοῖν. ἱστὸς μὲν γὰρ, ὡς εἶπον, ὀνομάζεται τὸ κατὰ τὰς νηῒς ἐμ-
C πεπηγὸς ὀρθὸν ξύλον, ἱστίον δὲ, ἡ φυσωμένη πρὸς τῶν ἀνέμων ὀθόνη. τοὺς δὲ κατὰ τὴν ἄνω τελευτὴν τοῦ ἱστοῦ κάλους, ὀνομάζουσι καρχησίους. ὅταν οὖν ἱστῷ μέλλῃ χρῆσθαι πρὸς τὸ κρεμάσαι τὴν κλίμακα, διὰ τροχιλιῶν τε, καὶ καρχησίων, ἐργάζου τοῦτο, χεῖρον δ᾽ οὐδὲν εἶναί φησι, καὶ ὀνίσκοις εἰς τὰ τοιαῦτα χρῆσθαι. καλεῖ δ᾽ οὕτως δηλονότι τοὺς ἄξονας.

HIPPOCRATIS TEXTUS XXVI.

Fulcire autem pectus debes ad ſcalam fortiter alligans, atque item cervices habenâ valde laxâ, quatenus, quod exceſſit, in ſuum locum revertatur: atque inſuper caput à fronte ad ſcalam devincire, at brachia extenta ad corpus non ad ſcalam; reliquum tamen corpus ſolutum ſit, niſi quòd pluribus locis habena laxa circundetur, quatenus, quod exceſſit, in ſuum locum revertatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κϛ΄.

D Ἐρμῆσαι μὲν χρὴ κατὰ μὲν τὸ στῆθος, πρὸς τὴν κλίμακα προσδήσαντα ἰσχυρῶς, κατὰ δὲ τὸν αὐχένα, ὡς χαλαρωτάτῃ ταινίῃ ὅπου τοῦ κατορθῶσαι εἵνεκα, καὶ αὐτὴν τὴν κεφαλὴν κατὰ τὸ μέτωπον προσδῆσαι πρὸς τὴν κλίμακα. τὰς δὲ χεῖρας παρατετανύσαντα, πρὸς τὸ σῶμα προσδῆσαι, μὴ πρὸς τὴν κλίμακα. τὸ μέντοι ἄλλο σῶμα ἄδετον εἶναι χρὴ, πλὴν ὅσον τοῦ κατορθῶσαι εἵνεκα, ἄλλῃ καὶ ἄλλῃ ταινίῃ χαλαρῇ περιβεβλῆσθαι.

GALENI COMMENTARIUS.

IN ſuperioribus quoque oſtendimus ἕρματα dici ab Hippocrate fulcimenta, & ἑρμάσαι fulcire: atque hoc eſſe, quod à Poëta ſcribitur, Ὑπὸ δ᾽ εἴρεον ἕρματα νηῶν.

A
Scala cum ſcorteis, &c.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Λέλεκταί μοι καὶ πρόσθεν ἕρματα, τὰ ἐρείσματα, καὶ ἑρμάσαι, τὸ ἐρεῖσαι, καὶ τοῦτ᾽ εἶναι, καὶ τὸ παρὰ τῷ ποιητῇ γεγραμμένον ὑπὸ δ᾽ εἴρεον ἕρματα νηῶν.

HIPPOCRATIS TEXTUS XI.

SEd videndum eſt ne hujuſmodi vincula concuti hominem non ſinant. Crura verò non ad ſcalam, ſed inter ſe vincienda, ut è regione ſpinæ dependeant: hæc ſiquidem ita admovere convenit, ſi homo ſuper ſcalam omninò concutiendus ſit. Turpe autem eſt in omni arte, nec minus etiam in medicina ſine ullo profectu magnam adhibere turbam, magnum ſpectaculum polliceri, & multa verba facere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ.

Ὅκως δὲ μὴ κωλύωσιν οὗτοι οἱ δεσμοὶ τὴν κατάσεισιν, σκοπεῖν τάδε. σκέλεα πρὸς μὲν τὴν κλίμακα μὴ προσδεδέσθω, πρὸς ἄλληλα δὲ, ὡς κατὰ τὴν ῥάχιν, ἰθύῤῥοπα
F ᾖ, ταῦτα μέντοι τοιουτοτρόπως ποιητέα, εἰ πάντως δέοι ἐν κλίμακι κατασεισθῆναι. αἰσχρὸν μέντοι καὶ ἐν πάσῃ τέχνῃ, καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ, πολὺν ὄχλον, καὶ πολλὴν ὄψιν, καὶ πολὺν λόγον παρασχόντα, ἔπειτα μηδὲν ὠφελῆσαι.

GALENI COMMENTARIUS.

QUòd ſi homo qui concutitur, nullis corporis partibus, exceptis ſuperioribus, ad

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἂν μὲν μηδ᾽ ὅλως, ὁ κατασειόμενος ἑρμασθῇ τὸ σῶμα, πρὸς τὴν κλίμακα δεθεὶς μόνον ἐκ τῶν ἄνω μερῶν,

μηδ' ὅλως κάλλιστα ποιεῖν τὸ ἔργον ἐπισταμένους, ἀλλὰ καὶ ὡς εἶπον, οὐδὲν γάρ μοι ἀμεμπτότερον, εἴ τις καλῶς σκευάσας καταπίστει, κἂν ἐξῆς σπουδαίως ἴοι. B

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη'.

Χρὴ δὲ, πρῶτον μὲν γινώσκειν τὴν φύσιν τῆς ῥάχιος οἵη τίς ἐστιν, ἐς πολλὰ γὰρ νοσήματα προσδέοι ἂν αὐτῆς.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπισημαίνεσθαι βούλομαι κἂν ἅπαξ που, καὶ ἀναμνῆσαι τῶν εἰρημένων τί μοι κατὰ τὸ πρῶτον εὐθέως βιβλίον περὶ τῆς Ἱπποκράτους ἀνατομῆς, ἐν ᾧ γνώσῃ τὴν ἀναισχυντίαν τῶν ἐμπειρικῶν ἰατρῶν, τολμησάντων Ἱπποκράτην καλεῖν ἐμπειρικόν. ἐμπειρικώτατος μὲν γὰρ ἦν ἁπάντων τῶν κατὰ τὴν ἰατρικὴν τέχνην, καὶ μάλιστα τῇ πείρᾳ προσέχων τὸν νοῦν, καὶ πάντα ταύτῃ δοκιμάζων, ἵνα δὴ ὅλως ἀφίκηται πολλαῖς ἐπινοίαις χρώμενος λογικαῖς, ἀνατομήν τε μάλιστα σπουδάζων, ὡς ὠφελοῦσαν ἱκανῶς τὴν τέχνην, ὅπερ καὶ νῦν ἐδήλωσε γράφων, τὴν φύσιν τῆς ῥάχεως ἀξιῶν γινώσκειν, ἣν ἄχρηστόν φασιν οἱ ἐμπειρικοὶ, καθάπερ καὶ τῶν ἄλλων ἁπάντων μορίων. C D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κθ'.

Τοῦτο μὲν γὰρ τὸ πρὸς τὴν κοιλίην ῥέπον, οἱ σφόνδυλοι ἐντὸς ἄρτιοι εἰσὶν ἀλλήλοισι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. E

Τῶν σφονδύλων, τὸ μὲν ὀπίσω μέρος, ἀπόφυσιν ὀξεῖαν ἔχει χονδρώδη κατὰ τὸ πέρας, ἣν ὀνομάζουσιν ἄκανθαν, τὸ δ' ἀντικείμενον τούτῳ τὸ πρόσω τε καὶ ἐντὸς, ἑκάτερον μὲν γὰρ ὀνομάζεται, χόνδρῳ μὲν ἐπαλείφεται καὶ αὐτό. περιφερὲς δ' ἐστὶ, καὶ λεῖον, οὐδεμίαν ὀξεῖαν ἀπόφυσιν ἔχον, οὐδ' ὅλως ἐξοχήν τινα βραχυτάτην, ὥσπερ ὀπίσω τε καὶ τῶν πλαγίων ἔχει. ὁποῖαι μὲν οὖν εἰσιν ἑκάστῳ τῶν σφονδύλων αἱ ἀποφύσεις, ἐπί τε τῶν σκελετῶν εἶπον, εἰρημένον νῦν περὶ τῶν σφονδύλων, οὓς κατὰ τὰ ἔνδον μέρη κέκληκεν ἀρτίους, τουτέστιν ἀπηρτισμένους αὐτόν τε καθ' ἑαυτὸν ἕκαστον, ἔν τε τῇ πρὸς ἀλλήλους ὁμιλίᾳ, δηλονότι γὰρ οὐδ' ἐξοχή τις αὐτοῖς ἐστιν ἐνταῦθα, καὶ κατὰ τοῦτο ἀλλήλοις ἐφαρμόττουσιν, ἀρτίους αὐτοὺς ὠνόμασεν εἶναι πρὸς ἀλλήλους, ἤτοι ἀπηρτισμένως ὁμιλοῦντας. F

qui ea utuntur, neſcire ipſam, optimè adhibere: huc accedit quod ſuperius dixit, minimè enim diffido nonnulla reſtitui poſſe, ſi quis rectè præparans extendat.

HIPPOCRATIS TEXTUS XXVIII.

IN primis quidem cognoſcendum eſt, quæ ſit natura ſpinæ: ad multos enim morbos ea opus eſt.

GALENI COMMENTARIVS.

NOtare ſemel alicubi volumus, atque in memoriam educere, quæ à nobis dicta ſunt à principio, in primo libro de ratione corporum incidendorum Hippocratis in quo empiricorum impudentiam cognoſces, qui audent Hippocratem appellare empiricum. Fuit enim omnium qui medicinam exercuerunt, maximè experiens, maximeque experimentorum ſpectator: iiſque omnia comprobavit, quæ multis fretus rationalibus argumentis invenit; potiſſimumque rationi corporum incidendorum operam dedit, ut quæ mirum in modum ad artem conferat, quod nunc apertè docet, quùm ſpinæ naturam intelligi velit, quam empirici non ſecùs quàm cæterarum partium omnium, eſſe inutilem dicunt.

HIPPOCRATIS TEXTUS XXIX.

VErtebræ igitur ab interiori parte, quà ad ventrem ſpectant, inter ſe ſunt æquales.

GALENI COMMENTARIUS.

VErtebræ à poſteriori parte proceſſum exigunt acutum, extrema parte cartilaginoſum, qui ſpina nuncupatur: à contraria verò, priori ſcilicet, ſive interiori (utroque enim vocabulo nuncupatur) æquè cartilaginem ſuperjectam habent, quà rotundæ ſunt & leves, nullumque acutum proceſſum exigunt, neque prorſus eminentiam aliquam, vel breviſſimam, quemadmodum & à poſteriori parte, & à latere. Quales igitur ſingularum vertebrarum proceſſus ſint, ex cadavere arido intelliges: ex quo planum etiam fiet id quod ait, vertebras ab interiori parte eſſe æquales, hoc eſt, æquari ſingulas, quà inter ſe junguntur. Quoniam igitur ea parte nullum proceſſum habent, aptiſſiméque inter ſe conveniunt, æquales eſſe inter ſe dixit, hoc eſt æquari ea parte, qua cohærent.

nervoſoque, atque idcirco leniter aliquid hac parte moventur, qua nullo modo motæ fuiſſent, ſi continuarentur. At neque vinculum earum ad ſpinæ medullam uſque pertinet; ſed interjecta aſpera membrana in orbem medullam ipſam complectitur, quæ non ſecùs ac cerebrum, tenui membrana primò velatur, poſtea craſſiori; ſed præter ea quæ in cerebro ſunt, ſpinæ medulla ſepta eſt, hoc tegmento, quod vim habet prohibendi ne doleat, quùm vertebrarum oſſibus offenditur, ubi ſpina movetur. Circa ipſas autem vertebras innatum eſt vinculum mucoſum, hoc eſt glutinoſum, & quaſi pituitæ plenum, ut vertebræ promptius moveantur, ipſumque vinculum minus lædatur. In vehementi enim motu abrumpuntur, quæ ſicca ſunt, & ſine humore, atque idcircò qui loris ad vehicula, & jumenta utuntur, ipſa inungunt; quanquam ejuſmodi mucoſus humor in omnibus articulis ob eandem cauſam invenitur.

τούτου, κίνησιν τινα βραχεῖαν ἔχουσι, καὶ κατὰ τοῦτο τὸ μέρος, οὐκ ἂν ἔχοντες, εἰ συναποπεφύκει αὐτοῖς ὁ δεσμὸς αὐτῶν ἀφήκει, μέχρι τοῦ νωτιαίου. περίκειται γὰρ ἐν κύκλῳ τούτῳ μετὰ τῆς παχείας μήνιγγα. περὶ ταύτης μὲν οὖν αὐτὸν περιειληφυίας τῆς δέσεως, ὥσπερ καὶ τὸν ἐγκέφαλον, ἐφ' ὃν ἡ παχείας εἶναι ἔξωθεν
C τοῦ περιειρημένου δεσμοῦ. περιττότερον γὰρ τοῦτο τῷ νωτιαίῳ παρὰ τὸν ἐγκέφαλον ὑπάρχει σκέπασμα προβλήματος, ὅπως μὴ πονέσῃ προσκρούων τοῖς ὀστοῖς τῶν σπονδύλων, ἐν τῇ κινήσει τῶν ὀστῶν τῆς ῥάχεως. αὐτοῖς δὲ τοῖς σπονδύλοις, ὁ σύνδεσμος μυξώδης ἐμφύεται, τουτέστι γλισχρὸς, καὶ οἷον φλεγματώδης, ἕνεκα τοῦ καὶ τὴν κίνησιν ἑτοιμοτέραν εἶναι τοῖς σπονδύλοις, καὶ αὐτὸν τὸν σύνδεσμον ἀπαθέστερον. ἀπορρήγνυνται γὰρ ἐν ταῖς κινήσεσι, τὰ ξηρὰ, καὶ τὰ αὐχμηρά. διὰ τοῦτο καὶ τοὺς ἱμάντας ἀλείφουσιν, οἷς ἐπὶ τῶν ὀχημάτων τι, καὶ αὐτῶν τῶν ὑποζυγίων χρῶνται. καίτοι τὸν αὐτὸν τοῦτον τὸν μυ-
D ξώδη χυμὸν, ἐν ἅπασι τοῖς ἄρθροις εὑρεῖν ἔστι, διὰ τὴν αὐτὴν αἰτίαν.

HIPPOCRATIS TEXTUS XXXI.

Quædam alia etiam ligamenta nervoſa, perpetua adnaſcuntur; & hinc atque hinc à lateribus ipſarum intendunt.

GALENI COMMENTARIUS.

Perpetua ligamenta intellexit, quæ à ſuperiori parte deorſum feruntur plurimùm longa; nihil tamen habeo, quod ſcribam, quamobrem ligamenta, quæ juxta intendunt, nervoſa dixerit: dicendum enim fuit, non nervoſa, ſed nervi; niſi ſi valida appellavit nervoſa: nervi autem evidenter per univerſum thoracem juxta unamquanque vertebram intendunt, quorum ſuperiorem originem in corporibus incidendis demonſtravimus; ad cervices autem & lumbos ſuper vertebras muſculi ſunt, per quos feruntur nervi.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λα'.

Ἄλλοι δὲ τόνοι νευρώδεες διηνεκέες, πρόσφυτοι παρεκτέτανται ἔνθεν καὶ ἔνθεν αὐτῶν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Διηνεκέας μὲν ἀκούειν χρὴ, τοὺς ἄνωθεν κάτω διήκοντας ἐπὶ πολὺ μακρούς. οὐ μὴν ἔχω γε γράφειν διότι νευρώδεις εἶπε τοὺς παρατεταμένους τόνους τῶν σπονδύλων. οὐ γὰρ νευρώδεις εἰσὶν, ἐχρῆν εἰπεῖν, ἀλλὰ νεῦρα, πλὴν εἰ τοὺς ἰσχυροὺς νευρώδεις ὀνόμασε. παρατέτανται δὲ νεῦρα, σαφῶς μὲν ἑκάστῳ σπονδύλῳ καθ' ὅλον τὸν θώρακα, περὶ ὧν ἄνωθεν γενέσεως, ἐν ταῖς ἀνατομαῖς ἐθεάσασθε δεικνύντος μου, κατὰ μὲν τὸν τράχηλόν τε, καὶ τὴν
F ὀσφὺν ἐπίκεινται μύες τοῖς σπονδύλοις, καθ' οὓς φέρεται τὰ νεῦρα.

HIPPOCRATIS TEXTUS XXXII.

De venis autem & arteriis huc pertinentibus alibi tractabimus, quot & quales ſint, unde incipientur, quidque in quibus poſſint.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λβ'.

Αἱ δὲ φλεβῶν καὶ ἀρτηριῶν κοινωνίαι, ἐν ἑτέρῳ λόγῳ δεδηλώσονται, ὅσαι τε, καὶ οἷαι, καὶ ὅθεν ὡρμημέναι, καὶ ἐν οἵοισιν οἷα δύνανται.

καθάπερ καὶ ἄλλα πολλά. σώζεται δ' οὐ κατὰ τὰ προκείμενα νῦν ἐν τῷ λόγῳ χρεία, φλεβῶν καὶ ἀρτηριῶν συγγραφή. ἐπὶ δὲ τῶν παρατεταμένων τοῖς σπονδύλοις νεύρων, ὑπομνηματικῶς, οὐ συγγραφικῶς, ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ὑπ' αὐτοῦ λέλεκται, παραπλησίως τοῖς ἄλλοις, ὅσα κατ' ἐκεῖνο τὸ βιβλίον ἐδείξαμεν, ὑπομνήματά τινα, τοῦ Ἱπποκράτους, οὐ συγγράμματα. μόνον γὰρ τὸ πρῶτον, καὶ τρίτον τῶν ἐπιδημιῶν, ὡς πρὸς ἔκδοσιν, πρὸς αὐτοῦ γέγραπται.

multa in alium locum differat, licet, quæ de venis & arteriis ſcripta nunc pollicetur, non extent; de nervis autem juxta vertebras tendentibus in ſecundo libro de morbis vulgaribus, non plenè quidem, ſed in commentarii modum tractavit, tanquam de aliis, quæ nos oſtendimus in eo libro commentarii modo, & non plenè ab Hippocrate ſcripta: ſolummodo enim primum & tertium librum de morbis vulgaribus abſolvit, ita ut edi poſſet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ'.

ΑΥτὸς δὲ ὁ νωτιαῖος, εἴσιν ἐλλύτρωται ἐλλύτροισι, καὶ ὅθεν ὡρμημένοισι, καὶ ὅπῃ κεκρίνοισι, καὶ οἷσι κοινωνέουσι, καὶ οἷα δυναμένοισι.

HIPPOCRATIS TEXTUS XXXIII.

TUm de medulla ſpinæ, quibus tegmentis tegatur, unde originem ducentibus, quà parte finitis, quibuſcum conjunctis, quidque valentibus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ σκεπάσματά τε, καὶ περιβλήματά τινων, ἔλυτρα καλοῦσιν οἱ παλαιοί, διὰ τοῦτ' οὖν καὶ νῦν ὁ Ἱπποκράτης, ἔλυτρα τοῦ νωτιαίου κέκληκε, τὰ πρὸ βραχέος εἰρημένα μοι. δύο μὲν οὖν ἔνδοθεν ἐστὶν ἅπαντα, ἔξωθεν δὲ, τὰ κοινὰ τῶν σπονδύλων δεσμά. ὁρμῶνται δὲ αἱ μήνιγγες, ἀπὸ τῶν τὸν ἐγκέφαλον περιεχουσῶν. ὁ δὲ ἔξωθεν αὐτὰς περιλαμβάνων τρίτος χιτὼν, ἀπὸ τοῦ τῆς κεφαλῆς ὀστοῦ, καθ' ὃ διαρθροῦται πρὸς τὸν πρῶτον σπόνδυλον. τελευτῶσι δέ τοι οὗτοι δεσμοί, καθάπερ καὶ αὐτὸς ὁ νωτιαῖος, ἄχρι τοῦ κάτω τῆς ῥάχεως πέρατος. ὀνόματι δὲ αὐτὸς ὁ Ἱπποκράτης τῷ, τελευτῶσιν, ὁμοίως τῷ ποιητῇ Ἀριστοφάνει.

Εἴπερ δὲ κρανέω γε καὶ εἰ τετελεσμένον ἐστί.

Οἷα δὲ δύνανται, λέλεκται μὲν ἀκριβῶς ἤδη αὐτὰ κατὰ τὰς ἀνατομικὰς πραγματείας, ἅμα ταῖς οἰκείαις, ἐξ ἐκείνων δὲ μάλιστα, καὶ ἡ περὶ χρείας μορίων. ἀρκεῖ δὲ νῦν εἰπεῖν, τὰς μὲν περικειμένας τῷ νωτιαίῳ μήνιγγας, τὴν αὐτὴν παρέχειν χρείαν, ἥνπερ καὶ τῷ ἐγκεφάλῳ, ἡ δὲ ἐν ἐκείνῳ, φρουρὰ μὲν τίς αὐτοῦ, πρὸς τὸ μηδὲν πάσχειν ὑπὸ τῶν περικειμένων ὀστῶν, ἡ παχεῖα. σύνδεσμος δὲ τούτων, καὶ ἄλλο σύμφυτόν τι δέρμα, καὶ σκέπασμα τοῦ ἐγκεφάλου, ἡ λεπτή, περὶ δὲ τῶν τριῶν χιτώνων, ἐν τῷ νωτιαίῳ μικρὸν ἔμπροσθεν εἴρηται.

GALENI COMMENTARIUS.

TEgmenta, ac velamenta alicujus rei veteres appellant ἔλυτρα, atque idcirco Hippocrates nunc medullæ ſpinæ tegmenta ἔλυτρα nuncupavit, quæ nos paulò antè narravimus; duo quidem intrinſecùs omninò ſunt: extrinſecùs verò communia omnium vertebrarum ligamenta. Oriuntur autem membranæ à membranis, quæ cerebrum tegunt: ſed tertium velamentum, quod extrinſecùs eas complectitur, originem habet à calvaria, quà cum prima vertebra committitur. Hujuſmodi autem ligamenta non ſecus, atque ipſa medulla, ad imam ſpinam finiuntur. Finitis Hippocrates dixit κρίνεσι, ſicut Poëta, quùm inquit,

Εἴπερ δὴ κράνεω γε καὶ εἰ τετελεσμένον ἐστί.

Quid verò poſſint exquiſitè jam oſtendimus in opere de ratione corporum incidendorum, atque etiam in propriis libris, inter quos præcipuus eſt, qui de uſu partium inſcribitur; nunc autem ſcripſiſſe abundè eſt membranas, quæ cingunt ſpinæ medullam, eundem præſtare uſum, atque in cerebro, quod craſſa membrana defenditur, ne à circumpoſitis oſſibus lædatur. Eſt & aliud cerebri velamentum, & quaſi cutis innata, quo hæc nectuntur, nempe tenuis membrana; de tribus autem his tunicis in medulla ſpinæ paulò ſuprà pertractavimus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

ΕΝ δὲ τῷ ἐπέκεινα, ἐν διαρθρώσει γιγγλυμοῦνται πρὸς ἀλλήλους οἱ σπόνδυλοι.

HIPPOCRATIS TEXTUS XXXIV.

IN ulteriore autem parte, vertebræ cardinis modo commiſſuras habent.

erit à lateribus ſpinæ: ſi ad priorem partem, in qua dixit vertebras inter ſe colligari, poſterior. Scripſit autem eas commiſſuras cardinis modo eſſe, quoniam quattuor exigunt proceſſus, quibus committuntur: duobus quidem admittunt eminentias proximè vertebræ, duobus ſe in alteram inſinuant; efficitur autem quodammodo ſtructura cardinum ſimilis.

HIPPOCRATIS TEXTUS XXXV.

Nervi omnium communes, & ad exteriorem partem, & ad interiorem procedunt.

GALENI COMMENTARIUS.

Pars vertebrarum, quæ ei opponitur, qua illigantur, poſterior, & exterior appellari poteſt: ſicuti ea ipſa, qua illigantur, interior, & prior; verùm à poſteriori parte non reperiuntur nervi, quos nunc τόνους dixit, ſi nervi intelliguntur, qui motum voluntarium præſtant: quà enim vertebræ inter ſe committuntur, foramen eſt, per quod unuſquiſque nervus à ſpinæ medulla trajectus, protinus diſtribuitur, cujus aliæ partes ad priorem regionem intendunt, aliæ ad poſteriorem; atque in muſculos diſſipantur, qui quùm ſpinæ ſuperjecti ſunt, ῥαχῖται Græcè nominantur.

HIPPOCRATIS TEXTUS XXXVI.

Singulæ autem vertebræ, tam majores, quàm minores, in exteriorem partem ſingulos proceſſus exigunt: his autem proceſſibus adjecta eſt cartilago, atque ab ea germen oritur ligamentorum, quæ nervis exterioribus germana ſunt.

GALENI COMMENTARIUS.

Singulatum vertebrarum proceſſus per medium dorſum intendunt, atque univerſam ſpinam componunt: extremo autem proceſſui cartilago innexa eſt, à qua oritur germen ligamentorum, quæ, ut ipſe ait, nervis germana ſunt: quo ſignificat, vel ſimillima vel inter ſe coeuntia, immixtaque, utrunque enim verum eſt.

σω παραβάλλουσι χώραν, ἣν διηγήσατο, καθ' ἣν οἱ σφόνδυλοι δέδενται πρὸς ἀλλήλους, ὀπίσω γιγνόμενοι. γιγγλυμοειδῶς δ' εἶπε τοὺς σπονδύλους πρὸς ἀλλήλους, ἐπειδὴ τέτταρας ἀποφύσεις ἔχοντες εἰς διάρθρωσιν. τὰς δύο μὲν γὰρ, ὑποδέχονται τὰς ἐξοχὰς τοῦ πλησιάζοντος σφονδύλου, τὰς δύο δὲ, ἐπιβαίνουσι κατὰ θάτερα, παραπλησία δέ πως ἐστὶ, καὶ ἡ τῶν γιγγλυμοειδῶν παρασκευή.

ΙΠΠΟΚΡΑΤΟΥΣ ῬΗΣΙΣ λε΄.

Τόνοι δὲ κοινοὶ παρὰ πάντας, καὶ ἐν τοῖσιν ἔξω μέρεσι, καὶ ἐν τοῖσιν εἴσω, παρατέταται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ ἀντικείμενα μέρη τῶν σφονδύλων τῷ συνδέσμῳ, ὀπίσω τε καὶ ἔξω καλεῖν ἐγχωρεῖ, καθάπερ γε καὶ αὐτὰ τὰ κατὰ τὴν σύνδεσιν, ἔνδον τε καὶ πρόσω. ἀλλὰ τόνους γε, κατὰ τὴν ὀπίσω χώραν οὐκ ἂν εὕροις παρατεταμένους, εἴ γε τόνοι ὀνομάζονται τὰ προαιρετικὰ νεῦρα. κατὰ γὰρ τὰς συμβολὰς τῶν σφονδύλων ἐστὶ τὸ τρῆμα, δι' οὗ, τὸ ἀπὸ νωτιαίου νεῦρον ἕκαστον αὐτίκα σχίζεται, καὶ τῶν μερῶν αὐτοῦ, τὸ μὲν εἰς τὴν πρόσω χώραν ἀφικνεῖται, τὸ δὲ εἰς τὴν ὀπίσω διανεμόμενον εἰς τοὺς ἐπικειμένους ἐνταῦθα μύας, οὓς ῥαχίτας ὀνομάζουσι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ῬΗΣΙΣ λϛ΄.

Ἀπόφυσις τέ ἐστιν ὀστέου ἐς τὸ ἔξω μέρος, ἀπὸ πάντων τῶν σφονδύλων, μία ἀπὸ ἑνὸς ἑκάστου, ἀπό τε τῶν μειζόνων, ἀπό τε τῶν ἐλασσόνων. ἔπι δὲ τῆσιν ἀποφύσεσι ταύτῃσι χονδρίων ἐπιφύσιες, καὶ ἀπ' ἐκείνων, νεύρων ἀποβλαστήσιες, ἀδελφιζομένη τοῖσιν ἐξωτάτω τόνοισι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰς μέσην, εἰς τὴν ὀπίσω χώραν τῆς ῥάχεως, ἀπόφυσις ἑκάστου τῶν σφονδύλων ἀνατείνεται συνθεῖσα τὴν ὅλην ἄκανθαν. ἐπὶ δὲ τῷ πέρατι δὲ καὶ τῆς ἀποφύσεως χόνδρος ἐπίκειται, νεύρων ἀποβλαστήσεις ἔχων συνδετικάς. ἀδελφιζομένη φησὶ τοῖς τόνοις, ὅπερ, ἤτοι τῶν ὁμοιουμένων εἰς ταὐτὸ ἰόντων, ἢ ἀναμιγνυμένων, ἑκάτερον γὰρ αὐτῶν ἀληθές ἐστι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ τοῦ θώρακος ὀστᾶ, διήκοντα κατὰ τὴν ἐγκαρσίαν, ἀτρέμα λοξὰ κατὰ τῆς ῥάχεως, ἐπὶ τὸ στέρνον, ὀνομάζουσι πλευράς, οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ οἱ μετ' αὐτὸν ἅπαντες ἰατροί. ταύτας οὖν φησὶ προσηρθρῶσθαι τοῖς σπονδύλοις, οὐδὲν διαφέρειν, εἰ καὶ διηρθρῶσθαι φαίης, ὅπερ ἐστὶ συνηθέστερον ὄνομα τοῖς ἰατροῖς τοῖς νεωτέροις, οὕτως ὀνομάζουσιν αὐτοὶ τὰς συμβολὰς τῶν ὀστῶν, ὡς ἐκείνοις αἰσθητικήν τινα ἀξιόλογον ἔχουσι, κεφαλὰς δὲ τῶν πλευρῶν, εἴρηκε τὰ πέρατα, δι' ὧν τοῖς σπονδύλοις διαρθροῦνται κατὰ τὰς ῥίζας τῶν πλαγίων ἐν ἑαυτοῖς ἀποφύσεων. ἀκριβῶς δὲ εἶπεν ἔσω ῥέπειν αὐτὰς μᾶλλον, ἔστι γὰρ οὕτως ἔχειν. ἀλλὰ καὶ ὅτι διφυής πώς ἐστιν αὐτῶν ἡ διάρθρωσις, ἐθεασάμεθα· παραλελοιπότος τοῦτο τοῦ Ἱπποκράτους, ἢ διὰ τὸ παρῆχθαι, οὐκ ἀκριβῶς θεασάμενον τὴν ὅλην φύσιν τῆς διαρθρώσεως, ἢ τῷ μὴ νομίζειν, τὴν τοιαύτην λεπτολογίαν, οἰκείαν εἶναι τῇ προκειμένῃ πραγματείᾳ.

GALENI COMMENTARIUS.

Coſtæ, id eſt thoracis oſſa, quæ à ſpina intendunt tranſverſa ac modicè obliqua ad pectus, Græcè non modo ab Hippocrate, ſed ab omnibus junioribus Medicis, nominatæ ſunt πλευραί. Has, inquit, cum vertebris committi, προσηρθρῶσθαι dixit, quaſi dicat διηρθρῶσθαι: quod vocabuli apud juniores Medicos magis in uſu eſt: eo enim ſignificant oſſium commiſſuras, quibus talis ineſt motus, ut ſenſu aliquatenus percipi poſſit. Coſtarum capita vocavit extrema, per quæ cum vertebris conjunguntur, in radices proceſſuum à lateribus ſe inſinuantes. Exquiſitè autem dixit ipſas magis in interiorem partem ſpectare, noſſis enim rem ita ſe habere: ipſarum verò commiſſuram quodammodo duplicem conſpeximus, quam rem Hippocrates prætermiſit, vel quod non ex toto univerſam naturam commiſſuræ fuerit intuitus, vel quòd tam diligentem ejus inquiſitionem ad propoſitum pertinere non exiſtimaverit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

Καμπυλώταται δὲ πλευραὶ ἀνθρώπου εἰσὶ ῥαιβοειδέα τρόπον.

HIPPOCRATIS TEXTUS XXXVIII.

Maxime autem flexæ ſunt hominis coſtæ, & modo eorum, quæ curva ſunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἁπάντων τῶν ζώων, ἄνθρωπος καμπυλωτάτας ἔχει πλευράς, ὅτι καὶ τὸ στέρνον ἁπάντων πλατύτατον· τῶν μὲν γὰρ ἄλλων ζώων, τὸ μὲν μᾶλλόν ἐστι, τὸ δ' ἧττον ὀξύστερνον. πλατυστερνότατος δ' ἄνθρωπος, εἶθ' ἑξῆς πίθηκος, ἁπάντων μὲν τῶν ἄλλων ζώων μᾶλλον, ἧττον δ' ἀνθρώπου. ἔστι δὲ κοινὸν ἅπασι μὲν ζώοις, ὅσα θώρακα ἔχει, τὸ, τὰς πλευράς, ἐκ μὲν τῶν ἔξω μερῶν, ἔνθα καὶ ψαύομεν αὐτῶν, κυρτάς, ἐκ δὲ τῶν ἀντικειμένων, τῶν ἔνδον, εἶναι κοίλας, εἰς γὰρ τὴν γένεσιν τῆς τοῦ θώρακος εὐρυχωρίας, ἀναγκαῖον ἦν τοῦτο τοῖς ἀνθρώποις, ἐπειδὴ κατὰ τὸ στέρνον εὐθύνεσθαι τὰς πλευρὰς ἔδει, τὸ μετὰ τοῦτο πᾶν ἱκανῶς ἐκάμφθη, δεομένων δὲ αὐτῶν ἐπὶ τοὺς τῆς ῥάχεως ἀφικέσθαι σπονδύλους. τὸ μὲν γὰρ ἑρμηνευόμενον ὑπ' αὐτοῦ πρᾶγμα, σαφὲς ἡμῖν γέγονεν, ἔκ τε τοῦ καμπυλωτάτας εἰπεῖν εἶναι τὰς πλευράς, κἀκ τοῦ γιγνώσκεσθαι, ἀφ' οὗ ὁμοίως κατὰ τὸ σχῆμά εἰσιν. ἀπολείπεται δὲ ἡ ζήτησις, οὐκ ἐν τῇ πραγματείᾳ, καθάπερ ἐπὶ τοῦ ἔμπροσθεν, ἀλλ' ἐν ὀνόματι, χρησαμένου τοῦ Ἱπποκράτους τῇ ῥαιβοειδέα, φωνῇ σαφηνείας μὲν ἕνεκεν, ἤ τις παράδειγμα λέγεται πρὸς αὐτό. μείζονα δ' ἀσάφειαν ἐργαζομένην, αὐτοῦ τοῦ γιγνωσκομένου πράγματος, οὗ τῆς σαφηνείας ἕνεκα παράδειγμά τι ὤφθη. τότε μὲν οὖν ἴσως ἦν ἡ φωνὴ συνήθης, ἢ οὐκ ἂν εἰρήκει ῥαιβοειδέα τρόπον. ἐν δὲ τῷ μετὰ ταῦτα, χρόνῳ ὡς αὐτῆς ἐκβληθείσης, εἰς ἀσάφειαν ἥκει. τὸ μὲν γὰρ διὰ τοῦ κ λεγόμενον ῥοικοειδέα, ἐστὶ παρὰ Θεοκρίτῳ γεγραμμένον ἔνθα φησί,

GALENI COMMENTARIUS.

Inter omnia animalia homo coſtas habet maximè curvas, quoniam & pectus omnium latiſſimum: ex cæteris verò animalibus alia magis, alia minus acuto pectore ſunt: latiſſimi autem pectoris eſt homo, dein ſimia quæ pectus habet anguſtius homine, latius quàm cætera animalia. Commune eſt autem omnium animalium quæ thoracem habent, coſtis eſſe ab exteriori parte, quâ tangimus, gibbis: à contraria, intrinſecùs ſcilicet, ſimis. Id enim neceſſarium hominibus fuit, ut thoracis ſpacium latum redderetur, quoniam juxta os pectoris dirigi coſtas oportuit: reliquas earum partes: quùm deberent ad ſpinæ vertebras pervenire, opus fuit plurimum curvari. Res igitur, quam proponit, ex eo apertè intelligitur, quod ipſe ait, coſtas maximè curvas eſſe, quodque earum figura talem evidenter ſe oſtendit. Reſtat quæſtio, quæ ad rem non pertinet, ſicut prior, ſed ad vocem, quùm Hippocrates explanationis, vel exempli cauſâ uſus fuerit verbo ῥοιβοειδέα: quod majorem affert obſcuritatem, quàm res ipſa, cujus gratiâ id exemplum affertur, tunc fortaſſe vox erat uſitata, alioquin verba hæc modo eorum, quæ curva ſunt, non dixiſſet ῥοιβοειδέα τρόπον: deinde uſu exploſa, obſcura effecta eſt. Vox quidem ῥοικοειδέα per κ apud Theocritum curvum ſignificat eo carmine, ubi inquit,

Inter proceſſus oſſium vertebrarum, utrinque complent muſculi, qui à cervicibus orſi uſque ad nexum intendunt.

...των ἀπὸ τῶν σπονδύλων, ἀποπληροῦσιν ἑκατέρωθεν οἱ μύες, ἀπὸ τοῦ αὐχένος ἀρξάμενοι, ἄχρι τῆς φρενῶν τῆς προσφύσιος.

GALENI COMMENTARIUS.

QUod in corporibus incidendis apparet, non admodum conſentit cum verborum ſententia: nam quod apparet, hujuſmodi eſt. A coſtarum capitibus, quà cum vertebris committuntur, muſculi ſunt à poſteriori parte, qui ῥαχῖται nuncupantur, alii in longitudinem ſpinæ tendunt uſque ad initium crurum: à priori parte in longitudinem muſculi non procedunt, ſed tranſverſi inter coſtas, quos μεσοπλευρίους appellant. Deinde ad aliquot coſtas pertinent muſculi, qui ſtomacho ſubjecti ſunt, à quibus totum collum in priorem partem attrahitur, & paululùm etiam annuit, ubi capitis commiſſura non moveatur: ipſa enim per ſe maximum habet motum in annuendo, & abnuendo, ſi quis eam cum vertebris conferat, quæ poſt primas ſunt: aliarum enim inter ſe commiſſuræ paululùm moventur. Sed & à regione juxta lumbos procedunt ad extremas thoracis coſtâs eorum muſculorum ſummitates, qui ψόαι dicuntur: in medio autem thoracis ad coſtas muſculi non pertinent, qui ſiti ſunt ad vertebrarum proceſſus à lateribus poſitos, quà committi coſtas poſui. Sunt & alii duo muſculi anguſti, atque exigui, qui ab exteriori parte per univerſum thoracem juxta muſculos, qui ῥαχῖται dicuntur, intendunt à priori parte, non à poſteriori versùs ſpinam. Hæc igitur eſt poſitio, ac natura muſculorum circà vertebras, quæ ex corporibus incidendis invenitur. Videamus deinceps, de quibuſnam Hippocrates meminerit, ac de iis quidem qui inter coſtas ſunt, patet ipſum minime egiſſe, quùm ait, muſculi, qui à cervicibus orſi; ſupereſt igitur, ut eos intellexerit, vel qui ῥαχῖται dicuntur, vel qui juxta os ſiti ſunt; ſed neutri rectè dicentur, quod inter coſtas eſt, quodque inter proceſſus oſſium vertebrarum, complere. ῥαχῖται quidem muſculi univerſis propoſitorum oſſium commiſſuris in toto thorace ſuperinjecti ſunt à poſteriori parte, nihil relinquentes, quod non contegant, ſed omnes coſtarum radices, & vertebrarum proceſſus, qui à lateribus ſunt, ad hæc quod inter ipſas radices eſt, complectuntur: Anguſti autem muſculi, qui juxta hos versùs priorem partem ſiti ſunt, protinus poſt commiſſuram

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C ΟΥ πάνυ τι συμφωνεῖ τὸ φαινόμενον ἐκ τῆς ἀνατομῆς, τῇ διανοίᾳ τῆς λέξεως. τὸ μὲν γὰρ φαινόμενον, ὧδ᾽ ἔχει. κατὰ τὰς κεφαλὰς τῶν πλευρῶν, ᾗ διαρθροῦνται εἰς τοὺς σπονδύλους, μύες εἰσὶν, ὄπισθεν μὲν, οἱ ῥαχῖται καλούμενοι, κατὰ τὸ μῆκος τῆς ῥάχεως ἐκτεταμένοι μέχρι τῆς τῶν σκελῶν ἀρχῆς. ἔμπροσθεν δὲ, κατὰ μῆκος, οὐ δι᾽ ὅλου τοῦ θώρακος ἐπικέκλινται μύες. ἐγκάρσιοι δὲ κεῖνται μεταξὺ τῶν πλευρῶν, οὓς μεσοπλευρίους ὀνομάζουσιν, ἐπιβαίνουσι πρὸς ὀλίγας τῶν πλευρῶν οἱ ὑποβεβλημένοι τῷ στομάχῳ μύες, ὑφ᾽ ὧν, εἰς τὸ πρόσω μέρος ὅλος ὁ
D τράχηλος ἑλκόμενος, ἐπινεύει βραχὺ, καὶ χωρὶς τῆς προκειμένης πρὸς κεφαλῆς διαρθρώσεως. ἐκείνη μὲν γὰρ, αὐτὴ καθ᾽ ἑαυτὴν, μεγίστην ἔχει κίνησιν, ἐπινευόντων τε, καὶ ἀνανευόντων, ἐάν τις μετὰ τοὺς πρώτους σφονδύλους αὐτὴν παραβάλλῃ, βραχυτάτην δ᾽ ἔχουσι τὴν πρὸς ἀλλήλους κίνησιν. ἀλλὰ καὶ τῶν κατ᾽ ὀσφὺν χωρίων, ἐπαναβαίνουσι τῷ θώρακι κατὰ τὰς ἐσχάτας πλευρὰς, αἱ κορυφαὶ τῆς ψόας. ὅσαι δ᾽ ἐν τῷ μεταξὺ τοῦ θώρακός εἰσιν, οὐκ ἔχει μυῶν ἐπιβολὴν ἐν ταῖς πλαγίαις ἀποφύσεσι τῶν
E σφονδύλων, αἷς ἔφην διαρθροῦσθαι τὰς πλευράς. εἰσὶ δὲ καὶ ἄλλοι δύο μύες, στενοὶ, καὶ μικροὶ, τοῖς ῥαχίταις παρεκτεταμένοι δι᾽ ὅλου τοῦ θώρακος ἔξωθεν, ἐν τοῖς πρόσω μέρεσιν αὐτῶν οὐ τοῖς ὀπίσω περὶ τὴν ἄκανθαν. αὕτη μὲν ἡ ἐκ τῆς ἀνατομῆς εὑρισκομένη θέσις τῶν περὶ τοὺς σπονδύλους μυῶν. ἴδωμεν ἐφεξῆς, τίνων ὁ Ἱπποκράτης δύναται μνημονεύειν. ὅτι μὲν οὖν τῶν μεσοπλευρίων οὐ δύναται, δῆλον ἐκ τοῦ λέγειν, τοὺς μύας ἀπὸ τοῦ αὐχένος ἄρχεσθαι. λείπεται τοίνυν, τῶν ῥαχιτῶν, ἢ τούτων παρατεταμένων μνημονεύειν αὐτόν. ἀλλ᾽ οὐδετέρως καλῶς ἂν λέγοι-
F το τὸ μεταξὺ τῶν ὀστῶν, καὶ τῶν πλευρῶν, τῶν ἀποπεφυκότων ἀπὸ τῶν σπονδύλων, τοὺς μῦς ἀναπληροῦν. οἱ μὲν γὰρ ῥαχῖται, τῇ διαρθρώσει τῶν εἰρημένων ὀστῶν ἐν ὅλῳ τῷ θώρακι πάσαις ὄπισθεν περιβέβληνται, μηδὲν ἀπολείποντες ἀσκέπαστον, ἀλλὰ τάς τε ῥίζας πάσας τῶν πλευρῶν τε ἅμα καὶ τῶν εἰς τὰ πλάγια τοῖς σφονδύλοις ἀποφύσεων, εἰσὶ μετὰ τὰς διαρθρώσεις. καὶ μὲν δὴ, καὶ τὸ κατὰ τὴν τελευτὴν εἰρημένον τῆς ῥήσεως, τὸ ἄχρι τῆς προσφύσιος, εἰ μὴ ἐπὶ τῶν

σιως, εἰς τὸ κοινὸν προχειρίσω. ὃ δή ἐστιν, ὡς ἐν διορισμοῖς, δόξαν ἔχειν τινὰ πιθανότητα τοῦτ' ἐστί. πλευρὰς μὲν ἀκουσόμεθα, τὰς τῶν σπονδύλων αὐτῶν κεφαλάς, ἀποπεφυκότα δὲ τῶν σπονδύλων ὀστᾶ, τὰ τὴν ἄκανθαν ἐργαζόμενα, τοὺς δὲ τὴν μεταξὺ χώραν ἑκατέρωθεν ἀναπληροῦντας μῦς, τὰς ῥαχίτας, πρόσφυσιν δὲ τὴν τῶν φρενῶν. ὅτι μὲν διδάσκαλος ἡμῶν Πέλοψ, τὰς μὲν πλαγίας ἀποφύσεις, τῶν σπονδύλων ἁπάντων, πλευρὰς ἔφασκεν εἰρῆσθαι νῦν ὑπ' αὐτοῦ, πρόσφυσιν δὲ, τὴν τῶν φρενῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

Αὕτη δὲ ἡ ῥάχις, κατὰ μῆκος ἰθυσκόλιός ἐστι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σκολίωσις μὲν, ἡ εἰς τὸ πλάγιον αὐτῆς, ὀνομάζεται διαστροφή. νῦν δὲ, οὐ τὴν εἰς τὸ πλάγιον, ἀλλὰ τὴν εἰς τοὔπισω τε καὶ πρόσω, βούλεται δηλοῦν. εὐθεῖα γὰρ οὖσα κατὰ τὸ μῆκος, ἐγκλίνεται βραχὺ πρός τε τὴν ὀπίσω καὶ τὴν πρόσω χώραν, ὡς αὐτὸς ἐφεξῆς διδάσκει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

Ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου, ἄχρι τοῦ μεγάλου σπονδύλου παρ' ὃν προσήρτηται τῶν σκελέων ἡ πρόσφυσις, ἄχρι μὲν τούτου κυφή. κύστις τε γὰρ, καὶ γοναὶ, καὶ ἀρχοῦ τὸ χαλαρὸν, ἐν τουτέῳ ἔκτισται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν τῶν σκελῶν πρόσφυσιν, ἔνεστιν ἀκοῦσαι πολυειδῶς, κυριώτατον μὲν ἴσως, τὴν ἀπὸ τῆς κατ' ἰσχίον διαρθρώσεως, ἥ τις γίνεται, τῆς μηροῦ τῆς κεφαλῆς συνδεδεμένης τῷ κατ' ἰσχίον ὀστῷ, διά τε τῶν πλατέων συνδέσμων, καὶ τοῦ στρογγύλου, καθ' ὃν, τῷ βαθυτάτῳ τῆς κοτύλης συμπέφυκε, καὶ διὰ τῶν μυῶν κινούντων τὴν τοῦ μηροῦ διάρθρωσιν, εἰκότως ἂν λέγοιτο τοῖς ὑπερκειμένοις συμφύεσθαι τὸ σκέλος, καὶ μετὰ ταῦτα διὰ νεύρων, εἶτ' ἔπειτα, δι' ἀρτηριῶν τε καὶ φλεβῶν. ἔοικε δὲ νῦν ὁ Ἱπποκράτης, τὴν διὰ τῶν νεύρων πρόσφυσιν δηλοῦν. εἰ δὲ τὸν κατὰ ὀσφὺν ἔσχατον σπόνδυλον, ὃ διαρθροῦται, τῷ πλατεῖ τε, καὶ ἱερῷ καλουμένῳ ὀστῷ, τῶν ἐπὶ τὰ σκέλη φερομένων νεύρων ἐστὶν ἡ ἔκφυσις. ἀλλὰ καὶ τὸ ἵνα χρὴ τὸ ὑπὸ τοῦ τόπου κατ' αὐτὴν εἶναι τὴν ῥάχιν, ὑπὸ τῶν κατὰ τὴν ἀνατομὴν φαινομένων μαρτυρεῖται, καὶ τὸ, κύστιν, καὶ γο-

primum librarium, ſicut in aliis multis vete-
B rum ſcripturis. Sed, quùm ita habeant, quæ in corporibus apparent, quæſtio idoneæ expoſitionis communiter omnibus proponatur; quod autem diſtinctum, & aliquatenus probabile videtur, hujuſmodi eſt. Coſtas accipiemus pro ipſarum coſtarum capitibus: proceſſus oſſium vertebrarum, pro oſſibus, quæ ſpinam conſtituunt: ſed muſculos complentes utrinque eam regionem, quæ interjecta eſt, *ῥαχίτας* intelligemus: nexum, ſepti tranſverſi. Pelops autem præceptor noſter coſtas, nunc ab Hippocrate voluit nominari omnes vertebrarum proceſſus,
C qui à lateribus ſunt: ſed nexum retulit ad ſeptum tranſverſum.

HIPPOCRATIS TEXTUS XL.

Ipſa autem ſpina in longitudinem rectè obliqua eſt.

GALENI COMMENTARIUS.

Obliquam dixit *σκολιὴν*, eam ſic appellare
D ſolitus, quæ in latus inclinata eſt: nunc autem non in latus, ſed in poſteriorem, & priorem partem ſignificare vult: ſpina enim in longitudinem rectà paululum in poſteriorem, & priorem partem inclinatur, ut ipſe deinceps docebit.

HIPPOCRATIS TEXTUS XLI.

Ab oſſe ſacro uſque ad magnam vertebram, quà inhaeret crurum nexus, ſpina cava eſt: quoniam veſica, partes naturales, & id inteſtinum, quod laxum eſt ſupra anum, hac
E *parte continetur.*

GALENI COMMENTARIUS.

Crurum nexus multis modis intelligi poteſt, maximè quidem propriè fortaſſe is, qui à coxarum commiſſura eſt, quùm ſcilicet femoris caput coxarum oſſi per lata ligamenta illigatur; & per id quod rotundum eſt, quo altiſſimis partibus cavi ipſius coxæ innectitur:
F tum per muſculos qui commiſſuram femoris movent, meritò utique dici poteſt crus necti ſuperioribus partibus; deinde per nervos, poſtea per arterias, & venas. Videtur autem hìc Hippocrates nexum per nervos exponere, quum ab extrema lumborum vertebra, quæ committitur cum oſſe, quod & latum & ſacrum nuncupatur, oriantur nervi qui tendunt ad crura, comprobatur autem, vel ex eo quod in corporibus incidendis apparet, veſicam & partes natu-

HAc parte nihil tale ſpinæ incidet, quales in inferiori uterus, & veſica. Quare non neceſſe fuit ab interiori parte ſimam eſſe, atque idcircò, neque ab exteriori parte gibbam, ſed hac parte ſpinam paululùm intus ſpectare, fulciri enim ab ipſa magnam arteriam, ac venam oportebat.

ΟΥδὲν ἐνταῦθα τοιοῦτον πρόκειται τι κατὰ τῆς ῥάχεως, οἷον ἐν τοῖς κατὰ μήτραν, ἢ ἐν κύστει, ὥστ' οὐδὲ σιμωθῆναι τὸ ἔνδον ἐχρῆν, καὶ διὰ τοῦτο, οὐδὲ κυφωθῆναι τὸ ἔξω, ἀλλὰ καὶ βραχὺ ῥέπειν εἴσω κατὰ τοῦθ' ἡ C ῥάχις. ἐπὶ γὰρ τὴν ἀρτηρίαν ἰδεῖν τὴν μεγάλην, καὶ τὴν φλέβα ἢ κατ' αὐτῆς ἐστηρίχθαι.

HIPPOCRATIS TEXTUS XLIII.

ATque hic locus ſolus ab interiori parte adjunctos habet muſculos, quos ψόας *appellant.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μγ΄.

ΚΑὶ προσπεφύκασιν ἔχει μύας, τοῦτο μοῦνον τὸ χωρίον ἐκ τῶν ἔσωθεν, οὓς δὴ καλέουσι ψόας.

GALENI COMMENTARIUS. D

EX his potiſſimùm verbis conjicere quis poſſet, Hippocratem ſpinæ non annumeraſſe vertebras cervicum; quaſi enim ſpina univerſa lato oſſe & vertebris, quæ ad lumbos, & quæ ad thoracem ſunt, contineatur, dixit: atque hic locus ſolus ab interiori parte adjunctos habet muſculos. Nam, ſi ſpinæ, cervicum quoque vertebras annumeret, falſum utique erit hunc locum duntaxat habere adjunctos muſculos, cùm & in cervicibus ab interiori parte grandes muſculi contineantur: quos, quùm grandes ſint, non latuiſſe Hippocratem nemo ignorat, quando etiamſi exigui fuiſſent, nullo modo ipſum latuiſſent; horum tamen muſculorum, qui ψόαι nominantur, particulam uſque ad eam regionem pertinere, quà ſeptum tranſverſum innectitur, propoſitis verbis non notavit, ut qui operæpretium eſſe tam exquiſitè docere non exiſtimarit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΚ ταύτης τῆς ῥήσεως, μάλιστ' ἄν τις τεκμήραιτο, μὴ συναριθμεῖν αὐτὸν τῇ ῥάχει τοὺς κατὰ τράχηλον σπονδύλους. ὡς γὰρ ἐκ τοῦ πλατέος ὀστοῦ, καὶ τῶν κατὰ θώρακα σπονδύλων συγκειμένης ὅλης τῆς ῥάχεως, ὑπὸ προσπεφύκασιν ἔχει μύας τοῦτο μόνον τὸ ἔσωθεν. εἰ γὰρ δὴ καὶ τοὺς κατὰ τράχηλον αὐτοῖς συνεπείθμεν, ψευδὴς ἂν ἦν ἐναργῶς. οὐ γὰρ μόνον τούτου τοῦ χωρίου προσπεφυκότας μύας ἔχοντος, καὶ τοῦ τραχήλου μεγάλους E μῦς, ἐκ τῶν ἔνδον μερῶν. οὐδὲ γὰρ ἠγνόησέ τις αὐτοὺς ἀξιολόγους ὄντας, ὅπως γε οἱ μικρότεροι μύες ἔσθ' οὐκ ἂν αὐτοὺς ἠγνόησεν. εἰ μὲν τοι μέχρι τι τῶν ψοῶν, ἄχρι τῶν φρενῶν ἀναγίνεσθαι προσέφυσιν, οὐκ ἐπεσημήνατο τοῖς προκειμένοις νῦν, οὐχ ἡγούμενος ἁρμόττειν τὴν τοιαύτην ἀκριβολογίαν.

HIPPOCRATIS TEXTUS XLIV. F

AB hoc item ad magnam vertebram, quæ ſita eſt ſublimior commiſſura humeri cum lato ſcapulatum oſſe, rectà in gibbum vertitur, ſed magis adhuc videtur, quàm ſit: habet enim ſpina in medio oſſium proceſſus altiſsimos, ab utraque autem parte humiliores.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μδ΄.

ΑΠὸ δὲ τούτου, ἄχρι τοῦ μεγάλου σπονδύλου, τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἰθυκυφὴς, ὅτι δὲ μᾶλλον δοκέει, ἢ ἐστι. ἡ γὰρ ἄκανθα, κατὰ μέσον, ὑψηλοτάτας τὰς ἐκφύσιας τῶν ὀστέων ἔχει, τῇ δὲ καὶ ἔνθεν ἐλάσσους.

γινομένοις ἐκεῖνα, μὴ δεομένοις ὑπ' ἐμοῦ, πλὴν εἴ που λέξις ἐμπίπτοι, χρήζουσά τινος ἐξηγήσεως, ἧς ἕνεκεν, καὶ τὰ τοιαῦτα ὑπομνήματα γράφεσθαι, καθάπερ τι, καὶ τὸ ἐπὶ τῇ προκειμένῃ νῦν ῥήσει.

ita ſunt: neque opus eſt me ulterius explanante, niſi ſi quod verbum alicubi occurrat, quod expoſitionem requirat, cujus cauſâ hujuſmodi commentaria ſcribuntur: quemadmodum evenit in hoc ipſo loco.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μέ.

Αὐτὸ δὲ τὸ ἄρθρον τοῦ αὐχένος, λορδόν ἐστιν. ὀχήσιοι μὲν ἐν κυφώμασι γὰρ κατὰ τοὺς σφονδύλους, ἐξίσταται μὲν μεγάλη ἀπορραγεῖσα ἀπὸ τῆς συμφύσιος, ἢ ἑνὸς σφονδύλου, ἢ καὶ πλεόνων, οὐ μέντοι πολλοῖσι γὰρ, ἀλλ' ὀλίγοισιν. οὐδὲ γὰρ τὰ τρώματα τὰ τοιαῦτα ῥηΐδιον γενέσθαι, ὅτι γὰρ ἐς τὸ ἔξω ἐξωσθῆναι ῥηΐδιόν ἐστιν, εἰ μὴ ἐκ τοῦ ἔμπροσθεν ἰσχυρῷ τινι τρωθείη, διὰ τῆς κοιλίης. οὕτω δ' ἂν ἀπόλοιτο, ἢ εἴ τις ἀφ' ὑψηλοῦ τοῦ χωρίου πεσὼν, ἐρείσειε τοῖσιν ἰσχίοισιν, ἢ τοῖσιν ὤμοισιν. ἀλλὰ καὶ οὕτως ἂν ἀποθάνοι, παραχρῆμα δὲ, οὐκ ἂν ἀποθάνοι. ἐκ δὲ τοῦ ὄπισθεν, οὐ ῥηΐδιον τοιαύτην ἔξαρσιν γενέσθαι ἐς τὸ εἴσω, εἰ μὴ ὑπέρβαρύ τι ἄχθος ἐμπέσοι. τῶν τε γὰρ ὀστέων, τῶν ἐκπεφυκότων ἔξωθεν, ἕκαστον τοιοῦτόν ἐστιν, ὥστε πρόσθεν ἂν αὐτὸ καταγῆναι, πρὶν ἢ μεγάλην ῥοπὴν εἴσω ποιῆσαι, τούς τε συνδέσμους βιασάμενον.

HIPPOCRATIS TEXTUS XLV.

Ipſa verò cervicum commiſſura in interiorem partem ſpectat. Quibus igitur vertebræ gibbæ ſiunt, magnâ vi conjunctione abruptâ expellitur vel una vertebra, vel plures: quæ res non accidit multis, ſed paucis: non enim facile incidunt hujuſmodi caſus; nam nec facile in interiorem partem veniunt vertebræ, niſi à priori per ventrem vehemente ictu tendantur; ſic autem homo interiret, aut niſi quis in ſuperiori loco decidens, in coxas vel ſcapulas cadat, ſed & ſic quoque expirare. A poſteriori autem parte non facilè expellitur vertebra in interiorem, niſi aliquid grave admodum ſuper ipſam incidat: oſſa enim quæ ab exteriori parte procedunt, ſingula talia ſunt, ut potiùs frangi poſſint, quàm coactis ligamentis, valde in interiorem partem erumpere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰς τὸ πρόσω μέρος δηλονότι, καὶ γὰρ φαίνεται οὕτω. δύο δέ εἰσιν οἱ πρῶτοι σφόνδυλοι, καθ' οὓς τὸ ἄρθρον γίνεται τοῦ αὐχένος, καθ' ὃ λοιποὶ τρεῖς εἰσιν, ὧν οὐκ ἐμνημόνευσεν, ὅπως ἔχουσι θέσεως ἐν τῷ μεταξὺ τοῦ δευτέρου, καὶ τοῦ ἕκτου, τρίτος, καὶ τέταρτος, καὶ πέμπτος. οἱ δὴ μάλιστα φαίνονται θέσιν εὐθεῖαν ἔχοντες, ὄντες καὶ ἄλλοι μικρότατοι τῶν δύο σφονδύλων, καὶ μάλιστα ὁ τρίτος. ὁ γάρ τοι τέταρτος, ἡ μείζων ἐστὶν αὐτοῦ, καθάπερ καὶ τούτου πάλιν ὁ πέμπτος. ὁ δὲ ἕκτος, οὐ τούτων μόνον, ἀλλὰ καὶ τοῦ ἑβδόμου μείζων. οἱ δ' ἀπὸ τοῦδε πάντες, ἄχρι καὶ τοῦ πέρατος τῆς ῥάχεως, ἀλλήλων ἀνάλογον μείζους εἰσὶν, ἐπ' ἀνθρώπου ἐξεταζομένου τοῦ λόγου, καὶ μετ' αὐτὸν ἐπὶ πιθήκοις, ὅσοι τὸ πρόσωπον ἀνθρωποειδέστερον ἔχουσι, καὶ μᾶλλον τῶν ἄλλων ὄρθιοι βαδίζουσιν, ἥ τε τὰ τ' ἄλλα, καὶ τὰ τῶν ὀστῶν θέσιν ἂν ἐοίκασιν ἀνθρώποις. ἔχουσι δέ τι κοινὸν ἐν τῇ ῥάχει, πρὸς τὰ ἄλλα ζῶα τὰ τετράποδα, τοῖς ἀνθρώποις οὐχ ὑπάρχον. ἔστι γὰρ αὐτοῖς ὀσφὺς μακροτέρα τῆς ἐπ' ἀνθρώπου, ἀνάλογον δηλονότι τῶν μεγέθους τῶν ἄλλων ἐξεταζόντων ἡμῶν, ἀνθρώποις μὲν οὖν ε. κατὰ τὴν ὀσφὺν εἰσὶ σφόνδυλοι, τοῖς πιθήκοις, ὥσπερ καὶ τοῖς ἄλλοις τετράποσιν ς'. εἰσὶν. ἐπισημαίνεσθαι δὲ προσήκει κατὰ τὴν ἐνεστῶσαν λέξιν, ὅτι προθέμενος εἰπεῖν περὶ τοῦ τῆς ῥάχεως σχήματος, ἀρξάμενός τε τοῦ λόγου κατὰ τήνδε τὴν λέξιν, αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκολιός ἐστιν. ἐπὶ τελευτῇ τοῦ λόγου προσέθηκεν, αὐτὸ δὲ τὸ ἄρθρον τοῦ

GALENI COMMENTARIUS.

Spectans in priorem partem, dixit λορδὸν; ita enim conſpicitur. Duo autem ſunt primæ vertebræ, quibus cervicum commiſſura efficitur: poſt quas relinquuntur tres, quarum non meminit, quomodo collocatæ ſint inter ſecundam & ſextam, nempe tertia, quarta & quinta, quæ maximè videntur rectum poſitum habere; hæ autem vertebræ longè minores ſunt duabus, & præcipuè tertia: quarta enim hac major eſt, ſicut his rurſus quinta; ſexta verò non his duntaxat major eſt, ſed ſeptima etiam. Ab hac autem uſque ad extremam ſpinam pro ratione altera major alterâ eſt, ſi hæc in homine perpendantur, vel in ea ſimia quæ hominis faciem magis repræſentat, & magis quàm cæteræ, rectà inambulat, namque hæc & in aliis, & in oſſibus homini ſimillima eſt: unum autem in ſpina habet aliorum quoque quadrupedum commune, quod in homine non reperitur, nempe lumbos pro magnitudine reliquarum partium corporis longiores, quàm homo, cui ad lumbos quinque duntaxat vertebræ ſint; in ſimiis autem ſicut in aliis quadrupedibus, ſex. Illud autem animadvertere in propoſitis verbis oportet, quòd Hippocrates, quùm de ſpinæ figura tractare conſtituiſſet, orſus hoc modo; ipſa autem ſpina in longitudinem rectâ obliqua eſt, in extrema oratione adjecit, ipſa verò cervicum commiſſura in

σιντον, εἰ μή τις διαφθείρειεν τὸν ἄνθρωπον.

GALENI COMMENTARIUS.

VErtebrarum articulos dicit in proceſſibus à lateribus ſitis, quorum alter alterum excipit: eos autem ait recipere, & in alios conjici, eò quòd utraque vertebra duobus proceſſibus ſublimioribus cum ſuperiori vertebra committatur: duobus humilioribus cum inferiori, ſic ut aliis proximæ vertebræ proceſſus admittat, aliis in alterius proceſsus conjiciatur, quæ omnia perfectè executi ſumus in libro de oſsibus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΩν σπονδύλων ἄρθρα φησὶν, ἃ πρὸς ἀλλήλους ἀπολυμένων κατὰ τὰς πλαγίας ἀποφύσεις. ἐνηλλαγ-
C μένα δ' εἶπεν ὅτι δύο μὲν ὑψηλοτέρας ἀποφύσεις ἔχοι αὐτῶν ἕκαστος δὲ διαρθροῦται πρὸς τὸν ὑπερκείμενον. ἄλλας δὲ ταπεινοτέρας αὖ πάλιν, αἷς πρὸς τὸν ὑποκείμενον διαρθροῦται, καὶ κατὰ μὲν τὰς ἑτέρας αὐτῶν, ὑποδέχεται τὰς ἐξοχὰς τῶν πλησιαζόντων, κατὰ δὲ τὰς ἑτέρας, ἐπιβαίνει θατέροις. γέγραπται δὲ περὶ τούτων ἀκριβῶς, ἐν τῷ περὶ τῶν ὀστέων.

HIPPOCRATIS TEXTUS XLVII.

NIſi hominem ſeces, deinde manu altè in ventrem indita, ab interiori parte in exteriorem
D *compellas, quod quidem mortuo fieri licet, vivente nullo pacto. Quorſum igitur hæc ſcribimus? quoniam nonnulli ſibi perſuadent ſe ſanaſſe eos, quibus vertebræ articuli ex toto excedentes in interiorem partem venerunt. Quanquam nonnulli facillimum exiſtiment vertebris eo modo luxatis evadere, nihilque opus eſſe reſtituere, ſed eas per ſe reſtitui. Multi ſanè ignari ſunt, & ob imperitiam lucrum faciunt, vulgo enim ſuadent. Hoc itaque pacto decipiuntur. Spinam quæ in dorſo extat, putant eſſe ipſas vertebras; nam ſingula tactu ibi rotunda ſentiuntur: neque intelligunt*
E *hæc oſſa ex vertebris procedere (de quibus paulò ſupra tractavimus) ipſas verò vertebras multò magis in priorem partem ſitas eſſe: ſiquidem ex omnibus animalibus homo pro magnitudine, ventrem, habet anguſtiſſimum à poſteriori parte in priorem, præcipuè ad thoracem. Ergo, ubi aliquod ex iis oſſibus quæ valde excedunt, comminuatur, ſive unum, ſive plura, is locus humilior fit, quàm qui hinc eſt, atque hinc: ac propterea errant, putantes vertebras in interiorem partem prociſſe. Quos item fallit habitus eorum, qui icti ſunt: nam, ſi curvari velint, dolent, cum qua parte*
F *percuſſi ſunt, cutis tendatur, ſicque oſſis fragmenta carnem magis vulnerent: ſin ita figurati, ut ſpina à poſteriori parte cava ſit, levantur, cutis enim quà fractura eſt, laxior efficitur, & oſſa minus vulnerant: quin ſi ea parte tangantur, cedunt, ſpinam in priorem partem compellentes, iſque locus inanis & mollis tangenti apparet. Hæc omnia quæ dicta ſunt, Medicos fallunt: citò autem, ac ſine aliquo detrimento, hujuſmodi homines per ſe ſaneſcunt: hæc enim*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μζʹ.

ΕΙ μὴ ἔπειτα ἰσμασσάμενος ἐς τὴν κοιλίην, ἐκ τοῦ ἔσωθεν, τῇ
D χειρὶ ἐς τὸ ἔξω ἀνταπωθοίη, καὶ ταῦτα νεκρῷ μὲν οἷόν τε ποιέειν, ζῶντι δὲ, οὐ πάνυ. διὰ τί οὖν ταῦτα γράφω; ὅτι οἴονταί τινες ἰητρευκέναι ἀνθρώπους, οἷσιν εἴσω ἔπεσον σπόνδυλοι, τελέως ὑπερβάντες τὰ ἄρθρα, καίτοι γε ῥηΐστην ἐς τὸ περιγενέσθαι τῶν διαστροφέων, ταύτην ἔνιοι νομίζουσι, καὶ οὐδὲν δεῖσθαι ἐμβολῆς, ἀλλ' αὐτόματα ὑγιέα γίνεσθαι τὰ τοιαῦτα. ἀγνοέουσι δὲ πολλοὶ, καὶ κερδαίνουσιν, ὅτι ἀγνοοῦσι, πείθουσι γὰρ τοὺς πέλας. ἐξαπατῶνται δὲ, διὰ τόδε· οἴονται τὴν ἄκανθαν, τὴν ἐξέχουσαν κατὰ τὴν ῥάχιν ταύτην, τοὺς σπονδύλους αὐτοὺς εἶναι, ὅτι στρογγύλον αὐτῶν ἕκαστον φαίνεται ψαυόμενον, ἀγνοοῦντες, ὅτι τὰ ὀστέα
E ταῦτά ἐστι τὰ ἀπὸ τῶν σπονδύλων πεφυκότα, περὶ ὧν ὁ λόγος ὀλίγῳ πρόσθεν εἴρηται. οἱ δὲ σπόνδυλοι πολὺ προσωτέρω ἄπεισι. στενοτάτην γὰρ πάντων ζώων ἄνθρωπος κοιλίην ἔχει, ὡς ἐπὶ μεγέθει, ἀπὸ τοῦ ὄπισθεν ἐς τὸ ἔμπροσθεν, ποτὶ καὶ κατὰ τὸ στῆθος. ὅταν οὖν τι τούτων τῶν ὀστέων τῶν ὑπερεχόντων ἰσχυρῶς κατεαγῇ, ἤν τε πλείω, ταύτῃ ταπεινότερον τὸ χωρίον γίνεται, ἢ τὸ ἔνθεν καὶ ἔνθεν· διὰ τοῦτο ἐξαπατῶνται, οἰόμενοι τοὺς σπονδύλους εἴσω οἴχεσθαι, προσεξαπατᾷ δὲ ἔτι αὐτοὺς, καὶ τὰ σχήματα τῶν τετρωμένων. ἢν
F μὲν γὰρ πειρῶνται καμπύλεσθαι, ὀδυνῶνται, ὀστέα τὰ περιτείνοι· γινομένου ταύτῃ τοῦ δέρματος ᾗ τέτρωται, καὶ ἅμα τὰ κατεηγότα ἐνθράσσει οὕτω μᾶλλον τὸν χρῶτα. ἢν δὲ λορδαίνωσι, ῥάους εἰσί· χαλαρώτερον γὰρ τὸ δέρμα κατὰ τὸ τρῶμα γίνεται, καὶ τὰ ὀστέα ἧσσον ἐνθράσσει· ἀτὰρ καὶ ἤν τις ψαύῃ αὐτῶν κατὰ τοῦτο, ὑπείκουσι λορδοῦντες, καὶ τὸ χωρίον, κενεὸν καὶ μαλθακὸν, ψαυόμενον, ταύτῃ φαίνεται. ταῦτα πάντα τὰ εἰρημένα προσεξαπατᾷ τοὺς ἰητρούς. ὑγιέες δὲ ταχέως, καὶ ἀπόνως αὐτόματοι οἱ τοιοῦτοι γίνονται.

Σκολιαίνεται γοῦν ῥάχις, καὶ ὑγιαίνουσι κατὰ πολλοὺς τρόπους. καὶ γὰρ ἐν τῇ φύσει, καὶ ἐν τῇ χρήσει, οὕτως ἔχει. ἀτὰρ καὶ ὑπὸ γήραος, καὶ ὑπὸ ὀδυνημάτων, ἐπεὶ ξυνδετική ἐστιν. αἱ δὲ δὴ κυφώσιες, αἱ ἐν τοῖσι πτώμασιν, ὡς ἐπὶ τὸ πολὺ γίνονται, ἢν ἢ τοῖσιν ἰσχίοισιν ἐρείσῃ, ἢ ἐπὶ τοὺς ὤμους πέσῃ. ἀνάγκη γὰρ ἔξω φαίνεσθαι ἐν τῷ κυφώματι, ἕνα μέν τινα ὑψηλότατον τῶν σφονδύλων, τοὺς δὲ ἔνθεν καὶ ἔνθεν ἐπὶ ἧσσον· οὔκουν ὡς ἐπὶ πολὺ ἀποπεπηδηκὼς ἀπὸ τῶν ἄλλων ἐστὶν, ἀλλὰ μικρὸν, ἕκαστος συνδέδωκεν ἀθρόως πολύ. διὰ οὖν τοῦτο, καὶ ὁ νωτιαῖος μυελὸς εὐφόρως φέρει τὰς τοιαύτας διαστροφὰς, ὅτι κυκλώδης αὐτῷ ἡ διαστροφὴ γίνεται, ἀλλ' οὐ γωνιώδης.

B Iam verò iis qui ſani ſunt, obliqua ſpina fit pluribus modis: namque & natura, & uſu ſic habet: ſed & ob ſenium, & ſub dolore, hæc ſiquidem colligandi vim habent. Gibba autem plerunque fit, quùm homo vel in coxas, vel in ſcapulas cadit: neceſſe enim eſt in ſpina gibba unam aliquam vertebram reliquarum omnium conſpici maximè ſublimem: eas autem quæ hinc atque hinc ſunt, minùs. Nec plurimùm hujuſmodi vertebra ab aliis recedit, ſed parum quando ſingulæ ſubitò plurimùm cedunt. C Hac igitur de cauſa & ſpinæ medulla facilè fert, quùm ita pervertitur, quùm fiat gibba in orbem, non ad angulum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν μὲν εἰς τοὐπίσω διαστροφὴν τῆς ῥάχεως, κύφωσιν ὀνομάζει, τὴν δὲ εἰς τὸ πρόσω λόρδωσιν, τὴν δὲ εἰς τὰ πλάγια, σκολίωσιν. ἀλλὰ τούτῳ γε τῷ ὀνόματι τῆς σκολιώσεως, καθ' ἕτερον χρῆται τρόπον, καθ' ἁπάσης διαστροφῆς ῥάχεως, ἐνδεικνύμενος δι' αὐτοῦ, ὡς σημαίνοντός τι γενικώτερον τῶν ἄλλων. οὕτω γὰρ, καὶ νῦν εἶπε σκολιαίνεσθαι ῥάχιν, ἐν ἴσῳ, τῷ διαστρέφεσθαι καθ' ὁντιναοῦν τρόπον, καὶ ἔμπροσθεν δέ που ἔλεγεν. αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος εὐθυσκολιός ἐστι, αὐτῆς δηλώσας διαστροφὴν, εἰς τε τοὐπίσω καὶ πρόσω.

GALENI COMMENTARIUS.

VBi ſpina gibba fit, hoc eſt in poſteriorem partem convertitur, κύφωσιν appellat: λόρδωσιν, ubi curva, ſpectatque in priorem: ubi obliqua & in latera, σκολίωσιν; quo verbo utitur alio modo, & ad omnem ſpinæ depravationem ſignificandam, indicans verbum generale magis eſſe quàm alia, D in qua ſignificatione nunc quoque ait ſpinam σκολιαίνεσθαι, quaſi dicat quovis modo perverti; atque in ſuperioribus etiam dixit; ipſa autem ſpina in longitudinem rectè obliqua eſt, obliquam vocans σκολιὴν, ubi eam inclinare in priorem, & poſteriorem partem indicavit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μθ'.

Χρὴ δὲ τὴν κατάτασιν τοῦ διαναγκαζομένου, τοιῶσδε κατασκευάσασθαι. ἔξεστι μὲν ξύλον ἰσχυρὸν καὶ πλατὺ, ἐντομὴν παραμήκεα ἔχον, κατορύξαι, ἔξεστι δὲ καὶ ἀντὶ τοῦ ξύλου, ἐν τοίχῳ ἐντομὴν παραμήκεα ἐντάμνειν, ἢ πήχεϊ αἰωτέρω τοῦ ἐδάφεος, ἢ ὅκως ἂν μετρίως ἔχῃ, ἔπειτα δὲ ξύλον δρύϊνον, τετράγωνον, πλάγιον παραβάλλειν, ἀπολείποντα ἀπὸ τοῦ τοίχου, ὅσον παριέναι τινὰ, ἢν δέῃ, καὶ ἐπὶ μὲν τὸ ξύλον ἐπιστορέσαι, ἢ χλαίνας, ἢ ἄλλο τι ὃ μαλθακὸν μὲν ἔσται, ὑπείξει δὲ μὴ μέγα, τὸν δὲ ἄνθρωπον πυριῆσαι. ἢν δὲ δέχηται, πολλῷ καὶ θερμῷ λούσας, κἄπειτα πρηνέα κατακλίναι, κατατεταμένον, καὶ τὰς μὲν χεῖρας αὐτοῦ παρατετάσθαι κατὰ φύσιν, προσδῆσαι πρὸς τὸ σῶμα. ἱμάντι δὲ μαλθακῷ ἱκανῶς, πλατεῖ τε, καὶ μακρῷ, ἐκ δύο διπτύχων ξυμβεβλημένῳ μέσῳ, κατὰ μέσον τὸ στῆθος δὶς περιβεβλῆσθαι χρὴ, ὡς ἐγγυτάτω τῶν μασχαλέων, ἔπειτα τὸ περισσεῦον τοῦ ἱμάντος, κατὰ τὴν μασχάλην, ἑκάτερον περὶ τοὺς ὤμους περιβεβλήσθω, ἔπειτα αἱ ἀρχαὶ πρὸς ξύλον ὑπεροειδές τι προσδεδέσθωσαν, ἁρμόζουσαι κατὰ μῆκος τῷ ξύλῳ τῷ ὑποτεταμένῳ,

HIPPOCRATIS TEXTUS XLIX.

E Oportet autem reſtituendi rationem hujuſmodi præparare. Commodè quidem lignum firmum, ac latum quod in longitudinem inciſum ſit, foditur: commodè etiam pro ligno paries in longitudinem excavatur, quod cavum à pavimento, vel cubitum, vel quantum res exigit, attollatur. Dein veluti quadrata columna querna tranſverſa adhibetur, quæ à pariete eatenùs recedat, ut aliquis inter utrunque, ubi opus ſit, tranſire queat: ſternitur columna hæc, vel tunicis, vel quapiam re, quæ mollis ſit, & non admodum cedat. F Homo fovetur, & ſi ſuſtinet, multa aqua calida lavatur: deinde in ventrem jacet extentus, brachiis ſecundùm naturam porrectis, atque ad corpus alligatis. Lorum item molle, latumque abundè, & longum, quod conſtet duabus habenis, medium medio pectori iniectum bis circundatur, quantum poteſt juxta alas: poſtea quod ex loris ſupereſt, circa alas humeri capiti obvolvitur, capitaque ad aliquod lignum cujuſmodi piſtillum eſt, alligantur; eorum enim longitudo aptatur longitudini ejus ligni quod ſubjectum eſt, ut hoc piſtillo extendenti mora fit. Hujuſmodi

eam partem quà ſpina gibba eſt, ſedeat: ſimulque ubi homo extenditur, ſe attollens concutiat. Sed & pedibus conſiſtere ſuper ſpinam quà gibba eſt, ſuſtinerique & leniter concutere, nihil prohibet, ad quam rem ſatis idoneus eſt quilibet palæſtræ aſſuetus.

A

A Columna querna quadrata, &c.

B

A Columna querna quadrata, &c.

C

A Columna querna quadrata, &c.

D

A Paries excavatus, &c.

Aptiſſimè autem cogitur, ſi paries, qui excavatur, vel lignum quod foditur, quatenùs convenire videbitur, infra hominis ſpinam incidatur: aſſer verò è tilia, vel ex altero ligno non tenui ſecetur, tum ſupra ſpinam quà gibba eſt, vel multiplex panniculus, vel parvus aliquis pulvinus ſcorteus, imponatur: ſed quantum minimè poteſt, convenit hæc ſubjicere: videndum eſt ſolummodo ne aſſer præ duritie fruſtra dolori ſit: ea autem pars ſpinæ, quæ gibba eſt, ſit maximè è regione ejus partis, quà paries exciſus eſt, ut aſſer, quà maximè ſpina extat, ſuperimpoſitus, maximè premat: adhibitus vero aſſer, à miniſtro uno vel altero, ſi opus fuerit, cogatur; alii ut ſuprà oſtenſum eſt, hinc atque hinc in longitudinem corpus intendant. Licet & per axes extendere vel juxta lignum defoſſos, vel contentos in quibuſdam lignis in ipſum defixis, quæ erigantur, ſive utrinque à lateribus paulalùm extantia, ſive in utraque ejus extremitate. Accommodatur autem vis, quæ per hæc adhibetur, & ubi vehementiore, & ubi leniore opus eſt: tantum enim roboris habet, ut ſi quis non in Medicina; ſed ad torquendos homines eam adhibeat, præſtanter ad id valeat, ita ut ſive tantum extendamus in longitudinem, hinc atque hinc nihil ultra cogentes, ſive citra intenſionem aſſerem duntaxat admoveamus, abundè ſit. Optimum autem eſt uti ejuſmodi via, quàm in ipſo uſu, & intendendo, & remittendo moderari potes, quæve ſecundùm naturam eſt. Quæcunque igitur extant, compreſſa, in ſuum locum redeunt: quæ præter naturam coïerunt, intenſa, ſecundùm naturam compelluntur. Equidem cogendi alium modum meliorem aut juſtiorem habeo nullum.

προσεστεπιδέντα ἐπὶ τῆς ἑτέρης, καταναγκάζειν προσξυνιέντα, ἤν τε ἐς ἰθὺ ἐς τὸ κάτω πεφύκῃ καταναγκάζεσθαι, ἤν τε πρὸς τῆς κεφαλῆς, ἤν τε πρὸς τῶν ἰσχίων. καὶ ἀσινεστάτη μὲν αὕτη ἡ ἀνάγκη. ἀσινὲς δὲ, καὶ ἐπικαθίζεσθαί τινα πρὸς τὸ κύφωμα, τοῦ ἅμα κατατεινομένου, ἐνσεῖσαι μετεωρισθέντα. ἀτὰρ καὶ
C ἐπιβῆναι τῷ ποδὶ, καὶ ὀχηθῆναι ἐπὶ τὸ κύφωμα, ἡσύχως τε ἐπισεῖσαι, οὐδὲν κωλύει. τὸ τοιοῦτο δὲ ποιῆσαι μετρίως, ἐπιτήδειος ἄν τις εἴη τῶν ἐπὶ παλαίστρῃ εἰθισμένων. δυναστοτάτη μέντοι τῶν ἀναγκέων ἐστὶν, εἰ ὁ μὲν τοῖχος ἐντετμημένος εἴη. τὸ δὲ ξύλον τὸ κατορωρυγμένον ἢ ἐντέτμηται, κατωτέρω εἴη τῆς ῥάχιος τοῦ ἀνθρώπου, ὁκόσῳ ἂν δοκέῃ μετρίως ἔχειν. σανὶς δὲ φιλυρίνη μὴ λεπτὴ ἐνείη, ἢ καὶ ἄλλου τινὸς ξύλου, ἔπειτα ἐπὶ τὸ ὕβωμα ἐπιτεθείη, ἢ πτύχιόν τι πολύπτυχον, ἢ μικρόν τι σκύτινον ὑποκεφάλαιον, ὡς ἐλάχιστα μὲν ὑποκεῖσθαι ξυμφέρει, μοῦνον προμηθεόμενον,
D ὡς μὴ ἡ σανὶς, ὑπὸ σκληρότητος, ὀδύνην παρὰ καιρὸν προσπαρέχῃ. κατ' ἴξιν δὲ ἔστω ὡς μάλιστα τῇ ἐντομῇ τῇ ἐς τὸν τοῖχον, τὸ ὕβωμα. ὡς ἂν ἡ σανὶς ᾗ μάλιστα ἐξέστηκεν, ταύτῃ μάλιστα πιέζῃ ἐπιτεθεῖσα. ὅταν δὲ ἐπιτεθῇ, τὸν μέν τινα καταναγκάζειν χρὴ τὸ ἄκρον τῆς σανίδος, ἤν τε ἕνα δέῃ, ἤν τε δύο. τοὺς δὲ, κατατείνειν τὸ σῶμα κατὰ μῆκος, ὡς πρόσθεν εἴρηται, τοὺς μὲν τῇ, τοὺς δὲ τῇ. ἔξεστι δὲ καὶ ὀνίσκοισι τὴν κατάτασιν ποιέεσθαι, ἢ παρακατορύξαντα παρὰ τὸ ξύλον, ἢ ἐν αὐτῷ τῷ ξύλῳ τὰς φλιὰς τῶν ὀνίσκων ἐντεκτηνάμενον, ἤν τε ὀρθὰς ἰθείης ἑκατέρωθεν μικρὸν ὑπερεχούσας, ἤν τε κατὰ
E κορυφὴν τοῦ ξύλου ἔνθεν καὶ ἔνθεν. αὗται αἱ ἀνάγκαι, εὐταμίευτοί εἰσιν, καὶ ἐς τὸ ἰσχυρότερον καὶ ἐς τὸ ἧσσον, καὶ ἰσχὺν ἔχουσι τοιαύτην, ὥς τε καὶ εἴ τις ἐπὶ λύμῃ βούλοιτο, ἀλλὰ μὴ ἐπὶ ἰητρείῃ, ἐς τοιαύτας ἀνάγκας ἀγαγεῖν, κἂν τούτῳ ἰσχυρῶς δύνασθαι· καὶ γὰρ ἂν κατατείνων κατὰ μῆκος μοῦνον ἔνθεν καὶ ἔνθεν, ὕπο καὶ ἄλλην ἀνάγκην οὐδεμίην προστιθεὶς, ὅμως κατατείνειεν ἄν τις, ἀλλὰ μὴν καὶ ἢν μὴ κατατείνων, αὐτῇ δὲ μοῦνον τῇ σανίδι οὕτως εἰ πιέζοι τις, καὶ οὕτως ἱκανῶς καταναγκάσει. ἀγαθαὶ οὖν αἱ τοιαῦται ἰσχύες
F εἰσὶν, ᾗ ἔξεστιν, καὶ ἀσθενεστέρῃσι καὶ ἰσχυροτέρῃσι χρέεσθαι αὐτὰς ταμιευόμενον, καὶ μὲν δὴ καὶ κατὰ φύσιν γε ἀναγκάζουσι. τὰ μὲν γὰρ ἐξεστεῶτα, ἐς τὴν χώρην ἀναγκάζει καὶ ἡ ἴπωσις ἰέναι. τὰ δὲ ξυνηγμένα κατὰ φύσιν, κατατείνουσιν αἱ κατὰ φύσιν κατατάσιες. οὔκουν ἐγὼ ἔχω τουτέων ἀνάγκας καλλίους, οὐδὲ δικαιοτέρας.

βολῆ, καὶ δίς, καὶ τρίς, καὶ πλεονάκις ἀναγνώτω, προσέχων τὸν νοῦν. εἰ γὰρ τοῦτο ποιήσῃ, πάντως αὐτοῦ ἐννοήσει σαφῶς ἑρμηνευόμενα.

pocrate ſcribuntur, iterum ac tertiò, ac ſæpius, diligenti animadverſione relegat; quòd, ſi hoc faciat, quæ planè ab ipſo traduntur, omninò intelliget.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ν.

Ἡ γὰρ κατ' αὐτὴν τὴν ἄκανθαν ἰθυωρίη τῆς κατατάσιος, κάτωθεν μέν τι καὶ κατὰ τὸ ἱερὸν ὀστέον καλεόμενον, οὐκ ἔχει ἐπιλαβὴν οὐδεμίην, ἄνωθεν δὲ, κατὰ τὸν αὐχένα, καὶ κατὰ τὴν κεφαλὴν, ἐπιλαβὴν μὲν ἔχει, ἀλλ' ἐς ἰδέην γε ἀπρεπής. Ταύτῃ γὰρ γινομένη ἡ κατάτασις, καὶ ἄλλας βλάβας ἂν προσπαρέχοι πλεοναχθεῖσα. ἐπειρήθην δὲ δή ποτε, ὑπτίου τοῦ ἀνθρώπου κατατείνας, ἀσκὸν ἀφύσητον ὑποθεῖναι ὑπὸ τὸ ὕβωμα, κάπειτα αὐλὸν ἐκ χαλκείου ἐς τὸν ἀσκὸν τὸν ὑποκείμενον ἐνιέντα, φυσᾷν, ἀλλά μοι οὐκ εὐπορεῖτο. ὅτε γὰρ εὖ κατατείνοιμι τὸν ἄνθρωπον, ἡσσᾶτο ὁ ἀσκὸς, καὶ οὐκ ἠδύνατο ἡ φῦσα ἐσαναγκάζεσθαι. καὶ ἄλλως ἔτι μὴ περιολισθαίνεσκεν, ἅτε ἐς τὸ αὐτὸ ἀναγκαζόμενόν τι, τό τε τοῦ ἀνθρώπου ὕβωμα, καὶ τὸ τοῦ ἀσκοῦ πληρευμένου κύρτωμα. ὅτε δ' αὖ μὴ κάρτα κατατείνοιμι τὸν ἄνθρωπον, ὁ μὲν ἀσκὸς ὑπὸ τῆς φύσης ἐκυρτοῦτο, ὁ δὲ ἄνθρωπος πάντη μᾶλλον ἐλορδαίνετο, ἢ συνέφερεν. ἔγραψα δὲ ἐπίτηδες τοῦτο· καλὰ γὰρ καὶ ταῦτα μαθήματά ἐστιν, ἃ πειρηθέντα ἀπορηθέντα ἐφάνη, καὶ δι' ἅσσα ἠπορήθη.

HIPPOCRATIS TEXTUS L.

Nam quum è regione ipſius ſpinæ intenſio adhibetur, ab inferiori parte, & juxta os, quod ſacrum appellatur, non eſt locus, qui prehendi poſſit: à ſuperiori juxta cervices & caput, eſt quidem, ſed aſpectu indecorus, præterquamquòd, ſi corpus ab hac parte valentiùs extendatur, alia quoque noxa afferetur. Expertus aliquando ſum utrem non inflatum, quem reſupinato homine ſpinæ, quà gibba erat, ſubjeci, dein fiſtulâ æneâ demiſſâ inflavi; ſed parum proceſſit: cedebat enim uter, quùm homo bene extendebatur, neque ſpiritus impellere quidquam poterat; ſed alioquin uter promptè labebatur, quum ſe compellerent & gibbus ſpinæ locus & repleti utris tumor: at contrà, quum non valdè homo extendebatur, uter ob ſpiritum in tumorem aſſurgebat: ſed homo magis quàm expediret, in priorem partem convertebatur. De induſtria autem hæc ſcripſi; pulchra enim hujuſmodi monumenta ſunt eorum, quæ quum experti ſumus, ſine effectu invenimus: & cauſarum, cur parum proceſſerint.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῆς αὖ ἐπιλαβὴν εἴρηκε τὴν οἷον αἰπιλαβὴν, καὶ ἀπίλησιν, ὥστε στηρίζεσθαι τοὺς περιβαλλομένους βρόχους, περί τι τῶν ἐξεχόντων ἕνεκα τοῦ ἀποπεσεῖν. κατὰ μὲν τὸ ἱερὸν ὀστέον, οὐδὲν ἔχει τοιοῦτον· ἄνωθεν δ' ἦν τι, τὸ τι ἔχῃ, καὶ τὴν κεφαλὴν, ἅμα φαίνοιτ' ἂν ὁ ἄνθρωπος πνιγόμενος, εἴ τις ἐνταῦθα περιδέοι, καὶ κατὰ τοῦτ' αὖ ἀπρεπὴς ἡ κατάτασις φαίνοιτο. καὶ μήν τοι καὶ βλάβας, ἂν παρέχοι, εἰ ὀλισθῇ τὸν βρόχον τις ἐπὶ τὸν λάρυγγα.

GALENI COMMENTARIUS.

Locum, qui prehendi poſſit ἐπιλαβὴν, quaſi αἰπιλαβὴν, & αἰπίλησιν dixit, eò quod obex, & mora ſit injectis laqueis, ſic, ut hæreant, quà eminet, & minimè decidant. Ab oſſe ſacro nullus talis locus eſt à ſuperiori parte, quamvis cervices ſint, & caput; homo tamen ſtrangulari videbitur, ſi hac parte prehendatur; atque idcircò ea intendendi ratio indecora habebitur; ſed & noxam inferet, ſi laqueus ad guttur delabatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ να'.

Ὅσοισι δὲ ἐς τὸ εἴσω σκολιαίνονται οἱ σπόνδυλοι ὑπὸ πτώματος, ἢ καὶ ἐμπεσόντος τινὸς βαρέος, εἷς μὲν οὐδεὶς τῶν σπονδύλων μέγα ἐξίσταται κάρτα, ὡς ἐπὶ τὸ πολὺ, ἐκ τῶν ἄλλων. ἢν δὲ ἐκστῇ μέγα, ἢ εἷς, ἢ πλείονες, θάνατον φέρουσιν, ὥσπερ δὴ καὶ πρόσθεν εἴρηται, κυκλώδης καὶ αὕτη, καὶ οὐ γωνιώδης γίνεται ἡ παραλλαγή. Οὔρων μὲν οὖν τοῖσι τοιούτοισι, καὶ ἀποπάτου μᾶλλον ἴσχεται, ἢ τοῖσιν ἔξω κυφοῖσι, καὶ πόδες, καὶ ὅλα τὰ σκέλεα ψύχεται μᾶλλον, καὶ θανατηφόρα ταῦτα μᾶλλον, ὧν ἔφην. καὶ ἢν περιγένωνται δὲ,

HIPPOCRATIS TEXTUS LI.

Quibuſcunque autem vertebræ in inferiorem partem convertuntur, vel quòd homo ceciderit, vel quòd grave aliquid ſuper ipſum inciderit, plerunque nulla vertebra valde ab aliis recedit: ubi non valde recedat, ſive una, ſive plures, hominem non præcipitat, ſicut anteà dictum eſt, cùm ſpina in orbem, non ad angulum pervertatur. His quidem urina, & alvus magis ſupprimitur, quam quibus vertebra in exteriorem partem convertuntur, pedeſque & crura tota magis frigeſcunt: atque hæc magis mortifera ſunt, quàm quæ poſita ſunt:

aberrant : expellunt enim magis, quàm attrahant. Quam rem ignorant, qui eas deſigunt : nam quò major cucurbitula eſt, eo magis ſpina cava ſit, quùm à ſuperiori cute urgeatur. Alios item concutiendi modos præter jam poſitos adducere poſſem, quos exiſtimes quis ad vitium magis pertinere; ſed eos (utpote quibus parum confidam) omitto. Illud autem in univerſum, ut ſummatim dicamus, intelligere oportet, quod ubi ſpina in interiorem partem convertitur, ad interitum ægrotantem præcipitat, & infeſtiſſima eſt : ubi in exteriorem, vacat mortis periculo, urinam non ſupprimit, & plerunque torporem non infert.

GALENI COMMENTARIUS.

DE vertebris agens in interiorem partem luxatis, inquit caſum aſperiorem eſſe, quàm ſi in exteriorem ferantur : cauſam eſſe in aperto dicit; nervi enim omnes, qui à ſpinæ medulla oriuntur, in interiorem partem procedunt. Premuntur ergo magis, ubi ſpina in hanc partem convertitur, quàm ubi in exteriorem, cumque iis urgentur, quæcunque partes ſpinæ ſuperinſident; quo fit, ut interdum ſuperior quoque pars veſicæ comprimatur : & quæ cum his conſortium habent, omnia inflammatione occupentur. Quamobrem neque veſica urinam, neque alvus dejectionem reddit : expellentis enim facultatis, quæ una ex naturalibus eſt, vitium eſt urinam, atque alvum ſupprimi : torporis autem membrorum cauſa eſt, nervorum affectus : ſed veſicâ & inteſtinis affectis, periculum eſt ne homo interim decedat, dum tollitur inflammatio, quæ efficit ut nec alvus, nec urina reſpondeat. Quemadmodum autem muſculus, qui veſicam adſtringit, quum nimiùm ſuo munere fungitur, non patitur urinam evadere, ita veriſimile ſit affici muſculum ani, quem Græci ab adſtringendo σφιγκτῆρα nominarunt,

HIPPOCRATIS TEXTUS LII.

QVùm nec alvi itinera diſtendat, nec prohibeat quominùs facilem exitum habeant, ſpina, quum in exteriorem partem convertitur : ſed quum in interiorem, utrumque hoc efficiat, accedantque alia complura.

… ἀναίσθητος εἴη … τῶν εἴσω ῥεπόντων σφονδύλων, μεγάλη ἁμαρτὰς γνώμης ἐστίν. ἀπωθέουσι γὰρ μᾶλλον, ἢ ἀνασπῶσι, καὶ οὐδὲ αὐτὸ τοῦτο γιγνώσκουσιν οἱ προσβάλλοντες. ὅσῳ γὰρ ἄν τις μείζω προσβάλλῃ, τοσούτῳ μᾶλλον λορδοῦνται οἱ προσβληθέντες, συναναγκαζομένου ἄνω τοῦ δέρματος. τρόπους δὲ ἄλλους κατασείσιος, ἢ οἷοι τι προσέσθαι εἴρηνται, ἔχοιμι ἂν εἰπεῖν, ἁρμόσαι οὓς ἄν τι δοκέῃ τῷ παθήματι μᾶλλον, ἀλλ' οὐ κάρτα πιστεύω αὐτοῖς, διὰ τοῦτο οὐ γράφω. ἀθρόον δὲ ξυνιέναι χρὴ περὶ τούτων, ὥστ' ἐν κεφαλαίῳ εἰρῆσθαι. ὅτι τὰ μὲν εἰς τὸ λορδὸν ῥέψαντα, ὀλέθρια εἰσί, καὶ σινάμωρα, τὰ δὲ ἐς τὸ κυφὸν, ἀπαία θανάτου, καὶ οὔρων σχέσιος, καὶ ἀποναρκώσιος τὸ ἐπίπαν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΕρὶ τῆς εἴσω μεταστάσεως τῶν σφονδύλων γράφει ταῦτα, χαλεπωτέραν αὐτὴν τῆς ἔξω λέγων εἶναι, καὶ ἡ αἰτία πρόδηλος. καὶ γὰρ εἴσω ῥέπει τὰ νεῦρα πάντα, τὰ ἀπὸ τοῦ νωτιαίου πεφυκότα. θλίβεται οὖν ἐν ταῖς τοιαύταις μεταστάσεσι μᾶλλον, ἤπερ ἐν ταῖς ἔξω. σὺν τούτοις δὲ, καὶ τὰ ἐπικείμενα μόρια τῇ ῥάχει θλίβεται πάντα, καὶ κατὰ τοῦτο, καὶ τῆς κύστεως τὸ ἄνω πέρας, θλίβεταί ποτε. καὶ μέντοι καὶ κατὰ συμπάθειαν, εἰς φλεγμονὴν ἀφίξεται πάντα, καὶ διὰ τοῦτ', οὔτε ἡ κύστις οὖρον ἐκκρίνει, οὔτε τὰ ἔντερα ἀπόπατον. τῆς γὰρ ἐκκριτικῆς δυνάμεως, ἥτις ἐστὶ μία τῶν φυσικῶν, πάθος ἐστὶν, ἴσχεσθαι τό τε οὖρον καὶ τὸν ἀπόπατον. τὸ δὲ, ναρκώδη γίνεσθαι τὰ μόρια, τῆς τῶν νεύρων βλάβης ἐστίν. ἐκ μὲν οὖν τῆς κατὰ τὰ ἔντερα, καὶ τὴν κύστιν βλάβης, ἄχρις ἂν δὴ παύσηται φλεγμαίνοντα, κίνδυνος ἀπολέσθαι τὸν ἄνθρωπον, καὶ δι' ἄκρα, καὶ ἀκύρω ἔντερα διαμένει, καὶ διὰ τοῦτο, καὶ ὁ σφίγγων τὴν κύστιν μῦς, οὐκ ἐᾷ ἀκριβῶς ἐνεργῶν ἐπιτρέπειν τοῖς οὔροις. εἰκὸς καὶ δήπου, καὶ τὸν ἐπὶ τῆς ἕδρας μῦν, τὸν σφιγκτῆρα καλούμενον, τὴν αὐτὴν ἀτονίαν ἔχειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ'.

ΟΥ' γὰρ ἐκωλύθη τοῖς ὀχετοῖς τοῖς κατὰ τὴν κοιλίην, οὐδὲ κωλύει οὐρέεσθαι, ἡ εἰς τὸ ἔξω κύφωσις. ἡ δὲ λόρδωσις, ταῦτα ἀμφότερα ποιέει, καὶ ἐς τἄλλα πολλὰ προσγίνεται.

μνήμη αὐτὸν τὸν Ἱπποκράτους, ἐκπληρώσοντος ἅπασαν αὐτῶν τὴν φύσιν ἀληθῶς κατὰ τοῦτο τὸ βιβλίον, ἀλλ' ἀναβαλλομένου, καθάπερ καὶ ἄλλα πολλά. σώζεται δ' οὐ κατὰ τὰ προκείμενα νῦν ἐν τῷ λόγῳ χρεία, φλεβῶν καὶ ἀρτηριῶν συγγραφή. ἐπὶ δὲ τῶν παρατεταμένων τοῖς σπονδύλοις νεύρων, ὑπομνηματικῶς, οὐ συγγραφικῶς, ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ὑπ' αὐτοῦ λέλεκται, παραπλησίως τοῖς ἄλλοις, ὅσα κατ' ἐκεῖνο τὸ βιβλίον ἐδείξαμεν, ὑπομνήματά τινα, τοῦ Ἱπποκράτους, οὐ συγγράμματα. μόνον γὰρ τὸ πρῶτον, καὶ τρίτον τῶν ἐπιδημιῶν, ὡς πρὸς ἔκδοσιν, πρὸς αὐτοῦ γέγραπται.

ipſe Hippocrates [illegible] uni-verſam earum naturam velit, ſed eam ſicut alia multa in alium locum differat, licet, quæ de venis & arteriis ſcripta nunc pollicetur, non extent; de nervis autem juxta vertebras tendentibus in ſecundo libro de morbis vulgaribus, non plenè quidem, ſed in commentarii modum tractavit, tanquam de aliis, quæ nos oſtendimus in eo libro commentarii modo, & non plenè ab Hippocrate ſcripta: ſolummodo enim primum & tertium librum de morbis vulgaribus abſolvit, ita ut edi poſſet.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λγ΄.

Αὐτὸς δὲ ὁ νωτιαῖος, οἵοισιν ἐλλύτρωται ἐλλύτροισι, καὶ ὅθεν ὡρμημένοισι, καὶ ὅπῃ κεραίνουσι, καὶ οἷσι κοινωνέουσι, καὶ οἷα δυναμένοισιν.

HIPPOCRATIS TEXTUS XXXIII.

Tum de medulla ſpinæ, quibus tegmentis tegatur, unde originem ducentibus, quâ parte finitis, quibuſcum conjunctis, quidque valentibus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ σκεπάσματά τε, καὶ περιβλήματά τινων, ἔλυτρα καλοῦσιν οἱ παλαιοί, διὰ τοῦτ' οὖν καὶ νῦν ὁ Ἱπποκράτης, ἔλυτρα τοῦ νωτιαίου κέκληκε, τὰ πρὸ βραχέος εἰρημένα μοι. δύο μὲν οὖν ἔνδοθεν ἦν ἅπαντα, ἔξωθεν δὲ, τὰ κοινὰ τῶν σπονδύλων δεσμά. ὁρμῶνται δὲ αἱ μήνιγγες, ἀπὸ τῶν ἐγκέφαλον περιεχουσῶν. ὁ δὲ ἔξωθεν αὐτὰς περιλαμβάνων τρίτος χιτὼν, ἀπὸ τοῦ τῆς κεφαλῆς ὀστοῦ, καθ' ὃ διαρθροῦσθαι πρὸς τὸν πρῶτον σπόνδυλον. τελευτῶσι δέ τοι οὗτοι δεσμοὶ, καθάπερ καὶ αὐτὸς ὁ νωτιαῖος, ἄχρι τοῦ κάτω τῆς ῥάχεως πέρατος. ὀνόματι δὲ αὐτὸς ὁ Ἱπποκράτης τὸ, τελευτῶσιν, ὁμοίως τῷ ποιητῇ Ἀριστοφάνει.

Εἴπερ δὴ κρανέω γε καὶ εἰ τετελεσμένον ἐστί.

Οἷα δὲ δυνάσθαι, λέλεκται μὲν ἀκριβῶς ἤδη αὐτὰ κατὰ τὰς ἀνατομικὰς πραγματείας, ἅμα τοῖς οἰκείαις, ἐξ ἐκείνων ὅτι μάλιστα, καὶ ἡ περὶ χρείας μορίων. ἀρκεῖ δὲ νῦν εἰπεῖν, τὰς μὲν περικειμένας τῷ νωτιαίῳ μήνιγγας, τὴν αὐτὴν παρέχειν χρείαν, ἥνπερ καὶ τῷ ἐγκεφάλῳ, ἡ δὴ ἐν ἐκείνῳ, φρουρὰ μέν τις αὐτοῦ, πρὸς τὸ μηδὲν πάσχειν ὑπὸ τῶν περικειμένων ὀστῶν, ἡ παχεῖα. σύνδεσμος δὲ τούτων, καὶ ἄλλο σύμφυτόν τι δέρμα, καὶ σκέπασμα τοῦ ἐγκεφάλου, ἡ λεπτὴ, περὶ ὧν τοῦ τρίτου χιτῶνος, ἐν τῷ νωτιαίῳ μικρὸν ἔμπροσθεν εἴρηται.

GALENI COMMENTARIUS.

Tegmenta, ac velamenta alicujus rei veteres appellant ἔλυτρα, atque idcirco Hippocrates nunc medullæ ſpinæ tegmenta ἔλυτρα nuncupavit, quæ nos paulò antè narravimus; duo quidem intrinſecùs omninò ſunt: extrinſecùs verò communia omnium vertebrarum ligamenta. Oriuntur autem membranæ à membranis, quæ cerebrum tegunt: ſed tertium velamentum, quod extrinſecùs eas complectitur, originem habet à calvaria, quà cum prima vertebra committitur. Hujuſmodi autem ligamenta non ſecus, atque ipſa medulla, ad imam ſpinam finiuntur. Finitis Hippocrates dixit κραίνειν, ſicut Poëta, quùm inquit,

Εἴπερ δὴ κρανέω γε καὶ εἰ τετελεσμένον ἐστί.

Quid verò poſſint exquiſitè jam oſtendimus in opere de ratione corporum incidendorum, atque etiam in propriis libris, inter quos præcipuus eſt, qui de uſu partium inſcribitur; nunc autem ſcripſiſſe abundè eſt membranas, quæ cingunt ſpinæ medullam, eundem præſtare uſum, atque in cerebro, quod craſſa membrana defenditur, ne à circumpoſitis oſſibus lædatur. Eſt & aliud cerebri velamentum, & quaſi cutis innata, quo hæc nectuntur, nempe tenuis membrana; de tribus autem his tunicis in medulla ſpinæ paulò ſuprà pertractavimus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λδ΄.

Ἐν δὲ τῷ ἐπέκεινα, ἐν διαρθρώσει γιγγλυμοῦνται πρὸς ἀλλήλους οἱ σπόνδυλοι.

HIPPOCRATIS TEXTUS XXXIV.

In ulteriore autem parte, vertebræ cardinis modo commiſſuras habent.

nis modo eſſe, quoniam quatuor exigunt proceſſus, quibus committuntur: duobus quidem admittunt eminentias proximæ vertebræ, duobus ſe in alteram inſinuant; efficitur autem quodammodo ſtructura cardinum ſimilis.

μεταξὺ δὴ εἶπε τοὺς σπονδύλους πρὸς ἀλλήλους, ἐπειδὴ τέτταρας ἀποφύσεις ἔχοντες εἰς διάρθρωσιν ἀφικνοῦνται. τῶν δύο μὲν γὰρ, C ὑποδέχονται τὰς ἐξοχὰς τοῦ πλησιάζοντος σπονδύλου, τῶν δύο δὲ, ἐπιβαίνουσι κατὰ θάτερα, παραπλησία δέ πως ἐστὶ, καὶ ἡ τῶν γιγγλυμοειδῶν κατασκευή.

HIPPOCRATIS TEXTUS XXXV.

Nervi omnium communes, & ad exteriorem partem, & ad interiorem procedunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λε΄.

Τόνοι δὲ κοινοὶ παρὰ πάντας, καὶ ἐν τοῖσιν ἔξω μέρεσι, καὶ ἐν τοῖσιν εἴσω, παρατέτανται.

D

GALENI COMMENTARIUS.

Pars vertebrarum, quæ ei opponitur, qua illigantur, poſterior, & exterior appellari poteſt: ſicuti ea ipſa, qua illigantur, interior, & prior; verùm à poſteriori parte non reperiuntur nervi, quos nunc τόνους dixit, ſi nervi intelligantur, qui motum voluntarium præſtant: quà enim vertebræ inter ſe committuntur, foramen eſt, per quod unuſquiſque nervus à ſpinæ medulla trajectus, protinus diſtribuitur, cujus aliæ partes ad priorem regionem intendunt, alix ad poſteriorem; atque in muſculos diſſipantur, qui quùm ſpinæ ſuperjecti ſint, ῥαχῖται Græcè nominantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ ἀντικείμενα μέρη τῶν σπονδύλων τῇ συνδέσει, ὀπίσω τε καὶ ἔξω καλεῖν ἐγχωρεῖ, καθάπερ γε καὶ αὐτὰ τὰ κατὰ τὴν σύνδεσιν, ἔνδον τε καὶ πρόσω. ἀλλὰ τόνους γε, κατὰ τὴν ὀπίσω χώραν οὐχ ἂν εὕροις παρατεταμένους, εἴ γε τόνους ὀνομάζοιτο τὰ προαιρετικὰ νεῦρα. κατὰ γὰρ τὰς συμβολὰς τῶν σπονδύλων ἐστὶ τὸ τρῆμα, δι' οὗ, τῶν ἀπὸ νωτιαίου νεῦρον ἕκαστον αὐτίκα σχίζεται, καὶ τῶν μερῶν αὐτοῦ, τὸ μὲν εἰς τὴν πρόσω χώραν ἀφικνεῖται, τὸ δὲ εἰς τὴν ὀπίσω διανεμόμενον εἰς τοὺς ἐπικειμένους ἐνταῦθα μύας, οὓς ῥαχίτας ὀνομάζουσι.

E

HIPPOCRATIS TEXTUS XXXVI.

Singulæ autem vertebræ, tam majores, quàm minores, in exteriorem partem ſingulos proceſſus exigunt: his autem proceſſibus adjecta eſt cartilago, atque ab ea germen oritur ligamentorum, quæ nervis exterioribus germana ſunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λϛ΄.

Απόφυσίς τέ ἐστιν ὀστέου ἐς τὸ ἔξω μέρος, ἀπὸ πάντων τῶν σπονδύλων, μία ἀπὸ ἑνὸς ἑκάστου, ἀπό τε τῶν μειζόνων, ἀπό τε τῶν ἐλασσόνων. ἐπὶ δὲ τῇσιν ἀποφύσεσι ταύτῃσι χονδρίων ἐπιφύσιες, καὶ ἀπ' ἐκείνων, νεύρων ἀποβλάστησις, ἀδελφισμένη τοῖσιν ἐξωτάτω τόνοισι.

F

GALENI COMMENTARIUS.

Singularum vertebrarum proceſſus per medium dorſum intendunt, atque univerſam ſpinam componunt: extremo autem proceſſui cartilago innexa eſt, à qua oritur germen ligamentorum, quæ, ut ipſe ait, nervis germana ſunt: quo ſignificat, vel ſimillima vel inter ſe coeuntia, immixtaque, utrunque enim verum eſt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰς μέσην, εἴτ' ὀπίσω χώραν τῆς ῥάχεως, ἀπόφυσις ἑκάστου τῶν σπονδύλων ἀνατείνεται συνθεῖσα τὴν ὅλην ἄκανθαν. ἐπὶ δὲ τῷ πέρατι δὲ καὶ τῆς ἀποφύσεως χόνδρος ἐπίκειται, νεύρων ἀποβλάστησις ἔχων συνδετικῶν. ἀδελφισμένη φησὶ τοῖς τόνοις, ὅπερ, ἤτοι τῶν ὁμοιουμένων εἰς ταυτὸ ἰόντων, ἢ ἀναμιγνυμένων, ἑκάτερον γὰρ αὐτῶν ἀληθές ἐστιν.

ΤΑ τοῦ θώρακος ὀστᾶ, διήκοντα κατὰ τὴν ἐγκάρσιον, ἀτρέμα λοξὰ κατὰ τῆς ῥάχεως, ἐπὶ τὸ στέρνον, ὀνομάζει πλευράς, οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ οἱ μετ' αὐτὸν ἅπαντες ἰατροί. ταύτας οὖν φησὶ προσηρθρῶσθαι τοῖς σπονδύλοις, οὐδὲν διαφέρον, εἰ καὶ διηρθρῶσθαι φαίης, ὅπερ ἐστὶ συνηθέστερον ὄνομα τοῖς ἰατροῖς τοῖς νεωτέροις, οὕτως ὀνομαζόντων αὐτῶν, τὰς συμβολὰς τῶν ὀστῶν, ὡς ἐκείνοις αἰσθητικήν τινα ἀξιόλογον ἔχουσι, κεφαλάς τε τῶν πλευρῶν, εἴρηκε τὰ πέρατα, δι' ὧν τοῖς σπονδύλοις διαρθροῦνται κατὰ τὰς ῥίζας τῶν πλαγίων ἐν ἑαυτοῖς ἀποφύσεων. ἀκριβῶς δὲ εἶπεν ἔσω ῥέπειν αὐτὰς μᾶλλον, ἔστι γὰρ οὕτως ἔχειν. ἀλλὰ καὶ ὅτι διαφυής πως ἐστὶν αὐτῶν ἡ διάρθρωσις, ἐθεασάμεθα· παραλήψεται τοῦτο Ἱπποκράτους, ἢ τῷ παρῆχθαι, οὐκ ἀκριβῶς ἐπιστάμενος τὴν ὅλην φύσιν τῆς διαρθρώσεως, ἢ τῷ μὴ νομίσαι, τὴν τοιαύτην λεπτολογίαν, οἰκείαν εἶναι τῇ προκειμένῃ πραγματείᾳ.

B COſtæ, id eſt thoracis oſſa, quæ à ſpina intendunt tranſverſa ac modicè obliqua ad pectus, Græcè non modo ab Hippocrate, ſed ab omnibus junioribus Medicis, nominatæ ſunt πλευραί. Has, inquit, cum vertebris committi, προσηρθρῶσθαι dixit, quaſi dicat διηρθρῶσθαι: quod vocabuli apud juniores Medicos magis in uſu eſt: eo enim ſignificant oſſium commiſſuras, quibus talis ineſt motus, ut ſenſu aliquatenus percipi poſſit. Coſtarum capita vocavit extrema, per quæ cum vertebris conjunguntur, in radices proceſſuum à lateribus ſe inſinuantes. C Exquiſitè autem dixit ipſas magis in interiorem partem ſpectare, noſtis enim rem ita ſe habere: ipſarum verò commiſſuram quodammodo duplicem conſpeximus, quam rem Hippocrates prætermiſit, vel quod non ex toto univerſam naturam commiſſuræ fuerit intuitus, vel quòd tam diligentem ejus inquiſitionem ad propoſitum pertinere non exiſtimaverit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λη'.

ΚΑμπυλώταται δὲ πλευραὶ ἀνθρώπου εἰσὶ ῥαιβοειδέα τρόπον.

HIPPOCRATIS TEXTUS XXXVIII.

D *MAxime autem flexæ ſunt hominis coſtæ, & modo eorum, quæ curva ſunt.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΠάντων τῶν ζώων, ἄνθρωπος καμπυλωτάτας ἔχει πλευράς, ὅτι καὶ τὸ στέρνον ἁπάντων πλατύτατον· τῶν μὲν γὰρ ἄλλων ζώων, τὸ μὲν μᾶλλόν ἐστι, τὸ δ' ἧττον ὀξύστερνον. πλατυστερνότατος δὴ ἄνθρωπος, εἶθ' ἑξῆς πίθηκος, ἁπάντων μὲν τῶν ἄλλων ζώων μᾶλλον, ἧττον δὴ ἀνθρώπου. ἔστι δὲ κοινὸν ἅπασι μὲν ζώοις, ὅσα θώρακα ἔχει, τὸ, τὰς πλευράς, ἐκ μὲν τῶν ἔξω μερῶν, ἔνθα καὶ ψαυόμενον αὐτῶν, κυρτάς, ἐκ δὲ τῶν ἀντικειμένων, τῶν ἔνδον, εἶναι κοίλας, εἰς γὰρ τὴν γένεσιν τῆς τοῦ θώρακος εὐρυχωρίας, ἀναγκαῖον ἦν τοῦτο τοῖς ἀνθρώποις, ἐπειδὴ κατὰ τὸ στέρνον εὐθύνεσθαι τὰς πλευρὰς ἔδει, τὸ μετὰ ταῦτα πᾶν ἰσχυρῶς ἐκάμφθη, δεομένων δὲ αὐτῶν ἐπὶ τοὺς τῆς ῥάχεως ἀφικέσθαι σπονδύλους. τὸ μὲν γὰρ ἑρμηνευόμενον ὑπ' αὐτοῦ πρᾶγμα, σαφὲς ἡμῖν γέγονεν, ἔκ τε τοῦ καμπυλωτάτας εἰπεῖν εἶναι τὰς πλευράς, κἀκ τοῦ πῶς γιγνώσκεσθαι, ἀφ' οὗ ὅμοιαι κατὰ τὸ σχῆμά εἰσιν. ἀπολείπεται δὲ ἡ ζήτησις, οὐκ ἐν τῇ πραγματείᾳ, καθάπερ ἐπὶ τῶν ἔμπροσθεν, ἀλλ' ἐν ὀνόματι, χρησαμένου τοῦ Ἱπποκράτους τῇ ῥαιβοειδέα φωνῇ σαφηνείας μὲν ἕνεκεν, ἤ τις παράδειγμα λήψεται πρὸς αὐτό. μείζονα δὴ ἀσάφειαν ἐργαζομένην, αὐτοῦ τοῦ γιγνωσκομένου πράγματος, οὗ τῆς σαφηνείας ἕνεκα παράδειγμα τέθειται. τάχα μὲν οὖν ἴσως ἦν ἡ φωνὴ συνήθης, ὅτ' οὖν αὐτὸ εἴρηκε ῥαιβοειδέα τρόπον. ἐν δὲ τῷ μετὰ ταῦτα χρόνῳ αὐτῆς ἐκβληθείσης, εἰς ἀσάφειαν ἥκει. τὸ μὲν γὰρ διὰ τοῦ κ λεγόμενον ῥοικοειδέα, ἐν τοῖς παρὰ Θεοκρίτῳ γεγραμμένον ἔνθα φησί,

GALENI COMMENTARIUS.

INter omnia animalia homo coſtas habet maximè curvas, quoniam & pectus omnium latiſſimum: ex cæteris verò animalibus alia magis, alia minus acuto pectore ſunt: latiſſimi autem pectoris eſt homo, dein ſimia quæ pectus habet anguſtius homine, latius quàm cætera animalia. Commune eſt autem omnium E animalium quæ thoracem habent, coſtis eſſe ab exteriori parte, quâ tangimus, gibbis: à contraria, intrinſecùs ſcilicet, ſimis. Id enim neceſſarium hominibus fuit, ut thoracis ſpacium latum redderetur, quoniam juxta os pectoris dirigi coſtas oportuit: reliquas earum partes: quùm deberent ad ſpinæ vertebras pervenire, opus fuit plurimum curvari. Res igitur, quam proponit, ex eo apertè intelligitur, quod ipſe ait, coſtas maximè curvas eſſe, quodque earum figura talem evidenter ſe oſtendit. Reſtat quæſtio, quæ ad rem non pertinet, ſicut prior, ſed F ad vocem, quùm Hippocrates explanationis, vel exempli cauſâ uſus fuerit verbo ῥαιβοειδέα: quod majorem affert obſcuritatem, quàm res ipſa, cujus gratiâ id exemplum affertur, tunc fortaſſe vox erat uſitata, alioquin verba hæc modo eorum, quæ curva ſunt, non dixiſſet ῥαιβοειδέα τρόπον: deinde uſu exploſa, obſcura effecta eſt. Vox quidem ῥοικοειδέα per κ apud Theocritum curvum ſignificat eo carmine, ubi inquit,

... proceſſus oſſium vertebrarum, utrinque complent muſculi, qui à cervicibus orſi uſque ad nexum intendunt.

GALENI COMMENTARIUS.

QUod in corporibus incidendis apparet, non admodum conſentit cum verborum ſententia: nam quod apparet, hujuſmodi eſt. A coſtatum capitibus, quà cum vertebris committuntur, muſculi ſunt à poſteriori parte, qui ῥαχῖται nuncupantur, alii in longitudinem ſpinæ tendunt uſque ad initium crurum: à priori parte in longitudinem muſculi non procedunt, ſed tranſverſi inter coſtas, quos μεσοπλευρίους appellant. Deinde ad aliquot coſtas pertinent muſculi, qui ſtomacho ſubjecti ſunt, à quibus totum collum in priorem partem attrahitur, & paululùm etiam annuit, ubi capitis commiſſura non moveatur: ipſa enim per ſe maximum habet motum in annuendo, & abnuendo, ſi quis eam cum vertebris conferat, quæ poſt primas ſunt: aliatum enim inter ſe commiſſuræ paululùm moventur. Sed & à regione juxta lumbos procedunt ad extremas thoracis coſtas eorum muſculorum ſummitates, qui ψόαι dicuntur: in medio autem thoracis ad coſtas muſculi non pertinent, qui ſiti ſunt ad vertebrarum proceſſus à lateribus poſitos, quà committi coſtas poſui. Sunt & alii duo muſculi anguſti, atque exigui, qui ab exteriori parte per univerſum thoracem juxta muſculos, qui ῥαχῖται dicuntur, intendunt à priori parte, non à poſteriori versùs ſpinam. Hæc igitur eſt poſitio, ac natura muſculorum circà vertebras, quæ ex corporibus incidendis invenitur. Videamus deinceps, de quibuſnam Hippocrates meminerit, ac de iis quidem qui inter coſtas ſunt, patet ipſum minime egiſſe, quùm ait, muſculi, qui à cervicibus orſi; ſupereſt igitur, ut eos intellexerit, vel qui ῥαχῖται dicuntur, vel qui juxta os ſiti ſunt; ſed neutri rectè dicentur, quod inter coſtas eſt, quodque inter proceſſus oſſium vertebrarum, complere. ῥαχῖται quidem muſculi univerſis propoſitorum oſſium commiſſuris in toto thorace ſuperinjecti ſunt à poſteriori parte, nihil relinquentes, quod non contegant, ſed omnes coſtarum radices, & vertebrarum proceſſus, qui à lateribus ſunt, ad hæc quod inter ipſas radices eſt, complectuntur: Anguſti autem muſculi, qui juxta hos versùs priorem partem ſiti ſunt, protinus poſt commiſſuram

... των ἀπὸ τῶν σφονδύλων, ἀποπληροῦσιν ἑκατέρωθεν οἱ μύες, ἀπὸ τοῦ αὐχένος ἀρξάμενοι, ἄχρι τῶν φρενῶν τῆς προσφύσιος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C ΟΥ πάνυ τι συμφωνεῖ τὸ φαινόμενον ἐκ τῆς ἀνατομῆς, τῇ διανοίᾳ τῆς λέξεως. τὸ μὲν γὰρ φαινόμενον, ὧδ' ἔχει. κατὰ τὰς κεφαλὰς τῶν πλευρῶν, ᾗ διαρθροῦνται εἰς τοὺς σφονδύλους, μύες εἰσὶν, ὄπισθεν μὲν, οἱ ῥαχῖται καλούμενοι, κατὰ τὸ μῆκος τῆς ῥάχεως ἐκτεταμένοι μέχρι τῆς τῶν σκελῶν ἀρχῆς. ἔμπροσθεν δὲ, κατὰ μῆκος, οὐδ' ὅλου τοῦ θώρακος ἐπικέκλινται μύες. ἐγκάρσιοι δὲ κεῖνται μεταξὺ τῶν πλευρῶν, οὓς μεσοπλευρίους ὀνομάζουσιν, ἐπιβαίνουσι πρὸς ὀλίγας τῶν πλευρῶν οἱ ὑποβεβλημένοι τῷ στομάχῳ μύες, ὑφ' ὧν, εἰς τὸ πρόσω μέρος ὅλος ὁ D τράχηλος ἑλκόμενος, ἐπινεύει βραχὺ, καὶ χωρὶς τῆς προκειμένης πρὸς κεφαλῆς διαρθρώσεως. ἐκείνη μὲν γὰρ, αὐτὴ καθ' ἑαυτὴν, μεγίστην ἔχει κίνησιν, ἐπινευόντων τι, καὶ ἀνανευόντων, ἐάν τις μετὰ τοὺς πρώτους σφονδύλους αὐτὴν παραβάλλῃ, βραχυτάτην δ' ἔχουσι τὴν πρὸς ἀλλήλους κίνησιν. ἀλλὰ καὶ τῶν κατ' ὀσφὺν χωρίων, ἐπαναβαίνουσι τῷ θώρακι κατὰ τὰς ἐσχάτας πλευρὰς, αἱ κορυφαὶ τῆς ψόας. ὅσαι δ' ἐν τῷ μεταξὺ τοῦ θώρακός εἰσιν, οὐκ ἔχει μυῶν ἐπιβολὴν ἐν ταῖς πλαγίαις ἀποφύσεσι τῶν E σφονδύλων, αἷς ἔφην διαρθροῦσθαι τὰς πλευράς. εἰσὶ δὲ καὶ ἄλλοι δύο μύες, στενοὶ, καὶ μικροὶ, τοῖς ῥαχίταις παρεκτεταμένοι δι' ὅλου τοῦ θώρακος ἔξωθεν, ἐν τοῖς πρόσω μέρεσιν αὐτῶν ἀλλ' οὐ τοῖς ὀπίσω περὶ τὴν ἄκανθαν. αὕτη μὲν ἡ ἐκ τῆς ἀνατομῆς εὑρισκομένη θέσις τῶν περὶ τοὺς σφονδύλους μυῶν. ἴδωμεν ἐφεξῆς, τίνων ὁ Ἱπποκράτης δύναται μνημονεύειν. ὅτι μὲν οὖν τῶν μεσοπλευρίων οὐ δύναται, δῆλον ἐκ τοῦ λέγειν, τοὺς μύας ἀπὸ τοῦ αὐχένος ἄρχεσθαι. λείπεται τοίνυν, τῶν ῥαχιτῶν, ἢ τούτων τῶν παρατεταμένων μνημονεύειν αὐτόν. ἀλλ' οὐδετέρως καλῶς ἂν λέγοι- F το τὸ μεταξὺ τῶν ὀστῶν, καὶ τῶν πλευρῶν, τῶν ἀποπεφυκότων ἀπὸ τῶν σφονδύλων, τοὺς μῦς ἀναπληροῦν. οἱ μὲν γὰρ ῥαχῖται, τὰς διαρθρώσεις τῶν εἰρημένων ὀστῶν ἐν ὅλῳ τῷ θώρακι πάσας ὄπισθεν περιβέβληνται, μηδὲν ἀπολείποντες ἀσκέπαστον, ἀλλὰ τάς τε ῥίζας πάσας τῶν πλευρῶν τε ἅμα καὶ τῶν εἰς τὰ πλάγια τοῖς σφονδύλοις ἀποφύσεων, εἰσὶ μετὰ τὰς διαρθρώσεις. καὶ μὲν δὴ, καὶ τὸ κατὰ τὴν τελευτὴν εἰρημένον τῆς ῥήσεως, τὸ ἄχρι τῆς προσφύσιος, εἰ μὴ ἐπὶ τῶν

Hac parte nihil tale ſpinæ incidet, quales in inferiori uterus, & veſica. Quare non neceſſe fuit ab interiori parte ſimam eſſe, atque idcircò, neque ab exteriori parte gibbam, ſed hac parte ſpinam paululùm intus ſpectare, fulciri enim ab ipſa magnam arteriam, ac venam oportebat.

C Οὐδὲν ἐνταῦθα τοιοῦτον περιέχεταί τι κατὰ τῆς ῥάχεως, οἷα ἐν τοῖς κάτω μήτρα, ἢ ἐν κύστει, ὅθεν οὐδὲ σιμωθῆναι τὸ ἔνδον ἐχρῆν, καὶ διὰ τοῦτο, οὐδὲ κυρτωθῆναι τὸ ἔξω, ἀλλὰ καὶ βραχὺ ῥέπειν εἴσω κατὰ τοῦθ' ἡ ῥάχις. ὅτι δὲ τὴν ἀρτηρίαν ἔδει τὴν μεγάλην, καὶ τὴν φλέβα ἡ κατ' αὐτῆς ἐστηρίχθαι.

HIPPOCRATIS TEXTUS XLIII.

Atque hic locus ſolus ab interiori parte adjunctos habet muſculos, quos ψόας *appellant.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μγʹ.

Καὶ προσφύσιας ἔχει μυῶν, τοῦτο μοῦνον τὸ χωρίον ἐκ τῶν εἴσωθεν, ἃς δὴ καλέουσι ψόας.

GALENI COMMENTARIUS.

Ex his potiſſimùm verbis conjicere quis poſſet, Hippocratem ſpinæ non annumeraſſe vertebras cervicum; quaſi enim ſpina univerſa lato oſſe & vertebris, quæ ad lumbos, & quæ ad thoracem ſunt, contineatur, dixit: atque hic locus ſolus ab interiori parte adjunctos habet muſculos. Nam, ſi ſpinæ, cervicum quoque vertebras annumeret, falſum utique erit hunc locum duntaxat habere adjunctos muſculos, cùm & in cervicibus ab interiori parte grandes muſculi contineantur: quos, quùm grandes ſint, non latuiſſe Hippocratem nemo ignorat, quando etiamſi exigui fuiſſent, nullo modo ipſum latuiſſent; horum tamen muſculorum, qui ψόαι nominantur, particulam uſque ad eam regionem pertinere, quà ſeptum tranſverſum innectitur, propoſitis verbis non notavit, ut qui operæpretium eſſe tam exquiſitè docere non exiſtimarit.

D ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐκ ταύτης τῆς ῥήσεως, μάλιστά τις τεκμήραιτο, μὴ συναριθμεῖν αὐτὸν τῇ ῥάχει τοὺς κατὰ τράχηλον σφονδύλους. ὡς γὰρ ἐκ τοῦ πλατέος ὀστοῦ, καὶ τῶν κατὰ θώρακα σφονδύλων συγκειμένης ὅλης τῆς ῥάχεως, εἶπε προσφύσιας ἔχει μυῶν τοῦτο μόνον τὸ ἔσωθεν. εἰ γὰρ δὴ καὶ τοὺς κατὰ τράχηλον αὐτῆς συνετίθει, ψευδὴς ἂν ἦν ἐναργῶς. οὐ γὰρ μόνον τούτου τοῦ χωρίου προσφύσεις μυῶν ἔχοντος, καὶ τοῦ τραχήλου μεγάλους E μῦς, ἐκ τῶν ἔνδον μερῶν. οὐδὲ γὰρ ἠγνόησέ τις αὐτοὺς ἀξιολόγους ὄντας, ὅπως γε οἱ μικρότεροι μύες ἦσαν. οὐκ ἂν αὐτοὺς ἠγνόησεν. εἰ μέντοι μόριόν τι τῶν ψοῶν, ὑπὲρ τὸ τῶν φρενῶν ἀναγίνεσθαι προσέφυσεν, οὐκ ἐπεσημήνατο τοῖς προκειμένοις νῦν, οὐχ ἡγούμενος ἁρμόττειν τὴν τοιαύτην ἀκριβολογίαν.

HIPPOCRATIS TEXTUS XLIV.

Ab hoc item ad magnam vertebram, quæ ſita eſt ſublimior commiſſura humeri cum lato ſcapularum oſſe, rectà in gibbum vertitur, ſed magis adhuc videtur, quàm ſit: habet enim ſpina in medio oſſium proceſſus altiſſimos, ab utraque autem parte humiliores.

F ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μδʹ.

Ἀπὸ δὲ τούτου, ἄχρι τοῦ μεγάλου σφονδύλου, τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἐγκύφει, ἔτι δὲ μᾶλλον δοκέει, ἢ ἔστιν. ἡ γὰρ ἄκανθα, κατὰ μέσον, ὑψηλοτάτας τὰς ἐκφύσιας τῶν ὀστέων ἔχει, ἔνθεν δὲ καὶ ἔνθεν ἐλάσσους.

φα. προσαρμόζειν δὴ ἡμᾶς προσήκει ταῦτα τοῖς λεγομένοις ἐφεξῆς, μὴ δεομένοις ὑπ' ἐμοῦ, πλὴν εἴ που λέξις ἐμπίπτοι, χρήζουσά τινος ἐξηγήσεως, ἧς ἕνεκεν καὶ τὰ τοιαῦτα ὑπομνήματα γράφεται, καθάπερ τι, καὶ τὸ ἐπὶ τῇ προκειμένῃ νῦν ῥήσει.

B illa ſunt: neque opus eſt me ulterius explanante, niſi ſi quod verbum alicubi occurrat, quod expoſitionem requirat, cujus causâ hujuſmodi commentaria ſcribuntur: quemadmodum evenit in hoc ipſo loco.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ με´.

Αὐτὸ δὲ τὸ ἄρθρον τοῦ αὐχένος, λορδόν ἐστιν. ὁκόσοισι μὲν οὖν κυφώματα γίνεται κατὰ τοὺς σφονδύλους, ἔξωσις μὲν μεγάλη ἀπορραγεῖσα ἀπὸ τῆς συμφύσιος, ἢ ἑνὸς σφονδύλου, ἢ καὶ πλειόνων, οὐ μάλα πολλοῖσι γίνεται, ἀλλ' ὀλίγοισιν. οὐδὲ γὰρ τὰ τρώματα τὰ τοιαῦτα ῥηΐδια γίνεσθαι, οὔτε γὰρ ἐς τὸ ἔξω ἐξωσθῆναι ῥηΐδιόν ἐστιν, εἰ μὴ ἐκ τοῦ ἔμπροσθεν ἰσχυρῷ τινι τρωθείη, διὰ τῆς κοιλίης. οὕτω δ' ἂν ἀπόλοιτο, ἢ εἴ τις ἀφ' ὑψηλοῦ τινος χωρίου πεσὼν, ἐρείσειε τοῖσιν ἰσχίοισιν, ἢ τοῖσιν ὤμοισιν. ἀλλὰ καὶ οὕτως ἂν ἀποθάνοι, παραχρῆμα δὲ, οὐκ ἂν ἀποθάνοι. ἐκ δὲ τοῦ ὄπισθεν, οὐ ῥηΐδιον τοιαύτην ἔξαρσιν γενέσθαι ἐς τὸ εἴσω, εἰ μὴ ὑπέρβαρύ τι ἄχθος ἐμπέσοι. τῶν τε γὰρ ὀστέων, τῶν ἐκπεφυκότων ἔξωθεν, ἕκαστον τοιοῦτόν ἐστιν, ὥστε πρόσθεν ἂν αὐτὸ καταγῆναι, πρὶν ἢ μεγάλην ῥοπὴν εἴσω ποιῆσαι, τούς τε συνδέσμους βιασάμενον.

HIPPOCRATIS TEXTUS XLV.

Ipſa verò cervicum commiſſura in interiorem partem ſpectat. Quibus igitur vertebræ gibbæ fiunt, magnâ vi conjunctione abruptâ ex- C *pellitur vel una vertebra, vel plures: quæ res non accidit multis, ſed paucis: non enim facile incidunt hujuſmodi caſus; nam nec facile in interiorem partem veniunt vertebræ, niſi à priori per ventrem vehemente ictu tendantur; ſic autem homo interiret, aut niſi quis in ſuperiori loco decidens, in coxas vel ſcapulas cadat, ſed & ſic quoque expiraret. A poſteriori autem parte non facilè expellitur vertebra in interiorem, niſi aliquid grave admodum ſuper ipſam incidat: oſſa enim quæ ab exteriori parte procedunt, ſingula talia ſunt, ut potiùs frangi poſſint, quàm coactis liga-* D *mentis, valde in interiorem partem erumpere.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰς τὸ πρόσω ῥέπον δηλονότι, καὶ γὰρ φαίνεται τοῦτο. δύο δὲ εἰσὶν οἱ πρῶτοι σφόνδυλοι, καθ' οὓς τὸ ἄρθρον λέγεται τοῦ αὐχένος, καθ' ὃ λοιποὶ τρεῖς εἰσιν, ὧν οὐκ ἐμνημόνευσεν, ὅπως ἔχουσι θέσεως ἐν τῷ μεταξὺ τοῦ δευτέρου, καὶ τοῦ ἕκτου, τρίτος, καὶ τέταρτος, καὶ πέμπτος. οἳ δὴ μάλιστα φαίνονται θέσιν εὐθεῖαν ἔχοντες, ὄντες καὶ ἄλλοι μικρότεροι τῶν δύο σφονδύλων, καὶ μάλιστα ὁ τρίτος. ὁ γάρ τοι τέταρτος, ἢ μείζων ἐστὶν αὐτοῦ, καθάπερ καὶ τούτου πάλιν ὁ πέμπτος. ὁ δὲ ἕκτος, οὐ τούτων μόνον, ἀλλὰ καὶ τοῦ ἑβδόμου μείζων. οἱ δ' ἀπὸ τοῦδε πάντες, ἄχρι καὶ τοῦ ἐσχάτου τῆς ῥάχεως, ἀλλήλων ἀνάλογον μείζους εἰσὶν, ἐπ' ἀνθρώπου ἐξεταζομένου τοῦ λόγου, καὶ μετ' αὐτὸν ἐπὶ πιθήκοις, ὅσοι τὸ πρόσωπον ἀνθρωποειδέστερον ἔχουσι, καὶ μᾶλλον τῶν ἄλλων ὄρθιοι βαδίζουσιν, ὅτι τά τ' ἄλλα, καὶ τὴν τῶν ὀστῶν θέσιν ἐοίκασιν ἀνθρώποις. ἔχουσι δέ τι κοινὸν ἐν τῇ ῥάχει, πρὸς τὰ ἄλλα ζῶα τὰ τετράποδα, τοῖς ἀνθρώποις οὐχ ὑπάρχον. ἔστι γὰρ αὐτοῖς ὀσφὺς μακροτέρα τῆς ἐπ' ἀνθρώπου, ἀνάλογον δηλονότι τοῦ μεγέθους τῶν ἄλλων ἐξεταζόντων ἡμῶν, ἀνθρώποις μόνον ε. κατὰ τὴν ὀσφύν εἰσι σφόνδυλοι, τοῖς πιθήκοις, ὥσπερ καὶ τοῖς ἄλλοις τετράποσιν ϛ εἰσίν. ἐπισημήνασθαι δὲ προσήκει κατὰ τὸν ἐνεστῶτα λόγον, ὅτι προθέμενος εἰπεῖν περὶ τοῦ τῆς ῥάχεος σχήματος, ἀρξάμενός τε τοῦ λόγου κατὰ τήνδε τὴν λέξιν, αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκολιός ἐστιν. ἐπὶ τελευτῇ τοῦ λόγου προσέθηκεν, αὐτὸ δὲ τὸ ἄρθρον τοῦ

GALENI COMMENTARIUS.

Spectans in priorem partem, dixit λορδὸν; ita enim conſpicitur. Duo autem ſunt primæ vertebræ, quibus cervicum commiſſura efficitur: poſt quas relinquuntur tres, quarum non meminit, quomodo collocatæ ſint inter ſecundam & ſextam, nempe tertia, quarta & quinta, quæ maximè videntur rectum poſitum habere; hæ autem vertebræ longè minores E ſunt duabus, & præcipuè tertia: quarta enim hac major eſt, ſicut his rurſus quinta; ſexta verò non his duntaxat major eſt, ſed ſeptima etiam. Ab hac autem uſque ad extremam ſpinam pro ratione altera major alterâ eſt, ſi hæc in homine perpendantur, vel in ea ſimia quæ hominis faciem magis repræſentat, & magis quàm cæteræ, rectà inambulat, namque hæc & in aliis, & in oſſibus homini ſimillima eſt: unum autem in ſpina habet aliorum quoque quadrupedum commune, quod in homine non F reperitur, nempe lumbos pro magnitudine reliquarum partium corporis longiores, quàm homo, cui ad lumbos quinque duntaxat vertebræ ſint; in ſimiis autem ſicut in aliis quadrupedibus, ſex. Illud autem animadvertere in propoſitis verbis oportet, quòd Hippocrates, quùm de ſpinæ figura tractare conſtituiſſet, orſus hoc modo; ipſa autem ſpina in longitudinem rectà obliqua eſt, in extrema oratione adjecit, ipſa verò cervicum commiſſura in

GALENI COMMENTARIUS.

VErtebrarum articulos dicit in proceſſibus à lateribus ſitis, quorum alter alterum excipit: eos autem ait recipere, & in alios conjici, cò quòd utraque vertebra duobus proceſsibus ſublimioribus cum ſuperiori vertebra committatur: duobus humilioribus cum inferiori, ſic ut aliis proximæ vertebræ proceſſus admittat, aliis in alterius proceſsus conjiciatur, quæ omnia perfectè executi ſumus in libro de oſsibus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΩν σπονδύλων ἄρθρα φησὶ, τὰ πρὸς ἀλλήλους ἀπολελυμένων κατὰ τὰς πλαγίας ἀποφύσεις. ἐπαλλαγ-
C μένα δ᾽ εἶπεν ὅτι δύο μὲν ὑψηλοτέρας ἀποφύσεις ἔχων αὐτῶν ἕκαστος δ᾽ ἀρθροῦται πρὸς τὸν ὑπερκείμενον. ἄλλας δὲ ταπεινοτέρας αὖ πάλιν, αἷς πρὸς τὸν ὑποκείμενον διαρθροῦται, κατὰ μὲν τὰς ἑτέρας αὐτῶν, ὑποδέχεται τὰς ἐξοχὰς τοῦ πλησιάζοντος, κατὰ δὲ τὰς ἑτέρας, ἐπιβαίνει θατέρῳ. γέγραπται δὲ περὶ τούτων ἀκριβῶς, ἐν τῷ περὶ τῶν ὀστῶν.

HIPPOCRATIS TEXTUS XLVII.

NIſi hominem ſeces, deinde manu aliò in ventrem indita, ab interiori parte in exteriorem compellas, quod quidem mortuo fieri licet, vivente nullo pacto. Quorſum igitur hæc ſcribimus? quoniam nonnulli ſibi perſuadent ſe ſanaſſe eos, quibus vertebræ articuli ex toto excedentes in interiorem partem venerunt. Quanquam nonnulli facillimum exiſtiment vertebris eo modo luxatis evadere, nihilque opus eſſe reſtituere, ſed eas per ſe reſtitui. Multi ſanè ignari ſunt, & ob imperitiam lucrum faciunt, vulgo enim ſuadent. Hoc itaque pacto decipiuntur. Spinam quæ in dorſo extat, putant eſſe ipſas vertebras; nam ſingula tactu ibi rotunda ſentiuntur: neque intelligunt hæc oſſa ex vertebris procedere (de quibus paulò ſupra tractavimus) ipſas verò vertebras multò magis in priorem partem ſitas eſſe: ſiquidem ex omnibus animalibus homo pro magnitudine, ventrem, habet anguſtiſſimum à poſteriori parte in priorem, præcipuè ad thoracem. Ergo, ubi aliquod ex iis oſſibus quæ valde excedunt, comminuatur, ſive unum, ſive plura, is locus humilior ſit, quàm qui hinc eſt, atque hinc: ac proptereà errant, putantes vertebras in interiorem partem procidiſſe. Quos item fallit habitus eorum, qui icti ſunt: nam, ſi curvari velint, dolent, cum qua parte percuſſi ſunt, cutis tendatur, ſicque oſſis fragmenta carnem magis vulnerent: ſin ita figurati, ut ſpina à poſteriori parte cava ſit, levantur, cutis enim quà fracta eſt, laxior efficitur, & oſſa minus vulnerant: quin ſi ea parte tangantur, cedunt, ſpinam in priorem partem compellentes, iiſque locus inanis & mollis tangenti apparet. Hæc omnia quæ dicta ſunt, Medicos fallunt: citò autem, ac ſine aliquo detrimento, hujuſmodi homines per ſe ſaneſcunt: hæc enim

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μζ΄.

ΕΠειτα ἐσμασάμενος ἐς τὴν κοιλίην, ἐκ τοῦ ἔσωθεν, τῇ
D χειρὶ ἐς τὸ ἔξω ἀνωθέοι, καὶ ταῦτα νεκρῷ μὲν οἷόν τε ποιέειν, ζῶντι δὲ, οὐ πάνυ. διὰ τί δὴ οὖν ταῦτα γράφω; ὅτι οἴονταί τινες ἰητρευκέναι ἀνθρώπους, οἷσιν εἴσω ἔπεσον σπόνδυλοι, τελέως ὑπερβάντες τὰ ἄρθρα, καίτοι γε ῥηΐστην τὸ περιγενέσθαι τῶν διαστροφέων, ταύτην ἔνιοι νομίζουσι, καὶ οὐδὲν δεῖσθαι ἐμβολῆς, ἀλλ᾽ αὐτόματα ὑγιέα γίνεσθαι τὰ τοιαῦτα. ἀγνοέουσι δὲ πολλοὶ, καὶ κερδαίνουσιν, ὅτι ἀγνοέουσι, πείθουσι γὰρ τοὺς πέλας. ἐξαπατῶνται δὲ, διὰ τόδε· οἴονται τὴν ἄκανθαν, τὴν ἐξέχουσαν κατὰ τὴν ῥάχιν ταύτην, τοὺς σπονδύλους αὐτοὺς εἶναι, ὅτι στρογγύλον αὐτέων ἕκαστον φαίνεται ψαυόμενον, ἀγνοοῦντες, ὅτι τὰ ὀστέα
E ταῦτά ἐστι τὰ ἀπὸ τῶν σπονδύλων πεφυκότα, περὶ ὧν ὁ λόγος ὀλίγῳ πρόσθεν εἴρηται. οἱ δὲ σπόνδυλοι πολὺ προσωτέρω ἄπεισι. στενοτάτην γὰρ πάντων ζώων ἄνθρωπος κοιλίην ἔχει, ὡς ἐπὶ μεγέθει, ἀπὸ τοῦ ὄπισθεν ἐς τὸ ἔμπροσθεν, ποτὶ καὶ κατὰ τὸ στῆθος. ὅταν οὖν τι τούτων τῶν ὀστέων τῶν ὑπερεχόντων ἰσχυρῶς καταγῇ, ἤν τε ἓν, ἤν τε πλείω, ταύτῃ ταπεινότερον τὸ χωρίον γίνεται, ἢ τὸ ἔνθεν καὶ ἔνθεν· διὰ τοῦτο ἐξαπατῶνται, οἰόμενοι τοὺς σπονδύλους εἴσω οἴχεσθαι, προσεξαπατᾷ δὲ ἔτι αὐτοὺς, καὶ τὰ σχήματα τῶν τετρωμένων. ἢν
F μὲν γὰρ πειρῶνται καμπύλλεσθαι, ὀδυνῶνται, ὀστέα τὰ περιτενέος γενομένου ταύτῃ τοῦ δέρματος ᾗ τέτρωται, καὶ ἅμα τὰ κατεηγότα ἐνθραύσει ἔτι μᾶλλον τὸν χρῶτα. ἢν δὲ λορδαίνωσι, ῥάους εἰσί· χαλαρώτερον γὰρ τὸ δέρμα κατὰ τὸ τρῶμα γίνεται, καὶ τὰ ὀστέα ἧσσον ἐνθραύσει· ἀτὰρ καὶ ἤν τις ψαύῃ αὐτέων κατὰ τοῦτο, ὑπείκουσι λορδοῦντες, καὶ τὸ χωρίον, κενεὸν καὶ μαλθακὸν, ψαυόμενον, ταύτῃ φαίνεται. ταῦτα πάντα τὰ εἰρημένα προσεξαπατᾷ τοὺς ἰητρούς. ὑγιέες δὲ ταχέως, καὶ ἀπόνως αὐτόματοι οἱ τοιοῦτοι γίνονται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη'.

ΣΚολιαίνεται γοῦν ῥάχις, καὶ ὑγιαίνουσι κατὰ πολλοὺς τρόπους. καὶ γὰρ ἐν τῇ φύσει, καὶ ἐν τῇ χρήσει, οὕτως ἔχει. ἀτὰρ καὶ ὑπὸ γήραος, καὶ ὑπὸ ὀδυνημάτων, ἐπεὶ ξυνδετική ἐστιν. αἱ δὲ δὴ κυφώσιες, αἱ ἐν τοῖσι πτώμασιν, ὡς ἐπὶ τὸ πολὺ γίνονται, ἢν ἢ τοῖσιν ἰσχίοισιν ἐρείσῃ, ἢ ἐπὶ τοὺς ὤμους πέσῃ. ἀνάγκη γὰρ ἔξω φαίνεσθαι ἐν τῷ κυφώματι, ἕνα μὲν εἶναι ὑψηλότατον τῶν σφονδύλων, τοὺς δὲ ἔνθεν καὶ ἔνθεν ἐπὶ ἧσσον· οὔκουν ὡς ἐπὶ πολὺ ἀποπεπηδηκὼς ἀπὸ τῶν ἄλλων ἐστὶν, ἀλλὰ μικρὸν, ἢν ἕκαστος συνδιδοῖ ἀθρόως πολύ. διὰ οὖν τοῦτο, καὶ ὁ νωτιαῖος μυελὸς εὐφόρως φέρει τὰς τοιαύτας διαστροφὰς, ὅτι κυκλώδης αὐτῷ ἡ διαστροφὴ γίνεται, ἀλλ᾽ οὐ γωνιώδης.

HIPPOCRATIS TEXTUS XLVIII.

B *IAm verò iis qui ſani ſunt, obliqua ſpina fit pluribus modis: namque & natura, & uſu ſic habet: ſed & ob ſenium, & ſub dolore, hæc ſiquidem colligandi vim habent. Gibba autem plerunque fit, quùm homo vel in coxas, vel in ſcapulas cadit: neceſſe enim eſt in ſpina gibba unam aliquam vertebram reliquarum omnium conſpici maximè ſublimem: eas autem quæ hinc atque hinc ſunt, minùs. Nec plurimùm hujuſmodi vertebra ab aliis recedit, ſed parum quando ſingulæ ſubitò plurimùm cedant. Hac igitur* C *de cauſa & ſpinæ medulla facilè fert, quùm ita pervertitur, quùm fiat gibba in orbem, non ad angulum.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗν μὲν εἰς τοὐπίσω διαστροφὴν τῆς ῥάχεως, κύφωσιν ὀνομάζει, τὴν δὲ εἰς τὸ πρόσω λόρδωσιν, τὴν δὲ εἰς τὰ πλάγια, σκολίωσιν. ἀλλὰ τούτῳ γε τῷ ὀνόματι τῆς σκολιώσεως, καθ᾽ ἕτερον χρῆται τρόπον, καθ᾽ ἁπασῶν διαστροφῶν ῥάχεως, ἐνδεικνύμενος δι᾽ αὐτοῦ, ὡς σημαντικόν τι γενικώτερον τῶν ἄλλων. οὕτω γὰρ, καὶ νῦν εἶπε σκολιαίνεσθαι ῥάχιν, ἐν ἴσῳ, τῷ διαστρέφεσθαι καθ᾽ ὁντιναοῦν τρόπον, καὶ ἔμπροσθεν δέ που ἔλεγεν. αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος εὐθυσκολιής ἐστι, ὡς τῆς δηλούσης διαστροφῆς, εἰς τὸ τοὐπίσω καὶ πρόσω.

GALENI COMMENTARIUS.

VBi ſpina gibba fit, hoc eſt in poſteriorem partem convertitur, κύφωσιν appellat: λόρδωσιν, ubi curva, ſpectatque in priorem: ubi obliqua & in latera, σκολίωσιν: quo verbo utitur alio modo, & ad omnem ſpinæ depravationem ſignificandam, indicans verbum generale magis eſse quàm alia, D in qua ſignificatione nunc quoque ait ſpinam σκολιαίνεσθαι, quaſi dicat quovis modo perverti; atque in ſuperioribus etiam dixit; ipſa autem ſpina in longitudinem rectè obliqua eſt, obliquam vocans σκολιὴν, ubi eam inclinare in priorem, & poſteriorem partem indicavit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μθ'.

ΧΡὴ δὲ τὴν κατασκευὴν τοῦ διαναγκαζομένου, τοιῶνδε κατασκευάσασθαι. ἔξεστι μὲν ξύλον ἰσχυρὸν καὶ πλατὺ, ἐντομὴν παραμήκεα ἔχον, κατορύξαι, ἔξεστι δὲ καὶ ἀντὶ τοῦ ξύλου, ἐν τοίχῳ ἐντομὴν παραμήκεα ἐντομεῖν, ἢ πήχει αἰωρότερον τοῦ ἐδάφεος, ἢ ὅκως ἂν μετρίως ἔχῃ, ἔπειτα οἷον στύλον δρύϊνον, τετράγωνον, πλάγιον παραβάλλειν, ἀπολείποντα ἀπὸ τοῦ τείχου, ὅσον παρελθεῖν τινὰ, ἢν δέῃ, καὶ ἐπὶ μὲν τὸν στύλον ἐπιστορέσαι, ἢ χλαίνας, ἢ ἄλλο τι ὃ μαλθακὸν μὲν ἔσται, ὑπείξει δὲ μὴ μέγα, τὸν δὲ ἄνθρωπον πυριῆσαι. ἢν δὲ δέχηται, πολλῷ καὶ θερμῷ λούσαντας, κἄπειτα πρηνέα κατακλῖναι, κατατεταμένον, καὶ τὰς μὲν χεῖρας αὐτοῦ παρατείνοντα κατὰ φύσιν, προσδῆσαι πρὸς τὸ σῶμα. ἱμάντι δὲ μαλθακῷ ἱκανῶς, πλατεῖ τε, καὶ μακρῷ, ἐκ δύο διπτύχων ξυμβεβλημένῳ μέσῳ, κατὰ μέσον τὸ στῆθος δὶς περιβεβλῆσθαι χρὴ, ὡς ἐγγυτάτω τῶν μασχαλέων, ἔπειτα τὸ περισσεῦον τοῦ ἱμάντος, κατὰ τὴν μασχάλην, ἑκατέρην περὶ τοὺς ὤμους περιβεβλήσθω, ἔπειτα αἱ ἀρχαὶ πρὸς ξύλον ὑπεροειδές τι προσδεδέσθωσαν, ἁρμόζουσαι κατὰ μῆκος τῷ ξύλῳ τῷ ὑποτεταμένῳ,

HIPPOCRATIS TEXTUS XLIX.

E *OPortet autem reſtituendi rationem huiuſmodi. præparare. Commodè quidem lignum firmum, ac latum quod in longitudinem inciſum ſit, foditur: commodè etiam pro ligno paries in longitudinem excavatur, quod cavum à pavimento, vel cubitum, vel quantum res exigit, attollatur. Dein veluti quadrata columna querna tranſverſa adhibetur, quæ à pariete eatenùs recedat, ut aliquis inter utrunque, ubi opus ſit, tranſire queat: ſternitur columna hæc, vel tunicis, vel quapiam re, quæ mollis ſit, & non admodum* F *cedat. Homo fovetur, & ſi ſuſtinet, multa aqua calida lavatur: deinde in ventrem jacet extentus, brachiis ſecundùm naturam porrectis, atque ad corpus alligatis. Lorum item molle, latumque abundè, & longum, quod conſtet duabus habenis, medium medio pectori iniectum bis circundatur, quantum poteſt juxta alas: poſtea quod ex loris ſupereſt, circa alas humeri capiti obvolvitur, capitaque ad aliquod lignum cujuſmodi piſtillum eſt, alligantur; eorum enim longitudo aptatur longitudini ejus ligni quod ſubjectum eſt, ut hoc piſtillo extendenti mora ſit. Hujuſmodi*

eam partem quà ſpina gibba eſt, ſedeat: ſimulque ubi homo extenditur, ſe attollens concutiat. Sed & pedibus conſiſtere ſuper ſpinam quà gibba eſt, ſuſtinerique & leniter concutere, nihil prohibet, ad quam rem ſatis idoneus eſt quilibet palæſtræ aſſuetus.

A

A Columna querna quadrata, &c.

B

A Columna querna quadrata, &c.

C

A Columna querna quadrata, &c.

D

A Paries excavatus, &c.

Aptiſſimè autem cogitur, ſi paries, qui excavatur, vel lignum quod foditur, quatenùs convenire videbitur, infra hominis ſpinam incidatur: aſſer verò è tilia, vel ex altero ligno non tenui ſecetur, tum ſupra ſpinam quà gibba eſt, vel multiplex panniculus, vel parvus aliquis pulvinus ſcorteus, imponatur: ſed quantum minimè poteſt, convenit hæc ſubjicere: videndum eſt ſolummodo ne aſſer præ duritie fruſtra dolori ſit: ea autem pars ſpinæ, quæ gibba eſt, ſit maximè è regione ejus partis, quà paries exciſus eſt, ut aſſer, quà maximè ſpina extat, ſuperimpoſitus, maximè premat: adhibitus vero aſſer, à miniſtro uno vel altero, ſi opus fuerit, cogatur; alii ut ſuprà oſtenſum eſt, hinc atque hinc in longitudinem corpus intendant. Licet & per axes extendere vel juxta lignum defoſſos, vel contentos in quibuſdam lignis in ipſum defixis, quæ erigantur, ſive utrinque à lateribus paululùm extantia, ſive in utraque ejus extremitate. Accommodatur autem vis, quæ per hæc adhibetur, & ubi vehementiore, & ubi leniore opus eſt: tantum enim roboris habet, ut ſi quis non in Medicina; ſed ad torquendos homines eam adhibeat, præſtanter ad id valeat, ita ut ſive tantum extendamus in longitudinem, hinc atque hinc nihil ultra cogentes, ſive citra intenſionem aſſerem duntaxat admoveamus, abundè ſit. Optimum autem eſt uti ejuſmodi via, quàm in ipſo uſu, & intendendo, & remittendo moderari potes, quæve ſecundùm naturam eſt. Quæcunque igitur extant, compreſſa, in ſuum locum redeunt: quæ præter naturam coïerunt, intenſa, ſecundùm naturam compellantur. Equidem cogendi alium modum meliorem aut juſtiorem habeo nullum.

ἤν τε ἐς ἰξὺν ἐς τὸ κάτω περιέχῃ κατάτασιν καταναγκάζεσθαι, ἤν τε πρὸς τῆς κεφαλῆς, ἤν τε πρὸς τῆς ἰσχίου. καὶ ἀσινεστάτη μὲν αὕτη ἡ ἀνάγκη. ἀσινὲς δὲ, καὶ ἐπικαθίζεσθαί τινα πρὸς τὸ κύφωμα, τοῦ ἅμα κατατεινομένου, ἐνσεῖσαι μετεωρισθέντα. ἀτὰρ καὶ
C ἐπιβῆναι τῷ ποδὶ, καὶ ὀχηθῆναι ἐπὶ τὸ κύφωμα, ἠρέμα τι ἐπενσεῖσαι, οὐδὲν κωλύει. τὸ τοιοῦτο δὲ ποιῆσαι μετρίως, ἐπιτήδειος ἄν τις εἴη τῶν ἐπὶ παλαίστρῃ εἰθισμένων. δυνατωτάτη μέντοι τῶν ἀναγκέων ἐστὶν, εἰ ὁ μὲν τοῖχος ἐντετμημένος εἴη. τὸ δὲ ξύλον τὸ κατορωρυγμένον ἢ ἐντετμημένον, κατωτέρω εἴη τῆς ῥάχιος τοῦ ἀνθρώπου, ὁκόσῳ ἂν δοκέῃ μετρίως ἔχειν. σανὶς δὲ φιλυρίνη μὴ λεπτὴ ἐνείη, ἢ καὶ ἄλλου τινὸς ξύλου, ἔπειτα ἐπὶ τὸ ὕβωμα ἐπιτεθείη, ἢ πτύχιόν τι πολύπτυχον, ἢ μικρόν τι σκύτινον ὑποκεφάλαιον, ὡς ἐλάχιστα μὲν ὑποκεῖσθαι ξυμφέρει, μόνον προμηθεόμενον,
D ὡς μὴ ἡ σανὶς, ὑπὸ σκληρότητος, ὀδύνην παρὰ καιρὸν προσπαρέχῃ. κατ' ἶξιν δὲ ἔστω ὡς μάλιστα τῇ ἐντομῇ τῇ ἐς τὸν τοῖχον, τὸ ὕβωμα. ὡς ἂν ἡ σανὶς ᾗ μάλιστα ἐξέστηκε, ταύτῃ μάλιστα πιέζῃ ἐπιτεθεῖσα. ὅταν δὲ ἐπιτεθῇ, τὸν μέν τινα καταναγκάζειν καὶ τὸ ἄκρον τῆς σανίδος, ἤν τε ἕνα δέῃ, ἤν τε δύο. τοὺς δὲ, κατατείνειν τὸ σῶμα κατὰ μῆκος, ὡς πρόσθεν εἴρηται, τοὺς μὲν τῇ, τοὺς δὲ τῇ. ἔξεστι δὲ καὶ ὀνίσκοισι τὴν κατάτασιν ποιέεσθαι, ἢ παρακατορύξαντα παρὰ τὸ ξύλον, ἢ ἐν αὐτῷ τῷ ξύλῳ τὰς φλιὰς τοῦ ὀνίσκου ἐντεκτηνάμενον, ἤν τε ὀρθὰς ἐθέλῃς ἑκατέρωθεν μικρὸν ὑπερεχούσας, ἤν τε κατὰ
E κορυφὴν τοῦ ξύλου ἔνθεν καὶ ἔνθεν. αὗται αἱ ἀνάγκαι, εὐταμίευτοί εἰσιν, καὶ ἐς τὸ ἰσχυρότατον καὶ ἐς τὸ ἧσσον, καὶ ἰσχὺν ἔχουσι τοιαύτην, ὥς τε καὶ εἴ τις ἐπὶ λύμῃ βούλοιτο, ἀλλὰ μὴ ἐπὶ ἰητρείῃ, ἐς τοιαύτας ἀνάγκας ἀγαγεῖν, κἂν τούτῳ ἰσχυρῶς δύνασθαι· καὶ γὰρ ἂν κατατείνων κατὰ μῆκος μοῦνον ἔνθεν καὶ ἔνθεν, ἄλλην καὶ ἀνάγκην οὐδεμίην προστιθεὶς, ὅμως κατατείνειεν ἄν τις, ἀλλὰ μὴν καὶ εἰ μὴ κατατείνων. αὐτῇ δὲ μοῦνον τῇ σανίδι οὕτως εἰ πιέζοι τις, καὶ οὕτως ἱκανῶς καταναγκάσειε. καλαὶ οὖν αἱ τοιαῦται ἰσχύες
F εἰσὶν, ᾗ ἔξεστιν, καὶ ἀσθενεστέρῃσι καὶ ἰσχυροτέρῃσι χρέεσθαι αὐτὸν ταμιεύοντα, καὶ μὲν δὴ καὶ κατὰ φύσιν γε ἀναγκάζουσι. τὰ μὲν γὰρ ἐξεστεῶτα, ἐς τὴν χώρην ἀναγκάζει καὶ ἡ ἴπωσις ἰέναι. τὰ δὲ ξυνιζήσαντα κατὰ φύσιν, κατατείνουσιν αἱ κατὰ φύσιν κατατάσιες. οὔκουν ἐγὼ ἔχω τουτέων ἀνάγκας καλλίους, οὐδὲ δικαιοτέρας.

βολῶ, καὶ δὶς, καὶ τρὶς, καὶ πλεονάκις ἀναγνώτω, προσέχων τὸν νοῦν. εἰ γὰρ τοῦτο ποιήσῃ, πάντως αὐτ' ἐννοήσει τὰ φαινόμενα ἑρμηνευόμενα.

B pocrate ſcribuntur, iterum ac tertiò, ac ſæpius, diligenti animadverſione relegat; quòd ſi hoc faciat, quæ planè ab ipſo traduntur, omninò intelliget.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ν'.

Ἡ γὰρ κατ' αὐτὴν τὴν ἄκανθαν ἰθυωρίη τῆς κατατάσιος, κάτωθεν μέν τι καὶ κατὰ τὸ ἱερὸν ὀστέον καλεόμενον, οὐκ ἔχει ἐπιλαβὴν οὐδεμίην, ἄνωθεν δὲ, κατὰ τὸν αὐχένα, καὶ κατὰ τὴν κεφαλὴν, ἐπιλαβὴν μὲν ἔχει, ἀλλ' ἐς ἰδέην γε ἀπρεπής. ταύτῃ τε γινομένη ἡ κατάτασις, καὶ ἄλλας βλάβας ἂν προσπαρέχοι πλεοναχθεῖσα. ἐπειρήθην δὲ δή ποτε, ὕπτιον τὸν ἄνθρωπον κατατείνας, ἀσκὸν ἀφύσητον ὑποθεῖναι ὑπὸ τὸ ὕβωμα, κἄπειτα αὐλὸν ἐκ χαλκείου ἐς τὸν ἀσκὸν τὸν ὑποκείμενον ἐνιέντα, φυσᾶν, ἀλλά μοι οὐκ εὐπορεῖτο. ὅτε γὰρ εὖ κατατείνοιμι τὸν ἄνθρωπον, ἡσσᾶτο ὁ ἀσκὸς, καὶ οὐκ ἠδύνατο ἡ φῦσα ἐσαναγκάζεσθαι. καὶ ἄλλως ἕτοιμον περιολισθαίνειν ἦν, ἅτε ἐς τὸ αὐτὸ ἀναγκαζόμενόν τό, τε τοῦ ἀνθρώπου ὕβωμα, καὶ τὸ τοῦ ἀσκοῦ πληρευμένου κύρτωμα. ὅτε δ' αὖ μὴ κάρτα κατατείνοιμι τὸν ἄνθρωπον, ὁ μὲν ἀσκὸς ὑπὸ τῆς φύσης ἐκυρτοῦτο, ὁ δὲ ἄνθρωπος πάντῃ μᾶλλον ἐλορδοῦτο, ἢ συνέφερεν. ἔγραψα δὲ ἐπίτηδες τοῦτο· καλὰ γὰρ καὶ ταῦτα μαθήματά ἐστιν, ἃ πειρηθέντα ἀπορηθέντα ἐφάνη, καὶ δι' ἅσσα ἠπορήθη.

HIPPOCRATIS TEXTUS L.

C *Nam quum è regione ipſius ſpinæ intenſio adhibetur, ab inferiori parte, & juxta os, quod ſacrum appellatur, non eſt locus, qui prehendi poſſit: à ſuperiori juxta cervices & caput, eſt quidem, ſed aſpectu indecorus, præterquamquòd, ſi corpus ab hac parte valentius extendatur, alia quoque noxa afferetur. Expertus aliquando ſum utrem non inflatum, quem reſupinato homine ſpinæ, quà gibba erat, ſubjeci, dein fiſtulâ æneâ demiſſâ inflavi; ſed parum proceſſit: cedebat enim uter, quùm homo bene extendebatur, neque ſpiritus impellere quidquam poterat; ſed alioquin uter promptè labebatur, quum ſe compellerent & gibbus ſpinæ locus & repleti utris tumor: at contrà, quum non valdè homo extendebatur, uter ob ſpiritum in tumorem aſſurgebat; ſed homo magis quàm expediret, in priorem partem convertebatur. De induſtria autem* D *hæc ſcripſi; pulchra enim hujuſmodi monumenta ſunt eorum, quæ quum experti ſumus, ſine effectu invenimus: & cauſarum, cur parum proceſſerint.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὐτὸς αὖ ἐπιλαβὴν εἴρηκε τὴν οἷον αἰπιλαβὴν, καὶ αἰπίλεσιν, ὥστε στηρίζεσθαι τοὺς περιβαλλομένους βρόχους, πρός τι τῶν ἐξεχόντων ἕνεκα τοῦ ἀπορρεῖν. κατὰ μὲν τὸ ἱερὸν ὀστέον, οὐδὲν ἔχει τοιοῦτον· ἄνωθεν τ' ἂν τὸ, τό τι ἔχῃ, καὶ τὴν κεφαλὴν, E ἅμα φαίνοιτ' ἂν ὁ ἄνθρωπος πνιγόμενος, εἴ τις ἐνταῦθα περιλάβοι, καὶ κατὰ τοῦτ' αὖ ἀπρεπὴς ἡ κατάτασις φαίνοιτο. καὶ μέν τοι καὶ βλάβας, ἂν παρέχοι, εἰ ὀλισθήσῃ τὸν βρόχον τις ἐπὶ τὴν λάρυγγα.

GALENI COMMENTARIUS.

Locum, qui prehendi poſſit ἐπιλαβὴν, quaſi αἰπιλαβὴν, & αἰπίληψιν dixit, eò quod obex, & mora ſit injectis laqueis, ſic, ut hæreant, quà eminet, & minimè decidant. Ab oſſe ſacro nullus talis locus eſt à ſuperiori parte, quamvis cervices ſint, & caput; homo tamen ſtrangulari videbitur, ſi hac parte prehendatur; atque idcircò ea intendendi ratio indecora habebitur; ſed & noxam inferet, ſi laqueus ad guttur delabatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ να'.

Ὅσοισι δὲ ἐς τὸ εἴσω σκολιαίνονται οἱ σπόνδυλοι ὑπὸ πτώματος, ἢ καὶ ἐμπεσόντος τινὸς βαρέος, F εἷς μὲν οὐδεὶς τῶν σπονδύλων μέγα ἐξίσταται κάρτα, ὡς ἐπὶ τὸ πολὺ, ἐκ τῶν ἄλλων. ἢν δὲ ἐκστῇ μέγα, ἢ εἷς, ἢ πλείονες, θάνατον φέρουσιν, ὥσπερ δὲ καὶ πρόσθεν εἴρηται, κυκλώδης καὶ αὕτη, καὶ οὐ γωνιώδης γίνεται ἡ διαστροφή. Οὖρα μὲν οὖν τοῖσι τοιούτοισι, καὶ ἀπόπατος μᾶλλον ἴσχεται, ἢ τοῖσιν ἔξω κυφοῖσι, καὶ πόδες, καὶ ὅλα τὰ σκέλεα ψύχεται μᾶλλον, καὶ θανατηφόρα ταῦτα μᾶλλον, ὧν ἔφην. καὶ ἢν περιγένωνται δὲ,

HIPPOCRATIS TEXTUS LI.

Quibuſcunque autem vertebræ in inferiorem partem convertuntur, vel quòd homo ceciderit, vel quòd grave aliquid ſuper ipſum inciderit, plerunque nulla vertebra valde ab aliis recedit: ubi non valde recedat, ſive una, ſive plures, hominem non præcipitat, ſicut antea dictum eſt, cùm ſpina in orbem, non ad angulum pervertatur. His quidem urina, & alvus magis ſupprimitur, quam quibus vertebræ in exteriorem partem convertuntur, pedeſque & crura tota magis frigeſcunt: atque hæc magis mortifera ſunt, quàm quæ poſita ſunt:

hant. Quam rem ignorant, qui eas deſignant: nam quò major cucurbitula eſt, eo magis ſpina cava fit, quùm à ſuperiori cute urgeatur. Alios item concutiendi modos præter jam poſitos adducere poſſem, quos exiſtimet quis ad vitium magis pertinere; ſed eos (utpote quibus parum confidam) omitto. Illud autem in univerſum, ut ſummatim dicamus, intelligere oportet, quod ubi ſpina in interiorem partem convertitur, ad interitum ægrotantem præcipitat, & infeſtiſſima eſt: ubi in exteriorem, vacat mortis periculo, urinam non ſupprimit, & plerunque torporem non infert.

των σφονδύλων, μεγάλη ἁμαρτία γνώμης ἐστίν. ἀπωθοῦσι γὰρ μᾶλλον, ἢ ἀνασπῶσι, καὶ οὐδὲ αὐτὸ τοῦτο γιγνώσκουσιν οἱ προσβάλλοντες. ὅσῳ γὰρ ἄν τις μείζω προσβάλλῃ, τοσούτῳ μᾶλλον λορδοῦνται οἱ προσβληθέντες, συναναγκαζομένου ἄνω τοῦ δέρματος. τρόποι δὲ ἄλλοι κατασείσιος, ἢ οἷοι C τε προσθεῖναι εἴρηνται, ἔχοιμι ἂν εἰπεῖν, ἁρμόσαι οἷς ἄν τι δοκέῃ τῷ παθήματι μᾶλλον, ἀλλ' οὐ κάρτα πιστεύω αὐτοῖς, διὰ τοῦτο οὐ γράφω. ἀθρόως δὴ ξυνιέναι χρὴ περὶ τούτων, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι. οὕτω τὰ μὲν εἰς τὸ λορδὸν ῥέψαντα, ὀλέθρια εἰσί, καὶ σινάμωρα, τὰ δὲ ἐς τὸ κυφὸν, ἀπήμονα θανάτου, καὶ οὔρων σχέσιος, καὶ ἀποναρκώσιος τὸ ἐπίπαν.

GALENI COMMENTARIUS.

De vertebris agens in interiorem partem luxatis, inquit caſum aſperiorem eſſe, quàm ſi in exteriorem ferantur: cauſam eſſe in aperto dicit; nervi enim omnes, qui à ſpinæ medulla oriuntur, in interiorem partem procedunt. Premuntur ergo magis, ubi ſpina in hanc partem convertitur, quàm ubi in exteriorem, cumque iis urgentur, quæcunque partes ſpinæ ſuperinſident; quo fit, ut interdum ſuperior quoque pars veſicæ comprimatur: & quæ cum his conſortium habent, omnia inflammatione occupentur. Quamobrem neque veſica urinam, neque alvus dejectionem reddit: expellentis enim facultatis, quæ una ex naturalibus eſt, vitium eſt urinam, atque alvum ſupprimi: torporis autem membrorum cauſa eſt, nervorum affectus: ſed veſicâ & inteſtinis affectis, periculum eſt ne homo interim decedat, dum tollitur inflammatio, quæ efficit ut nec alvus, nec urina reſpondeat. Quemadmodum autem muſculus, qui veſicam adſtringit, quum nimiùm ſuo munere fungitur, non patitur urinam evadere, ita veriſimile ſit affici muſculum ani, quem Græci ab adſtringendo σφιγκτῆρα nominarunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῆς ἔσω μεταστάσεως τῶν σφονδύλων γράφει ταῦτα, χαλεπωτέραν αὐτὴν τῆς ἔξω λέγων εἶναι, καὶ ἡ αἰτία D πρόδηλος. καὶ γὰρ ἔσω ῥέπει τὰ νεῦρα πάντα, τὰ ἀπὸ τοῦ νωτιαίου πεφυκότα. θλίβεται οὖν ἐν ταῖς τοιαύταις μεταστάσεσι μᾶλλον, ἤπερ ἐν ταῖς ἔξω. σὺν τούτοις δὲ, καὶ τὰ ἐπικείμενα μόρια τῇ ῥάχει θλίβεται πάντα, καὶ κατὰ τοῦτο, καὶ τῆς κύστεως τὸ ἄνω πέρας, θλίβεταί ποτε. καὶ μέντοι καὶ κατὰ συμπάθειαν, εἰς φλεγμονὴν ἀφίξεται πάντα, καὶ διὰ τοῦτ', οὔτε ἡ κύστις οὖρον ἐκκρίνει, οὔτε τὰ ἔντερα ἀπόπατον. τῆς γὰρ ἐκκριτικῆς δυνάμεως, ἥτις ἐστὶ μία τῶν φυσικῶν, πάθος ἐστὶν, ἴσχεσθαι E τὸ οὖρον καὶ τὸ ἀπόπατον. τὸ δὲ, ναρκώδη γίνεσθαι τὰ μόρια, τῆς τῶν νεύρων βλάβης ἐστίν. ἐκ μὲν οὖν τῆς κατὰ τὰ ἔντερα, καὶ τὴν κύστιν βλάβης, ἄχρι περ ἂν παύσεται φλεγμαίνοντα, κίνδυνος ἀπολέσθαι τὸν ἄνθρωπον, καὶ δι' ἄκρα, καὶ ἀκαίρως ἔντερα διαμύει, καὶ διὰ τοῦτο, καὶ ὁ σφίγγων τὴν κύστιν μῦς, οὐκ ἐᾷ ἀκριβῶς ἐνεργῶν ἐπιτρέπειν τοῖς οὔροις. εἰκὸς καὶ δήπου, καὶ τὸν ἐπὶ τῆς ἕδρας μῦν, τὸν σφιγκτῆρα καλούμενον, τὴν αὐτὴν ἀτονίαν F ἔχειν.

HIPPOCRATIS TEXTUS LII.

Quùm nec alvi itinera diſtendat, nec prohibeat quominùs facilem exitum habeant, ſpina, quum in exteriorem partem convertitur: ſed quum in interiorem, utrumque hoc efficiat, accedantque alia complura.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβʹ.

ΟΥ γὰρ ἐντείνει τοὺς ὀχετοὺς τοὺς κατὰ τὴν κοιλίην, οὐδὲ κωλύει θύραζε εἶναι, ἡ εἰς τὸ ἔξω κύφωσις. ἡ δὲ λόρδωσις, ταῦτα ἀμφότερα ποιέει, καὶ ἐς τἆλλα πολλὰ προσγίνεται.

ἢν ἐκ τῶν σπονδύλων εἴσω μεθιστάμενος ἴσχουσιν, εἰκός ἐστι, καὶ πρὸς τῶν κατὰ τὰ νεῦρα συμπαθείας.

tio quod cum nervis habent, à ratione minimè abhorret.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νγ'.

Ἔπειτα πολὺ πλείστες, σκελέων τε καὶ χειρῶν ἀκρατέες γίνονται, καὶ καταναρκοῦνται τὸ σῶμα, καὶ οὖρα τούτοισιν ἴσχεται, οἷσιν ἂν μὴ ἐκστῇ μὲν τὸ ὕβωμα, μήτε ἔξω, μήτε ἔσω, σεισθέωσι δὲ ἰσχυρῶς ἐς τὴν ἰθυωρίην τῆς ῥάχιος. οἷσι δ' ἂν ἐκστῇ μὲν τὸ ὕβωμα, ἧσσον τοιαῦτα πάσχουσιν. C

HIPPOCRATIS TEXTUS LIII.

Multo autem pluribus crura & brachia reſolvuntur, corpus torpet, urina ſupprimitur, quibus vertebræ nec in exteriorem partem, nec in interiorem exciderint; ſed concuſſæ vehementer fuerint manentes è regione ſpinæ: quibus ſpina depravatur, minùs hæc patiuntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐνταῦθα τὸ, ὕβωμα, φωνὴν ὡς γενικόν τι σημαῖνον ἐνέγραψεν, ἐπὶ πάσης εἰπὼν, τῶν σπονδύλων εἰς τὸ παρὰ φύσιν ἐκστάσεως, ὅλος δὲ λόγος εὔδηλος. ἐπὶ γὰρ τὴν τετάρτην διαφορὰν τῶν κατὰ τὴν ῥάχιν παθῶν, ἀφικνεῖται τῷ λόγῳ, καλοῦσι δὲ αὐτὴν σεῖσιν, ὅταν αἱ ἁρμονίαι σύμπασαι διακινηθῶσι τῶν σπονδύλων τῆς ῥάχεως, καὶ κινδυνεύσῃ διασπασθῆναί τε καὶ θλασθῆναι, διασεισθείσης σφοδρῶς αὐτῆς, καί φησι τοῦτο πολὺ χεῖρον εἶναι τῶν ἄνευ τοῦ διασεισθῆναι γεγενημένων διαστροφῶν τῆς ῥάχεως. εἶτ' ἑξῆς, ὅτι καὶ ταῖς πλευραῖς καταγνυμέναις τοιοῦτόν γέ τι συμβαίνει, διηγεῖται. D

GALENI COMMENTARIUS.

Ut depravationem exprimat, mutuatur ὕβωμα vocabulum tanquam generale, agens de vertebris, quomodocunque ſuo loco motis. Univerſa autem oratio clara eſt; venit enim ad quartum genus vitiorum ſpinæ, quod Græci à concutiendo σεῖσιν appellant. Id autem eſt, quum vertebrarum ſpinæ compago univerſa dimovetur, periculumque eſt ne convellatur, atteraturque ſpina vehementer concuſſa: quod malûm ipſe teſtatur multò deterius eſſe, quàm ſi ſpinâ non concuſſâ, vertebræ pervertantur. In ſequentibus ad coſtas pergit, quibus abruptis, hujuſmodi quippiam accidit.

ΠΕΡΙ ΠΛΕΥΡΩΝ ΚΑΤΗΞΙΟΣ.

DE FRACTURA COSTARUM.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νδ'. E

Πολλὰ δὲ καὶ ἄλλα ἐν ἰητρικῇ ἄν τις θεάσαιτο, ὧν τὰ μὲν ἰσχυρὰ, ἀσινέα ἐστὶ, καθ' ἑωυτὰ τὴν κρίσιν ὅλην λαμβάνοντα τοῦ νοσήματος, τὰ δὲ ἀσθενέστερα, σινάμωρα, καὶ ἀποτόκους νοσημάτων χρονίους ποιέεται, καὶ κοινωνέοντα καὶ τῷ ἄλλῳ σώματι ἐπὶ πλέον.

HIPPOCRATIS TEXTUS LV.

Multa quoque alia medicinali arte quis inſpiciet, quorum, quæ vehementia ſunt, quùm morbi momentum omne in ſe contineant, non nocent: quæ leviorem offenſam afferunt, mala concitant diuturna, & reliquum corpus plurimùm afficiunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Προειρηκὼς περὶ τῶν κατὰ τὴν ῥάχιν παθῶν, ὃ προσαγορεύουσι σεῖσιν, ἐν ᾧ οὐ μεταστῆναι σπόνδυλόν τινα γίνεται, ἐν τῷ ἐφεξῆς γράφει πολλὰ λέγεσθαι τῶν κατ' ἰατρικὴν, ἐπιεικέστερα κατ' ἀλήθειαν εἶναι, κἂν φαίνηται χαλεπώτερα. συμβαίνει δ' ἔνια τῶν παθῶν, ἐφ' ὧν συμπάθειαί εἰσι μείζους, ὡς ὅσα γε μηδεμίας ἐπιφέρει μορίων κυρίων συμπάθειαν, ἀλλὰ καθ' ἑαυτὸ πέφυκε τὴν κρίσιν, ἧττόν ἐστι χαλεπὰ καὶ ἰσχυρότερα εἶναι κατασκευαῖς. ἐφεξῆς οὖν ὡς ἐν παραδείγματος μέρει, μνημονεύει τῶν κατὰ τὰς πλευρὰς παθῶν ὑποδεικνύων, ἵνα μὲν αὐτῶν εἶναι τῇ φαντασίᾳ μόνον, ἔνια δὲ τῇ δυνάμει χαλεπά. F

GALENI COMMENTARIUS.

Locutus de vitio, ſub quo ſpina concutitur, vertebris nullo modo ſua ſede excedentibus, ſubjicit multa in medicina leviora eſſe re vera, quanquam graviora videntur: multa enim quæ minus afficiunt partes cum vitiato loco conſortium habentes, ut quæ nullam ex præcipuis partibus lædant; ſed in ſe morbi momentum habeant, minùs moleſta ſunt, quamvis graviora videantur. In ſequentibus gratiâ exempli de coſtarum affectibus meminit, indicans eorum alios graves apparere, alios eſſe.

HIPPO-

pertingunt, quam Hippocrates longius habens obſcuram fecit, paucos autem [illegible] potuit. Vbi coſta abrumpitur, ſi fractura ſimplex & ſola ſit, caſus quidem aſperior videtur, licet levior ſit, quam ubi atteritur, celerrimè enim curatur, & ſine periculo: ſed abſque fractura, ubi caro circa coſtas atteritur, in maximo [illegible] periculo [illegible] qui ſic affecti ſunt. Caput quidem orationis [illegible] hujuſmodi eſt, ſingula autem in [illegible] videamus. Si primam partem hujus orationis paucis Hippocrates explicaſſet, quemadmodum ego quum dixi, ubi ſola & ſimplex coſtarum fractura ſit, apertius ſcripſiſſet: verum ipſe, quaſi exponens [illegible] abrupta, neque in interiorem partem compulſa [illegible], vocavit [illegible] interiorem partem [illegible] thoracis, D in quod [illegible] os abruptum, per ſe non poteſt, [illegible] a tota carne ſuperjecta: niſi item [illegible] membrana, quæ coſtas cingit; per hæc [illegible] ſimplicem fracturam indicavit. Deinceps notavit [illegible] vitatem, quum ait: paucos febricitaſſe, raros item ſanguinem expuiſſe: aut pus in interiori thoracis regione contraxiſſe, raroque opus fuiſſe linamentis, vel coſtarum os vitiatum fuiſſe, & idcirco abunde eſſe victus rationem quamvis: hanc ipſe, ut didiciſti, ubique [illegible] nominat, eam quæ ex- E quiſitæ contraria eſt, ſignificans. Propoſitæ igitur partis orationis univerſus ſenſus hujuſmodi eſt: ad reliqua igitur pergamus.

C [illegible] C

D [illegible]

E [illegible] τὰ λοιπά.

HIPPOCRATIS TEXTUS LVI.

Quod ſi ubi continens febris non invadat, decentior eſt inedia, [illegible], & [illegible], ſi [illegible] magis [illegible]: venter enim mediocriter repletus [illegible], quæ [illegible] ſuſpendit: at ubi ſuſpenduntur, [illegible] F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νϛʹ.

ΗΝ δὲ μὴ πυρετὸς ξυνεχὴς ἐπιλαμβάνῃ αὐτὸν, κε-[illegible] F

GALENI COMMENTARIUS.

TUmet venter coſtas ſolet, quare ubi hæ rumpuntur, qui magis ventricoſi ſunt, minus dolent: quibus gracilis venter eſt, & contractior, hi magis vexantur, quum coſtas tenuiores [illegible] ſuſpenſas. Quod ſi continens febris hominem occupet, media uti

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁ [illegible]

E[illegible]

B

A [illegible] textum ætate, pannis, faſciiſque lenius ac ſi eis debemus æquale cumulum reddere, aut etiam lana aliquid ſuperimplere. Conferret autem copia [illegible] deceat in huiuſmodi enim epiſtus [illegible].

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φλέγμου ἐπίδεσιν εἶπεν, ὥσπερ καὶ δίαιταν, τὴν [illegible], ἥτις ἐστὶν ἐναντία τῇ [illegible].

GALENI COMMENTARIUS.

Vinciendi modum quemvis, [illegible] quemadmodum & victum: qui contrarius eſt ei qui ſumma diligentia adhibetur.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νη'.

Ἀμβλυνθείσης δὲ τῆς σαρκὸς, ἀμφὶ τὰς πλευρὰς, ἢ ὑπὸ πληγῆς, ἢ ὑπὸ πτώματος, ἢ [illegible], ἢ [illegible], πολλοὶ ἤδη, πολὺ αἷμα ἐπτύσαν.

HIPPOCRATIS TEXTUS LVIII.

AT carne circa coſtas detrita, quòd homo percutiatur, cadat, vel aliqua urgeatur, aut alio tali modo, multi jam ſanguinem expuerunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μ[illegible] τούτου τοῦ λόγου [illegible]

D

[illegible]

E

[illegible]

GALENI COMMENTARIUS.

IN memoria habendus eſt hic ſermo propter eos, qui exiſtimant in lateris dolore neceſſarium eſſe ut aliqua ex fibris pulmonis afficiatur, nam, quum proximus ſit lateri inflammato, aſſerunt aliquid ad eum tranſmitti ex tenui ſanguine, qui in inflammatione ſubſiſtit. Pulmone ergo nihil violato, ſed coſta affecta, quoſdam ait ſanguinem expuere: quo pacto autem hoc fiat, licet per ocium requirere. Nos ſanè quæſtionem hanc perpendimus in his quæ ſcripſimus in librum Eraſiſtrati de ſanguinis ſputo: nunc illud duntaxat intellexiſſe abundè eſt, quoſdam ſine vitio pulmonis ſanguinem ſpuere, propterea quod morbus circa coſtas verſetur. Vidiſtis ſæpè & in aliis inviolata cute, quæ fracturam tegit, effundi cruorem, ſic ut faſcias impleat, quamvis cutis membrorum denſior multo ſit, quam membrana quæ coſtas amplectitur. Quare nihil mirum eſt, ſi ſanguis per hanc ab affecta coſta in interiorem regionem ducatur: deìn protinus in ipſa exſpiratione in aſperam arteriam, quæ in pulmonem diſtributa eſt, transferatur: quemadmodum in iis videmus, quibus membrana hæc vulneratur: quicquid enim per vulnus in thoracem inſtillaveris, per os continuò redditur; quam rem, quum Eraſiſtratus ignoraſſet, abſurda ſcripſit in libro de ſanguinis ſputo. ſed qua in re decipiatur, eius ſcripta de me audientes ſæpenumerò didiciſtis.

[...]autem est inter ossa singularum costarum λαπαρὸν dixit, qua parte musculi sunt, qui quùm mediis interjecti sint, μεσοπλεύριοι Græcè nominantur: nervos verò appellavit τόνους. Oriri autem ait hæc omnia ab iis, quæ præstantissima sunt, quoniam initium harum venarum, perinde, atque arteriarum, est in vicinia cordis: nervorum autem ad spinæ medullam, quæ ad thoracem est, quibus aliquid cognationis est cum alio pari nervorum, qui à cerebro proficiscuntur. Quæ deinde adscribit, evidentissima sunt iis qui meminerint, quæ prodita sunt in prioribus commentariis.

C

[...] φλέβας. λαπαρὸν δὲ τὸ πλευρᾶς ἑκάστης, τὸ μεταξὺ τῶν ὀστῶν, καθ' ἃ καὶ οἱ μεσοπλεύριοι μῦς εἰσί, τόνους δὲ, δηλονότι τὰ νεῦρα. πεφυκέναι δέ φησιν ἀπὸ τῶν ἐπικαιροτάτων πάντα ταῦτα· διότι μὲν τῶν φλεβῶν τούτων ἡ ἀρχὴ, πλησίον ἐστὶ τῆς καρδίας, ὥσπερ καὶ τῶν ἀρτηριῶν. τῶν δὲ νεύρων, ἀπὸ τοῦ κατὰ τὸν θώρακα νωτιαίου, κοινωνίας τινὸς ὄντος αὐτοῖς, καὶ πρὸς ἄλλην συζυγίαν νεύρων, τῶν ἐγκεφάλου καθηκόντων. τὰ δὲ ἐφεξῆς ὑπ' αὐτοῦ γεγραμμένα, δῆλα τοῖς μεμνημένοις ἁπάντων τῶν ἐν τοῖς ἔμπροσθεν εἰρημένων ὑπομνήμασιν.

HIPPOCRATIS TEXTUS LX. D

SEd & curatione egent magis exquisita, si sapiant: convenit enim inedia extenuari, corpore quàm maximè conquiescere, abstinere à venere.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξ'.

Ατὰρ καὶ ἰήσιος σκεθροτέρης οἱ τοιοῦτοι δέονται, εἰ σωφρονοῖεν, τῇ τε γὰρ διαίτῃ ξυμφέρει ξυνεστάλθαι, ἀτρεμέειν δὲ τῷ σώματι ὡς μάλιστα, ἀφροδισίων τε ἀπέχεσθαι.

GALENI COMMENTARIUS.

EXquisitiorem ubique appellat σκεθροτέραν, cui contraria est simplex & quævis, quam φαύλην nominat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗν ἀκριβεστέραν, ἀεὶ λέγει σκεθροτέραν, ἀντικειμένην τῇ φαύλῃ.

HIPPOCRATIS TEXTUS LXI. E

ITem ab esculentis pinguibus, & fauces exasperantibus, ac tussim moventibus, & ab iis, quæ valentissima sunt materia.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξα'.

ΒΡωμάτων τε λιπαρῶν, καὶ κερχνωδέων, καὶ ἰσχυρῶν τελέων.

GALENI COMMENTARIUS.

ESculenta, quæ fauces exasperando tussim movent, κερχνώδη nuncupat: hujusmodi autem sunt pinguia, acuta, atque acria. Valentissimæ materiæ intelligit, quæ ægrè concoquuntur. In exemplaribus autem magis idoneis, verbi κερχνωδέων secunda syllaba scribitur per ν, ducto vocabulo à milio, quod Iones κέγχρον appellant. Id accidit, ubi in faucibus aspera quædam milii modo exigua sentiuntur. Quod autem in superioribus dixit, de iis, quibus circa pulmonem tubercula sunt diuturna, quæ ægrè ad maturitatem perveniunt, & spiritus redditur cum sono, κερχώδεις absque ν scribitur.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΣα βρώματα τραχύνοντα τὴν φάρυγγα, βραχείας βῆχα κινεῖ, κερχνώδη ταῦτα καλεῖ· τοῦτο δὲ ἕπεται τοῖς λιπαροῖς, καὶ ὀξέσι, καὶ δριμέσιν, ἰσχυρὰ δὲ λέγει σιτία, τὰ δύσπεπτα. γέγραπται δὲ ἐν τοῖς ἀκριβέσι τοῖς ἀντιγράφοις τοῦτο τὸ κερχνωδέων, διὰ τοῦ ν κατὰ τὴν δευτέραν συλλαβὴν, ἀπὸ γὰρ τῆς κέγχρου γέγονεν. οὕτως δὲ ὀνομάζουσι τὴν κέγχρον οἱ Ἴωνες, ὅταν αἴσθησις ἐν τῇ φάρυγγι τραχυτήτων γίνεσθαι μικρῶν ὥσπερ κέγχρων. τὸ δὲ ἐν τοῖς πρόσθεν, εἰ καὶ ἔλεγε τοὺς κατὰ τὸν πνεύμονα φύματα, καὶ χρόνια, καὶ δύσπεπτα ἔχοντας, κερχνώδεις γίνεσθαι χωρὶς τοῦ ν γέγραπται.

σὺν γὰρ τῷ ὅλῳ, καὶ τὸ μόριον κινεῖται. B

cum toto pars etiam dimovetur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξβ'.

Φλέβα τε καὶ ἀγκῶνα τέμνεσθαι, σιγᾶν τε ὡς μάλιστα. ἐπιδεῖσθαι δὲ εἰς τὸ χωρίον τὸ φλασθὲν σπλήνεσι μὴ πολυπτύχοισι, συχνοῖσι δὲ, καὶ πολὺ πλατυτέροισι πάντα τοῦ θλάσματος, κηρωτῇ τε ὑποχρίειν, ὀθονίοισί τε πλατέσι, σὺν ταινίῃσι πλατείῃσι, καὶ μαλθακῇσι ἐπιδέειν, ἐρείδειν τε μετρίως, ὥς τε μὴ κάρτα πεπιέχθαι φάναι τὸν ἐπιδεδεμένον, μηδ᾽ αὖ χαλαρόν. ἄρχεσθαι δὲ τὸν ἐπιδέοντα κατὰ τὸ θλάσμα, καὶ ἐρηρεῖσθαι ταύτῃ μάλιστα. C

HIPPOCRATIS TEXTUS LXII.

Ad hac venam ſecare in cubito convenit, & quammaximè ſilentium habere: inducereque ſuper ſedem attritam pannos non multiplices, ſed complures, & multo latiores quàm ſit attritus locus, cerati inunctione adhibita: linteiſque latis, ac faſciis item latis, & mollibus alligare, modicéque adſtringere, ita, ut qui deligatus eſt, dicat ſentire ſe vinculum non valdè adſtrictum, neque item laxum: inde autem ordiri debet, ubi locus eſt attritus, ibique maximè inſidere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μεμνῆσθαι δεῖ τούτου, πρὸς τοὺς ἀξιοῦντας, ἐπὶ τῇ πληθωρικῇ καλουμένῃ συνδρομῇ μόνῃ φλεβοτομίαν ἡμᾶς παραλαμβάνειν. τούτων δέ ἐστι καὶ Μηνόδοτος ὁ ἐμπειρικός. ἐδείχθη δ᾽ ἐν τῷ περὶ φλεβοτομίας γράμματι, κἀν τῷ περὶ πλήθους, ὁ λόγος οὗτος ψευδὴς, ἐξ ἄλλων τέ τινων ἐλεγχθεὶς, κἀκ τοῦ διὰ τοιαύτας πληγὰς, γεγενημένας ἐν τοῖς μορίοις τοῦ σώματος, ἐπὶ φλεβοτομίαν D ἥκειν ἡμᾶς, εἰ καὶ μὴ πληθωρικοὶ τύχοιεν οἱ πληγέντες ὄντες, ὅτι τε μὴ φλεβοτομηθέντων αὐτῶν, αἱ φλεγμοναὶ μέγισται γίγνονται, καὶ δηλονότι ταύταις ἑπομέναις συμπτώματα ἀκολουθεῖ.

GALENI COMMENTARIUS.

Meminiſſe hujus loci oportet adversùs eos qui exiſtimant venam ſolummodo ſecandam eſſe, ubi ea concurrunt, quæ multitudinem denunciant. E quorum numero eſt Menodotus Empiricus. Oſtendimus autem in opere de venæ ſectione, & in eo, quod de multitudine ſcripſimus, falſam eſſe ejuſmodi opinionem, quæ præter alia multa, vel ex eo rejicitur, quòd, ubi quædam partes ejuſmodi plagas acceperint, Medici ad venæ ſectionem confugiunt, quanquàm, qui icti ſunt, multitudine non tentantur, eò quòd, niſi iis ſanguis detrahatur, maximæ inflammationes oriuntur: quód cùm evenit, alia inſequuntur, quæ morbo accidere ſolent.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξγ'.

Τὴν δὲ ἐπίδεσιν ποιέεσθαι ὡς ἀπὸ δύο ἀρχέων, ἐπιδέειν τε, ἵνα μὴ περιῤῥεπὲς τὸ δέρμα τὸ περὶ τὰς πλευρὰς ᾖ, ἀλλ᾽ ἰσόῤῥοπον· ἐπιδέειν δὲ, ἢ καθ᾽ ἑκάστην E ἡμέρην, ἢ παρ᾽ ἑτέρην. ἄμεινον δὲ καὶ τὴν κοιλίην μαλθάξαι κούφῳ τινὶ, ὅσον κενώσιος εἵνεκεν τοῦ σίτου, καὶ ἐπὶ δέκα ἡμέρας ἰσχναίνειν, ἔπειτα ἀναθρέψαι τὸ σῶμα, καὶ ἀπαλῦναι.

HIPPOCRATIS TEXTUS LXIII.

Injiciendum verò vinculum medium eſt, & in utranque partem attrahendum, ne cutis circa coſtas in alterutram partem inclinet, ſed ſine inclinatione ſervetur. Deligandum autem, vel ſingulis diebus, vel tertio quoque die. Satius item eſt alvum mollire levi aliquo medicamento, quod dejectionem citet, ac decem diebus inedia uti; dein corpus reficere, & implere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Χαλαρὸν ἐπὶ τῶν πλευρῶν ἐστὶ τοῖς πλείστοις τὸ δέρμα, καὶ μάλιστ᾽ ἂν παχεῖς τύχωσιν ὄντες, ἢ καὶ αὖθις ἐν F ἐπλήγησαν χρόνῳ. καί φησι τούτοις δεῖν [φημὶ ἐγὼ] δηλαδὴ μάλιστα τῶν ἄλλων, ἀπὸ δυοῖν ἀρχῶν ἐπιδεῖσθαι· περιτρέπεσθαι γὰρ αὐτῶν τὸ δέρμα κατὰ τὴν ἐκ μιᾶς ἀρχῆς ἐπίδεσιν. ἐκ περιουσίας δὲ, καὶ τοὺς παχεῖς ἐπιδέων, οὐδὲν βλάψεις, καὶ μάλισθ᾽ ὅταν ᾖ θλάσμα πλησίον τῆς μασχάλης, ἐν ταύτῃ γὰρ ἀεὶ χαλαρόν ἐστι.

GALENI COMMENTARIUS.

Cutis ſuperjecta coſtis pleriſque laxa eſt, præſertim, ſi quo tempore homo plagam acceperit, plenior non fuerit. His ergo ait magis quam aliis opus eſſe faſciis, quæ mediæ primùm injiciantur: nam cutis pervertitur, ſi ab uno capite faſcia ordiatur. Quod ſi, ut cautior ſis, craſſos quoque ita alliges, nihil lędes, præcipuè ubi regio propè alam atteratur, ibi enim cutis ſemper laxa eſt.

HIPPOCRATIS TEXTUS LXV.

C *QVicunque autem rem parui fecerint ob hujuſmodi ictum, ſub quo atteruntur, quæ circa coſtas ſunt, quamvis in aliud malum deterius non incidant, carnem tamen magis mucoſam habent in loco attrito, quam prius. At, ubi talis relinquitur, nec curatione ad bonum habitum reſtituitur, res peior eſt, ſi mucoſa circa os ipſum relinquatur, quàm caro non amplius ſimiliter os attingat, & ipſum os morbis opportunius reddatur. Ob ejuſmodi autem cauſas oſſa multis vitiantur, quod malum diutius extrahitur.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξε.

Ὅσοι δ' αὖ ἀμελήσωσι τῶν τοιούτων ἀμφιθλασμάτων, ἢν καὶ ἄλλο μηδὲν αὐτέοισι φλαῦρον μέζον γένηται, ὅμως τό γε χωρίον ἀμφιθλασθὲν, μυξωδεστέρην τὴν σάρκα ἴσχει, ἢ πρόσθεν εἶχεν. ὅκου δέ τι τοιοῦτον ἐγκαταλείπεται, καὶ μὴ εὖ ἐξιποῦται τῇ γε ἀλθέξει, φαυλότερον μὲν, ἢν παρ' αὐτὸ τὸ ὀστέον ἐγκαταλειφθῇ τὸ μυξῶδες. οὔτε γὰρ ἔτι ἡ σὰρξ ὁμοίως ἅπτεται τοῦ ὀστέου, τό, τε ὀστέον νοσηρότερον γίνεται, σφακελισμοί τε χρόνιοι ὀστέου, πολλοῖσιν ἤδη ἀπὸ τοιούτων προφασίων ἐγένοντο.

GALENI COMMENTARIUS.

D MUcoſum humorem appellare conſuevit glutinoſum, & album, qui colligitur in partibus exanguibus, ut in oſſe, & cartilagine, ubi ipſorum natura rectè concoquere alimentum non poſſit. Relinquit enim quaſi quoddam ſemicoctum, quemadmodum relinquunt infirmæ oculorum membranæ pituitam craſſiorem, quæ λήμη Græcè nominatur. Vis autem imbecillior redditur, vel, ob ſuam temperationem immoderatam, vel ob multitudinem concurrentis humoris, quod etiam evenit in tumoribus præter naturam. Cætera omnia E orationis hujus clara ſunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μυξῶδες, σχεδὸν εἴωθεν ὀνομάζειν, τὸ γλίσχρον τε καὶ λευκόν. ἀθροίζεται δὲ τοῦτο παρὰ τοῖς ἀναίμοις μέρεσιν ὀστοῖς, καὶ χόνδροις, ὅταν ἀδυνατήσῃ καλῶς κατεργάσασθαι τὴν τροφὴν ἐν αὐτοῖς, ἡ φύσις. ἀπολείπεται γὰρ οἷον ἡμίπεπτόν τι, καθάπερ ἐν ὀφθαλμοῖς οἱ ὑμένες ἀπολείπουσιν, ὅταν ἀρρωστῶσι τὴν ὀνομαζομένην λήμην. ἀσθενεστέρα δὲ ἡ δύναμις, ἤτοι δι' οἰκείαν γίνεται δυσκρασίαν, ἢ διὰ τὸ πλῆθος τῆς ἐπιρρυείσης ὑγρότητος, ὡς ἐν τοῖς παρὰ φύσιν ὄγκοις συμβαίνει. τὰ δ' ἄλλα τῆς ῥήσεως, δῆλα.

HIPPOCRATIS TEXTUS LXVI.

QVòd ſi non, quæ juxta os ſunt, ſed ipſa caro mucoſa fiat, nihilominus ſubinde morbus, & dolor revertit, ſi quis corpore laboraverit: quocirca dare vinculum expedit, & bonum, & valdè F *accommodatum, donec ſiccetur diſcutiaturque ſanguis in attrito loco ſuffuſus, & caro integra ibi augeatur; augetur autem oſſis caro.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξϛ.

Ἀτὰρ, καὶ ἢν μὴ παρὰ τὸ ὀστέον, ἀλλ' αὐτὴ ἡ σὰρξ μυξώδης ἔῃ, ὅμως χρονίου ὑποστροφαὶ γίνονται, καὶ ὀδύναι ἄλλοτε καὶ ἄλλοτε. ἤν τις τῷ σώματι τύχῃ πονήσας, διὰ τοῦτο τῇ ἐπιδέσει δέεσθαι χρὴ, ἅμα μὲν ἀγαθῇ, ἅμα δὲ πολὺ προσηκούσῃ, ἕως ἂν ξηρανθῇ μὲν, καὶ ἀναποθῇ τὸ ἐκχύμωμα, τὸ ἐν τῷ θλασθέντι γενόμενον. αὐξηθῇ δὲ σαρκὶ ὑγιεῖ τὸ χωρίον, αὔξεται δὲ τοῦ ὀστέου ἡ σάρξ.

GALENI COMMENTARIUS.

CAro, & quælibet pars ſanguinem habens, non per ſe mucoſa fit: id enim, quod propriè in ipſis ſuperat, tale eſt, quale in fluxo, atque in dejectionibus ob jecinoris imbecillitatem conſpicitur. Quocirca, ubi oſſa, cartilago,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μυξώδης ἡ σὰρξ, οὐ κατὰ τὸν ἑαυτῆς γίνεται λόγον, καὶ ὅσα τῶν μορίων ἐστὶν ἔναιμα. τὸ γὰρ ἴδιον περίττωμα ἑαυτῶν τοιοῦτόν ἐστιν, οἷόν τι ταῖς ῥευματικαῖς διαθέσεσι φαίνεται, καὶ τοῖς ἡπατικοῖς διαχωρήμασι. διὸ καὶ συνεχῶς μὲν τοῖς ὀστοῖς,

διαλύεται, διὰ τοῦτό ἐστι δυσκίνητος. ὅπου δ' ἂν ἐγκαταληφθῇ τι τοιοῦτον τὸ περιττὸν, ἐνοχλεῖται μέρος ἐπὶ βραχείαις προφάσεσι, διὰ τὴν ἀσθένειαν ἑτοίμως δεχόμενον, ὅτι ἂν ἐν τῷ ἄλλῳ σώματι περιττὸν, ἤτοι κατὰ τὸ ποιὸν, ἢ κατὰ τὸ ποσὸν ἀθροισθῇ.

B glutinoſus in vapores ſolvendus eſt, idcirco ægrè movetur. Ubi verò tale aliquid ſuperans relinquitur, levi de cauſa pars affligitur, cùm ob infirmitatem quidquid in reliquo corpore qualitate, vel modo ſuperans collectum fuerit, promptè recipiat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξζ'.

Οἷσι δ' ἂν ἀμεληθεῖσι χρονιωθῇ, καὶ ὀδυνῶδές τι χωρίον γένηται, καὶ ἡ σὰρξ ὑπόμυξος ᾖ, τούτοισι καῦσις, ἥπερ ἀρίστη. καὶ ἢν μὲν αὐτὴ ἡ σὰρξ μυξώδης ᾖ, ἄχρι τοῦ ὀστέου καίειν χρὴ, μὴ μέντοι διαθερμανθῆναι τὸ ὀστέον. ἢν δὲ μεσηγὺ τῶν πλευρέων ᾖ, ἐπιπολῆς μὲν οὐδ' οὕτως χρὴ καίειν, φυλάσσεσθαι μέντοι, μὴ διακαύσῃς πέρην. ἢν δὲ πρὸς τῷ ὀστέῳ δοκέῃ εἶναι τὸ θλάσμα, καὶ ἔτι νεαρὸν ᾖ, καὶ μή πω σφακελίσῃ τὸ ὀστέον, ἢν μὲν κατ' ὀλίγον ᾖ, οὕτω καίειν χρὴ, ὥσπερ εἴρηται. ἢν μέντοι παραμήκης ᾖ ὁ μετεωρισμὸς ὁ κατὰ τὸ ὀστέον, πλείστας ἐσχάρας ἐμβάλλειν χρή. περὶ δὲ σφακελισμοῦ πλευρῆς, ἅμα τῇ ἐμμότων ἰήσει, εἰρήσεται.

HIPPOCRATIS TEXTUS LXVII.

Q Vibus autem neglectus morbus inveteraverit, & locum dolor exerceat, caroque mucoſa ſit, C *his ferramentum candens medicina optima eſt: quod ſi caro ipſa mucoſa ſit, adurere convenit uſque ad os, ea obſervatione, ne hoc ipſum caleſiat: ubi inter coſtas hæc fuerit, neque ſic, in ſummo convenit adurere: cavendum tamen eſt, ne candens ferramentum penetret uſque ad partem interiorem. Ubi ſedes juxta os attrita eſſe videatur, ſed recens caſus ſit, neque os adhuc vitiatum fuerit, ſi exiguum vitium ſit, ita urere convenit, ſicut dictum eſt: ſin oblongum ſit, quod in oſſe attollitur, pluribus in locis adurere expedit. De coſtis autem vitiatis dicemus, ſimulatque de iis tractabimus, ad quorum curatio-* D *nem linamentis eſt opus.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸν γλίσχρον χυμὸν, ὅταν ἀδυνατήσωμεν ἐκδαπανῆσαι φαρμάκοις, ὑπόλοιπος ἴασίς ἐστιν, ἡ διὰ τῶν καύσεων· ὅπως δ' αὐτὴν χρὴ ποιεῖσθαι, σαφῶς ἐδίδαξεν.

GALENI COMMENTARIUS.

MVcus glutinoſus cùm diſſipari per medicamenta non poteſt, reliqua curatio eſt adurere, quæ quo pacto admovenda ſit, apertè declaravit.

ΠΕΡΙ ΜΗΡΟΥ ΕΚΠΕΣΟΝΤΟΣ, ἰσχίου.

E

DE FEMORE DE COXA prolapſo.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξη'.

Ἢν δὲ μηροῦ ἄρθρον, ἐξ ἰσχίου ἐκπέσῃ, ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους, ἐς μὲν τὸ εἴσω πλειστάκις, ἐς δὲ τὸ ἔξω, τῶν ἄλλων πλειστάκις, ἐς δὲ τὸ ὄπισθεν καὶ ἔμπροσθεν ἐκπίπτει μὲν, ὀλιγάκις δέ.

HIPPOCRATIS TEXTUS LXVIII.

Q Vòd ſi femoris articulus è coxa prorumpat: prorumpit autem in quatuor partes; ſæpiſſimè in interiorem, deinde in exteriorem: in priorem & poſteriorem excidit quidem, ſed raro.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F

Ὁ τεθεαμένος ἰσχίου κοτύλην, οὐ δεῖται τὴν αἰτίαν ἀκοῦσαι παρ' ἐμοῦ, δι' ἣν μὲν εἴσω ἐκπίπτει πλειστάκις ὁ μηρὸς, ἐφεξῆς δὲ, τὴν ἔξω. τὸ γὰρ τῆς κοτύλης βάθος, οὐκ ἔστιν ἴσον ἅπασι τοῖς μέρεσιν. ἔνθα ἡ ὀφρὺς ταπεινοτέρα, ἐνταῦθα ῥᾶον ἐξίσταται τὸ ἄρθρον.

GALENI COMMENTARIUS.

QVi coxæ cavum inſpexerit, non eſt quòd deſideret cauſam à me doceri, quamobrem in interiorem partem ſæpiſſimè moveatur, deinde in interiorem, quùm imum cavi, non ſit omnibus partibus æquale: & articulus, qua parte ora humilior eſt, faciliùs elabatur.

potius evidentius: ſed & eorum quæ dixit, cauſas etiam adiecit. Quare quod ſæpius dicere conſuevimus, nunc etiam addimus. Si quis conſideret, quæ proponuntur, ea, ſi non ſtatim primo, ſaltem ubi ſecundo, vel certe tertio legerit, percipiet.

[illegible]

C

HIPPOCRATIS TEXTUS LXX.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ο'.

Extremum rurſus femoris juxta genu, ſi delabitur in partem exteriorem, ſimiliter crus, & pes. Ergo, quum pes in interiorem partem convertitur, imperitus Medicus cum hoc alterum confert, non hunc cum ſano, atque ideo crus læſum multo longius videtur, quam integrum.

Τ[illegible]

GALENI COMMENTARIUS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D

Hoc enim communiter pertinere ad omnia [illegible] luxata antea quoque demonſtravimus, quod altera extremitas ſpectet ſemper in contrariam partem, atque ea quæ prolapſa eſt. Nam quum femoris capite in interiorem partem prolapſo, altera extremitas quæ ad genu eſt, merito in exteriorem convertitur.

Κ[illegible]

HIPPOCRATIS TEXTUS LXXI.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οα'.

E

Multiſque aliis modis error in his accidit.

Πολλαχῇ δὲ καὶ ἄλλῃ τὰ τοιαῦτα παραπτώματα ἴσχει.

GALENI COMMENTARIUS.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F

Errorem παραπτώματα dixit: quo vocabulo conſueſſe Hippocratem appellare non quemlibet errorem; ſed eum, qui vero proximus eſt, & ea de cauſa probabilis, ſupra quoque indicavimus. Errant ergo nunc, quatenus in conferendo affectam partem cum integra, in naturali habitu decipiuntur: debuerunt enim integrum cruri recto ſtatu extenſo, quod vitiatum eſt comparare, ſed contrarium faciunt, integrum enim æſtimant ad exemplum vitiati.

Ὅτι [illegible]

Συγκάμπτουσι μὲν γὰρ, ἀλλὰ μετ' ὀδύνης τε, καὶ ἧσσον τελέως [illegible]

B Flectunt quidem, ſed cum dolore, ac minus perfecte: cuius rei cauſa ſunt poſteriores partis muſculi illi, qui femur inflectunt, oppoſiti, quod donec extento femur curvetur, ſine dolore non ſequatur: quoniam, ubi in femur exciderit, in maximo flexu majorem diſtentionem ferunt, quam ſecundum naturam conveniat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ογ'.

Οἷσι μὲν οὖν ἂν ἐκπεσὸν [illegible]

HIPPOCRATIS TEXTUS LXXIII.

C *Quibus ergo articulus prolapſus fuerit, neque repoſitus ſit, ſed reponi non potuerit, neglectumque ſit, dum ingrediuntur, crus circumagunt, perinde ac boves, plurimumque integro pede nituntur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μακρότερον [illegible]

GALENI COMMENTARIUS.

Quum vitiatum crus longius reddatur femore ita prolapſo, neceſſe eſt hominem bovis modo ingredi; ille ſiquidem coxae articulum laxiorem habet, ſicut ipſe ſupra in principio huius operis teſtatur. Fortaſſe non oportuit laxiorem duntaxat articulum cauſari, ſed D moventium quoque muſculorum imbecillitatem, nam, ſi validi fuiſſent, facilè utramque commiſſuram curvaſſent, quo facto non neceſſe eſſet crus in exteriorem partem circumagere; ambulamus enim utrumque crus invicem ſiſtentes, moventeſque: ubi enim ſiniſtrum ſiſtimus, tunc dextrum ex poſteriori parte in priorem agimus: quod ubi in priori parte ſtabilivimus, alterum rurſum a poſteriori parte in priorem transferimus, ſicque rurſus hoc in priori parte ſiſtentes ad dextrum movendum revertimur, E altero crure recto humi innixo, altero, quod movetur, excitato. Quod ſi crura, nec ad inguen, nec ad genu curvarentur, cogeremur prorſus utrumque transferre ligni modo, aliquantiſper altius excitantes, & circumagentes: at quum poſſint ad utramque commiſſuram curvari modis inter ſe contrariis, qui tamen cruri toti aptiſſimi ſunt, ambulamus, haec neque circumagentes, neque tanquam ligna excitantes: quoniam commiſſura, quae ad inguen eſt, attollit femur in partem priorem, F quae ad genu, id quod inter ipſos, & talum eſt, in poſteriorem. Quare crus, quod transfertur, ſi longius eſſet, quam quod humi inſiſtit, nihil oporteret in exteriorem partem circumagere, modò haberet idoneos muſculos, qui celeriter flectere utramque commiſſuram poſſent, ſed, quum ob imbecillitatem flectere prompte nequeant, & ob dolorem recuſent, ſupereſt ut in orbem circumagant. quum minimi.

HIPPOCRATIS TEXTUS LXXIV.

Coguntúrque regionem juxta ejus partis ilia, & juxta articulum prolapſum, cavam oſtendere, & obliquam.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οδ'.

C Καὶ ἀναγκάζονται, κατὰ τὸν κενεῶνα, ᾗ κατὰ τὸ ἄρθρον τὸ ἐκπεπτωκὸς, κοῖλοι καὶ σκολιοὶ εἶναι.

GALENI COMMENTARIUS.

Neceſse habent ita figurati, non ubi crus integrum ſiſtentes moveant quod luxatum eſt, & in orbem transferunt: ſed, ubi vitiato innixi, quod integrum eſt, transferunt: nam, quod vitiatum eſt, ſuperpoſiti corporis fulcrum eſse non poteſt, erectum ſicut quando naturaliter ſe habebat, ad rectam lineam ſolo hærens; ſed obliquum, ita ut ab inguine in exteriorem partem convertatur, in quam etiam inclinant id corporis, quod è regione eſt affecti cruris, quùm periculum ſit, ne in contrariam cadant; quo fit, ut corpus circa ilia prehendant; ilia autem vocat *κενεῶνα*, eam regionem intelligens, quæ eſt inter oſsa coxarum, & coſtas nothas, quæ omninò ſine oſse eſt. Sed, quùm neque vitiatum crus ferre corpus poſſit, & propter imbecillitatem, & propter habitum, ope indiget: quam afferunt nonnulli ægrotantes, qui reipſa docti affectum crus manu fulciunt, quà maximè opus eſt, ab exteriori parte femoris inſidente; quæ res, quùm eos cogat ſpectare in regionem cruris affecti, ejus partis ilia obliqua magis reddit, quæ ſi crure etiam in exteriorem partem non converſo ita figurentur, cava videbuntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ ὅταν ἐρειδόμενοι τῷ ὑγιεῖ, κινῶσι, καὶ μεταφέρωσι περιφερόμενον τὸ ἐξηρθρηκὸς, ἀναγκάζονται σχηματίζειν οὕτως ἑαυτοὺς, ἀλλ' ὅταν ἐπὶ τὸ πεπονθὸς ἐρειδόμενοι μεταφέρωσι τὸ ὑγιές. οὐ γὰρ ὑπερείδεσθαι τῷ ὑπερκειμένῳ σώματι τὸ πεπονθὸς ὄρθιον, ὡς ὅτ' ἦν εἶχε κατὰ φύσιν ἐν εὐθείᾳ γραμμῇ, D καθ' ὃ πρὸς τὸ ἔδαφος, ἀλλὰ λοξὸν ἐκ τοῦ βουβῶνος, εἰς τὴν ἐκτὸς ἀποκλίνει χώραν. ἐπ' ἐκείνην οὖν, τὸ κατ' εὐθὺ τῷ πεπονθότι σκέλει μέρος τοῦ σώματος ἀποκλίνουσιν, εἰς κίνδυνον ἀφικνούμενοι τοῦ περιτραπῆναι πρὸς τὴν ἐναντίαν χώραν, καὶ οὕτω συμβαίνει, κατὰ τὰ κενεῶνα λαμβάνειν αὐτοῖς τὸ σῶμα. κενεῶνα δὲ δηλονότι, καὶ τὸ μεταξὺ τούτου τῶν λαγόνος ὀστοῦ, καὶ τῶν νόθων πλευρῶν, καλεῖ χωρίον, ὅπερ δὴ καὶ κενὸν ὀστῶν ἐστιν. δυνάμενον δὲ οὐδ' οὕτω τὸ πεπονθὸς σκέλος ὀχεῖν τὸ σῶμα, διά τε τὴν ἀσθένειαν, καὶ τὸ σχῆμα, βοηθείας δεῖται. ταύτην οὖν ἐπ' αὐτοῦ τοῦ πράγματος οἱ πάσχοντες διδασκόμενοι, πορίζουσιν αὐτῷ στηρίζοντες E τῇ χειρὶ τὸ πεπονθὸς σκέλος· ἔνθα δὲ μάλιστα δεῖται, κατ' ἐκεῖνον τὸν μηρὸν, ἔξωθεν ἐρειζόμενοι τοῦ στηρίζοντος· καὶ τοῦτ' οὖν πάλιν αὐτοὺς ἀναγκάζον, ἐπιβλέπειν εἰς τὴν τοῦ βεβλαμμένου σκέλους χώραν, αὔξει τὴν κατὰ τὸν κενεῶνα σκολίωσιν. εἰ γὰρ καὶ χωρὶς τῆς ἔξω ῥέψεως τοῦ σκέλους, οὕτω τις αὐτὸν σχηματίσειεν, ὑφίζηφος ὁ κενεὼν αὐτοῦ.

HIPPOCRATIS TEXTUS LXXV.

Clunem verò integri lateris neceſſe eſt ab exteriori parte rotundum eſſe: ſi quis enim ambularet pede integri cruris in exteriorem partem converſo, reliquum corpus à vitiato crure ferri utique cogeret, à quo ſuſtineri minimè poſſet: nam quo pacto? neceſſe igitur eſt hominem ambulare integri cruris pede in interiorem partem converſo, non in exteriorem: ſic enim integrum crus, & partem ſuam, & eam quæ ad vitiatum pertinet, maximè ferret.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οε'.

F Κατὰ δὲ τὸ ὑγιὲς, ἐς τὸ ἔξω, ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι. εἰ γάρ τις ἔξω τὸν πόδα τοῦ ὑγιέος σκέλεος βαίνοι, ἀπωθοίη ἂν τὸ σῶμα τὸ ἄλλο ἐς τὸ σιναρὸν σκέλος τὸ ὄχημα ποιεῖσθαι· τὸ δὲ σιναρὸν οὐκ ἂν δύναιτο ὀχέειν· πῶς γάρ; ἀναγκάζεται οὖν οὕτω κατὰ τοῦ ὑγιέος σκέλεος τῷ ποδὶ εἴσω βαίνειν, ἀλλὰ μὴ ἔξω. οὕτω γὰρ ὀχεῖ μάλιστα τὸ σκέλος τὸ ὑγιὲς, καὶ τὸ ἑωυτοῦ μέρος τοῦ σώματος, καὶ τὸ τοῦ σιναροῦ σκέλεος μέρος.

ἀδύνατον. ὅπερ γὰρ ὀχεῖ μάλιστα τὸ ὄχημα τὸ ὑγιές, ὡς προείρηται, τουτέστιν ὅταν ἔσω βαίνῃ τοῦ ὑγιοῦς σκέλους, ποδί. δύνανται γὰρ τῷ ποδὶ ἐπ' αὐτοῦ στηρίζεσθαι δυσπεριτρέπτως.

B ferri minime poteſt, niſi quum hoc modo integrum crus, ut dictum eſt, maximè corpus fert, ſcilicet quando homo ambulat, integro pede in interiorem partem converſo: ſic enim corpus totum ità ſuſtineri ab ipſo poterit, ut nequeat facilè perverti.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οϛ΄.

Κοιλαινόμενοι δὲ κατὰ τὸν κενεῶνα, καὶ κατὰ τὸ ἄρθρον, μικροὶ φαίνονται, καὶ τῷ ξύλῳ ἀναγκάζονται ἀντερείδεσθαι πλάγιοι, κατὰ τὸ ὑγιὲς σκέλος, δέονται γὰρ ἀντικοντώσιος ταύτῃ. ἐπὶ τοῦτο γὰρ οἱ γλουτοὶ ῥέπουσι, καὶ τὸ ἄχθος τοῦ σώματος ὀχέεται ἐπὶ τοῦτο.

HIPPOCRATIS TEXTUS LXXVI.

C *At quùm regio juxtà ilia ejus partis, & juxtà articulum ſinuetur, parvi apparent, & à latere coguntur ligno inniti ab integro crure: ea enim parte indigent aliqua re, quæ objecto reſiſtat, in hanc enim clunes convertuntur, & ab eadem onus corporis ſuſtinetur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπειδὴ, τὸ πεπονθὸς σκέλος ἀδυνατεῖ βαστάζειν τὸ ὑπερκείμενον ἑαυτοῦ μέρος τοῦ σώματος, διὰ τοῦτο, καὶ τὸ σκέλος μὲν ὅλον τὸ ὑγιὲς, ὑπερείδουσιν ἔσω τάχα, καὶ αὐτοὶ δὲ ῥέπουσιν ἐπ' αὐτὸ παντὶ τῷ σώματι. συμβαίνει γὰρ αὐτοῖς ἐπεγκλινεῖς γενομένοις, περιτραπῆναι κινδυνεύειν ἐπὶ τἀναντία τοῦ πεπονθότος. ὥσπερ οὖν ὁπότ' ἐπ' ἐκείνου στηριζόμενοι μεταφέρειν εἰς τὸ πρόσω τὸ ὑγιὲς, ἐστήριζον τοῦ πεπονθότος τῇ χειρὶ, κινδυνεύοντες ἐπ' αὐτὸ περιτραπῆναι, δηλαδὴ τὸ ὑγιὲς σκέλος ἐπὶ τῆς γῆς, καὶ διὰ τῆς ἐκείνων ἀφικνοῦνται βοηθείας.

GALENI COMMENTARIUS.

D Quia vitiatum crus corporis partes ſibi ſuperjectas ferre nequit, propterea integro toto maximè in interiorem partem compulſo nituntur, & in id ſpectant corpore univerſo. Evenit igitur, ut in alteram partem inclinati in periculo ſint, ne cadant in eam partem quæ vitiatæ contraria eſt. Quemadmodùm igitur, quùm vitiato cruri innixi ſanum transferunt ad priorem partem, vitiatum manu fulciunt: ita, quùm periculum ſit, ne converſi in integrum graviter in terram cadant, ad baculi præſidium confugiunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οζ΄.

Ἀναγκάζονται δὲ καὶ ἐπικύπτειν· τὴν γὰρ χεῖρα, τὴν κατὰ τὸ σκέλος τὸ σιναρὸν, ἀναγκάζονται κατὰ πλάγιον τοῦ μηροῦ ἐρείδειν. οὐ γὰρ δύναται τὸ σιναρὸν σκέλος ὀχέειν τὸ σῶμα ἐν τῇ μεταλλαγῇ τῶν σκελέων, ἢν μὴ κατέχηται πρὸς τὴν γῆν πιεζόμενον.

HIPPOCRATIS TEXTUS LXXVII.

E *Coguntur item inclinari: neceſſe enim habent manu, quæ è regione affecti cruris eſt, à latere femur fulcire, quoniam, ubi transferenda crura ſunt, non poteſt quod vitiatum eſt, ferre corpus, niſi contineatur, deorſumque urgeatur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ ἐνταῦθα πάλιν παρὰ τὴν ἀσάφειαν, ἣν εἰργάσατο, μὴ προειπὼν ὅτι μεταβαίνει τῷ λόγῳ πρὸς ἑτέραν μοῖραν βαδίσιν. ἄχρι μὲν γὰρ νῦν τὸν λόγον ἐποιεῖτο περὶ μέρους βαδίσεως, ἐν ᾗ τὸ κατὰ φύσιν ἔχοντες σκέλους, ἐρηρεισμένου κατὰ τὴν εἰς τὸ πρόσω μεταφερούσης τὸ πεπονθός. ὁ δὲ νῦν λόγος ἐστὶν ἐπὶ θατέρου μέρους τῆς βαδίσεως, στηριζόμενοι τῷ πεπονθότι, μεταφέρουσι τὸ ὑγιές. εἴρηται δὲ δι' ὀλίγου, τὸ ὑγιὲς ἔμπροσθεν ἤδη, περὶ τοῦδε τοῦ μέρους τῆς βαδίσεως.

GALENI COMMENTARIUS.

F Rurſus hic etiam obſcurus fuit, quùm non præfatus ſit pergere ſe ad alteram partem ambulationis; hactenus enim de ea parte tractavit, in qua crus, quod naturaliter habet, humi conſiſtit; affectum in priorem partem fertur: nunc agit de altera, in qua affecto cruri innixus, ſanum transfert, de qua parte ambulationis paulò ſuprà tractatum eſt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οη΄.

Ἐν τούτοισι γοῦν τοῖσι σχήμασιν ἀναγκάζονται ἐσχηματίζεσθαι, οἷσιν ἂν ἔσω ἐκβαίη τὸ ἄρθρον μὴ ἐμ-

HIPPOCRATIS TEXTUS LXXVIII.

His itaque modis figurari neceſſe eſt eos, quibus articulus in interiorem partem elapſus re-

rè ambulant, quàm quibus femur coxà excidens in exteriorem partem prorumpit, quod in ſequentibus perſequetur.

ὅταν πρὸς τοῖς ἄλλοις ἔτυχον ἀχρήμονες χρῆσθαι τῇ βαδίσει μᾶλλον τοῦ ἐξαρθρήσαντος ἑτέρῳ ἰσχίῳ, ὑπὲρ ὧν ἐφεξῆς ἐρεῖ.

C

HIPPOCRATIS TEXTUS LXXIX.

DVo autem lucrantur, duobus enim indigent: nam corpus in ingreſſu non æquè fertur eo crure; quod in exteriorem partem convertitur, atque eo, quod in interiorem, quùm onus non ſit è regione illius, ſed multo magis hujus, è cujus regione in ambulando, & cruribus transferendis onus collocatur. Præterea, ſi ita figurentur, ut affectum crus ſpectet in partem exteriorem: quod integrum eſt, in interiorem: integrum vicem alterius quamcitiſſimè ſubibit. Quod ad propoſitum attinet, magni momenti eſt invenire ſtatum corpori commodiſſimum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οθ'.

Καὶ διότι κερδαίνουσι· διαιτῶν γὰρ δέονται, τό, τε γὰρ σῶμα οὐκ ὀχέεται ὁμοίως, ἐπὶ τοῦ ἔξω ἀποβαινομένου, ὥσπερ ἐπὶ τοῦ εἴσω· οὐδὲ γὰρ κατ' ἰθυωρίην αὐτοῦ γίνεται τὸ ἄχθος, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τοῦ ὑποβαινομένου, κατ' ἰθυωρίην γὰρ αὐτοῦ γίνεται τὸ ἄχθος, ἔν τε αὐτῇ τῇ ὁδοιπορίῃ, καὶ τῇ μεταλλαγῇ τῶν σκελέων. ἐν τούτῳ τῷ σχήματι, τάχιστ' ἂν δύναιτο ὑποτιθέναι τὸ ὑγιὲς σκέλος. εἰ τῷ μὲν σιναρῷ ἐξωτέρω βαίνοι, τῷ δὲ ὑγιεῖ, ἐσωτέρω, περὶ οὗ νῦν ὁ λόγος· ἀγαθὸν εὑρίσκεσθαι αὐτὸ ἑωυτῷ τὸ σῶμα ἐς τὰ ῥήϊστα τῶν σχημάτων.

GALENI COMMENTARIUS.

VBi læſum crus in exteriorem partem circumagunt, & integro ſpectante, in interiorem nituntur, duplex ſibi lucrum comparant: ſiquidem quod læſum eſt, nec toto corpore ſuperiori oneratur, nec diu ſubſeruit, quùm quod integrum eſt, paulum intervalli moveatur. Nam, ſi diligenter intueri tempus volucris, quo crus utrunque ſubſeruit, non modo duplum, ſed & triplum reperies: per breviſſimum enim ſpatium celeriterque rectà duntaxat integrum crus fertur: per multum tardèque, quod affectum eſt: ſiquidem conſpicuum eſt, quando longior ſit ambulatio in orbem, quàm quæ recta eſt, quamvis utraque iiſque finibus terminetur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν τῷ περιφέρειν μὲν ἔξω τὸ πεπονθὸς σκέλος, εἰσάγειν δὲ ἐντὸς τὸ τοῦ ὑγιέος, τὸ διττὸν κέρδος αὐτοῖς γίνεται, μήτε βαρύνεσθαί ποτε τὸ πεπονθὸς, ὑποβεβλημένον ὅλῳ τῷ σώματι, μηδ' ὑπηρεσίαν αὐτοῦ πολυχρόνιον γίνεσθαι, βραχύτατον διάστημα κινουμένου τοῦ ὑγιοῦς. ἐὰν γὰρ θελήσῃς ἀκριβῶς συγκρίνειν, ἑκατέρου τὸν χρόνον, τῆς ἑκατέρου τῶν σκελῶν ὑπηρεσίας, οὐ διπλάσιον μόνον, ἀλλὰ καὶ τριπλάσιον εὑρήσεις γιγνόμενον. ὀλίγιστον μὲν γὰρ διάστημα, καὶ ταχεία τῇ φορᾷ μόνῃ κινουμένου τοῦ ὑγιοῦς, πολὺ δὲ καὶ βραδεία τοῦ πεπονθότος. εὔδηλον γὰρ ὁπόσῳ μείζων ἐστὶν ἡ κυκλοτερὴς ὁδοιπορία τῆς εὐθείας, εἰ καὶ τοῖς αὐτοῖς πέρασιν ἀμφότεραι χρῶνται.

D

E

HIPPOCRATIS TEXTUS LXXX.

HIs autem, qui nondum perfectè increverunt, ſi excidens non recondatur, breviùs redditur femur, crus, & pes: neque enim oſſa ſimiliter in longitudinem augentur, ſed breviora fiunt, femur præſertim.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ π'.

Ὅσοισι μὲν οὖν μήπω τελέως ηὐξημένοισιν ἐς αὔξησιν, ἐκπεπτωκὸς μὴ ἐμπέσῃ, γυιοῦται ὁ μηρὸς, καὶ κνήμη, καὶ ὁ πούς, οὔτε γὰρ τὰ ὀστέα ἐς τὸ μῆκος ὁμοίως αὔξεται, ἀλλὰ βραχύτερα γίνεται, μάλιστα δὲ τὰ τοῦ μηροῦ.

σίνησιν τῆς χώρης ἐξ ἄρθρου, ἅμα δὲ, ὅτι ἀδυνάτως χρῆσθαί ἐστιν. ἐγὼ δὴ ἐν τοῖς ἔμπροσθεν ἔφην, τῆς μειώσεως καὶ τὴν αἰτίαν ἀργίαν εἶναι. γίνεται δὲ ἄμυον, διὰ τὴν αἰαρθρησιν, ὥστ' οὐκ οἶδ', ὅπως Ἱπποκράτης εἰπὼν εἶναι τὴν ἐξάρθρησιν, ἐφεξῆς ἐπήνεγκε τὴν ἀργίαν. ἡ γὰρ ἐξάρθρησις, οὐ πρώτως ἀτροφίαν ἐργάζεσθαι πέφυκεν, ἀλλὰ διὰ μέσης διαστροφῆς τῶν ὀργάνων, καὶ τῆς ἀργίας.

B non augeri, neque ali, partim, quòd articulus loco motus ſit: partim, quòd nequeat ſuo munere fungi. Ego autem in ſuperioribus retuli otium cauſam eſſe cur partes neque augeantur, neque alantur, quæ ambo eveniunt articulo luxato; quare non video quo pacto Hippocrates luxatum articulum cauſatus, ocium ſuperjiciat: luxata enim non poſſunt primò prohibere quominùs partes alantur; ſed intercedente venarum & arteriarum depravatione, atque ocio.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πα'.

Ἄσαρκόν τε ἅπαν τὸ σκέλος καὶ ἄμυον, καὶ ἐκτεθηλυσμένον, καὶ λεπτότερον γίνεται, ἅμα μὲν, διὰ τὴν στέρησιν τῆς χώρης τοῦ ἄρθρου, ἅμα δὲ, ὅτι ἀδυνάτως χρῆσθαί ἐστιν, ὅτι οὐ κατὰ φύσιν κέεται.

HIPPOCRATIS TEXTUS LXXXI.

Crus item univerſum ſine carne & ſine muſculis efficitur, ad hæc effœminatum tenuiuſque, partim quòd articulus loco motus ſit: partim quòd nequeat ſuo munere fungi, quum naturalem ſtatum non retineat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῆς ὅλης τῶν μυῶν οὐσίας, μέρη εἰσὶν αἱ σάρκες, ὡς ἐθεάσασθε πολλάκις ἐν τῇ τῶν μυῶν ἀνατομῇ, δεικνύντος μου διὰ τῆς αἰσθήσεως αὐτῶν αἰσθητὰ στοιχεῖα δύο ὄντα, τάς τε νευρώδεις ἶνας, καὶ τὰς ἔξωθεν αὐταῖς περιπεπηγυίας σάρκας. ὅταν οὖν τις, ἐκ γυμνασίων καὶ τρίψεων ἰσχυρότερος ἑαυτοῦ γένοιτο, τὸ μὲν τῶν ἰνῶν οὐσίας εὐτροφώτερον ἔχει, τὸ δὲ τῶν σαρκῶν, ἐλάττονα μὲν, ἰσχυρότερον δέ. τοῖς δὲ ἀγυμνάστοις καλουμένοις, πολλὰ τοὐναντίον συμβαίνει· τὸ μὲν τῶν ἰνῶν ἰσχνὸν οὐσῶν, πολλὴν μὲν, ἀλλὰ μαλακὴν δ' ὑγροτέραν γίνεσθαι. προσέοικε γὰρ ἡ τοιαύτη σὰρξ τοῖς ἀποπηγνυμένοις τυροῖς, ὥσπερ ἡ τῶν γυμναστικῶν, τοῖς ἀκριβῶς ἤδη πεπηγόσι, διὸ καὶ φαίνονται μὲν τούτοις οἱ μύες σκληροὶ καὶ νευρώδεις, καὶ περιγραφὰς ἔχοντες. τοῖς δ' ἀγυμνάστοις, μαλακοὶ, καὶ σαρκώδεις, ἤτοι δ' οὐδ' ὅλως, ἀλλ' ἀμυδρὰς φαινόμεναι ἐμφαίνοντες τὰς περιγραφάς· διὰ τοῦτ' οὖν εἰπὼν ὁ Ἱπποκράτης, τὸ σκέλος ἅπαν τοῖς ἄσαρκον γίνεσθαι. γινώσκων δὲ, καὶ τοῖς ἐκ γυμνασίων πλειόνων, τοιοῦτον γινόμενον, ἐπήνεγκε τῷ καὶ ἄσαρκον, καὶ ἄμυον, ἐν ἴσῳ τῷ τὰς περιγραφὰς οὐκ ἐχον αἰσθητὰς μυῶν. οὐ γὰρ δὴ παντάπασι καὶ διαφθείρεσθαί τις αὐτῶν μῦς, ἀλλ' ὥσπερ ἄφλεβον σῶμα λέγομεν, τὸ μὴ φαινομένας ἔχον τὰς φλέβας, οὕτω καὶ ἄμυον, ἐν ᾧ παντάπασιν ἀφανεῖς εἰσὶν αἱ περιγραφαὶ τῶν μυῶν. ἔπειτα δὲ σαφέστερον ἐνδείξασθαι βουλόμενος, ὁποία τις ἡ τοῦ σκέλους αὐτοῦ ἰδέα γίνεται, προσέθηκε, τὸ ἐκτεθηλυσμένον, ὅπερ ἐστὶν ὑγρὸν, καὶ μαλακὸν, καὶ μὴ σφίγγον, καὶ διαρρέον, ὁποῖαι αἱ γυναῖκες ἔχουσιν. ἅπαντα γὰρ ταῦτα προσόντα ταῖς ἄν τις εἴποι κατὰ τὴν τῶν γυναικῶν σαρκός, ἀφ' ἧς, κατὰ μεταφορὰν ἐποιήσατο ἐκτεθηλυσμένον ὄνομα. τὸ δὲ λεπτότερον, ἐπὶ τῷ τέλει τοῦ λόγου προσέθηκεν, ἐνδεικνύμενος ἁπάντων τῶν κατὰ αὐτὸ μορίων τὴν μείωσιν, ὅπερ ἐν ἀρχῇ τῆς ῥήσεως εἶπε γίνεσθαι. τὸ γὰρ

GALENI COMMENTARIUS.

D Partes, quibus muſculorum natura continetur, caro ſunt, ut in muſculis incidendis ſæpè vidiſtis, quùm duo eſſe eorum principia demonſtrarem, quæ ſenſu comprehenduntur, nempe fibras nervoſas, & carnem ſuper ipſas ſpiſſatam. Ergo ubi quis exercitatione & frictione robuſtior evadat, fibræ meliùs aluntur, caro gracilior fit, ſed firmior. Ignavis contrarium ferè accidit: graciles enim fibræ ſunt, at caro admodum quidem abundat; ſed ob humorem mollis eſt: Ejuſmodi enim carne caſeus qui adhuc concreſcit, repræſentatur; ſed carne eorum qui exercentur, ille qui jam ſpiſſatus eſt; quocirca his muſculi duri, nervoſi, & propriis finibus circumſcripti, conſpiciuntur: inexercitatis verò molles, & carnoſi apparent, ac vel nullo modo, vel vix circunſcripti; quibus propterea ſine carne crus reddi Hippocrates aſſerit. Sed quùm hoc quoque fieri ex multa exercitatione intelligeret, ubi dixit ſine carne, proximè ſubjecit ſine muſculis, quaſi muſculis non circunſcriptis à finibus qui ſenſu comprehendantur: nullus ſiquidem ex ipſis muſculis ex toto corrumpitur; ſed ſicut corpus ſine venis dicimus, ubi venæ non apparent, ita ſine muſculis, quùm muſculorum fines penitùs deliteſcunt. Ad hæc, quùm clariùs oſtendere vellet, in his cujuſmodi forma cruris ſequatur, adjecit effœminatum, hoc eſt madens, molle, non adſtrictum; ſed laxum, quales ſunt fœminæ, de quarum carne convenienter hæc omnia dici poſſent: à quibus translatione uſus mutuatur verbum effœminatum. Adjungit autem in extrema oratione tenuiùs indicans partes ejus omnes extenuari, quam rem in principio dixerat his verbis brevius redditur; nam quòd ait,

V[illegible], aliquis, μετεξέτεροι dixit, quod apud Iones nihil ampliùs ſibi velle, quàm quod nobis dicitur ἕτερος, id eſt alter, licet ex Herodoto colligere. Utitur enim eo frequenter, ſicut & verbo μετεξέτεροι, quo ſignificat id, quod nos vocabulo τινὲς, id eſt aliqui: ſed & nunc quoque μετεξέτεροι tale quidpiam ſonat. Præfatus enim ob ignaviam crus ipſis minui, ne quis fortaſſe rem minus benè accipiens exiſtimet, quemlibet partium motum efficere ut alantur, aſſerit non omnem, ſed quendam hoc præſtare, nempè moderatum, ſicut cætera omnia in univerſo victu ſalubri: quod ipſe, & alibi, & in uno capite in Sexto de morbis vulgaribus teſtatur, cùm inquit: Labor, cibus, potus, ſomnus, venus, omnia moderata.

ΕΝεστι δὲ μὲν περὶ Ἡρόδοτον μάλιστα μαθεῖν, οὐδὲν πλέον σημαῖνον παρὰ τοῖς ἴωσι τὸ, μετεξετέρων, τοῦ παρ' ἡμῖν, ἑτέρων· πολλάκις γὰρ αὐτῷ κέχρηται, καθάπερ καὶ τῷ μετεξέτεροι. δηλοῖ δὲ καὶ διὰ τοῦτο πάλιν, ὅσαπερ ἡμῖν διὰ τοῦ· τινὲς μὲν εἰ καὶ νῦν δὲ οὐ καὶ μετεξετέρου τοιοῦτον τὸ δηλοῖ. προειρηκὼς γὰρ, ὅτι διὰ τὴν ἀργίαν, αὐτοῖς τὸ σκέλος γίγνεται, καὶ τάχα τινὰ παρακοῦσαι, νομίσαντας ὡς ἅπασαν χρῆσιν τῶν μορίων οὐκ ὠφέλιμον εἶναί φησι πᾶσαν, ἀλλά τινα, ἐργάσασθαι λέγει, τὴν σύμμετρον δηλονότι, καθάπερ καὶ τἆλλα πάντα, καθ' ὅλην τὴν ὑγιεινὴν δίαιταν, ὡς ἐν ἄλλοις τέ τισιν ὑπ' αὐτοῦ λέλεκται τοῦτο καὶ δι' ἑνὸς κεφαλαίου ἐν τῷ τῶν ἐπιδημιῶν ἕκτῳ, ἔνθα φησὶ, πόνοι σιτία ποτὰ ὕπνοι, ἀφροδίσια, πάντα μέτρα.

HIPPOCRATIS TEXTUS LXXXIII.

QVos teneræ ætate calamitas hæc invaſit, pleríque in dirigendo corpore negligentes ſunt, maléque ſuper integrum crus circumvolvuntur, manu, quæ è regione ejus eſt, deorſum urgentes. Negligentes item nonnulli ſunt in rectè ambulando, quibus, poſt quam ætas induruit, hoc vitium accidit. Sed, qui teneræ ætate hujuſmodi calamitatem experiuntur, ſi rectè educentur, integro crure rectè inambulant, baculum tamen alæ, quæ integro cruri reſpondet, ſubjiciunt: nonnulli baculum ad utrumque brachium admovent, vitiatum verò crus ſuſpenſum habent.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πγ΄.

ΟΙ μὲν πλεῖστοι καταβλακεύουσι τὴν διόρθωσιν τοῦ σώματος, ἀλλὰ κακῶς εἰλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος, τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι τῇ κατὰ τὸ ὑγιὲς σκέλος. καταβλακεύουσι δὲ ἔνιοι, τῆς ἐς τὸ ὀρθὸν ὁδοιπορίης, καὶ οἷσιν ἂν τελειουμένοισιν αὕτη ἡ ξυμφορὴ γένηται. ὁκόσοι δ' ἂν νήπιοι ἐόντες ταύτῃ τῇ ξυμφορῇ χρησάμενοι, ὀρθῶς παιδαγωγηθῶσι, τῷ μὲν ὑγιεῖ σκέλει χρέονται ἐς ὀρθὸν, ἐπὶ δὲ τὴν μασχάλην τὴν κατὰ τὸ ὑγιὲς σκέλος, σκίπωνα περιφέρουσι. μετεξέτεροι δὲ, καὶ ὑπ' ἀμφοτέρας τὰς χεῖρας, τὸ δὲ σιναρὸν σκέλος, μετέωρον ἔχουσι.

GALENI COMMENTARIUS.

QUùm homo ætate jam robuſtâ, ejuſmodi calamitatem experitur, crure uti poteſt, quanquam claudicante: parvulis pueris (qui, quamvis crura naturaliter haberent, quonam iis pacto uti poſſent?) ſupervenit ignavia quædam circa membri actiones: atque ea de cauſa καταβλακεύουσιν ὀρθοῦσθαι, id eſt, in dirigendo corpore negligentes ſunt, atque ignavi. At quid mirum, ſi ambulantes pueri rectè claudicare non ſtudent, quando ij, qui jam robuſti ſunt, non ſuſtinent interdum claudicare, ſed (ut ipſe dixit) ſuper integrum crus circumvolvuntur? manifeſtè autem aperuit modum motionis ipſorum verbo, circumvolvuntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟῖς μὲν ἤδη κεκρατυσμένοις τὰ κῶλα, τοιαύτης συμφορᾶς γενομένης, γίνεται χρῆσθαι τῷ σκέλει χωλεύοντι. τοῖς δὲ μικροῖς πάνυ παιδίοις, ἀλλ' εἰ καὶ κατὰ φύσιν ἔχει, καὶ χρῆσθαι πῶς καλῶς δύναιτο τοῖς σκέλεσι, ῥαθυμία τις ἐγγίγνεται περὶ τὴν τοῦ κώλου ἐνέργειαν, καὶ διὰ τοῦτο καταβλακεύουσιν ὀρθοῦσθαι, τουτέστιν ἀμελοῦσι, καὶ καταρραθυμοῦσι. καὶ τί θαυμαστὸν, εἰ καὶ αὐτὰ καταφρονεῖ τοῦ διαπαντὸς χωλεύειν ὀρθὰ, καὶ τῶν ἤδη τελειουμένων ἔνιοι μὴ τολμώντων ὀρθῶς χωλεύειν, ἀλλ' ὡς εἴρηκεν αὐτὸς, εἰλουμένων ἐπὶ τὸ ὑγιὲς σκέλος· ἐνεδείξατο δὲ σαφῶς αὐτῶν καὶ τὸν τρόπον τῆς κινήσεως, ὁποῖός τις γίνεται, διὰ τοῦ εἰλέονται), ῥήματος.

ῬΗιδίως εἴρηκε τοὺς ἑτοιμότερον βαδίζοντας, ὅπερ αὐτοῖς συμβαίνει, βραχέος ὄντος τοῦ μήκους τοῦ σιναροῦ σκέλους. οὐ γὰρ δέονται μεταφέρειν ἐλαττοῦντες αὐτὸ, καθάπερ οἷς πλείους οὖσι ἐξάρθρον ἔμβη, μακρότερον ἐπὶ τὸ ἔξω διὰ τὴν ἔκπτωσιν γινόμενον, εἰς ἀνάγκην αὐτοὺς ἄγει, τῆς ὑπ᾽ αὐτοῦ λεγομένης ὄπισθεν ὁδοιπορίας, περιφοράδην γινομένης.

F tiùs ingrediuntur, quod contingit, ubi vitiatum crus brevius habent: Non enim coguntur id circumagere, quemadmodùm qui
B ætate firma ſunt, quùm luxatus articulus non reponitur, quibus crus ob prolapſum articulum longius efficitur, coguntúrque (ut ipſe anteà indicavit) ipſum, dum ambulant, in orbem circumferre.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πέ.

ΤΟ δὲ ὑγιὲς, ἰσχύῃ αὐτέοισιν οὐδὲν ἧσσον, ἢ εἰ καὶ ἀμφότερα ὑγιέα ἦν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕἸκότως τοῦτ᾽ εἶπε· χρῶνται γὰρ εἰκότως τῷ ὑγιεῖ, παραπλησίως, ἢ εἰ καὶ ἀμφότερα ὑγιεινὰ ἦν. ἅτε οὖν τὴν αὐτὴν ἔχοντες αὐτοῦ χρῆσιν, ἣν καὶ κατὰ φύσιν ἀμφοῖν διακειμένων εἶχον, ὁμοίως αὐτὸ τρέφουσι, καὶ ῥωμαλέῳ χρῶνται.

HIPPOCRATIS TEXTUS LXXXV.

C *Atque integro crure, nihilo minus valent, quàm ſi utrumque integrum eſſet.*

GALENI COMMENTARIUS.

MEritò hoc adjungit, jure ſiquidem integro crure utuntur æquè, ac ſi utrumque integrum eſſet, ut quod eundem uſum præſtet: atque ubi utrumque integrum erat, ſimiliter nutriatur, & robuſtum ſit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πϛ'.

ΘΗλύνονται δὲ πᾶσι τούτοισιν αἱ σάρκες τοῦ σκέλεος, μᾶλλον δὲ ἔτι θηλύνονται αἱ ἐκ τοῦ ἔξω μέρεος, ἢ αἱ ἐκ τοῦ εἴσω, ὡς ἐπὶ τὸ πολύ. μυθολογοῦσι δέ τινες, ὅτι αἱ Ἀμαζονίδες τὸ ἄρσεν γένος τὸ ἑωυτῶν αὐτίκα νήπιον ἐὸν, ἐξαρθρέουσιν, αἱ μὲν κατὰ γούνατα, αἱ δὲ κατὰ τὰ ἰσχία, ὡς δῆθεν χωλὰ γίνοιτο, καὶ μὴ ἐπιβουλεύοι τὸ ἄρρεν γένος τῷ θήλει. χειρώναξιν ἄρα τούτοισι χρέονται, ὁκόσα ἢ σκυτέως ἔργα, ἢ χαλκέως, ἢ ἄλλο τι ἑδραῖον ἔργον. Εἰ μὲν οὖν ἀληθέα ταῦτά ἐστιν, ἐγὼ μὲν οὐκ οἶδα. ὅτι δὲ γίνονται τοιαῦτα οἶδα, εἴ τις ἐξαρθρέοι αὐτίκα νήπια ἐόντα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΑσι μᾶλλον θηλύνονται, φησὶν, αἱ ἔξω τοῦ ἄρθρου σάρκες, ἢ ἔσω, εἰ εἰς τὴν ἐντὸς χώραν μεταστῇ, διὰ τὸ μᾶλλον ἀργεῖν τοῦτ᾽ αὐτὸ τὸ μέρος. εἰ γὰρ καὶ παρὰ φύσιν, ἀλλ᾽ ὅμως κινοῦνταί τινες κινήσεις εἰς τὴν κεφαλὴν τοῦ μηροῦ κατὰ τὰ ἔνδον ἐστηριγμένα μέρη.

HIPPOCRATIS TEXTUS LXXXVI.

D *Iam verò his omnibus caro cruris effæminatur, plerumque autem magis ab exteriori parte, quàm ab interiori. Nonnulli autem ferunt Amazonas ſuis maribus protinùs infantibus articulos ſua ſede expellere, alias ad coxas, ad genu alias, ut claudi fiant, ne ſcilicet mares fœminis inſidientur; ſed operarum loco ſint, & ſutoriam, fabrilem, aliaſve ſedentarias artes exerceant: Quæ vera nec ne ſint, ignoro: ſed hæc ſequi certò ſcio, ſi, dum infantes ſunt, articuli expellantur.*

GALENI COMMENTARIUS.

E OMnibus ait effæminari carnem ab exteriori parte magis, quàm ab interiori, ubi in interiorem partem prorumpat, quandoquidem ea pars magis in ocio eſt: nam femoris caput ab interiori parte, licet præter naturam moveatur, movetur tamen aliquantum, ubi femoris caput interiori parte continetur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πζ'.

ΚΑτὰ μὲν οὖν τὰ ἰσχία, μέζον τὸ διάφορόν ἐστι, ἐς τὸ εἴσω, ἢ ἐς τὸ ἔξω ἐξαρθρῆσαι· κατὰ γούνατα δὲ, διαφέρει μὲν τι, ἔλασσον δέ τι διαφέρει. τρόπος δὲ ἑκατέρου τοῦ χωλώματος, ἴδιός ἐστι. γυιοῦνται γὰρ μᾶλλον, οἷσιν ἂν ἐς τὸ ἔξω ἐξαρθρήσῃ. ὀρθοὶ δὲ ἧσσον ἵστανται, οἷσιν ἂν ἐς τὸ εἴσω ἐξαρθρήσῃ. ὡσαύτως δὲ, καὶ εἰ παρὰ τὸ σφυρὸν ἐξαρθρήσῃ, ἢν μὲν ἐς τὸ ἔξω μέρος, κυλλοὶ μὲν γίνονται, ἑστάναι δὲ δύνανται. ἢν δὲ ἐς τὸ εἴσω μέρος ἐξαρθρήσῃ, βλαισοὶ μὲν γίνονται, ἧσσον δὲ ἑστάναι δύνανται.

HIPPOCRATIS TEXTUS LXXXVII.

F *IN coxis quidem multùm refert in interiorémne partem articulus excidat, an in exteriorem: in genu refert quidem, ſed minùs. Suus verò claudicandi modus utriſque eſt: nam quibus in exteriorem procidit, vari magis fiunt; minùs autem recti ſtant, quibus in interiorem partem luxatur. Similiter, ubi circa talos articulus prorumpat, ſi quidem in exteriorem partem, vari fiunt, ſed ſtare queunt: ſi in interiorem, valgi, & ſtare minùs poſſunt.*

ternum locum confert : ex ipſa enim oratione ita planum fit, ut Hippocrates nullo modo obſcurus eſſe videatur. Ergo quibus in exteriorem partem articulus procidit, ſtare magis poſſe affirmat, quam quibus in interiorem venit: Nam quibus coxæ articulus in exteriorem partem excidit, pes è regione totius corporis collocatur: recedit autem à ſitu, qui è regione eſt, ubi articulus in interiorem partem convertitur. Conſtat autem omnes homines, qui naturaliter valgi ſunt, deteriùs ſtare, neque poſſe celeriter currere, cum parvo momento, ac levi de cauſa cadere. Hoc igitur rerum diſcrimen in coxa maximum eſt, deinde in genu, tertiò ad talos; commiſſuræ enim magnitudinem noxæ quoque magnitudo conſequitur. Hinc ergo manifeſtum eſt, eos meliùs ſtare, atque ingredi, quibus femoris caput in exteriorem partem prolapſum eſt, de quo paulo inferiùs tractabit.

HIPPOCRATIS TEXTUS LXXXVIII.

Ratio autem incrementi oſſium hæc eſt. Quibus ad talos crus exciderit, his pedis oſſa minimùm increſcunt, hæc enim vitio finitima ſunt. In crure augentur, neque multo minùs, caro tamen minuitur. Sed quibus articulus qui ad talos eſt, ſuo loco manet, ille qui ad genu elabitur, his cruris oſſa non æquè increſcunt, ſed breviſſima fiunt, ut quæ vitio proxima ſint. At in pede minuuntur quidem, ſed non ſimiliter, quemadmodùm paulo ante dictum eſt, quoniam articulus, qui ad pedem eſt, inviolatus ſervatur: quòd ſi uti pede liceret, ſicut cùm varus eſt, minùs adhuc his minuerentur pedis oſſa. Quibus verò coxa articulus promovetur, his femoris os non pariter increſcit, proximè ſiquidem vitium attingit, ſed integro brevius evadit; his tamen oſſa cruris, & pedis etiam, non æquè increſcere prohibentur: id autem evenit propterea quòd & femoris articulus, qui cum crure committitur, & cruris, qui cum pede, ſuo loco manet: crus tamen univerſum his gracilius redditur. Quòd ſi crure uti poſſent, oſſa magis adhuc augerentur, ſicut anteà quoque dictum eſt, femore excepto, & minùs caro minueretur, multo tamen magis quàm in ſano crure. Hujus autem rei in-

λῃ, τῆς θυρέτρου τοῦ συμμετρουμένου πρὸς τὸν κυλλὸν φανῆς· ἐκ τοῦ λόγου, πάντως γὰρ δῆλον, ὡς Ἱπποκράτης οὐκ ἄδηλός ἐστιν.
C ὅτῳ μὲν γοῦν εἰς τὴν ἐκτὸς χώραν μεταστῇ τὸ ἄρθρον, ἵστασθαί φησι δύνασθαι τούτους μᾶλλον, ἢ εἰ ὀπίσω μεταςαίη. κατὰ λόγον γάρ, οἷς γὰρ τῷ παντὶ σώματι, τοῖς ἔξω μετεστηκὸς ἔχουσι τὸ κατ' ἰσχίον ἄρθρον. ἀποκεχώρηκε δὲ τῆς εὐθυωρίας ἐκτός, εἰς ἣν ἐβλήθη τὸ σκέλος· ἴσμεν δὲ καὶ αὐτοὶ τῶν ἀνθρώπων, ὅσοι φύσει βλαισοί εἰσι, χεῖρον ἱσταμένους ἅπαντας, καὶ μήτε θεῖν ὠκέως δυναμένους, εὐαναπίπτους τε γινομένους, καὶ καταπίπτοντας ἐπὶ μικραῖς προφάσεσι. ταύτην οὖν τὴν διαφορὰν τῶν πραγμάτων μεγίστην μὲν δύναμιν ἔχειν ἐν τῷ ἰσχίῳ, δευτέραν δὲ ἐν τῷ γόνατι, καὶ τρί-
D την ἐν τῷ σφυρῷ· κατὰ γὰρ τὸ μέγεθος δηλονότι τῆς διαρθρώσεως, καὶ τῆς βλάβης ἕπεται μέγεθος. ἐκ τούτων οὖν δῆλον ὡς ἄμεινον ἵστανται, καὶ βαδίζουσιν οἷς εἰς τὴν ἔξω χώραν ὤλισθεν ἡ κεφαλὴ τοῦ μηροῦ, περὶ ἧς ὀλίγον ὕστερον ἐρεῖ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πη'.

Ἡ γε μὴν ξυναύξησις τῶν ὀστέων τοιήδε γίνεται. οἷσι μὲν οὖν κατὰ τὸ σφυρὸν ὀστέον τὸ τῆς κνήμης ἐκστῇ, τούτοισι μὲν τὰ τοῦ ποδὸς ὀστέα ἥκιστα ξυναύξεται. ταῦτα γὰρ ἐγγυτάτω τοῦ
E τρώματός εἰσι· τὰ δὲ τῆς κνήμης ὀστέα, αὔξεται μέν, οὐ πολὺ δὲ ἐνδεεστέρως. αἱ μέντοι σάρκες μινύθουσιν. οἷσι δ' αὖ, κατὰ μὲν τὸ σφυρὸν μένῃ τὸ ἄρθρον κατὰ φύσιν, κατὰ δὲ τὸ γόνυ ἐξεστήκῃ, τούτοισι τὸ τῆς κνήμης ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως, ἀλλὰ βραχύτατον γίνεται. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν. τοῦ μέντοι ποδὸς τὰ ὀστέα μινύθει μέν, ἀτὰρ οὐχ ὁμοίως, ὥσπερ ὀλίγον τι πρόσθεν εἴρηται, ὅτι τὸ ἄρθρον τὸ παρὰ τὸν πόδα, σῶόν ἐστιν. εἰ δὲ οἱ χρέεσθαι ἐδύναντο, ὥσπερ καὶ τῷ κυλλῷ, ἔτι ἂν ἧσσον ἐμινύθει τὰ τοῦ ποδὸς ὀστέα τούτοισιν. οἷσι δ' αὖ κατὰ τὸ ἰσχίον ἐξάρθρησις γίνηται, τούτοισι τοῦ μηροῦ τὸ ὀστέον οὐκ ἐθέλει
F ξυναύξεσθαι ὁμοίως. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν, ἀλλὰ βραχύτερον τοῦ ὑγιέος γίνεται. τὰ μέντοι τῆς κνήμης ὀστέα, οὐχ ὁμοίως τούτοισιν ἀναυξέα γίνεται, οὐδὲ τὰ τοῦ ποδός. διὰ τοῦτο δέ, ὅτι τὸ τοῦ μηροῦ ἄρθρον τὸ κατὰ τὴν κνήμην, ἐν τῇ ἑωυτοῦ φύσει μένει, καὶ τὸ παρὰ τὸν πόδα. σάρκες μέντοι χρέεσθαι τῷ σκέλει ἐδύναντο, ἔτι ἂν μᾶλλον τὰ ὀστέα ξυνηυξάνετο, ὡς καὶ πρόσθεν εἴρηται, πλὴν τοῦ μηροῦ, καὶ ἧσσον ἄσαρκα ἦν. ἀσαρκότερα δὲ πολλῷ, ἢ ὑγιέα ἦν. σημεῖον δὲ ὅτι τοιαῦτά ἐστιν. ὁκόσοισι

διὰ ταύτας οὖν τὰς εἰρημένας προφάσιας τὸ ὀστέον, τά τε μὲν συναυξόμενα, οὐ συναύξεται, τὸ, τι ξυναυξόμενον, ξυναύξεται. ἐς δὲ τὸ εὔσαρκον τῇ χειρὶ καὶ τῷ βραχίονι, ἡ ταλαιπωρίη τῆς χειρὸς μέγα προσωφελέει· ὅσα γὰρ χειρῶν ἔργα ἐστὶ, τὰ πλεῖστα προθυμέονται οἱ γαλιάγκωνες ἐργάζεσθαι τῇ χειρὶ ταύτῃ, ὅσα καὶ τῇ ἑτέρῃ δύνανται, οὐδὲν ἐνδεεστέρως τῶν ἀσινέων. οὐ γὰρ δεῖ ὀχέεσθαι τὸ σῶμα ἐπὶ τῶν χειρῶν, ὡς ἐπὶ τῶν σκελέων, ἀλλὰ κοῦφα αὐτέοισι τὰ ἔργα ἐστί. διὰ δὲ τὴν χρῆσιν, οὐ μινύθουσιν αἱ σάρκες αἱ κατὰ τὴν χεῖρα, καὶ κατὰ τὸν πῆχυν τοῖσι γαλιάγκωσιν, ἀλλὰ καὶ ὁ βραχίων τι προσωφελέεται ἐς εὐσαρκίην, διὰ ταῦτα. ὅταν δὲ ἰσχίον ἐκπαλὲς γένηται ἐς τὸ εἴσω μέρος ἐκ γενεῆς, ἢ καὶ ἔτι νηπίῳ ἐόντι, μινύθουσιν αἱ σάρκες, διὰ τοῦτο μᾶλλον, ἢ τῆς χειρὸς, ὅτι οὐ δύνανται χρέεσθαι τῷ σκέλει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σαφὴς οὗτος ἐστὶν ἅπαξ ὁ ἐφεξῆς λόγος αὐτοῦ, κεφάλαια μὲν ἔχων τῆς διδασκαλίας δύο ταῦτα. τῶν ἐξεστηκότων τῆς οἰκείας ἕδρας ἄρθρων, τὰ μὲν ἐγγύτερον, μᾶλλον ἀναυξῆ καὶ ἄτροφα γίγνεσθαι, τὰ δ' ἄπωθεν, ἧττον. ἐπὶ δὲ τῶν ἐξαρθρήσεων τοῦ μηροῦ, πολὺ μᾶλλον, εἴπερ ἐπὶ τὴν ἔσω, καὶ ἀναυξὲς καὶ ἄτροφον ἀποτελεῖται τὸ κῶλον, διότι καὶ χεῖρον οὗτοι κινοῦνται, καὶ μᾶλλον χωλεύουσι. λέγει δὲ καὶ ἐπὶ τῶν γαλιαγκώνων, οὕτω δ' αὐτὸν ὀνομάζειν τοὺς βραχὺν ἔχοντας τὸν βραχίονα, ἔφην, διὰ τὴν εἰς μασχάλην ἔκπτωσιν, ὅταν ἔτι αὐξανομένων τῶν σωμάτων τοῦτο πάθωσι. τούτους οὖν φησὶ τοὺς γαλιάγκωνας, ἧττον βλάπτεσθαι τὴν ὅλην χεῖρα, βλαπτόμενον τὸ σκέλος αὐτῶν, ὅταν ἐκπαλαίσωσι τὸ κατ' ἰσχίον ἄρθρον, ὅτι πολλὰ τῶν κατὰ τὸν βίον ἔργων, ἱκανῶς διαπράττουσιν, οὐ δυναμένων ὁμοίως τούτοις χρῆσθαι τῷ σκέλει, οἷς ἐξεπάλαισεν ἔσω τὸ κατ' ἰσχίον ἄρθρον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ πθ'.

Μαρτύριον δέ τι ἐν ἔσται ἐν τοῖσιν ὀλίγον ὕστερον εἰρησομένοισιν, ὅτι ταῦτα τοιαῦτά ἐστιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τίνα λέγει τοιαῦτα τὰ ἔκπτωτα, καίτοι τὸ μαρτύριον ἐρεῖν ἐπαγγέλλεται; ὅτι καὶ τῶν παρὰ φύσιν ἐχόντων αὐτῶν, τὰ μὲν ἧττον κινούμενα, μᾶλλον ἀναυξῆ καὶ ἄτροφα γίγνεται. ἐπηγγείλατο μὲν ὁ αὐτὸς δείξειν ὁ Ἱπποκράτης, ἐπὶ τῶν ὀλίγον ὕστερον εἰρησομένων. ἐγὼ δ', ὅταν ἐπὶ τὴν λέξιν ἥκω, ᾗ τοῦτο πράττει, τηνικαῦτα ἀναμνήσω τοῦ λόγου.

[illegible]
attingunt, non prohibentur. Multum autem facit ad bonum habitum totius brachij labor manus; nam qui humerum jam luxatum breviorem habent, pleraque ex manuum operibus non minus præſtare poſſunt, manu ejus partis, quàm integra: neque enim, quemadmodùm cruribus, ita manibus ferendum corpus eſt, ſed earum opera levia ſunt: propter uſum verò iis qui luxatum jam humerum breviorem habent, caro manus, ac brachij non minuitur, ſed & humerus inde aliqua parte impletur. Vbi verò in interiorem partem coxæ articulus excedit, vel in utero matris, vel adhuc infantibus, caro magis minuitur, quàm in brachio, ea de cauſa, quia crure uti non poſſunt.

GALENI COMMENTARIUS.

SErmo hic, qui ſequitur, univerſus perſpicuus eſt, doctrinæ autem capita duo habet. Quæ ad prolapſos articulos propiùs accedunt, magis incremento prohibentur, emacreſcuntque: minus, quæ longiùs abſunt. Femore autem luxato multo magis membrum incremento prohibetur, atque emacreſcit, ſi in interiorem partem, quam ſi in exteriorem prorumpat, ſiquidem deteriùs moventur, & claudicant magis. Meminit autem eorum, quos γαλιάγκωνας vocat, quo vocabulo retuli apud ipſum ſignificari eos, qui ob humeri caput in alam prolapſum, dum adhuc increſcunt, humerum breviorem habent. His ait minùs lædi brachium totum, quàm crus totum illis quibus luxatur articulus, qui in coxam inſeritur, quoniam in multis vitæ operibus laborant: at non ſimiliter uti crure poſſunt, quibus femoris, articulus in interiorem partem promovetur.

HIPPOCRATIS TEXTUS LXXXIX.

HÆc ita habere id teſtabitur, quod paulò infrà ſubjiciemus.

GALENI COMMENTARIUS.

QUænam ſunt, quorum teſtimonium adducturum ſe pollicetur? hæc ſanè, quæ ex iis quæ præter naturam habent, quæ minùs moventur, magis alimento, incrementoque prohibentur: Pollicetur ergo ipſe Hippocrates oſtenſurum ſe in iis quæ paulo infrà ſubdet, eorum teſtimonium. Ego, quùm ad locum veniam, ubi eam rem agit, hanc ipſam orationem in memoriam revocabo.

DE

...tior fit : exterior verò gibba, in quam venerit femoris caput. Sed, & clunis apparet superior, quùm, quæ ibi caro eſt, cedat capiti femoris : femoris item extremitas, quæ ad genu eſt, intrò ſpectat, non ſecus etiam crus, & pes.

GALENI COMMENTARIUS.

Agit nunc de coxæ articulo in alteram partem luxato, narratque mala, quæ ibi apparent, & cauſas adjicit, quemadmodum in omnibus fecit : nihilque prætereit ex ea doctrina, quæ in experimento, aut ratione conſiſtit. Quæ oratio univerſa ſimiliter in aperto eſt.

HIPPOCRATIS TEXTUS XCI.

Sed neque curvare crus poſſunt, perinde, ac ſanum. Hæ ſunt ergo notæ femoris in exteriorem partem excidentis.

GALENI COMMENTARIUS.

Hoc verò accidit ob muſculos poſteriores, qui flexui repugnant, quoniam ita figurati plurimùm extendi non ſuſtinent.

HIPPOCRATIS TEXTUS XCII.

Quibus ergo ætate jam robuſtâ, prolapſus articulus non revertitur, totum crus brevius fit : calx ingreſſu terram non contingit, ſed planta ima extremique digiti parum in interiorem partem ſpectant : meliúſque id crus ſuperius corpus fert, quàm quibus in interiorem partem exceſſit, partim quia femoris caput, & articuli cervix, quùm naturà à latere contineatur, magna ex parte coxæ ſubjicitur : partim quia extremus pes non cogitur in exteriorem partem inclinari ; ſed propè è regione corporis eſt, & aliquantum magis in interiorem partem convertitur.

...χοῖσι καλεομένοισι κοιλότερος, καὶ ἀραιότερος γὰρ, ἔξωθεν δὲ, ὁ γλουτὸς κυρτότερος, ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὠλισθηκυίας. ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ γλουτὸς, C ἅτε ὑπειξάσης τῆς σαρκὸς τῆς ἐνταῦθα, τῇ τοῦ μηροῦ κεφαλῇ, τὸ δὲ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον, εἴσω ῥέπον φαίνεται, καὶ ἡ κνήμη, καὶ ὁ πούς.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῆς δευτέρας διαφορᾶς τῶν εἰς τὸ ἰσχίον ἐξαρθρήσεων, ὁ λόγος αὐτῷ νῦν ἐστι, τὰ φαινόμενα νοσήματα διηγουμένῳ, καὶ τὰς αἰτίας αὐτῶν προστιθέντι, καθάπερ ἐπὶ τῶν πασῶν ἐποίησεν, ἐμπειρικῆς διδασκαλίας οὐδὲν ἀπολιπών τι. Σαφὴς δὲ καὶ οὗτος ὁ λόγος ἐστὶ D σύμπας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϟα'.

Ἀτὰρ οὐδὲ ξυγκάμπτειν ὥσπερ τὸ ὑγιὲς σκέλος δύνανται. τὰ μὲν οὖν σημεῖα ταῦτα τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ εἰσίν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E Καὶ τοῦτο γὰρ, τῶν ὄπισθεν μυῶν ἀντιβαινόντων τῇ κάμψει, διὰ τὸ μὴ δύνασθαι μέχρι πλείστου τὴν ἔκτασιν ὑπομένειν ἐν τῷ τοιούτῳ σχήματι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϟβ'.

Οἷσι μὲν οὖν τετελειωμένοισιν ἤδη ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, τούτοισι βραχύτερον μὲν φαίνεται τὸ σύμπαν σκέλος· ἐν δὲ τῇ ὁδοιπορίῃ, τῇ μὲν πτέρνῃ οὐ δύνανται καθικνέεσθαι ἐπὶ τῆς γῆς, τῷ δὲ στήθεϊ τοῦ ποδὸς, βαίνουσιν ἐπὶ τῆς γῆς· ὀλίγον δὲ εἰς τὸ ἔσω μέρος ῥέπουσι τοῖσι δακτύλοισιν ἄκροισιν. ὀχέειν δὲ δύναται τὸ σῶμα, τὸ σιναρὸν σκέλος τούτοισι πολλῷ μᾶλλον, ἢ οἷσιν ἂν ἐς τὸ ἔσω μέρος ἐκπεπτώκῃ, ἅμα μὲν ὅτι ἡ κεφαλὴ τοῦ μηροῦ, καὶ ὁ αὐχὴν τοῦ ἄρθρου, πλάγιος φύσει πεφυκὼς, ὑπὸ συχνῷ μέρει τοῦ ἰσχίου τὴν ὑπόστασιν πεποίηται, ἅμα δὲ ἄκρος ὁ πούς, οὐκ ἐς τὸ ἔξω μέρος ἀναγκάζεται ἐγκεκλῖσθαι, ἀλλ' ἐγγύς ἐστι τῆς ἰθυωρίης τῆς κατὰ τὸ σῶμα, καὶ τείνει καὶ ἐσωτέρω.

ποδῶν, καὶ τῆς ἐν τῷ πέρατι τῶν δακτύλων ὑποκειμένης σαρκὸς μετέωρον εἶναι. τὸ δ' ἄλλο πᾶν τοῦ ποδὸς, ὅσον ἐν τῷ μεταξὺ τῶν εἰρημένων μορίων ἐστὶ, πλὴν κατὰ τὸ ἔξω τοῦ ποδός ἐστιν, ἐνταῦθα γὰρ ὅλος ἐπὶ γῆς στηρίζεται. μοχθηρῶς δ' ἐνίοις διαπέπλασται τὰ κατὰ τοὺς πόδας, οὓς ὀνομάζουσι λειόποδας, οὐκ ἔχοντας τὸ μέσον αὐτῶν, ἔνδοθεν ὑψηλόν. ἀλλὰ τούτους μὲν, οὐκ ἄλλως διαπεπλασμένους, ὥσπερ καὶ τοὺς βλαισοὺς, ἐν τῷ νῦν λόγῳ κατέλιπεν. παρακολούθησον δὲ τοῖς ἐφεξῆς εἰρημένοις, ἐξετάζων τὸν λόγον, ἐπὶ τῶν κατὰ φύσιν ἐσχηματισμένων. οὗτοι γὰρ, ἐπειδὰν C
μὲν μετρίως προβαίνωσιν, ἐρείδουσι κατὰ τῆς γῆς, ὅλην τε τὴν πτέρναν, καὶ τὸ πεδίον, καὶ τὰ σαρκώδη τῶν σκελῶν· εἰ μέντοι μέγιστον διαβαίνειν ἐπιχειρήσειεν, ἐρείδουσι μὲν ἐν ἀρχῇ τὴν πτέρναν. ὕστερον δ' ὅταν ἤδη μεταφέρωσι πρὸς τὸ ἕτερον σκέλος, τηνικαῦτα καὶ τῷ πεδίῳ στηρίζονται, καὶ τελευτῶντες, ὅταν ὁμοίως ἐπὶ πλεῖστον προβαίνοντες θατέρῳ, κατὰ γῆς ἄρχωνται τὴν πτέρναν ἐρείδειν, τότε καὶ τοῦ προτέρου ἐστηριγμένου ποδὸς ἐπαίρουσι μὲν τὴν πτέρναν, ἐρείδουσι δὲ κατὰ τῆς γῆς, ἄκρους τοὺς δακτύλους. αὕτη μὲν ἡ τῶν κατὰ φύσιν ἐχόντων ὁδοιπορία· τῶν δ' ἐκ πάθους τινὸς, ἤτοι D
μακρότερον ἐχόντων τὸ σκέλος, αἰτία μὲν ἑκατέρων διπλῆ, τοῦ μὲν προτέρου ὑγρότης πολλὴ τῶν νευρωδῶν γέγονεν, ἢ ἐξαρθρήματος εἶδος, ὅσον καὶ νῦν πρόκειται. τρόπος δὲ βαδίσεως, τοῦ μὲν προτέρου, οἷος ὀλίγον ἔμπροσθεν εἴρηται, τοῦ δὲ δευτέρου, ὁποῖον νῦν διηγεῖται. πρότερον μὲν ἐνδείξας, ὅτι τὴν κεφαλὴν τοῦ μηροῦ σαρκώδες ὑποδέχεται χωρίον, οὐχ ὥσπερ ἐπὶ τῆς ἑτέρας ἐκπτώσεως ὀστοῦν· εἴκει τοιγαροῦν αὐτῇ τὸ σαρκῶδες τοῦτο, καὶ τῶν μυῶν, ἐπὶ τὴν ἰδίαν ἑκάστου κεφαλὴν ἀνασπωμένων, συνανασπᾶσθαι συμβαίνει τὸν ὅλον μηρόν. εἰκότως οὖν ἔλαττόν σοι φαίνεται θα- E
τέρου τὸ σκέλος καὶ τῆς γῆς οὐκέθ' ὁμοίως δύναται ψαύειν, ὡς ὅτ' εἶχε κατὰ φύσιν. ὅταν οὖν ἀναγκάζωνται βαδίζειν οἱ οὕτω παθόντες, ἐναντίως σχηματίζουσι τὸν πόδα τοῖς ἔμπροσθεν εἰρημένοις, ὧν, μακρότερον ἐφαίνετο τοῦ κατὰ φύσιν ἔχοντος, σκέλος τὸ πεπονθός. ἐκεῖνοι μὲν γὰρ, τῇ κατὰ τὸν ἀστράγαλον διαρθρώσει τὸν πόδα σιμοῦντες, εἰς ὕψος ἀνέτεινον τοὺς δακτύλους, οὗτοι δ' ἔμπαλιν ἐπινεύουσί τι, καὶ κατακάμπτουσιν ἐπὶ τὴν γῆν τὸν πόδα, καὶ διὰ τῶν δακτύ- F
λων ἄκρων αὐτῆς ἐπιψαῦσαι ποθοῦντες, διὰ τοῦτο δὲ, καὶ ταπεινοῦσιν ἑαυτοὺς κατὰ τὸ πεπονθὸς ἰσχίον, ὅπως ἐρείδωνται κατὰ τῆς γῆς, οὐ μόνον ἄκρους τοὺς δακτύλους, ἀλλὰ καὶ ἐπὶ πλέον αὐτῶν, ὅπερ ἔφην ὀνομάζεσθαι πεδίον ὑπὸ τῶν ἀνατομικῶν. Ἱπποκράτης δὲ, αὐτὸ στῆθος ἐκάλεσεν, εἰ καὶ τῇ πτέρνᾳ ἐπὶ τῆς γῆς ἐθέλουσιν ἐρείδεσθαι, πάνυ χρὴ ταπεινοὺς αὐτοὺς γίνεσθαι κατὰ τὸ πεπονθὸς ἰσχίον, ὡς κινδυνεύσαι καταπεσεῖν, ἑτεροκλινεῖς ἀπεργασθέντας. ὅθεν οὐδ' ἐπιχειροῦσι διὰ τοῦτ' αὐτὸ χρῆσθαι τῇ πτέρνῃ.

quæ propoſitis interjectæ ſunt, attollatur, excepta pedis parte exteriori, qua humi totus inſidet. Habent autem nonnulli pedum ſtructuram pravam, ut quibus medius pes ab interiori parte non ſit cavus: quos à pedibus planis Græci nominant λειόποδας. Sed hos, ut qui ſimilem valgis pedum ſtructuram habeant, in hoc ſermone prætеriit. Quæ ſequuntur igitur animadvertens in iis qui naturaliter figurati ſunt, perpende: Namque hi, quùm moderatè progrediuntur, toto calce, ima planta, ac digitorum parte carnoſa humi hærent; quòd ſi enitantur maximè progredi, principio calci inſidunt: deinde, quùm jam transferunt in priorem partem alterum crus, tunc imæ quoque plantæ innituntur: poſtremò, ubi plurimùm ſimiliter altero pede progreſſi ſunt, calce terram contingere incipiunt, tuncque pedis antè conſiſtentis calcem quidem attollunt, extremos verò digitos in ſolo collocant. Eorum igitur, qui naturaliter habent, ambulatio hujuſmodi eſt: Sed, ut quibuſdam ex vitio aliquo crus longius ſit, aut brevius, utrumque duplici de cauſa accidit. Longitudinis cauſa eſt humor multus nervorum, vel articulus luxatus, quo modo ſuprà diximus, brevitatis ſiccitas, & articulus luxatus in eam partem, quam nunc propoſuit. Priores quidem ingrediuntur ad eum modum, quem paulo ſuprà indicavit: reliqui ſicut nunc docet, primò oſtendens femoris caput carnoſo loco excipi, & non oſſe, ut in primo caſu femoris erumpentis, quem propoſuit. Cedit igitur in hac parte caro, ſinguliſque muſculis ad ſuum initium attractis, ſit ut totum quoque femur ſurſum trahatur. Meritò itaque crus brevius altero ſe oſtendit, neque terram contingere ſimiliter poteſt, atque ubi naturaliter habuit. Hi ergo, quum ingredi neceſſe habent, contrario modo pedem figurant, atque ij, qui antè propoſiti ſunt, quibus affectum crus integro longius reddebatur: illi enim juxtà talum pedem ſimum figurabant digitos excitantes: contrà hi pedem inclinant, inflectuntque, & terram contingere extremis digitis cupiunt: atque hac de cauſa, ab affecta coxa ſe demittunt, ut humi innitantur non ſolùm extremis digitis, ſed magna ex parte imâ plantâ, quam retuli ab iis qui in corporibus incidendis verſantur, vocari πεδίον: Hippocrates autem eam dixit στῆθος. Quòd ſi velint calce terram contingere, demitti multum ab affecta coxa coguntur, periculumque erit ne inclinati in alteram partem cadant. Qua de cauſa neque uti calce ejuſmodi homines tentant.

… neque oſſa nonnihil nudantur, & femoris os, tam ubi corrumpitur, quàm ubi non corrumpitur, multo brevius reddatur, neque ad ſani exemplum augetur: præterea oſſa hujus cruris breviora fiunt, quàm alterius, parum tamen ob eaſdem cauſas, quæ antè expoſitæ ſunt. Ingredique hujuſmodi homines poſſunt, nonnulli quidem eo modo, quo illi, quibus ætate jam firmâ, articulus excidit, neque repoſitus eſt.

… πολλὰ γὰρ τοιαῦτα γίνεται. καὶ ἐνίων μὲν τῶν τοιούτων, ἢν ἐπισφακελίσῃ ὁ μηρός, ἐκπυήματα χρόνια, καὶ ἔμμοτα γίνεται, καὶ ὀστέων
C ψιλώσιες ἐνίοισιν. ὁμοίως δὲ καὶ οἷσιν ἐπισφακελίζει, καὶ οἷσι μὴ ἐπισφακελίζει τοῦ μηροῦ τὸ ὀστέον, πολλῷ βραχύτερον γίνεται, καὶ οὐκ ἐθέλει ξυναύξεσθαι, ὥσπερ τὸ ὑγιέος· τὰ μέντοι τῆς κνήμης βραχύτερα μὲν γίνεται, ἢ τὰ τῆς ἑτέρης, ὀλίγῳ δὲ, διὰ τὰς αὐτὰς προφάσιας, αἳ καὶ πρόσθεν εἴρηνται, ὁδοιπορέειν τε δύνανται οἱ τοιοῦτοι. οἱ μὲν τινες αὐτῶν, τοῦτον τὸν τρόπον, ὥσπερ τοῖς τετελεσμένοισιν ἐξέπεσε, καὶ μὴ ἐνέπεσεν, οἱ δὲ καὶ βαίνουσι μὲν παντὶ τῷ ποδί.

GALENI COMMENTARIUS.

Locum tritum dixit, tranſlatione uſus à locis ambulatione tritis. Eſt autem ejus oratio talis: Femoris caput ſuo loco motum in exteriorem partem, figitur in carnem: iis verò qui ſic affecti ſunt, à principio dolet caro, quam premit femoris caput: procedente tempore, occalleſcit, perinde quaſi foſſorum manus. Ubi id accidit, ſedes fit commiſſuræ ſimilis, quùm femur trito loco utatur, non ſecùs atque anteà cavo coxæ: nam præter cæra, quidam eâ parte humor colligitur, qui in principio quidem copioſè ob inflammationem coit, dein tenuiori ſui parte, & aquoſa magis à ſuperiectis medicamentis diſſipata, reliqua remanet, quæ glutinoſa eſt, & mucoſa: hæc ad motionem capitis femoris maximè confert. Ob quem humorem trito hoc loco, tanquàm articuli ſinu utuntur: magis autem inclinantur in exteriorem partem, quàm in interiorem. Dictum autem eſt in ſuperioribus quoque, partes contrarias iis quæ luxatum articulum recipiunt, graciliores fieri, & molliores, quatenùs magis in ocio ſunt: eas verò, in quas prolapſus articulus figitur, quamvis præter naturam, aliquantùm tamen moventur: illæ, unde receſſit, per ſe quidem non moventur, ſed paululum per alias, quæ primò motæ ſunt, quùm partes, in quibus articulus erat, effœminentur. Atque hoc eſt id teſtimonium, quod allaturum ſe pollicitus eſt. In ſequentibus de partibus, quæ plus minuſve emacreſcunt, extenuanturque.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Κατὰ μεταφορὰν εἴρηκε τρίβον, ἀπὸ τῶν τετριμμένων χωρίων, ὑπὸ τῶν ὁδοιπορούντων. ἔστι δὲ ὁ λόγος αὐτοῦ οὗτος· ἡ κεφαλὴ τοῦ μηροῦ, τῆς οἰκείας χώρας μεταστᾶσα, ἐν τοῖς ἔξω μέρεσι τῆς διαρθρώσεως, ἐν σαρκὶ στηρίζεται. κατ' ἀρχὰς μὲν οὖν, οἱ οὕτω παθόντες, ὀδυνῶνται τῆς θλιβομένης ὑπ' αὐτοῦ σαρκός, τῷ χρόνῳ δὲ τυλοῦνται, καθάπερ αἱ τῶν σκαπτόντων χεῖρες. ὅταν δὲ τοῦτο γένηται, παραπλήσιον τῇ διαρθρώσει κατασκευάζεται, χρωμένου τῇ γεγυμνασμένῃ τρίβῳ, καθάπερ ἔμπροσθεν ἐχρῆτο τῇ κοτύλῃ τοῦ ἰσχίου. ἅτε γὰρ ἄλλα, καὶ ὑγρότης τις αὐτῇ γίνεται, κατ'
E ἀρχὰς μὲν, διὰ τὴν φλεγμονὴν ἀθροιζομένη πλείων. ἐν δὲ τῷ χρόνῳ τοῦ λεπτοτέρου τε, καὶ ὑδατώδους ἐν αὐτῇ διαφορηθέντος ὑπὸ τῶν συμπιπτόντων, ἐπιτιθεμένων ἔξωθεν φαρμάκων, καταλειπομένου τε, τοῦ γλίσχρου τε καὶ μυξώδους, ὃ πρὸς τὴν κίνησιν, τῇ κεφαλῇ τοῦ μηροῦ συμφορώτατόν ἐστι. καὶ διὰ ταύτην οὖν τὴν ὑγρότητα, καθάπερ ἄρθρῳ, χρῶνται τῇ τρίβῳ, μᾶλλον δὲ ἐπικλίνονται κατὰ τὸ ἔξω μέρος, ἢ κατὰ τὸ ἔσω. εἴρηται δὲ καὶ πρόσθεν, ὡς καὶ τὰ ἐναντία μέρη τῶν ὑποδεξαμένων τὸ ἐκπεπτωκὸς ἄρθρον, ἀτροφώτερά τε, καὶ μαλακώτερα
F γίνεται, κατὰ τὸ μᾶλλον ἀργεῖν. ἐν οἷς δ' αὖ μᾶλλον στηριχθῇ τὸ ἐκπεπτωκὸς, καὶ παρὰ φύσιν, ὅμως γοῦν γίνονταί τινες κινήσεις, ὅθεν ἀποκεχώρηκε. πρώτως μὲν οὖν γίνονται, κατὰ συμβεβηκὸς δὲ, τινὲς βραχεῖαι ἕπονται τοῖς πρώτοις κινουμένοις, θηλυνομένων τῶν μορίων ἐν τοῖς νῦν, τουτέστι τὸ μαρτύριον ὃ ἐν τοῖς ἐφεξῆς λόγοις ἐρεῖν ἐπηγγείλατο, περὶ τῶν, μᾶλλον, ἢ ἧττον ἀτροφούντων τε, καὶ καταλεπτυνομένων μερῶν.

ἐπιμελείης δέονται, οἷσιν ἂν νηπιωτάτοισιν ἐοῦσιν, αὕτη ἡ ξυμφορὴ γένηται. ἢν γὰρ ἀμεληθῶσι νήπιοι ἐόντες, ἀχρήϊον παντάπασι, καὶ ἀναυξὲς ὅλον τὸ σκέλος γίνεται, αἵ τε σάρκες τοῦ σύμπαντος σκέλεος μινύθουσι μᾶλλον, ἢ τοῦ ὑγιέος. πολὺ μὴν πολλῷ ἧσσον τούτοισι μινύθουσιν, ἢ οἷσιν ἂν εἴσω ἐκπεπτώκῃ, διὰ τὴν χρῆσιν, καὶ τὴν ταλαιπωρίην. οἷοι εὐθέως δύνασθαι χρέεσθαι τῷ σκέλεϊ, ὡς καὶ πρόσθεν ὀλίγον ἐπὶ τῶν γαλιαγκώνων εἴρηται. Εἰσὶ δέ τινες, οἷσι τοῖσι μὲν ἐκ γενεῆς αὐτίκα, τοῖσι δὲ, καὶ ὑπὸ νούσου, ἀμφοτέρων τῶν σκελέων ἐξίσταται τὰ ἄρθρα ἐς τὸ ἔξω μέρος. τούτοισιν οὖν, τὰ μὲν ὀστέα ταὐτὰ παθήματα πάσχει. αἱ μέντοι σάρκες ἥκιστα ἐκθηλύνονται, ἔσαρκα δὲ καὶ τὰ σκέλεα γίνεται, πλὴν εἴ τι ἄρα κατὰ τὸ εἴσω μέρος ἐλλείποι ὀλίγον. διὰ τοῦτο δὲ εὔσαρκά ἐστιν, ὅτι ἀμφοτέροισι τοῖσι σκέλεσιν ὁμοίως ἡ χρῆσις γίνεται.

attinet, & quod ad cætera quæ conducunt, fuerint diligenter à pueris instituti, priusquàm
B *ita confirmentur, ut inambulare poſſint: diligenter item, ac rectè, poſtquàm confirmati fuerint. Summam verò curam poſtulant, quibus ætate maximè tenerâ hoc infortunium accidit: nam, ſi negligantur, quùm teneri ſint, crus univerſum inutile efficitur, & minimè increſcit: caro item totius cruris magis minuitur, quàm in ſano; multò tamen minùs ijs, quàm quibus in interiorem partem exceſſit, idque uſus, ac laboris causâ, quùm ſtatim uti crure poſſint, quemadmodum ſuprà de ijs diximus, quibus ob humeri caput jam in alam prolapſum humerus brevior redditur. Inveniuntur*
C *autem nonnulli, quibus in utero penitùs; alij, quibus ſub morbo, utriuſque cruris articulus in exteriorem partem prolabitur. His ergo oſſa ejuſmodi vitio vexantur, ſed caro minimè effœminatur, crura autem habitiora fiunt, niſi ſi ab interiori parte parùm emacreſcant: ea verò de cauſa habitiora ſunt, quia hi utroque pariter utuntur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁποῖόν τι σημαίνει τὸ, διαῤῥέπουσιν, εἴρηται μέν μοι καὶ πρόσθεν. εἰρήσεται δὲ οὐδὲν ἧττον ἔτι καὶ νῦν, ὅτι γὰρ ἐξαρθρήσαντος ὁ μηρὸς εἰς τὴν ἔσω χώραν ἀνασπώμενος ὑπὸ τῶν ταύτῃ μυῶν, ὡς ὀλίγον ἔμπροσθεν ἐλέχθη, τὸ συνεχὲς σκέλος αὐτοῦ, ὅλον ὑψηλότερον ἐργάζεται, καὶ διὰ τοῦτο μόγις ἀπτόμενος γῆς ἐῤῥέθη. διὰ ταύτην τὴν αἰτίαν, ἀναγκάζονται τῷ στήθει μόνῳ τοῦ ποδὸς χρῆσθαι, κατὰ τῆς γῆς ἐπιβαίνοντες, ἅμα τῷ, καὶ συνεπινεύειν ὅλῳ τῷ σώματι, πρὸς τὸ πεπονθὸς σκέλος, ὅταν ἐπ' αὐτοῦ στηρίζωνται. ἀναγκαῖον οὖν ἐστιν, ἐπειδὰν θατέρου τοῦ ὑγιοῦς ἐργάζεσθαι δεηθῶσιν ἐν τῷ μεταφέρειν ἔσω τὸ πεπονθὸς, ἐπ' ἐκεῖνο πάλιν αὖθις ῥέπειν, ὀρθουμένου τοῦ μηροῦ, ὥστε κατὰ τὴν ὁδοιπορίαν, ἀμείβειν ἀεὶ, καὶ μεταβάλλειν εἰς ἄλληλα τὰ δύο σχήματα. καθ' ὃν μὲν χρόνον ἐπὶ κατὰ φύσιν ἔχοντες σκέλη, στηρίζοντές τε, καὶ ὀρθοῦντες τὸ σῶμα, μετεωρίζονταί τε ἅμα, καὶ ὁδοιποροῦσι. καθ' ὃν δὴ αὖ πάλιν, ἐπὶ τοῦ πεπονθότος καμπτόμενοι ἐν τῷ καὶ ἐκεῖνο τὸ μέρος. ὑψηλὸν οὖν εἰς τὸ μεταβάλλειν τὸ σῶμα, ποτὲ μὲν ἐξ ὀρθοῦ, καὶ ἀκλινοῦς, ἐπὶ τὸ πεπονθός τε, καὶ κεκαμμένον, αὖθις δὲ, ἀπὸ τοῦ πεπονθότος, καὶ κεκαμμένου, πρὸς ὑψηλόν τε, καὶ ὀρθὸν, ὀνόμασε διαῤῥέπειν, ἑνὶ ῥήματι, τὴν εἰρημένην μεταβολὴν τῶν σχημάτων ἐνδειξάμενος.

GALENI COMMENTARIUS.

D A Recto habitu, & qui ſine inclinatione eſt, in affectam partem inclinari, & rurſus ab inclinatione attolli, atque erigi, διαῤῥέπειν dixit: quod quid ſibi velit, & in ſuperioribus oſtendimus, & hîc quoque oſtendemus. Namque ubi femur in exteriorem partem promovetur, à muſculis, qui ibi ſunt, ſurſùm attractum (quemadmodum antè dictum eſt) innexum crus totum ſublimius reddit, atque ea de cauſâ vix terram contingit. Quamobrem coguntur imâ tantum plantâ humi
E inſidere, dum ambulant, univerſo corpore in affectum crus converſo, quùm huic innituntur. Neceſſariò itaque, ubi ſano inniti debent, cùm quod læſum eſt, in priorem partem transferunt, in ſanum rurſùs convertuntur, femore erecto, ita, ut ſemper in ingreſſu duos habitus invicem mutent, varientque: nam, quo tempore integro crure inſiſtunt, erecto corpore attolluntur ſimul, & ambulant: quo rurſus læſo, humiliore nituntur, demittunt ſe, atque in id inclinantur. Mutare igitur corpus modò à recto habitu, & ſine incli-
F natione, in affectam partem inclinando, & ab inclinatione quæ in affectam partem eſt, rurſùs attollendo, atque erigendo, διαῤῥέπειν dixit, uno verbo propoſitam habitus mutationem exprimens.

... erigitque, & illa recta continet. Conſtat ergo eum tunc diſſimiliter figurari, ſed in hoc caſu ægri eodem ſtatu ab utraque parte tam dextra, quam ſiniſtra continentur. Agitantur autem hic nihilominus, dum invicem utrique cruri innituntur, quod ipſe dixit, σαλεύουσι ἐν τῇ ὁδοιπορίῃ, id eſt, in ingreſſu agitantur. Agitari expreſſit vocabulo σαλεύειν, quod idem ſignificat, ac διαρριπτεῖν. Accidit igitur hic, ut ſimiliter utræque corporis partes figurentur, quùm utrumque crus invicem terræ innitatur: quod (ut oſtenſum eſt) ipſis antè non eveniebat.

εὐθεῖαν δὲ τὴν λαγόνα, πρόδηλον οὖν, ὡς πρότερον μὲν οὐχ ὁμοίως ἐσχηματίζοντο. νυνὶ δ' ὁμοίως καθ' ἑκάτερα τὰ μέρη, τό, τε δεξιόν, καὶ τὸ ἀριστερόν. διαρριπτοῦσι δὲ καὶ νῦν οὐδὲν ἧττον, C τῇ μεταβολῇ τῶν στηριζόντων ποδῶν, ὅπερ ὠνόμασε, σαλεύειν ἐν τῇ ὁδοιπορίᾳ, δύναμιν δὲ τὴν αὐτὴν ἔχει τὸ σαλεύουσι, τῷ διαρριπτοῦσιν, ἀλλ' ἐπὶ τοῦ κοινοῦ τὸ διαρριπτεῖν. ἐνταῦθα δέ, ὁμοίως ἀμφοτέροις τοῖς τοῦ σώματος μέρεσι συμβαίνει σχηματίζεσθαι, στηριζομένου τοῦ σκέλους ἑκατέρου παρὰ μέρος, ἐπὶ τῆς γῆς, ἔμπροσθεν δέ, οὐ τοῦθ' ὑπῆρχεν αὐτοῖς, ὡς δέδεικται.

HIPPOCRATIS TEXTUS XCVI.

Sed, niſi his oſſa vitientur, neque gibbi ſupra coxas fiant (nonnulli enim hujuſmodi vitiis prehenduntur) niſi, inquam, tale quid eveniat, in cæteris ſatis ſani degunt.

GALENI COMMENTARIUS.

Nonnulli ex iis, quibus crura ſic luxantur, propter communitatem gibbi fiunt: nempè, quùm inflammatio in vertebrarum ligamentis primò oriatur, tum duræ quædam reliquiæ remaneant. Id ſiquidem, & extrinſecùs accidere videmus popliti, cubito, & digitis non rarò, quùm articulus contrahitur, ἀγκύλην Græci dicunt: pateтque in ejuſmodi juncturis articulum præ tumoris duritie contrahi, cùm chorda muſculos, qui eam partem tendunt, minimè ſequatur, ſicuti, cùm ob durum tumorem flectentes non ſequitur, commiſſura quæ ſic affecta eſt, tenditur, quod malum Græci nominant ὀρθόκωλον. Poteſt igitur ob talem quendam durum tumorem ſpina depravari: poteſt & propter conſortium ſub crudo, duroque tuberculo idem vitium experiri. Sed quo pacto ejuſmodi affectibus ſpinæ perverſio ſuperveniat, ſuprà poſuimus, ubi de ipſâ propriè tractavimus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛϛʹ.

D Ἢν δὲ μὴ ἐπισφακελίσῃ αὐτοῖσι τὰ ὀστέα, μηδὲ κυφοὶ ἀνωτέρω τῶν ἰσχίων γένωνται, ἐνίους γὰρ καὶ τὰ τοιαῦτα καταλαμβάνει. ἢν οὖν μὴ τοιοῦτόν τι γένηται, ἱκανῶς ὑγιηροί, τὰ ἄλλα διαφέρονται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κατὰ συμπάθειαν, δῆλον ὅτι ὑπὸ τῶν ἐξαρθρήσεων τῶν σκελῶν ἔνιοι κυφοῦνται, φλεγμονῆς μέν, τὸ πρότερον, ἐν τοῖς συνδέσμοις τῶν σφονδύλων γενομένης, ὕστερον E δέ, καὶ σκιρρώδους τινὸς ἀπολειφθέντος λειψάνου. φαίνεται γὰρ καὶ ἐπὶ τῶν ἐκτός, τοῦτο γινόμενον, ἐν ἰγνύϊ τε καὶ τῇ κατ' ἀγκῶνα διαρθρώσει, κἀπὶ τῶν δακτύλων οὐκ ὀλίγον, ὅπερ ὀνομάζουσιν ἀγκύλην· καὶ πρόδηλός ἐστιν ἐν ταῖς τοιαύταις διαθέσεσιν, ἡ ἀγκύλη γενομένη, διὰ τὸν σκίρρον, οὐκ ἐπακολουθοῦντος τοῦ τένοντος τοῖς ἐκτείνουσι τὸ μέρος μυσίν, ὥσπερ οὐδ' ὅταν τις τῶν ἐκτεινόντων, σκιρρωθῇ, τοῖς κάμπτουσιν ἑπομένου, τὸ καλούμενον ὀρθόκωλον σχῆμα περὶ τὴν ὑπὸ πεπονθυῖαν ἀποτελεῖται διάρθρωσιν. δύναται μὲν οὖν, καὶ F διὰ τοιοῦτόν τινα σκίρρον, ἡ ῥάχις διαστραφῆναι, δύναται δὲ καὶ τῷ λόγῳ τῆς συμπαθείας, φύματος ἀπέπτου, καὶ κακοῦ γίνεσθαι σκληρῶς ἐπ' αὐτῆς. ὅπως δὲ ἕπεται ταῖς τοιαύταις διαθέσεσιν ἡ διαστροφὴ τῆς ῥάχεως, ἔμπροσθεν εἴρηται, κατὰ τὸν ἴδιον περὶ αὐτῆς λόγον.

Η [illegible] βαδίζουσιν οἱ τοιοῦτοι, τῶν ἔσω τῶν μεθισταμένων τὸ ἄρθρον ἐχόντων, ὅταν ἐκφύγωσι τοὺς ἐκ τῆς φλεγμονῆς τε, καὶ συμπαθείας τῶν ἐπικαίρων μορίων, κινδύνους, αἴτια δὲ ταῦτα μᾶλλον ἐκείνων πάσχουσιν· ἡ μὲν γὰρ εἰς τὸ ἔσω χώραν μετάστασις τοῦ ἄρθρου. κατὰ τοῦτο οὖν, ἐπίβασιν ἔχει, μήτε θλιβομένης διὰ τὴν σκληρότητα, μήτε τοῦ τούτου αὐτοῦ συμβαίνεσθαι δυναμένου. τὸ δὲ ἔξω τοῦ μηροῦ χωρίον, ὅτι ὑπὸ μεγίστων μυῶν κατειλημμένον, εἰς ὀδύνην ἰσχυρὰν ἀφικνοῦνται). καὶ γὰρ θλίβονται πρὸς τοῦ μεταστάντος εἰς αὐτοὺς ὀστοῦ, καὶ θλῶνται, καὶ παρεκτείνονται παρὰ φύσιν ὄγκῳ τῷ τῆς τοῦ μηροῦ κεφαλῆς, αἰσθάνονται τούτων ἁπάντων, ὡς πάσχουσι, καὶ διὰ τοῦτο ὀδυνῶνται. διά τε οὖν τὴν θλάσιν, καὶ τὴν θλῖψιν τῶν γινομένων, φλεγμοναῖς ἐν τοῖς ὑποδεξαμένοις τὸ ἄρθρον μυσίν, εἰς συμπάθειαν ἔρχονται τὰ ὑποκείμενα μόρια, τά τε ἄλλα, καὶ τὰ κατὰ τὴν ῥάχιν. ἣν δὴ ἅπαξ οὖν νοσήσῃ ταῦτα, καθάπερ ὁ μηρός, οὕτω καὶ ταῦτα γὰρ, τοῖς τε ἐν αὐξήσει σώμασι παθοῦσι τὸ τοιοῦτον πάθος, ἀναυξέστερά τε, καὶ μικρότερα, καὶ πάντα φαυλότερα. μεμνῆσθαι γάρ σε χρὴ καὶ τούτου διὰ παντός, ἤδη πολλάκις εἰρημένου, καὶ τούτου μαρτυροῦντος τοῖς ὀλίγον ἔμπροσθεν, ὡς ἔτι μὲν ἐν αὐξήσει παθοῦσιν, οὕτως ἐνδεέστερον αὔξεται τὰ μόρια, τοῖς δὲ τελειωμένοις, ἀτροφώτερα γὰρ, καὶ μαλακώτερα, τῆς ῥάχεως δὲ ἀναυξεστέρας γινομένης, ἀκόλουθόν ἐστι, καὶ τὸ σύμπαν σῶμα, τοῖς οὕτω παθοῦσιν ἔλαττον γίνεσθαι. κάτω μὲν γὰρ τὰ σκέλη σύμπαντα, τὸ δὲ ἄνω τῶν σκελῶν, ἄχρι τῆς κεφαλῆς, ἡ ῥάχις ἐστίν. ὅταν οὖν αὕτη τε μικροτέρα γένηται, καὶ σύμπαν τὸ σκέλος, εἰκότως ἐπὶ τῶν τοιούτων ἔφη, πλὴν τῆς κεφαλῆς, ἀναυξεστέρους τοῖς ἀνθρώποις γίνεσθαι τὸ πᾶν σῶμα.

Q[illegible]rem prolabitur, melius ingrediuntur, B quàm quibus in interiorem, ubi inflammationis periculum effugerint, & præcipuarum partium, cui opportuniores ſunt, quàm illi: Articulus enim, cùm in interiorem partem luxatur, ſuper os fertur, quod non premitur, cùm durum ſit, neque huic malo patet: at exterior femoris regio, cùm maximis muſculis comprehendatur, ingenti dolore torquetur: premuntur enim articulo in eam prolapſo, teruntur que, & extenduntur tumore præter naturam, nempè femoris capite: & ſentiunt omne id, quo vexantur, ac proptereà dolent. Er- C go propter muſculos, qui articulum admittentes teruntur, premunturque, atque idcircò inflammantur, & cæteræ partes adjunctæ & quæ circa ſpinam ſunt, afficiuntur: quæ ſiquando afficiantur, & æger adhuc increſcat, non ſecùs, ac femur incremento prohibentur, & minores fiunt, atque omninò deteriores. Illius autem meminiſſe oportet, quod jam ſæpiùs dictum eſt, & eorum teſtimonium eſt, quæ pauló antè propoſita ſunt: Vbi, qui adhuc augentur, ſic læduntur, partes minùs increſcunt: quibus verò ætate firmâ id acci- D dit, minùs aluntur, & molliores evadunt. Spina minùs aucta, ſequitur, ut reliquum corpus hujuſmodi hominibus minus reddatur: infrà enim crura afficiuntur: ſuper crura uſque ad caput ſpina ſita eſt: Itaque, ubi hæc minor fit, minus item crus totum, meritò dicit his hominibus univerſum corpus minùs increſcere, excepto capite.

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΜΗΡΟΥ ΚΕΦΑΛΗΣ
Εἰς τοὔπισθεν ἐξαρθρήσεως.

E DE FEMORIS CAPITE
in poſteriorem partem luxato.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϟη'.

Ὅσοισι δὲ ἂν εἰς τοὔπισθεν ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέσοι, ὀλίγοισι δὲ ἐκπίπτει, οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος, οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσόν, οὔτε τι κάρτα κατὰ τὴν ἰγνύην, ἀλλ' ἥκιστα τῶν ἐκπαλέντων, οὗτοι μᾶλλον ἐκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα, καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον.

HIPPOCRATIS TEXTUS XCVIII.

At ubi in poſteriorem partem femoris caput prolabitur (prolabitur autem rarò) extendi non poteſt crus, neque ad articulum luxatum, neque admodùm ad poplitem: ſed ex omnibus parti- F *bus, in quas hic articulus concidit, ubi in poſteriorem excidat, commiſſura, quæ ad inguen, & quæ ad poplitem, minimè extenditur.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὀλίγοις μὲν διαρθροῖ, τῶν νῦν προκειμένων τόπον ἡ κεφαλὴ τοῦ μηροῦ, δι' ἣν εἶπον ἔμπροσθεν αἰτίαν, ὅτι τὸ βάθος τῆς κοτύλης, ἄνισόν ἐστιν. ἔνθα μὲν οὖν βραχύτερον μή-

GALENI COMMENTARIUS.

Femoris caput ob cauſam, quam ſuprà declaravimus, in propoſitam nunc partem paucis excidit, quoniam ſcilicet cavi latitudo inæqualis eſt. Quocircà quà minor eſt, ma-

lum tentet, oportebit univerſum femur in poſteriorem partem circumvolvi: in quo caſu propoſiti duo muſculi potiſſimùm lædentur, ut qui plurimùm trahantur, extendãturque: nam, quùm longiores, quam antè, facti ſint, ulterius extendi citra dolorẽ nequeunt: cũque longiores fieri non poſſint, commiſſurã extendi non patiuntur. Hac igitur de cauſa, qui ſic affecti ſunt, extendere crus ad inguen non poſſunt, neque etiam ad genu, propterea quòd femoris caput ſuo cavo prolapſum continetur in poſteriori parte illius oſſis, à quo recipi ſolet. Quòd ſi futurum eſſet, ut femoris caput extentum ad genu, inguine penitùs curvato, multum attolleretur, neceſſe eſſet ut femoris caput à coxa plurimùm in poſteriorem partem excederet: quod fieri non poteſt, niſi convellatur muſculus, quo exceptus eſt, quùm ex naturali ſede procidit. In commiſſura ergo, quæ ad inguen eſt, neutrum fieri poteſt ex iis, quæ fiebant, priuſquam articulus procidiſſet: nam neque perfectè extendi, neque perfectè curvari poteſt. Quid ergo Hippocrates alterum dumtaxat adſcripſit? An, quia poſtquàm luxatus articulus eſt, crus curvatum protinus apparet? ut potè quùm imum femur ad genu eatenùs in priorem partem excedat, quatenùs ſummum in poſteriorem, & quatenùs ad inguen crus curvatur: quo fit, ut poſteriores muſculi, qui ad poplitem ſunt, ſuperioribus capitibus extendantur, quùm femur ſic retrò prolapſus eſt: his autem supernè extentis, extenditur unà reliquum eorum corpus uſque ad chordas, quæ perveniunt ad crus: quibus extentis poples curvatur. Quocirca quibus ſic articuli luxantur, curvatæ meritò utræque commiſſuræ conſpiciuntur. Igitur quia extendere ipſas nequeunt, præcipuè eam, quæ ad inguen eſt, idcircò non dixit ſolummodò has commiſſuras non poſſe extendi: ſed in ea, quæ ad coxam eſt, id ſimpliciter protulit, in ea, quæ ad genu, adjecit *κάρτα*, hoc eſt admodùm, utpotè quæ extendi poſſit, non admodùm tamen: nam ſi id poſſet, à naturali ſtatu recederet. Supervenit autem hæc noxa ob eandem cauſam, ob quam ab articulo luxato protinùs poples curvatur. Illud enim ſcire licet commune omnium depravationum, quòd, ubi partes aliquæ extendantur, quæ cum his continuantur, ſequentes ad ipſas convertuntur. Nulla enim ex

ἄρθρου, δεήσει τὸν μηρὸν ὅλον [...]θῆναι πρὸς τοὐπί-
σω, μειζόνως πονήσουσιν οἱ προειρ[...] δύο μύες, ἐπεὶ
πλεῖστον ἠγμένοι τε, καὶ τεινόμενοι, καὶ ὅτι μείζονες εἶναι
C ἢ πρὶν, ἀνώδυνοι πλείονα τάσιν οὐκ ἔχουσιν. Εἰ δ' ἠδύναντο
παρέξει τοῦτο, διὰ τὴν κεφαλὴν τοῦ μηροῦ τῆς κο-
τύλης ἐκπεπτωκυῖαν, ἐκ τῶν ὀπίσω μερῶν τοῦ περι-
έχοντος αὐτὴν ὀστοῦ τετάχθαι. εἰ γὰρ ἔξω ἔμελλε, τὸ
κατὰ γόνυ πέρας τοῦ μηροῦ καμφθέντων τελέως τὸν
βουβῶνα, μετέωρον ἱκανῶς ἵστασθαι τὴν κεφαλὴν τοῦ
ἰσχίου, πρὸς τὴν ἔσω χώραν ἀναγκαῖον ἦν, ὅπερ οὐκ
ἐνδέχεται γενέσθαι, χωρὶς τοῦ διασπασθῆναι τὸν
ὑποδεξάμενον αὐτὴν μῦν, ὃν ἔξεστιν ἐν τῇ διαρ-
D θρώσει, ἣν εἶχε κατὰ φύσιν, οὐδ' ἕτερον ὑπάρχειν
τῇ κατὰ βουβῶνα διαρθρώσει τῶν ἔμπροσθεν ὑπαρ-
χόντων, πρὶν ἐκπαλῆσαι τὸ ἄρθρον· οὔτε γὰρ ἐκτεί-
νεσθαι τελέως, οὔτε κάμπτεσθαι δύναται. τί δή ποτ'
οὖν ὁ Ἱπποκράτης, τὸ ἕτερον αὐτῶν εἶπε μόνον; ὅτι
μετὰ τὴν ἔκπτωσιν, εὐθέως φαίνεται κεκαμμένος ὁ μη-
ρὸς, ὡς δὴ πρὸς τῷ γόνατι πέρατος αὐτοῦ τοσοῦτον
ἀποχωροῦντος εἰς τὸ πρόσω μέρος, ὅσον ἡ κεφαλὴ με-
τέστη εἰς τοὐπίσω. ὅσον δ' ἐν τῇ κατὰ τὸν βουβῶνα, φαί-
νεται καμφθὲν τὸ σκέλος, οὕτω καὶ κατὰ τὴν ἰγνύαν ἐντεί-
E νονται οἱ ὀπίσθιοι μύες ἅπαντες, ἐν ταῖς ἄνωθεν ἀρ-
χαῖς, ὀπίσω μεταχωρήσαντος κατὰ ταῦτα, τοῦ μηροῦ.
τεινομένων δὲ τούτων αὖθις τῶν μερῶν, συνεντείνεται καὶ τὸ
λοιπὸν σῶμα αὐτῶν, ἄχρι τῶν εἰς τὴν κνήμην καθηκόντων
τενόντων. ἡ δὲ τούτων ἔντασις, κάμπτει τὴν ἰγνύαν, ὥστε οἱ οὕ-
τως ἐκπαλαισθέντες, εὐλόγως ἀμφοτέρας τὰς διαρθρώ-
σεις ὁρᾶσθαι κεκαμμένας ἔχοντες. ἐπεὶ τοίνυν ἐκτείνεσθαι ἑαυ-
τὰς [illegible]νατοῦσιν αὗται μάλιστα ἡ κατὰ βουβῶνα, διὰ δὴ τοῦθ',
Ἱπποκράτης τοῦτο μόνον εἶπε, τὸ μὴ δύνασθαι τὰς διαρθρώ-
F σεις ταύτας ἐκτείνεσθαι. ἀλλ' ἐπὶ τῆς κατ' ἰσχίον, ἁπλῶς εἶπεν,
ἐπὶ δὲ τῆς κατὰ γόνυ, προσέθηκε τὸ, κάρτα, τουτέστι τὸ λίαν, ὡς
ἐκτείνεσθαι δυναμένης, οὐ μὴν λίαν τελέως παρούσης. ἐπεὶ
δύναται τὸ τελέως μηδὲν ἀπολείπεσθαι τοῦ κατὰ φύσιν; αὐτὸ δὲ τὸ
σύμπτωμα γὰρ διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν καταπίπτεται
μετὰ τὴν ἐξάρθρησιν αὐτίκα τὸ κατὰ τὴν ἰγνύαν ἄρθρον. ἐπὶ πα-
σῶν γάρ σε χρὴ τοῦτο γινώσκειν τῶν διαστροφῶν κοινὸν, ὡς
ἐντεινομένων μερῶν, αἱ πρὸς ἐκεῖνο ῥοπαὶ γίγνονται, συνα-
κολουθούντων αὖθις τῶν συνεχῶν. οὐδὲν γὰρ τῶν μεθισταμένων

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϟθʹ.

Προσξυνιέναι μὲν οὖν καὶ τόδε χρή. εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιόν ἐστι, καὶ τοὺς πλείστους λήθει, ὅτι οὔτε ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκτανύειν τὸ ἄρθρον, ἢν μὴ ξυνεκτανύσωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον, πλὴν ἢν μὴ πάνυ ἄνω ἀείρωσι τὸν πόδα, οὕτω δ' ἂν δύναιντο. οὔτε τοίνυν οὐδὲ ξυγκάμπτειν δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτερον, ἢν μὴ συγ- C
κάμψωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἣν εἴρηκε κοινότητά τινα τῶν ἀπειργομένων τινὰς κινήσεις μορίων, οὐ δι' ἴδιον πάθος, ἀλλά τινα τῶν κοινωνούντων συμπάθειαν γιγνομένων, ἐντεῦθεν ἤρξατο διδάσκειν, ἐπὶ τῶν κατὰ φύσιν μυῶν, οὐδεὶς ἐκφύεται τοῦ μηροῦ, καίτοι πολλῶν ὄντων. ἔνιοι μὲν ἐκ τοῦ τῆς λαγόνος ὀστοῦ κατέρχονται, τινὲς δὲ, ἐξ ἰσχίου πεφύκασιν, εἷς δὲ μόνος ἐκ τοῦ τῆς ἥβης D
ὀστοῦ. διὰ τοῦτ' ἀναγκαῖόν ἐστι, συγκινεῖσθαι τὰς διαρθρώσεις ἀλλήλαις, ὥσπερ ἀρτίως ἐπὶ τῆς κατὰ τὸν πόδα, καὶ τὴν ἰγνύαν ἐδείχθη, συμπασχομένης ἅμα καὶ τῆς κατὰ τὸν βουβῶνα κοινωνίας αὐτῶν. ὥσπερ γὰρ ἐδείχθησαν οἱ κινοῦντες τὸ ὄπισθεν αὐτῶν ἥκοντες, ὡς ἔφην, ἐκπεφυκέναι τῶν κάτω περάτων τοῦ μηροῦ, κατὰ τὰς ῥίζας τῶν κονδύλων, οὕτω καὶ νῦν, αἱ τοῦ ποδὸς, εἰς τὴν κνήμην καθήκοντας, ἐκ τῶν εἰρημένων ἀρχῶν ἀναγκαῖόν ἐστι τείνεσθαι, τοὺς μὲν ὄπισθεν, ἐκτεινομένης τῆς ἰγνύος, τοὺς δὲ πρόσω, καμπτομένης. ὅταν οὖν ἐπὶ πλεῖον πεφύκασι, τείνονται, E
ἀντιτεταγμένοι αὐτοῖς, ἀντισπῶσί τι, καὶ οὐχ ἕπονται. λέγω δὲ ἀντιτεταγμένους τοὺς ἐκτείνοντας, τοῖς κάμπτουσι, τουτέστι τοὺς προσθίους, τοῖς ὄπισθεν, ἐπὶ δυοῖν μυοῖν, ὡς ἐπὶ παραδείγματος, ἕνεκα σαφηνείας τὸν λόγον ποιησάμενος, ἀρκεσθήσομαι. τοῖς γὰρ ἑωρακόσιν ἐν ταῖς ἀνατομαῖς, ἅπαντας τοὺς κατὰ σκέλη μύας, ἐκ τῶν εἰρημένων ἐστὶ καὶ περὶ τῶν ἄλλων ταῦτα λογίζεσθαι. τοῖς δ' οὐδ' ὅλως ἑωρακόσιν, οὐδ' ὁ περὶ τοῖν δυοῖν λόγος ἔσται σαφής. οὗτοι οὖν ἐκ τοῦ τῆς λαγόνος ὀστοῦ πεφυκότες, ὑποβαίνουσι καταφερόμενοι, F
πρότερον μὲν τὴν κατὰ τὸν βουβῶνα τοῦ μηροῦ διάρθρωσιν, εἶτα διελθόντες ὅλον τὸν μηρὸν, ἐφεξῆς δευτέραν, τὴν κατὰ γόνυ. φέρεται δὲ, ὁ μὲν ἕτερος αὐτῶν ὁ στενὸς, παρὰ τὸν ἔσω κόνδυλον τοῦ μηροῦ, ταπεινότερον αὐτοῦ, κἄπειτα ἀνανεύσας πάλιν ἐπὶ τὸ καλούμενον ἀντικνήμιον, εἰς τὴν ἐντὸς χώραν αὐτοῦ καταφύεται. ὁ δ' ἕτερος, ὁ μέγας, ἰσχυρότατον ἀποφύεται τένοντα πλατὺν, ἀναμιγνύμενον ἑτέρῳ τένοντι, τὴν ἀρχὴν ἐκ τοῦ μεγίστου μυὸς ἔχοντι, τοῦ

HIPPOCRATIS TEXTUS XCIX.

Illud etiam ignorare non oportet: utiliſſimum enim, & maximi momenti eſt, at pleroſque latet, quòd nec qui benè valent, extendere poplitis commiſſuram poſſunt, niſi ſimul extendant eam, quæ ad inguen, præterquàm, ubi pedem admodum attollunt: ſic enim poſſent. Hi ergo poplitis articulum curvare non ſimiliter poſſunt, ſed multò ægriùs, niſi inguinis quoque articulum curvent.

GALENI COMMENTARIUS.

Conjunctionem, quam poſuit in partibus quæ moveri aliquo modo prohibentur, non ſuo vitio, ſed earum, cum quibus conſortium habent, nunc docere incipit in muſculis qui naturaliter habent, quorum nullus initium ſumit à femore, quanquam multi ſunt. Nonnulli enim ab oſſe, quod ad ilia pertinet, oriuntur, nonnulli à coxa, unus tantùm ab oſſe, quod pubi ſubeſt. Hac igitur de cauſa commiſſuras moveri ſimul neceſſe eſt, ſicut nunc in pede, & poplite oſtenſum eſt, in quibus apparet etiam conſortium, quod cum inguine habent. Nam (ſicut demonſtratum eſt) quemadmodùm muſculi, qui poſteriorem ipſorum partem movent (ut dixi) in imo femore ad radices turberculorum incipiunt, ita, qui per priorem cruris partem feruntur, ex eodem imo femore dependent. Quare neceſſe eſt intendi poſteriores quidem, quùm poples extenditur: priores, quùm curvatur. Ubi ergo tendantur magis quàm eorum naturæ conveniat, oppoſiti renituntur, & minimè ſequuntur. Voco autem oppoſitos eos qui extendunt, iis, qui curvant, id eſt priores poſterioribus. Duobus autem muſculis, gratiâ exempli, contentus ero ad hujus loci explanationem, quùm qui in corporibus incidendis omnes cruris muſculos intuiti ſunt, ex his poſſint de reliquis facere conjecturam: aliis verò, qui nullo modo intuiti ſunt, neque ſermo de duobus clarus erit. Hi ergo orſi ab eo oſſe quod ad ilia pertinet, procedunt, primò quidem, per femoris commiſſuram, quæ ad inguen eſt; dein, ubi per femur tòtum ad alteram ejus commiſſuram quæ ad genu eſt, intenderunt, alter qui anguſtior eſt, fertur juxtà interius femoris tuberculum, quod humilius eſt; tum ſpectans in priorem tibiæ partem, cruri ex interiori parte innectitur: alter, qui magnus eſt, lateſcit degenerans in valentiſſimam chordam, quæ miſcetur cum altera chorda dependente à maximo ex muſculis prioris partis, qui à

culi in ſeipſos contracti agunt, oppoſiti non dolent, ſimul extenduntur naturaliter quidem in commiſſuris, quæ propoſitum conſortium habeant, præter naturam verò in illis, quæ deinceps adſcribentur; complures autem Medici decipiuntur, putantque eos muſculos affectos eſſe, quorum prohiberi actionem viderint: quod magis adhuc perſpicuum eſt in ſequentibus.

HIPPOCRATIS TEXTUS C.

Multa quoque alia in corpore inveniuntur, quæ ſimiliter germana ſunt: de nervorum item extenſione, muſculorum habitu multa etiam ſunt, & magis ſcitu digna, quàm quis exiſtimet: præterea de inteſtinis, ac ventre univerſo, de utero, qui huc atque illuc fertur, contrahiturque. Sed alibi de his verba faciemus germana his, quæ nunc traduntur: quod ad hunc locum attinet, & extendi crus non poteſt (ſicut jam dictum eſt) & brevius apparet duplici de cauſa, tum quod non extendatur, tum quod articulus in carnem clunis eruperit.

GALENI COMMENTARIUS.

Antea quoque diximus conſueſſe Hippocratem eas partes nominare germanas, quæ inter ſe conſortium & cognationem habent, quarum id caput eſt, quòd una parte vitiata, alterius actio, ſitus, habitus vel magnitudo læditur; communis horum omnium cauſa eſt in contrariam regionem extenſio. In ſitu exempli cauſa (ut ab evidentiſſimis ordiamur) multos vidimus, qui mederi aggrediuntur, quod non ritè didicerunt: & protinus, ubi aliqua pars contraheretur, & brevior fieret, priſtinumque ſitum penitus non ſervaret, ad eam ipſam remedia adhiberent, quamvis nullo vexaretur affectu, qui curatione indigeret. Itaque, ubi muſculi ab altera maxillæ parte reſolvantur, fit, ut altera brevior appareat, & quaſi contracta; ſed, quæ læſa eſt, eam ſequuta, extendi videatur; nam, quum muſculi omnes unam propriam habeant actionem, qua ſcilicet ad ſua initia contrahuntur, quando illi,

μένων ἠκολούθει, πάσχουσιν. ἐὰν οὖν ποτε τοῖς εἰς τὴν αὐτὴν σύνοδον ἐνεργοῦσι μυσὶ, οἱ ἀντιτεταγμένοι μὴ ὀδυνῶνται, συν-
C ἐκτείνεται, κατὰ φύσιν μὲν, ἐν ταῖς εἰρημέναις ἄρτι κοινωνίαις τῶν διαρθρώσεων, παρὰ φύσιν δ' ἐν ταῖς ἐφεξῆς εἰρησομέναις· πολλάκις τε συμβαίνει πολλοὺς τῶν ἰατρῶν ἀπατᾶσθαι, καὶ νομίζειν πεπονθέναι τοὺς μύας ἐκείνους, ὧν ὁρῶσι τὴν ἐνέργειαν ἐμποδιζομένην. ἔτι δ' ἐναργέστερον τοῦτο γνωσθήσεται διὰ τῶν ἐφεξῆς εἰρησομένων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρ'.

D Πολλὰ δὲ καὶ ἄλλα κατὰ τὸ σῶμα, τοιούτας ἀδελφίξιας ἔχει, καὶ κατὰ νεύρων ξυντάσιας, καὶ κατὰ μυῶν σχήματα, καὶ πλεῖστά τι, καὶ πλείστου ἄξια γινώσκεσθαι, ἢ ὅστις οἴεται, καὶ κατὰ τὴν τοῦ ἐντέρου φύσιν, καὶ τὴν τῆς ξυμπάσης κοιλίης, καὶ κατὰ τὰς τῶν ὑστερέων πλάνας καὶ ξυντάσιας. ἀλλὰ περὶ μὲν τούτων ἑτέρωθι λόγος ἔσται, ἠδελφισμένος τοῖσι νῦν λεγομένοισι. περὶ οὗ δὲ ὁ λόγος ἐστὶν, ὅτι ἐκτανύειν δυνάται, ὥσπερ ἤδη εἴρηται, βραχύτερόν τε τὸ σκέλος φαίνεται διὰ δισσὰς προφάσιας, ὅτι τε οὐκ ἐκτανύεται, ὅτι τε πρὸς τὴν σάρκα ὠλίσθηκε τὸ τοῦ πυγαίου.

E

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηταί μοι καὶ πρόσθεν, ὡς τὰς κοινωνίας, καὶ τὰς συμπαθείας τῶν μορίων, ἀδελφίξιας εἴωθεν ὀνομάζειν, ὥσπερ καὶ ἀδελφότητας εἰπεῖν. ἔστι δὲ αὐτῶν τὸ κεφάλαιον, ἑτέρου μορίου πεπονθότος, ἐν ἄλλῳ φαίνεσθαι τὴν βλάβην, ἤτοι τῆς ἐνεργείας, ἢ τῆς θέσεως, ἢ τοῦ σχήματος, ἢ τοῦ μεγέθους· κοινὴ δὲ ἐπὶ πάντων αἰτία, τάσις εἰς τὸν ἀντικείμενον τόπον· οἷον ἐκ θέσεως, ἵν' ἀπὸ τῶν προφανεστάτων ἀρξώμεθα, πολλοὺς τῶν ἐπιτηδευόντων τὴν τέχνην, χωρὶς τοῦ νομίμως αὐτὴν ἐκμαθεῖν, ἐθεασάμην ἐξαίφνης συ-
F σταθέντος τινὸς μορίου, καὶ τὸ μέγεθος βραχύ τι φαινομένου, καὶ τὴν ἀρχαίαν θέσιν οὐκ ἀκριβῶς φυλάττοντος, αὐτῷ τούτῳ τῷ μορίῳ προσφέροντας τὰ βοηθήματα, καίτοι μηδεμίαν ἔχοντι διάθεσιν, ἰάσεως δεομένην. παραλυθέντων γοῦν τῶν κατὰ τὴν ἑτέραν γνάθον μυῶν, συμβαίνει τὴν μὲν ἀντικειμένην αὐτῇ, βραχυτέραν φαίνεσθαι, καὶ οἷον συνεσπασμένην, τὴν πεπονθυῖαν, δι' αὐτὴν ἐκτείνεσθαι, συνεπομένην ἐκείνῃ. διὰ γὰρ τὸ τοὺς μύας ἅπαντας οἰκείαν ἔχειν μίαν ἐνέργειαν, ἐπὶ τὰς ἰδίας κε-

ὅλως ἀδύνατοι συνεπεκτείνεσθαι τοῖς ἀντιτεταγμένοις ἐνεργοῦσι. πολλὰ δὲ τοιαῦτα φαίνεται γινόμενα, κατὰ δὲ τοὺς δακτύλους τῆς χειρὸς, καὶ κατ' ἀγκῶνα, καὶ ἰγνύαν, ἀγκυλουμένων μὲν αὐτῶν, ἐπὶ τοῖς τῶν ἔνδον μυῶν, ἢ τενόντων πάθεσιν· ὀρθοκώλων δὲ γινομένων, ἐπὶ τοῖς τῶν ἐκτός, οὕτω γὰρ ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς, ὅταν ἐκτεταμένον τι μὴ δυνάμενον κάμπτεσθαι. ὅμοιον δὲ τούτῳ συμβαίνειν εἴωθεν, ἐπὶ τῶν μεγάλαις τε, καὶ σκληραῖς οὐλαῖς· καὶ γὰρ καὶ αὗται, κατὰ μὲν τὴν ἔνδον χώραν γινόμεναι, κυλλοῦσι τὸ μέρος, κατὰ δὲ τὴν ἔξω, τὸ καλούμενον, ὡς ἔφην, ὀρθόκωλον ἐργάζονται, καὶ διὰ ξηρότητα, καὶ διὰ πλήρεις δὲ χυμῶν ἐπιρροὰς, ἢ φυσώδους πνεύματος, ταὐτὸ συμβαίνειν εἴωθε. συναγομένων γὰρ εἰς ἑαυτὰ τῶν οὕτω πεπονθότων μορίων, ἀκόλουθόν ἐστι τοῖς ἀντιτεταγμένοις μύας ἀδυνάτους ἐνεργεῖν, ἀντισπώντων τὰ μόρια τῶν συντεταμένων· οὕτως δὲ καὶ οἱ σπασμοὶ γίνονται, τῶν τε μυῶν αὐτῶν ἑλκομένων ἐπὶ τὴν ἰδίαν ἀρχὴν, αὐτῶν πρότερον, καὶ μάλιστα καὶ δι' αὖθις, τῶν μορίων εἰς ἃ καθήκουσιν. οὕτω καὶ ἡ μήτρα, ποτὲ μὲν ἄνω χωρεῖ, ποτὲ δὲ εἰς τὰ πλάγια μέρη καθίσταται, οὐκ αὐτὴ κατ' ἰδίαν ἐνέργειαν ἀποχωροῦσα τῆς οἰκείας χώρας, ἀλλ' ὑφ' ἑτέρων ἑλκομένη. τὰ δὲ ἕλκοντα πολλά· καὶ γὰρ ἀρτήματα, καὶ νεῦρα, καὶ ἀρτηρίαι, καὶ φλέβες, αἳ εἰς αὐτὴν καθήκουσαι, τοῦτο ποιεῖν πεφύκασιν, ὅταν εἰς ὄγκον ἀρθῶσι, τοῦ μήκους ἀφαιροῦσι τοσοῦτον, ὅσον εἰς εὖρος ἐπιδιδόασι. κοινὸν γὰρ τοῦτον πάντων ἐστὶ, τῶν ἐκτάσεις τε, καὶ συστολὰς ἐχόντων σωμάτων, οὐ τῶν ζώντων μόνον, ἀλλὰ καὶ τῶν ἀψύχων, οἷον ἀσκῶν τε, καὶ θυλάκων, καὶ πλεκτάνων. ἥ τε οὖν μήτρα, κατὰ τοιαύτην αἰτίαν, ἀνασπᾶταί τε, καὶ κατασπᾶται, καὶ τῶν ἐντέρων ἔνια, καὶ μύες πολλοὶ, καὶ δι' αὖθις τά τε κῶλα, καὶ αἱ γένυες. ἀνάλογον δέ τι τούτῳ κἀπὶ τῶν τῆς ῥάχεως παθῶν ἔμπροσθεν ἐδείκνυτο, κυφώσεώς τε, καὶ λορδώσεως, καὶ σκολιώσεως.

[illegible] B agunt, extendi. Multa quoque ſimilia evenire conſtat, in digitis manus, cubito, poplite, cùm contrahuntur propter vitia muſculorum, & chordarum interiorum; ſed ubi extenduntur, Græci ὀρθοκώλους dicunt: ita enim appellare Medici ſolent articulos, qui extenſi ſunt, & curvari non poſſunt. Hujuſmodi quid accidit cicatricibus magnis, ac duris, quæ quùm ab interiori parte ſunt, articulum contrahunt, quùm ab exteriori (ut dixi) ſic extendunt, ut curvari non poſſit: quod ob ſiccitatem, & ob ingentem humorum, vel ſpiritus inflantis concurſum C evenire etiam ſolet, nam quùm partes, quæ ſic affectæ ſunt, in ſeipſas contrahuntur, ſequitur ut oppoſiti muſculi agere nequeant, quùm qui contrahuntur, partes in contrarium avellant. Sic nervorum diſtenſiones fiunt, quùm ipſi muſculi primò, ac præcipuè ſeipſos, deinde partes ad quas perveniunt, ad ſuum initium contrahunt. Sic & uterus interdum ſurſum fertur, nonnunquam in latus convertitur: non quòd ipſe ſua actione naturalem ſedem relinquat; ſed quòd ab alio trahatur; multa verò D ſunt, quæ attrahunt: nam & ea quibus appenditur, & nervi, & arteriæ, & venæ quæ cum eo junguntur, efficere id poſſunt, ubi in tumorem aſſurgentes eatenus breviores fiunt, quatenus in latitudinem augentur: namque hoc commune eſt corporum omnium quæ extenduntur, contrahunturque non modò animalium, ſed eorum quæ inanima ſunt, cujuſmodi ſunt utres, ſacculi, calathi. Uterus igitur hac de cauſa ſurſum, ac deorſum fertur: & quædam inteſtina, muſculique complures, ac propterea membra E & maxilla. Simile quid ſuprà oſtenſum eſt in ſpina, ubi gibba, cava, vel obliqua redditur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρα'.

Ἡ γὰρ φύσις τοῦ ἰσχίου τοῦ ὀστέου ταύτῃ, ᾗ καὶ ἡ κεφαλὴ καὶ ὁ αὐχὴν τοῦ μηροῦ ἐστὶ, ὅταν δὲ ἐξαρθρήσῃ, καταφερής τε πέφυκεν ἐπὶ τῶν πυγαίων τὸ ἔξω μέρος, ξυγκάμπτειν μέν τοι δύνανται, ὅταν μὴ ὀδύνη κωλύοι.

HIPPOCRATIS TEXTUS CI.

Est enim hac natura oſſis coxæ, ubi & caput, & cervix femoris recipitur, quòd quùm hoc luxatum in exteriorem partem natium declive fertur, curvare quidem homo crus poteſt, ſi dolore non prohibeatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ. F

Φύσις ὀστοῦ λεπτὴν κατὰ τὸ ἰσχίον, ἐν ᾧ καὶ ἡ κοτύλη· πρόδηλον γὰρ, ὅτι τὴν ὀπίσω τῆς τοῦ μηροῦ κεφαλῆς μετάστασιν, ἐπὶ τὴν ὀπίσω χώραν ὀχεῖσθαι τῆς κοτύλης, ἀναγκαῖόν ἐστι, ὡς εἶναι μεταξὺ τῆς κοιλότητος, καὶ τῆς τοῦ μηροῦ κεφαλῆς, τὸ περιλαμβάνειν ἐκ τῶν ὀπίσω μερῶν ὀστοῦ τὴν κοτύλην. ἔστι δὲ τοῦτο τὸ μέρος αὐτὸ τοῦ ἰσχίου· καὶ νῦν ἐπιμέμνηται τῷ λόγῳ καταφερής, φησί, πέφυκεν αὐτὸ πρὸς τὸ ἔξω μέρος τῶν πυγαίων. πρόδηλον οὖν ἐστι τοῖς ἑωρακόσιν,

GALENI COMMENTARIUS.

Tenuis eſt natura oſſis coxæ, in quo cavum continetur; patet autem, quùm femoris caput in poſteriorem partem prorumpit, ab ea parte quæ poſt cavum eſt, ſuſtineri, ut inter cavum, & femoris caput id os ſit, quod à poſteriori parte cavum complectitur: hoc quidem eſt pars coxæ, cujus nunc meminit, cùm ait: in exteriorem partem natium declive fertur. Manifeſtum eſt autem iis qui viderint

[illegible] magnum illum, quo, ut retuli, recipitur femoris caput. Procedente tempore, quùm muſculus hic ab inflammatione ſolvitur, contrahitque humorem quendam glutinoſum, pars ejus quæ articulum contingit, occaleſcit, & poples citra dolorem extenditur: ad quam rem faciunt & alia quæ priùs propoſita ſunt de cruris muſculis.

[illegible] ἐν ᾧ τὴν κεφαλὴν ἔφην ἐστηρίχθαι τοῦ μηροῦ. τοῦ χρόνου μὲν τούτου προϊόντος, ὅταν ἤδη φλεγμονῆς παύσηται τοῦτο τοῦ μυὸς, ὑγρότητά τινα ἴσχει γλίσχραν, καὶ τύλον ἐν ἑαυτῷ κτήσηται τὸ ψαῦον τοῦ ἄρθρου μέρος μυὸς, ἀνώδυνος ἡ κατ' ἰγνύαν γίνεται καμπή. συντελεῖ δὲ εἰς τοῦτο, καὶ τὰ ἄλλα τὰ προειρημένα περὶ τῶν κατὰ τὸ σκέλος μυῶν.

C

HIPPOCRATIS TEXTUS CII.

TVm crus & pes modicè recta ſe oſtendunt, neque multum in hanc vel illam partem inclinata.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρβʹ.

Καὶ ἡ κνήμη τε, καὶ ὁ πούς, ὀρθὰ ἐπιεικέως φαίνονται, καὶ οὔτε τῇ, οὔτε τῇ, πολὺ ἐγκεκλιμένα.

GALENI COMMENTARIUS.

D

HIppocrates modicè ἐπιεικέως dixit, quo verbo ſignificari, neque perfectè, aut omnino vehementer, neque ex toto; ſed mediocriter, ex ipſius verbis colligitur: ipſe enim ſubjungens, neque multum in hanc vel illam partem inclinata, apertè demonſtrat, quùm adſcripſerit multum id cruri accidere: ut non multum, ſed ut parum pervertatur, depraveturque; atque ob eam rem dixit: tum crus & pes modicè recta ſe oſtendunt, quaſi dixerit has partes apparere mediocriter rectas.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μήτε τελείως, καὶ πάνυ σφοδρῶς, μήτε παντελῶς, ἐκ τῆς ἐπιεικῶς δηλοῦται φωνῆς, ἀλλὰ τὸ μετρίως εὔδηλόν ἐστι κατ' αὐτῆς τῆς λέξεως. αὐτὸς γὰρ ἐφεξῆς ὁ Ἱπποκράτης εἶπε, καὶ οὔτε τῇ, οὔτε τῇ, πολὺ ἐγκεκλιμένα σαφῶς ἐνδεικνύμενος δι' αὐτοῦ προσγράψαι τὸ πολὺ μὴ πεπονθέναι τὸ σκέλος, τὸ δ' ἐπ' ὀλίγον ἐκτετράφθαι τε, καὶ διεστράφθαι, πεπονθέναι. διὰ τοῦτ' οὖν ἔφη, καὶ ἡ κνήμη τε, καὶ ὁ πούς, ὀρθὰ ἐπιεικῶς φαίνεσθαι, ὡς εἰ καὶ μετρίως ὀρθὰ φαίνεσθαι τὰ μόρια ταῦτ' εἰρήκει.

E

HIPPOCRATIS TEXTUS CIII.

PRætereà in inguine caro mollior ſentitur, præſertim ſi tangatur, utpote quum articulus in alteram partem exciderit: ſed in natibus, ſi tangatur femoris caput, videtur magis prominere. His ergo notis indicatur femoris caput in poſteriorem partem procidiſſe. Cui autem ætate jam robuſtâ prolapſum, reſtitutum non fuerit, ambulare quidem poteſt, quum tempus proceſſit, & dolor ceſſavit, atque articulus volvi in carne conſuevit: cogitur tamen, dum ambulat, vehementer ad inguina curvari, idque duplici de cauſa, quia ob ea quæ propoſita ſunt, crus multo brevius redditur, & multùm calx abeſt, ut terram contingat: nam ſi vel paulùm tentet eo pede ſuſtineri, nulli alteri rei innixus, cadet utique in partem poſteriorem. coxæ enim, quum magis in poſteriorem partem, quàm pedum baſis, excedant, in eam

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ργʹ.

Κατὰ δὲ τὸν βουβῶνα, δοκέει τε ἡ σὰρξ λαπαρωτέρη εἶναι ἁπτομένη, καὶ ψαυομένη, ἅτε τοῦ ἄρθρου εἰς τὰ ἐπὶ θάτερα μέρη ὠλισθηκότος, κατὰ δὲ τὸν αὐτὸν πυγαῖον, διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ, δοκέει τι ἐξογκέειν καὶ μᾶλλον. τὰ μὲν οὖν σημεῖα ταῦτα, ᾧ ἂν ἐς τὸ ὄπισθεν ἐκπεπτώκῃ ὁ μηρός. ὅτῳ μὲν οὖν ἤδη ἠνδρωμένῳ ἤδη ἐκπεσὸν, μὴ ἐμπέσῃ, ὁδοιπορέειν
F
μὲν δύναται, ὅταν ὁ χρόνος ἐγγένηται, καὶ ἡ ὀδύνη παύσηται, καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ ἐνστροφᾶσθαι. ἀναγκάζεται μέντοι ἰσχυρῶς ξυγκάμπτειν κατὰ τοὺς βουβῶνας ὁδοιπορέων, διὰ δισσὰς προφάσιας, ἅμα μὲν, ὅτι πολλῷ βραχύτερον τὸ σκέλος γίνεται διὰ τὰ προειρημένα, καὶ τῇ μὲν πτέρνῃ, καὶ πάνυ πολλοῦ δέεται ψαύειν τῆς γῆς. ἢν γὰρ πειρᾶται καὶ ἐπ' ὀλίγον τοῦ ποδὸς ὀχηθῆναι, μηδενὶ ἄλλῳ ἀντιστηριζόμενος, ἐς τὸ ὀπίσω ἂν πίπτοι. ἡ γὰρ ῥοπὴ πολλὴ ἂν εἴη, τῶν ἰσχίων ἐπὶ πολὺ ἐς

…ται τὸ σῶμα ὀχέεσθαι ἐπὶ τοῦ σιναροῦ σκέλεος, εἰ μὴ προσκαταπηρείδοιντο τὸ σιναρὸν πρὸς τὴν γῆν ὑπὸ τῆς χειρός, ἅτε οὐχ ὑφεστῶτος τοῦ ἄρθρου ὑπὸ τῷ σώματι, ἀλλ' ἐς τὸ ὄπισθεν ἐξεστεῶτος κατὰ τὸ ἰσχίον. αὐτοὶ μέντοι ἄνευ ξύλου, δύνανται ὁδοιπορέειν οἱ τοιοῦτοι, ἢν ἄλλως ἐθισθῶσιν. διὰ τοῦτο, ὅτι ἡ βάσις τοῦ ποδὸς, κατὰ τὴν ἀρχαίην ἰθυωρίην ἐστὶν, ἀλλ' οὐκ εἰς τὸ ἔξω ἐγκεκλιμένη, διὰ τοῦτο οὖν οὐδὲν δέονται τῆς ἀντικοντώσιος. ὅσοι μέντοι βούλονται, ἀντὶ τῆς τοῦ μηροῦ ἐπιλαβῆς, ὑπὸ τὴν μασχάλην τὴν κατὰ τὸ σιναρὸν σκέλος ὑποτιθέμενοι σκίπωνα ἀντηρείδειν, κεῖνοι, ἢν μὲν μακρότερον τὸν σκίπωνα ὑποτιθέοιντο, ὀρθότεροι μὲν ὁδοιπορήσουσι, τῷ δὲ ποδὶ, πρὸς τὴν γῆν οὐκ ἐρείδονται. εἰ δ' αὖ βούλονται ἐρείδεσθαι τῷ ποδὶ, βραχύτερον μὲν τὸ ξύλον ποιητέον, κατὰ δὲ τοὺς βουβῶνας ἐπιξυγκάμπτεσθαι ἂν δέοι αὐτούς. τῶν δὲ σαρκῶν αἱ μινυθήσιες κατὰ λόγον γίνονται καὶ ἐν τούτοισιν, ὥσπερ καὶ πρόσθεν εἴρηται, τοῖσι μὲν γὰρ μετέωρον ἔχουσι τὸ σκέλος, οὐκ ὠφελέεται, ἀλλὰ μᾶλλον καὶ ἀσχημονέστερον γίνεται, ἢν χρέωνται τῷ σιναρῷ σκέλει ἐπὶ τὴν γῆν. συνυπουργέον γὰρ ἐκείνῳ, ἐξ ἀνάγκης τι ἐπαναγκάζεται ἐς [illegible], καὶ κατὰ τὴν ἰγνύην ξυγκάμπτειν. ἢν δὲ μὴ προσχρέωνται τῷ σιναρῷ ἐπὶ τὴν γῆν, ἀλλὰ μετέωρον ἔχων, σκίπωνι ἀντηρείδηται, οὕτω δὲ κρατερὸν γίνεται τὸ ὑγιὲς σκέλος. ἔν τε γὰρ τῇ φύσει διαιτᾶται, καὶ τὰ γυμνάσια προσκρατύνει αὐτό. φαίη μὲν οὖν ἄν τις ἔξω ἰατρικῆς τὰ τοιαῦτα εἶναι· τί γὰρ δὴ δεῖ περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων ἔτι προσξυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν. τῆς γὰρ αὐτῆς γνώμης, καὶ ταῦτα ξυνιέναι· οὐ γὰρ οἷόν τε ἀπαλλοτριωθῆναι ἀπ' ἀλλήλων. δεῖ μὲν γὰρ τὰ ἀκεστὰ μηχανᾶσθαι ὅκως μὴ ἀνήκεστα ἐστὶ, ξυνιέντα ὅπῃ ἂν μάλιστα κωλυτέα εἰς τὸ ἀνήκεστον ἐλθεῖν· δεῖ δὲ καὶ τὰ ἀνήκεστα ξυνιέναι, ὡς μὴ μάλιστα λυμαίνηται. τὰ δὲ προῤῥήματα, λαμπρὰ καὶ ἀγωνιστικὰ, ἀπὸ τοῦ διαγινώσκειν, ὅπῃ ἕκαστον, καὶ οἵως, καὶ ὁπότε τελευτήσει, ἤν τε εἰς τὸ ἀκεστὸν τράπηται, ἤν τε εἰς τὸ ἀνήκεστον. ὁκόσοισι δ' αὖ ἐκ γενεῆς, ἢ ἄλλως, ἐν αὐξήσει ἐοῦσιν, οὕτως ὀλισθῇ τὸ ἄρθρον ὀπίσω, καὶ μὴ ἐμπέσῃ, ἤν τε βίῃ ὀλισθῇ ἤν τε ὑπὸ νόσου· πολλὰ γὰρ τοιαῦτα ἐξαρθρήματα γίνεται ἐν νούσοισιν. οἷαι δέ τινες εἰσὶν αἱ νοῦσοι, ἐν ᾗσιν ἐξαρθρέεται τὰ τοιαῦτα, ὕστερον γεγράψεται. ἢν οὖν ἐκστὰν μὴ ἐμπέσῃ, τοῦ μὲν μηροῦ τὸ ὀστέον, βραχὺ γίνεται. κακοῦται δὲ πᾶν τὸ σκέλος, καὶ ἀναυξέστερον γίνεται, καὶ ἀσαρκότερον πολλῷ, διὰ τὸ μηδὲν προσχρέεσθαι αὐτῷ.

partem ad coxam prominet: ambulare tamen offenſus ſine baculo poteſt, ſi alioquin aſſueverit, propterea quod baſis pedis è regione priſtina ſpectat, neque in exteriorem partem convertitur. Idcirco igitur nihil egent baculo, quod renitatur, quicunque velint femur non amplius comprehendere: ſed invicem baculo inniti, quod alæ ab affecto latere ſubjiciatur: quod ſi longius baculum admoveant, magis erecti ambulant, pes tamen terræ non innititur: ſi inniti velint, brevius admoveant, coguntur autem ad inguina curvari. Emacreſcit etiam iis caro pro ratione, quemadmodum antea diximus: nam quibus ſuſpenditur crus, minimeque laborat, maxime extenuatur: ſed, quum in ingreſſu uſui admodum eſt, minime gracile fit; integrum tamen crus non juvatur, ſed potius deformius redditur, ſi vitiato utantur terræ innixi: nam, dum ſanum vitiato ſubſervit, coxam & poplitem curvari neceſſe eſt: quod ſi vitiatum crus terram non contingat; ſed ſuſpenſum ſit, & homo baculo innitatur, hoc pacto integrum robuſtius reddetur, quum naturaliter habeat, & exercitatione magis firmetur. At dicet quis, hæc præter medicinam eſſe: nam quid ultra ſcire nobis convenit de iis, quæ curationem non admittunt? convenit tamen ſummopere: intelligenda enim hæc ſunt ab eodem profeſſore, quum tanquam aliena ſejungi nequeant: ſiquidem tractare debemus, quæ curationem recipiunt, ne inſanabilia evadant, intelligentes qua potiſſimum ratione occurramus quominus inſanabilia efficiantur: illa vero in quibus medicinæ locus non eſt, dignoſcenda ſunt, ne maxime noxia reddantur. Præclara autem & ardua prædictio in eo conſiſtit, ut intelligamus, quo, qualiter & quando ſingula terminentur: ac ſive in ea mala vertantur, in quibus remedio futurus locus ſit, ſive evadere in inſanabilia debeant. Cætera quibus, vel à primo natali die, vel alioquin, dum increſcunt, articulus ſimiliter in poſteriorem partem excidit, neque reconditus fuit, ſeu vi, ſeu morbo exciderit (multis propter morbos ſic articuli luxantur, cujuſmodi vero ſint hi morbi poſthac judicabimus) ſi prolapſus, inquam, reverſus non eſt, femoris os breve efficitur: vitiatur item crus univerſum, minuſque increſcit, & gracilius redditur, quum nulli uſui ſit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηται καὶ πρόσθεν, ὅτι τῇ ποτὶ φωνῇ χρῆται ὁ Ἱπποκράτης, ὅταν αὐξῆσαί ποτε βουληθῇ τὸ λεγόμενον. ἔστι γὰρ ὁ λόγος τοιόσδε· κατὰ βουβῶνα δοκεῖ τι ἡ σὰρξ λαπαρωτέρα θεωμένοις, καὶ πολὺ μᾶλλον, εἰ ψαύσειέ τις τῇ χειρί. τὰ δ' ἐφεξῆς ἅπαντα, τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων, ἐστὶ δῆλα.

GALENI COMMENTARIUS.

PRæſertim ποτὶ dixit, quam vocem in ſuperioribus etiam retuli ab Hippocrate uſurpari, ubi intendere velit, quod proponitur; eſt autem oratio talis: in inguine caro mollior ſentitur, ſi aſpiciatur, & multo magis ſi locus tangatur. Quæ ſequuntur omnia patent iis, qui in memoria habeant, quæ ante poſita ſunt.

ynou au oſſa pertinet. Hujuſmodi ergo homines, quum ætate jam robuſta ſunt, ſuſpenſum, curvatumque crus tenent, ſed altero feruntur baculo innixi uno, vel etiam altero.

C

GALENI COMMENTARIUS.

EVidentiſſimum eſt Hippocratem dixiſſe coxam excidere, pro coxæ articulo; ſæpè enim narravimus Majores noſtros nondum tenuiſſe exquiſitam, tenuemque nominum rationem, in qua poſteriores exercentur; ſed ſat exiſtimaſſe in iis quæ explicabant, eo tantùm incumbere, ut quæ dicerent, ab auditore intelligerentur; quòd inquit igitur, hujuſmodi eſt: Quibus femur in poſteriorem partem prorupit, D vitiatur non ſolum articulus luxatus; ſed & qui ad poplitem eſt; propterea & conjunctionem adjunxit, neque ſimpliciter dixit, vitiatur articulus, qui ad poplitem eſt; quo autem vitio occupetur, ipſe apertè expoſuit, quum ait: nervi intenduntur; ſed nervos-ne intellexerit eos, qui propriè nervi ſunt, quique à ſpinæ medulla oriuntur, vel in quas muſculi degenerant chordas, quæ ad crus pertinent, in hoc loco nihil intereſt, quùm utraque fidem facere poſſint rectè à nobis expoſita fuiſſe, quæ ab Hippocrate dicta ſunt, ubi aſſerit non poſſe poplitem extendi, quibus hoc modo femur E promovetur. Quandam præterea communem rationem adjecit, nempe partes aliquas variè lædi, quod ■ habitum pertinet, magnitudinem, poſitionem, ac motum, quamvis ipſæ nullo proprio morbo lædantur; ſed à quibuſdam aliis efficiantur, quibuſcum conſortium habent. Intenſionem vero in hujuſmodi affectibus præcipuè cauſatur, quam perſecutus tribus modis indicat: uno quum muſculus aliquis reſolvitur; tunc enim, qui integer eſt, contrahi videtur: altero quùm oppoſitus tenditur: F tertiò, ubi quod integrum eſt, trahitur ab aliquo eorum, cum quibus conjungitur, ſic ut accidit, quum uterus movetur. Nunc ergo quum poſteriores nervi, muſculi & chordæ tendantur, curvatus poples extendentibus muſculis non patet. Cæterum de chordarum, muſculorumque extenſione antea dictum eſt: nunc de nervis, qui à medulla ſpinæ orti ad crura intenduntur; quorum initia tria ſunt, unum à priori parte juxta magnum foramen oſſis, quod

ἀναυξὲς γίνεται, καὶ ἡ ἀπὸ τῶν ὀστέων φύσις, καὶ ἡ ἀπὸ τῶν σαρκῶν. οἱ δὲ τοιοῦτοι, ὁκόταν ἀνδρωθῶσι, μετέωρον, καὶ συγκεκλιμένον τὸ σκέλος ἴσχουσιν, ἐπὶ δὲ τοῦ ἑτέρου ὀχέονται, καὶ τῷ ξύλῳ ἀντιστηριζόμενοι, οἱ μὲν ἑνὶ, οἱ δὲ δυσίν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΗλον ὅτι μὲν ἰσχίον εἴρηκεν ἐκπίπτειν, ἀντὶ τοῦ κατ᾽ ἰσχίον ἄρθρου. εἴρηται γὰρ ἡμῖν πολλάκις, ὡς οἱ παλαιοὶ πάντες οὔπω τὴν ὕστερον ἀσκηθεῖσαν εἶδον ἀκριβολογίαν τε, καὶ λεπτολογίαν ἐν τοῖς ὀνόμασιν, ἀλλ᾽ ἱκανὸν ἦν αὐτοῖς, ἑρμηνεύειν, ὡς μόνου στοχαζομένοις, τοῦ παρακολουθεῖν τοῖς λεγομένοις, τοὺς ἀκούοντας. ὃ δὴ οὖν λέγει, τοιόνδε ἐστὶν, οἷς ἂν εἰς τὴν ὀπίσω χώραν ὁ μηρὸς ἐκπέσῃ κακοῦσθαί φησιν, οὐ μόνον ἐκεῖνο τὸ ἐκπεσὸν ἄρθρον, ἀλλὰ πρὸς αὐτῷ, καὶ τὸ κατὰ τὴν ἰγνύην. διὰ τοῦτο οὖν, προσέθηκε τὸ, καὶ, σύνδεσμον, οὐχ ἁπλῶς εἰπὼν, κακοῦται γὰρ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. ἣν δέ τινα τὴν κάκωσιν κακοῦται, σαφῶς αὐτὸς ἐδήλωσεν εἰπὼν, τὰ γὰρ νεῦρα ἐντεταμένα γίνεται. νεῦρα δὴ, εἴτε κυρίως τὰ λεγόμενα, τὰ ἐκ νωτιαίου πεφυκότα, νῦν ἐβουλήθη δηλοῦν, εἴτε τὰς ἀπονευρώσεις τῶν μυῶν, ὅσαι καθήκουσιν εἰς τὴν κνήμην, οὐδὲν εἰς τὰ παρόντα διαφέρει. μαρτύρια γὰρ ἡμῖν ἑκάτερα, καλῶς ἐξηγουμένοις τὰ εἰρημένα κατὰ τὸν ἔμπροσθεν ὑπ᾽ αὐτοῦ λόγον, ἐν οἷς ἔφασκε, κατὰ τὴν ἰγνύαν ἄρθρον ἀδυνατεῖν ἐκτείνειν, οἷσιν οὕτως ἐξήρθρησε μηρός, ὅτι τε κοινόν τινα προσεπιτίθησι λόγον, ὡς πολλαὶ βλάβαι περί τινα μόρια γίνονται, σχημάτων, καὶ μεγεθῶν, καὶ θέσεων, καὶ κινήσεων, οὐδὲν αὐτῶν ἐκείνων τῶν μορίων, ἴδιον πάθος πεπονθότων, ἀλλὰ δι᾽ ἕτερά τινα τῶν κοινωνούντων αὐτοῖς. καὶ μάλιστά γε τὰς τάσεις, αἰτιώμεναί φησι τῆς τοιούτων συμπαθείας, ὑφ᾽ ὧν ἐδήλωσεν, δηλονότι ὡς τριχῶς αἴτια γίνεται. καθ᾽ ἕνα μὲν λόγον, ὅταν παραλυθῇ τις μῦς, ὁ γὰρ ὑγιὴς τις συνεσπασμένος φαίνεται, καθ᾽ ἕτερον δὴ ὅταν ὁ ἀντικείμενος ταθῇ, κατ᾽ ἄλλον δὲ τρίτον, ὅταν ἕλκηται τὸ ὑγιὲς, ὑπό τινος τῶν συνεχῶν, ὡς ἐπὶ τῶν τῆς ὑστέρας μεταστάσεως. νῦν οὖν τῶν ὄπισθεν νεύρων, καὶ μυῶν, καὶ τενόντων τεταμένων, ἰγνύα καμφθεῖσα, τοῖς ἐκτείνουσιν οὐχ ἕπεται μυσί. περὶ μὲν οὖν τῶν τενόντων τε, καὶ μυῶν, τῆς τάσεως ἔμπροσθεν εἰπὼν, ἐν δὲ τῷδε τῷ λόγῳ, περὶ τῶν νεύρων τῶν ἀπὸ τοῦ νωτιαίου πεφυκότων ἐπὶ τὰ σκέλη. τρεῖς δέ εἰσιν αὐτῶν ἀρχαὶ, μία μὲν ἐν τοῖς πρόσθεν, κατὰ τὸ μέγα τρῆμα τοῦ τῆς

τὸν Ἱπποκράτην, καὶ τὰ κυρίως καλούμενα νεῦρα τένοντας λέγειν.

ΓΕΡΙ ΠΛΕΥΡΩΝ ΚΑΤΗΞΙΟΣ
ἐς τοὔμπροσθεν ἐκπτώσεως.

ΙΓΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρε΄.

Οἷσι δ' αὖ ἐς τοὔμπροσθεν ἡ κεφαλὴ μηροῦ ἐκπίπτει, ὀλίγοισι δὲ τοῦτο γίνεται, οὗτοι ἐκτανύειν μὲν τὸ σκέλος δύνανται τελέως, ξυγκάμπτειν δὲ ἥκιστα οὗτοι δύνανται τὰ κατὰ τὸν βουβῶνα. πονέουσι δὲ, καὶ ἢν κατὰ τὴν ἰγνύην ἀναγκάζωνται ξυγκάμπτειν. μῆκος δὲ τοῦ σκέλεος, παραπλήσιον φαίνεται, κατὰ μὲν τὴν πτέρνην καὶ πάνυ.

ΥΓΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν τὸ βάθος τῆς κοτύλης, οὐκ ἴσον ἐν ἅπασι τοῖς μέρεσιν, αἴτιον μέν ἐστι τοῦ κατὰ τινὰ μὲν ὀλιγάκις ἐκπίπτειν, ἐν ἄλλοις δὲ τόποις, πλειστάκις, ἔμπροσθεν εἴρηται· νυνὶ δὲ, περὶ τῆς εἰς τὸ πρόσω γενομένης ὀλισθήσεως τοῦ μηροῦ διαλεγόμενος, ἐναντία φησὶ πάσχειν τοὺς οὕτω διακειμένους, τοῖς ὀπίσω τὴν ἐξάρθρησιν ἐσχηκόσι. ἐκεῖνοι μὲν γὰρ, ἐκτανύειν τὸ σκέλος οὐκ ἠδύναντο, κάμπτειν δ' οὕτι κατὰ μὲν τὸν βουβῶνα. διότι κατ' αὐτὴν τὴν καμπὴν ἡ κεφαλὴ τοῦ μηροῦ, νῦν ἐστιν ἅμα τῷ αὐχένι. κατὰ δὲ τὸ γόνυ, διὰ τὸν ἀπὸ τοῦ τοῦ λαγόνος ὀστοῦ καταφερόμενον μῦν πρόσθιον, ὃν ἡ κεφαλὴ τοῦ μηροῦ θλίβεσθαι, καὶ διατείνεσθαι κυρτοῦσα περὶ αὐτήν. ἐκτείνεσθαι τοιγαροῦν ἐπὶ πλεῖον οὐκ ἄρα δυνάμενον, ἀντιβαίνει τοῖς κάμπτειν ἐπιχειροῦσι τὴν ἰγνύαν. μῆκος δὲ σκέλεος, παραπλησίως φαίνεται, ἐπὶ μὲν τῆς εἰς τὴν ἔσω χώραν ἐκπτώσεως, αὐτὸς εἶπε κατὰ λέξιν οὕτως, ἐπεί τε γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου, πέφυκεν ὀστοῦν τὸ ἀναφερόμενον πρὸς τὸν κτένα, ἐπὶ τοῦτον ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ γίνεται, καὶ ὁ αὐχὴν τοῦ ἄρθρου, ἐπὶ τῆς κοτύλης ὀχέεται, κατὰ τὴν ἔμπροσθεν χώραν, οὐχ ὅλως ἐπ' αὐτῆς ὀχούμενος, ἀλλὰ τῷ πλείστῳ κατὰ τοῦ βάθους αὐτῆς ὀχούμενος. ἐν δὲ τῷ νῦν λόγῳ φησί· κατὰ μὲν τὸν βουβῶνα ἐξογκέονται, καὶ καταπεπταμένον τὸ χωρίον φαίνεται, ὥστε ἀποκεχώρηκε νῦν ἐκείνης τῆς ἐξαρθρήσεως ὁ μηρὸς, εἴς τε τὸ πρόσω, καὶ τὸ κατωτέρω βραχὺ, καὶ διὰ τοῦτ' ἴσον φαίνεται τὸ πεπονθὸς σκέλος, τῷ ὑγιεῖ, καὶ τοῦτο μάλιστα αὐτοῖς ὑπάρχει, κατὰ τὴν πτέρναν. ἄκρος γὰρ ὁ πούς, ἧττον ἐπινεύειν δύναται πρὸς τὴν γῆν. εἴρηται δ' ἡμῖν τούτου πρόσθεν ἡ αἰτία, καὶ νῦν δ' ἐφεξῆς εἰρήσεται διὰ κεφαλαίων.

Hippocratem hoc loco intelligere eos tenas, qui propiè nervi vocantur.

B

DE FEMORIS CAPITE
in priorem partem luxato.

HIPPOCRATIS TEXTUS CV.

C *At quum femoris caput in priorem partem erumpit, quod quidem rarò accidit, perfectè extendi crus poteſt: ſed ad inguen minimè curvari, laborat enim homo; etiamſi flectere poplitem cogatur: ad calcem vero & in univerſum crus, æquè longum conſpicitur.*

GALENI COMMENTARIUS.

Propter cavum quod non æquè undique altum eſt, articulum in aliam partem rarò, in aliam frequenter luxari, antea ſæpenumero
D demonſtravit: nunc autem de femore diſſerens in priorem elapſo, contrario modo afficit eos, quibus in hanc luxatur, atque eos quibus in poſteriorem; illi enim extendere crus non poterant: hi, quum in ipſo flexu nunc ſit femoris caput, ac cervix, curvare ad inguen non poſſunt, nec ad poplitem propter muſculum priorem qui oritur ab oſſe quod ad ilia pertinet: ille enim comprimitur, tenſuſque attollitur à femoris capite, quumque extendi amplius non poſſit, renititur, ſi quis flectere poplitem
E conetur; apparet autem cruris longitudo conſimilis. In ſuperioribus autem de femore luxato in partem interiorem ſic ad verbum ſcripſit: os enim, quod à coxa ſurſum procedit ad pectinem, femoris capiti inhæret, cervixque articuli cavo ſuſtinetur, à quo prius non ſuſtinebatur ex toto, ſed magna ex parte in ejus cavi altioribus partibus inſidebat: in caſu autem, quem nunc ponit, in inguine prominet, atque is locus intenſus apparet, quum femur nunc à ſuo cavo recedens in priorem partem & paulò inferiùs venerit; quo fit ut vitiatum crus ſani longitu-
F dinem æquet: id, quod præſertim ipſis accidit ad calcem, extremum enim crus minus demitti in terram poteſt: cujus rei cauſa in ſuperioribus explicata, nunc rurſus ſummatim etiam enarrabitur.

Hæc itaque nunc exponere volens ait; ſed pes extremus minus ſpectare vult in partem anteriorem indicans digitos quibus continetur extremus pes, non facilè extendi poſſe, aut deorſum converti & terram contingere.

θέλων, εἶπε, ἄκρος δὲ ὁ ποὺς ἧσσόν τι προκύπτειν ἐθέλει εἰς τοὔμπροσθεν, ἐνδεικνύμενος, ὅτι τοῖς δακτύλοις, οἷσπερ ἐστὶν ἄκρος πούς, οὐχ οἷόν τε εὐκόλως κατατείνειν τε καὶ κατομύξειν, καὶ καταφέρειν εἰς τοὔδαφος.

HIPPOCRATIS TEXTUS CVII.

Ferè autem his dolor protinus accedit, & urina ſupprimitur, magiſque quàm ſi articulus in aliam partem luxetur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρζ'.

Ὀδυνῶνται δὲ αὐτίκα ἐπὶ μάλιστα, καὶ οὖρον ἴσχεται τὸ πρῶτον μᾶλλόν τι, ἢ τοῖσιν ἄλλοισιν ἐξαρθρήμασι.

GALENI COMMENTARIUS.

Quamobrem hæc ſequantur, ipſe cauſam adjungit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὐτὸς εἶπε τὴν αἰτίαν δι' ἣν ταῦτα γίνεται.

HIPPOCRATIS TEXTUS CVIII.

Venit enim femoris caput maximè propè nervos magnam vim habentes, & in inguine prominet, atque is locus extentus apparet, in clunibus rugæ conſpiciuntur, & ſumma gracilitas. Quas quidem diximus, notæ ſunt femoris in priorem partem prolapſi.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρθ'.

Ἐγκέεται γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ, ἐγγυτάτω τούτοισι, τῶν τόνων τῶν ἐπικαίρων, καὶ κατὰ μὲν τὸν βουβῶνα ἐξογκέον, καὶ κατατεταμένον τὸ χωρίον φαίνεται, κατὰ δὲ τὸ πυγαῖον, στολιδωδέστερον, καὶ ἀσαρκότερον. ταῦτα μὲν οὖν σημεῖά ἐστι τὰ εἰρημένα, ὧν ἂν οὕτως ἐκπεπτώκῃ ὁ μηρός.

GALENI COMMENTARIUS.

Nervos appellavit τόνους, eos intelligens, qui cum vena & arteria per inguen feruntur; magnam vim habentes, vocavit ἐπικαιροτάτους, ſicut in ſuperioribus etiam didicimus; habent autem hi magnam vim, quùm medullæ ſpinæ proximi ſint, atque inde oriantur, unde initium ſumunt nervi, qui ad veſicam feruntur; quo fit ut femoris capite in hanc partem luxato, veſica quoque afficiatur, inflammeturque, & reddere urinam nequeat. Fortaſſe etiam aliquando ob inflammationis magnitudinem, quia veſicæ cervix affligitur, ubi muſculus eſt, qui eam adſtringit, urina ſupprimitur, eò quod inflammatis partibus excæcatum iter claudatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὀνόματι δὲ τόνους τὰ συγκαταφερόμενα διὰ τοῦ βουβῶνος νεῦρα, τῇ τ' ἀρτηρίᾳ καὶ τῇ φλεβί. κέκληκε δὲ ἐπίκαιρα ταῦτα τὰ νεῦρα, καθότι καὶ πρόσθεν ἐμάθομεν, ὅσοι μεγάλην οὕτως ἔχει δύναμιν αὐτὸν ὀνομάζειν. ἔχει δὲ ταῦτα μεγάλην δύναμιν, ἐγγυτάτω τοῦ τε νωτιαίου κείμενα, καὶ κατ' ἐκεῖνα τὰ μέρη τὴν ἔκφυσιν αὐτοῦ λαμβάνοντα, καθ' ἃ καὶ εἰς τὴν κύστιν ἀποφύεται νεῦρα, διὸ καὶ ἡ συμπάθεια τῆς κύστεως, ἀκολουθεῖ τοῖς τοιούτοις ἐξαρθρήμασι, φλεγμαινούσης τε, καὶ ἀδυνατούσης ἐκκρίνειν τὸ οὖρον. ἴσως δ' αὖ ποτε, καὶ διὰ μέγεθος φλεγμονῆς, ἐν τῷ τραχήλῳ τῆς κύστεως γινόμενον, ἔνθα καὶ ὁ μῦς ἐστιν ὁ σφίγγων αὐτόν, ἐπισχεθῇ τὰ οὖρα, τῆς κατὰ τὸν πόρον χώρας, τῶν φλεγμαινόντων μορίων, καταλαμβανομένων τι, καὶ ἀποφραττόντων.

... διὰ τοῦτο τὸ βουβῶνος ἀκαμπτίην, πολὺ πλέον ἀκαμπεῖ τῷ σκέλει ἐν τῇ ὁδοιπορίῃ χρέωνται, ἢ ὅτε ὑγίαινον.

quàm quum integrum erat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν αὐτίκα, τουτέστι παραχρῆμα, κατὰ τὸν τῆς ἐκπτώσεως χρόνον ὀδυνᾶσθαί τε αὐτούς εἶπε, καὶ οὔρων ἐπίσχεσιν γίνεσθαι. τοῦ μέντοι χρόνου προϊόντος, ὅταν ταῦτα παύσηται, βαδίζειν δύνασθαι. διὰ τί δὲ ταῦτα πέπαυται, καίτοι κατὰ τὴν αὐτὴν χώραν μενούσης τῆς κεφαλῆς τοῦ μηροῦ, καὶ θλιβούσης τι, καὶ τεινούσης ὁμοίως τὰ νεῦρα, ἐδίδαξέ τε, διὰ τοῦ προσθεῖναι τῇ λέξει, τὸ, ἐθισθείη ἐν τῷ χωρίῳ στρέφεσθαι, ἵνα ἐξέπεσεν· εἰς γὰρ τὸν ἐθισμὸν ἀναφέρειν φαίνεται τὴν γενομένην αἰτίαν, ἐπειδὴ τά τε θλιβόμενα πρὸς ἴσον ἐν τῷ χρόνῳ τυλούμενα, ῥᾷον αὐτῶν ἀνέχεται, καὶ τὰ τεινόμενα κατὰ τὸν αὐτὸν χρόνον, ὅταν ἐθισθῇ τοῦτο πάσχειν, ἀνώδυνα παύεται. διὰ τί δ' ὀρθοὶ δύνανται βαδίζειν ἄνευ ξύλου, κατὰ τὴν ἐχομένην ῥῆσιν αὐτὸς ἐδίδαξεν. κεφάλαιον δ' ἐστὶ τοῦ λόγου, τὸ, τε κατὰ τὴν εὐθυωρίαν φυλάττεσθαι τὸ σκέλος, καὶ τὸ μηδέτερον κάμπτεσθαι τῶν ἄρθρων, μήτε τὸ κατὰ βουβῶνα, μήτε τὸ κατὰ γόνυ.

Quo tempore articulus excidit, dolorem dixit protinus accedere, & urinam ſupprimi: procedente verò tempore, ubi hæc ceſſant, ingredi hominem poſſe: at qua de cauſa hæc finiantur, quanquam femoris caput maneat, comprimatque, & ſimiliter nervos extendat, docuit, quùm orationi adjecit: & articulus aſſueſcit in eum locum converti in quem procidit. Videtur enim in ea re conſuetudinem cauſari, quoniam, quæ ab aliquo premuntur, quùm tempore occalleſcant, id faciliùs ferunt: & ea, quæ tunc tendebantur, quum huic moleſtiæ aſſueverint, dolore ceſſant. Cur verò ſine baculo recti ingrediantur, ipſe ſubjecit; caput autem orationis id eſt, quod crus erectum ſervatur, & neutra commiſſura, nec quæ ad inguen, nec quæ ad poplitem eſt, flectitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρί.

ΚΑὶ σύρουσι δὲ ἐνίοτε πρὸς τὴν γῆν τὸν πόδα, ἅτε οὐ ῥηϊδίως ξυγκάμπτοντες τὰ ἄνω ἄρθρα, καὶ ἅτε πάντη βαίνοντες τῷ ποδί. οὐδὲν γὰρ ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσιν, ἢ τῷ ἔμπροσθεν.

HIPPOCRATIS TEXTUS CX.

Nonnunquam etiam pedem per terram trahunt, qui ſuperiores commiſſuras non facile flectant, quanquam pede toto inambulant: namque hi minus calci, quàm priori parte pedis, in ingreſſu nituntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ ἄνω ἄρθρα λέγει, τό, τε κατ' ἰγνύαν, καὶ τὸ κατὰ βουβῶνα. τέτταρα δ' ἐστὶν ἄρθρα, τὰ πρὸς τὸ βαδίζειν ὑπηρετοῦντα, τό κατὰ βουβῶνα, τὸ κατ' ἰγνύαν, τὸ κατ' ἀστράγαλον, τὸ κατὰ τοὺς δακτύλους. ὡς ἓν γὰρ ἀριθμῶ τοῦτο, κἂν ᾖ πολλὰ, διά τὸ τῆς χρείας τε, καὶ τῆς ἐνεργείας κοινόν. τοῦτο μὲν οὖν τὸ ἄρθρον, ὀλίγον τι συντελεῖ, τὸ μέν τοι κατὰ τῆς γῆς στηριζόμενον διὰ τοῦ ποδὸς, ἐκ τοῦ μάλιστα ἡμῖν ὑπάρχει, βραχύ τι συντελούντων αὐτοῦ κατὰ τοὺς δακτύλους ἄρθρων. ἡ γε μὴν ὅλη τοῦ σκέλους ἐνέργεια, καθά τε τὸ βαδίζειν, καὶ πολὺ μᾶλλον κατὰ τὸ θεῖν, ἐκ τῆς κατὰ τὸν βουβῶνα, καὶ τὸ γόνυ, διαρθρώσεως γίνεται. καμπτομένων γὰρ αὐτῶν, ὑψηλὸν ἀπὸ τῆς γῆς τὸ κῶλον αἰρόμενον μεταφέρεται. νῦν οὖν εἰκότως, οὐδετέρου καμπτομένου, σύρειν αὐτούς ἐπὶ τῆς γῆς ἔφη τὸν πόδα. τὸ δ' ἐνίοτε, προσέθηκε, διά τε τὴν ἐν τοῖς ἐδάφεσι διαφορὰν, καὶ τὸ ποσὸν τῆς βλάβης. οἱ μὲν γὰρ, ἐν ὁμαλοῖς, καὶ κατάντεσι χωρίοις βαδίζοντες, εἰ βραχὺ γοῦν κάμπτοιεν ἐν τοῖς ὑψηλοῖς ἄρθροις τὸ σκέλος, οὐδ' ὅλως σύρουσι τὸν πόδα· οἱ δ' ἀνωμάλοις,

GALENI COMMENTARIUS.

Superiores commiſſuras nominat eam, quæ ad inguen eſt, & eam quæ ad poplitem; quatuor autem commiſſuræ ingreſſui accommodantur, quæ ad inguen eſt, quæ ad poplitem, quæ ad talum, & quæ ad digitos; poſtremam, quamvis multiplex ſit, ut unam tantùm annumero, quum uſum, atque actionem communem præſtet. Hæc non admodum confert, dum per æquale ſolum ingredimur: ea verò quæ ad talum, ad progrediendum, atque ad crura transferenda nihil proficit, maximè tamen efficit, ut pes humi hæreat, ad quam rem parum faciunt digitorum commiſſuræ. Univerſa autem cruris actio, dum ingredimur, & multo magis dum currimus, à commiſſura, quæ ad inguen eſt, & ab ea, quæ ad poplitem, proficiſcitur: his enim curvatis, crus à terra attollitur, ac facile transfertur: at nunc quum neutra flectatur, jure per terram trahi pedem ait. Adjecit nonnunquam propter ſoli differentiam, & vim; illi enim, qui per æqualia & declivia loca ingrediuntur, ſi vel parum quid crus ad ſuperiores commiſſuras inflectant, pedem haud trahunt: ſed, qui per inæqualia ambulant,

VErùm, ſi valdè progredi poſſent, calce admodum ingrederentur: nam & qui benè valent, quanto maximè procedunt, tanto maximè calce ingrediuntur, quùm uni pedi inſiſtunt, & alterum attollunt.

GALENI COMMENTARIUS.

EOs, qui valde procedunt, calce terram contingere, ſupra oſtendimus, quod evidentiſſimè apparet. Non minus etiam in aperto eſt, non poſſe omninò valdè procedere, qui ſuperiores commiſſuras curvare ob quamvis cauſam nequeunt. Id autem ipſis accidit, proptereaquòd moleſtiam non ferant, qua, dum transferunt extremum crus, vexantur, nihil enim aliud prohibet ne maximè procedant. Quod ſi ſano cruri inſiſtentes id facere vellent, poſſent quidem, ſed non ſine labore, quamobrem ſatis fortaſſe fuit hanc orationem, ita explicare: Quibus coxæ articulus in priorem partem erupit, his nihilominus, quàm ima planta & digitis, ad ambulandum uti calce licet: ac ſi ſuſtineant longiùs affecto crure procedere, & calce omninò ingredientur: verùm non ſuſtinent, quoniam, ubi extentum crus cum difficultate transferunt, dolore torquentur.

HIPPOCRATIS TEXTUS CXII.

PRæterea, quibus ſic procidit, magis adhuc calci inhærent, quàm priori parti pedis.

GALENI COMMENTARIUS.

INhærere dixit ἐγχρίπτειν, quod vocabulum mutuari ſolet ad ea ſignificanda, quorum alteri alterum inhæret, juxta quam ſignificationem eo utitur, quùm in fracturis componendis imperat, ut fracta oſſa prius intenſa inter ſe diducantur: ſic enim ait facilius componi, quam ſi ἐγχρίπτοντα, id eſt, quùm alterum alteri inhæret, propellatur. Quod igitur paulo antè propoſuerat, clarè in hac oratione demonſtravit: Namque hi nihilominus calce

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ρια'.

C ΕΙ δέ γε ἠδύναντο μέγα προβαίνειν, κἂν πάνυ πτερνοβάται ἦσαν. καὶ γὰρ οἱ ὑγιαίνοντες, ὅσῳ ἂν μεῖζον προβαίνοντες ὁδοιπορέωσι, τοσούτῳ μᾶλλον πτερνοβάται εἰσὶν, τιθέντες τὸν πόδα, αἴροντες δὲ τὸν ἐναντίον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι μὲν οἱ μέγα προβαίνοντες, τῇ πτέρνῃ ἐπὶ τῆς γῆς στηρίζουσιν, εἴρηταί μοι πρόσθεν, ἐναργῶς τε φαίνεται. οὐδὲν δὲ ἧττον φαίνεται, καὶ τὸ μὴ προβαίνειν μέγα πάντως, ὅσοι μὴ δύνανται κάμπτειν τὰ ἄνω ἄρθρα, δι᾽ ἡντινοῦν D αἰτίαν. πάσχουσι δὲ τοῦτο, τὴν ταλαιπωρίαν οὐ φέροντες, ἣν ἐν τῷ μεταφέρειν ἀποτεταμένον τὸ σκέλος, ἴσχουσιν· ὡς ἄλλο γε οὐδὲν ἐστὶ τὸ κωλῦον αὐτοὺς μέγιστον προβαίνειν· ἐστηριγμένοι τηνικαῦτα τοῦ ὑγιοῦς σκέλους, καὶ προελόμενοί γε πρᾶξαι, τοῦτο δύνανται ποιεῖν αὐτὸ μετὰ καμάτου, ὥστε ἄμεινον ἦν ἴσως, οὕτως ἑρμηνευθῆναι τὸν λόγον· οἷς ἐξέπεσε τὸ κατ᾽ ἰσχίον ἄρθρον πρόσω, τούτοις κατὰ τὰς ὁδοιπορίας ὑπάρχει μηδὲν ἧττον τοῦ πεδίου τε, καὶ τῶν δακτύλων τῇ πτέρνῃ χρῆσθαι. εἰ δὲ ὑπομένοιεν μέγα διαβαίνειν τῷ πεπον- E θότι σκέλει, κἂν πάνυ πτερνοβάται ἦσαν· ἀλλὰ γὰρ οὐ τολμῶσι προβαίνειν ὅτι, διότι ταλαιπωροῦνται, μέγα μεταφέροντες ἄκαμπτόν γε τὸ σκέλος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ριβ'.

ΟΚόσοισι δὲ δὴ οὕτως ἐκπέπτωκε, καὶ ἔτι μᾶλλον τῇ πτέρνῃ προσεγχρίπτουσιν, ἢ τὸ ἔμπροσθεν.

F ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ ἐγχρίπτειν εἴωθε λέγειν, ἐπὶ τῶν ἐρειδόντων ἄλληλα, καὶ τοῦτο γοῦν σημαινόμενον, ὅτι συνεβούλευε διαπλάττειν τὰ κατάγματα διϊστάντα πρότερον ἀπ᾽ ἀλλήλων τῇ τάσει τὰ κατεαγότα, οὕτως ἔφη ῥᾷον γίγνεσθαι τὴν ἐπανόρθωσιν αὐτῶν, ἢ εἴ τις ἐγχρίπτοντα πρὸς ἄλληλα συνάγοι τὰ ὀστέα. σαφῶς οὖν, καὶ κατὰ τὴν νῦν προκειμένην ῥῆσιν, ἐδήλωσεν ὃ μικρὸν ἔμπροσθεν εἶπεν. οὐδὲν γὰρ ἧσσον τῇ πτέρνῃ οὗτοι

Quidam ex iis, qui hujuſmodi dictiones exponunt, tantam videntur earum habere peritiam, ut minimùm arbitrentur nullo modo ſignificare: non minimùm maximè. Hi ergo Hippocratem dixiſſe exiſtimarent his, qui ſic affecti ſunt, femur nullo modo minui. At minui ipſum conſtat, non æquè tamen, atque ubi in alias partes prolabitur: cauſæ enim, ob quas minuitur, leviores ſunt in hoc caſu, quàm in illis. Duas autem cauſas reddidimus, inſtrumentorum depravationem, & actionum noxam, ob quam parum crure utuntur. Sed, quùm in hanc partem femoris caput erumpit, præterquamquòd inſtrumenta non admodum depravantur, actio ipſa cruris multum læditur.

Ἔνιοι τῶν ἐξηγουμένων τὰς τοιαύτας λέξεις, οὕτως εἰοίκασιν ἐμπείρως ἔχειν αὐτῶν, ὥστε, τὸ μὲν ἥκιστα, σημαίνειν νομίζουσιν οὐδὲ ὅλως· τὸ δὲ οὐχ ἥκιστα, μάλιστα. οὕτω δὴ ἂν νομίσαιεν ὑφ' Ἱπποκράτους εἰρῆσθαι, τοῖς οὕτω παθοῦσι, μηδ' ὅλως μειοῦσθαι τὸν μηρόν· ἀλλὰ φαίνεταί γε μειούμενος. οὐ μὴν ὥσπερ ἐπὶ τοῖς ἄλλαις ἐκπτώσεσιν, ὅτι μετριωτέρας ἐκείνων ἔχει τὰς μειούσας D αἰτίας. ἐλέχθησαν δὲ εἶναι δύο, διαστροφή τε τῶν ὀργάνων, καὶ βλάβη τῆς ἐνεργείας, δι' ἣν, ὀλίγα χρῶνται τῷ σκέλει. ἀλλ' ἐν τούτῳ παθήματι, πρὸς τῷ μὴ διεστράφθαι μεγάλως, οὐδὲ ἡ τῆς ἐνεργείας βλάβη σφόδρα τὸ σκέλος γίνεται.

HIPPOCRATIS TEXTUS CXV.

Ut ſummatim igitur dicamus, articuli, qui excidunt, & elabuntur, non eodem modo ſemper excidunt & elabuntur: modò enim multo plus, modò multo minus. Ubi quidem multo plus & elabuntur, & excidunt, in univerſum majori negocio reſtituuntur: ac niſi revertantur, oſſa, caro, atque habitus, & magis, & apertiùs depravantur, vitianturque. At, quùm minus excidunt, & elabuntur, oſſa hæc faciliùs conduntur: & ubi vel negliguntur, vel reponi nequeant, minùs debilitantur, & cum leviore detrimento in hoc caſu, quàm in eo, quem proximè poſuimus. In reliquis ergo articulis multum intereſt, magis-ne an minus ſua ſede excedant: ſed utrumque caput tam femoris quàm humeri ſemper omninò æquè prolabitur: quoniam abſque ullo exceſſu ſimpliciter rotundum eſt, & caro recipitur, quod in orbem eſt, & optimè ſibi aptatur: quocirca evenire non poteſt, ut in his articuli dimidium procidat: nam, cùm rotundus ſit, vel totùs erumpet, vel intrò revertetur. Id ergo, quo de agitur, ex toto ſua ſede movetur, alioquin non excideret: interdum tamen magis, interdum minus, à naturali ſede recedit, quod magis femori evenit, quàm humero.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ. ριε'.

Ὡς μὲν οὖν ἐν κεφαλαίῳ εἰρῆσθαι, τὰ ἄρθρα τὰ ἐκπίπτοντα, καὶ τὰ ὀλισθαίνοντα, ἀνίσως αὐτὰ ἑωυτοῖσιν E ἐκπίπτει, καὶ ὀλισθαίνει, ἄλλοτε μὲν πολὺ πλείονα, ἄλλοτε δὲ πολὺ ἐλάσσονα. καὶ οἷσι μὲν ἂν πολὺ πλεῖον ὀλισθῇ, ἢ ἐκπέσῃ, χαλεπώτερα ἐμβάλλειν τὸ ἐπίπαν ἐστί· καὶ ἢν μὴ ἐμβιβασθῇ, μείζους καὶ ἐπιδηλοτέρας τὰς πηρώσιας, καὶ κακώσιας ἴσχει τὰ τοιαῦτα, καὶ ὀστέων, καὶ σαρκῶν, καὶ σχημάτων. ὅταν δὲ μεῖον ἐκπέσῃ, καὶ ὀλισθῇ, ῥήϊδιον μὲν ἐμβιβάζειν τὰ τοιαῦτα τῶν ὀστέων γίνεται. ἢν δὲ κατακωλυθῇ, ἢ ἀμεληθῇ ἐμπεσεῖν, μείους καὶ ἀσινέστεραι αἱ πηρώσιες γίνονται τουτέοισιν, ἢ οἷσιν ὀλίγῳ πρόσθεν εἴρηται. Τὰ μὲν οὖν ἄλλα ἄρθρα, καὶ πάνυ πολὺ διαφέρει, ἐς τὸ, ὅτε μὲν μεῖον, ὅτε δὲ μεῖζον τὸ ὀλίσθημα ποιέεσθαι. μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ F παραπλησιώτατα ὀλισθαίνουσιν αὐταὶ ἑωυτῇ ἑκατέρη. ἅτε γὰρ στρογγύλαι μὲν αἱ κεφαλαί εἰσιν, ἐπὶ πλεῖον τῶν στρογγύλων, καὶ φαλακρὴν ἔχουσι. κυκλοτερέες δὲ αἱ κοιλίαι εἰσὶν, αἱ δεχόμεναι τὰς κεφαλὰς, ἁρμόζουσι δὲ τῇσι κεφαλῇσι· διὰ τοῦτο οὐκ ἔστιν αὐτῇσι τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου· ὀλισθαίνοι γὰρ ἂν διὰ τὴν περιφερείην, ἢ ἐς τὸ ἔξω, ἢ ἐς τὸ εἴσω. περὶ οὗ νῦν ὁ λόγος ἐστὶν, ἐκπέπτωκε τελέως ἤδη, ἐπεὶ ἄλλως γε οὐκ ἐκπέπτωκεν. ὅμως δὲ καὶ ταῦτα, ὁτὲ μὲν πλεῖον ἀποπηδᾷ ἀπὸ τῆς φύσιος, ὁτὲ δὲ ἔλασσον, μᾶλλον δέ τι μηρὸς, ἢ βραχίονες πέπονθεν.

τερον τοῦτο πάσχουσιν. περὶ μὲν οὖν τῶν ἄλλων ἄρθρων, εὔδηλόν ἐστιν, οἷον τό τε κατ' ἀγκῶνα, καὶ καρπὸν, καὶ κνήμην, καὶ πόδα, καὶ δακτύλους. ἐπὶ δὲ τοῦ κατ' ὦμον, καὶ ἰσχίον, ἐπιδεικνὺς, μὴ δυνάμενον γίνεσθαι τὸ καλούμενον παράρθρημα διὰ τὸ τὰς κεφαλὰς τῶν ἄρθρων, σφαιροειδεῖς οὔσας, ἐμβαίνειν κοιλότησιν, ὀφρῦς ἐχούσαις κυκλοτερεῖς, ἐφ' ὧν ἀδύνατόν ἐστι διαμένειν τὰς κεφαλάς. ἐξ ἀνάγκης γὰρ εὐθέως, εἴσω τὰς κοιλότητας ἐμπίπτουσιν, ἐκτὸς αὐτῶν ὀλισθαίνουσιν. ἀλλ' ὅμως, φησὶ, κἀπὶ τούτων, ἐνίοτε μὲν ἀξιόλογον, ἐνίοτε δ' ὀλίγιστον ἀφίστασθαι τὰς κεφαλὰς, τῆς κατὰ φύσιν. εὔδηλον δ' ὅτι τοῦ τε βραχυτάτου, καὶ τοῦ πλείστου τὸ μεταξὺ, διαφορὰς ἔχει κατὰ τὸ μᾶλλόν τε, καὶ ἧττον, οὐκ ὀλίγας.

nus patiuntur. In aliis quidem articulis res clara eſt, ut in cubito, manu, crure, pede, digitis: ſed humeri & femoris caput indicat non poſſe paulùm ſuo loco excedere (quod B vitium Græci παράρθρημα dicunt) quùm rotundum ſit, & in cavum inſeratur, quod oras in orbem habet, in quibus conſiſtere caput nequeat: neceſſariò enim, vel protinus reconderetur, vel ex toto excideret. Utrumque tamen caput ait interdum longè, interdum paululùm, à naturali ſede recedere. Ubi verò & plurimum & miminum datur, non paucas, quod ad plus & minus attinet, differentias intercedere manifeſtum eſt.

HIPPOCRATIS
DE ARTICULIS LIBER
ET GALENI IN EUM
COMMENTARII QUATUOR.

ΥΠΟΜΝΗΜΑ ΤΕΤΑΡΤΟΝ.

ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΤΕ ΚΑΙ ΥΠΟΜΝΗΜΑΤΟΣ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Περὶ τῆς διαφορᾶς, καὶ τῆς τῶν διαρθρηθέντων ἰατρικῆς, αἳ ἐν τοῖς σκέλεσι, καὶ χερσί, τε, καὶ τούτων μέρεσι τυγχάνουσιν. Τάξις τε τίθεται τοῦ τὰ ὀστέα τέμνειν, καὶ τῆς ταύτης μηχανῆς ἣν τὴν τοῦ Ἱπποκράτους καθέδραν καλοῦσι.

COMMENTARIVS QVARTVS.

LIBRI ET COMMENTARII ARGUMENTUM.

De Differentiis, ac de Curatione Luxationum tractat. quæ in Cruribus, & Manibus, horumque partibus contingunt. Ratio item interponitur Excidendorum oſsium, & Structuræ illius machinamenti, quod Scamnum Hippocratis appellatur.

HIPPOCRATIS TEXTUS I.

Quandoquidem nonnulla ex iis, quæ à primo natali die ſua ſede moventur, ſed parum exceſſerint, reſtitui poſſunt, præſertimque ad pedis articulos.

GALENI COMMENTARIUS.

QVod ait, primo natali die, nonnulli ad eos referunt, qui in utero ſunt: alii ad eos, qui non multo antè nati ſunt. Horum

A

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ α'.

ΕΠΕΙ ἔνια δὲ τῶν ἐκ γενεῆς γενομένων ὀλισθημάτων, ἢν μικρὸν ὀλισθῇ, οἷά τε ἐς τὴν φύσιν ἀγαγεῖν, καὶ μάλιστα κατὰ τὰ τοῦ ποδὸς ἄρθρα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΚ γενεῆς, ἔνιοι μὲν οὕτω ἐπὶ τῶν συγκυομένων εἰρῆσθαί φασιν, ἔνιοι δ', ἐπὶ τῶν οὐ μετὰ πολὺν χρόνον τοῦ γεννηθῆναι. τούτοις μὲν οὖν μάρτυ-

Ὁκόσοι ἐκ γενεῆς κυλλοὶ γίνονται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν ἐπὶ τὰ ἔξω διαστροφὴν τοῦ σκέλους, αὐτὸς ἔμπροσθεν ὀνόμασε κύλλωσιν, ἐφ' ἧς, ἔφη συμβαίνειν, ῥέπειν εἴσω τὸν πόδα. ἄρθρα δὲ ποδὸς εἶπεν, ἐπειδὴ πλείω τὸν ἀριθμόν εἰσι, γεγένηνται μὲν ἅπαντα, κατὰ τὰς κατὰ τὸν ἀστράγαλον διαρθρώσεις, οὐ μιᾶς ἑνὸς ὀστοῦ τὴν διάρθρωσιν ἴσχοντος πρὸς αὐτόν· ἡ μὲν γὰρ περόνη, κατὰ τὸ ἔξω μέρος, ἡ δὲ κνήμη C κατὰ τὸ εἴσω, ἑκατέρα μεγάλαις ἀποφύσεσιν αὐτὸν περιλαμβάνει, τὸ δὲ πρόσω μέρος αὐτοῦ, περιφερὲς ὄν, οἷον κεφαλὴν ἔχει, πεφυκυῖαν ἐπ' αὐχένι, περιλαμβανομένην ὑπὸ κοιλότητος ὀστοῦ, τοῦ καλουμένου σκαφοειδοῦς, καὶ κατὰ ταύτην γε μάλιστα τὴν διάρθρωσιν ἀνατείνεσθαί τε σιμουμένῳ τῷ ποδὶ καὶ πρὸς τὴν ὀπίσω χώραν ἀπάγεσθαι συμβαίνει. καὶ μὴν κἀκ τῶν κάτω μὲν ὁ ἀστράγαλος πρὸς τὴν πτέρναν διαρθροῦται, καθ' ὃν εἴρηται τρόπον, ἐν τῷ περὶ ὀστῶν ὑπομνήματι, ᾧ γεγυμνάσθαι συνεβούλευσα, τὸν μέλλοντα ταῖσδε ταῖς ἐξηγήσεσιν ὁμιλεῖν. ἀλλ' αἵ γε κυλλώσεις τοῦ ποδός, μάλιστα γίνονται, πρὸς D τὴν ἔξω χώραν ἀφικνουμένης τῆς κνήμης ὡς αἰωρεῖσθαί τε, καὶ ἀπέλικτον κρέμασθαι, τὴν κάτω τῆς περόνης ἐπίφυσιν, ἣ περιλαμβάνει τὸν ἀστράγαλον ἔξωθεν.

B Quibus à primo natali die crus varum eſt.

GALENI COMMENTARIUS.

Crus varum, id eſt in exteriorem partem converſum : ſupra etiam nuncupavit κυλλὸν, ubi ſpectare intrò pedem ait. Dixit autem pedis articulos, quoniam plures numero ſunt, omnes juxta tali commiſſuram ſiti, cum quo non unum os tantùm committitur. Sura enim ab exteriori parte, ab interiori tibia, utraque magno proceſſu complectitur talum, cujus pars prior, quæ rotunda eſt, & quaſi caput habet rotundum cervici ſuperimpoſitum, à cavo excipitur illius oſſis, quod ſcaphæ ſimilitudinem refert, qua parte commiſſuræ pes potiſſimùm, & ſurſum extenditur, quùm ſimus efficitur, & in poſteriorem partem ducitur : ſed & ab inferiori parte talus cum calce committitur, quomodo in libro de oſſibus explanavimus, in quo exerceri juſſimus eum, qui debeat in his expoſitionibus verſari. Verùm pes tunc potiſſimùm varus redditur, cùm tibia in exteriorem partem crevit, ſic, ut inferior ſuræ proceſſus, quo talum ab exteriori parte complectitur, ſine ulla fultura ſuſpendatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ γ'.

Τὰ πλεῖστα τούτων ἰήσιμά ἐστιν, ἢν μὴ πάνυ ἡ ἔκκλισις εἴη, ἢ καὶ προαυξέων γεγονότων ἤδη παιδίων ξυμβῇ. ἄριστον μὲν οὖν, ὡς τάχιστα ἰητρεύειν τὰ τοιαῦτα πρὶν πάνυ μεγάλην τὴν ἔνδειαν τῶν ὀστέων τῶν ἐν τῷ ποδὶ, γενέσθαι, πρίν τε πάνυ E μεγάλην τὴν ἔνδειαν τῶν σαρκῶν τῶν κατὰ τὴν κνήμην εἶναι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Προαυξέων λέγει, τῶν ἐπὶ πλεῖον ηὐξημένων, ὧν οὐχ ὁμοίως ἐστὶν ἀνάπλαστος τῶν ὀστῶν οὐσία, καθάπερ τῶν βρεφῶν διὰ μαλακότητα· πρόδηλον οὖν ὅτι γε, περὶ τῶν ἤδη γεγονότων, αὐτὸν διαλέγεσθαι· εἰ δὲ καὶ περὶ τῶν ἔτι κυουμένων, οὐχ ὁμοίως δῆλον, ἀλλὰ πολλάκις τε διὰ τῶν ἔμπροσθεν ἐμνημόνευσε, καὶ τοῖς κυουμένοις ἐξαρθρήματα F γίνεσθαι.

HIPPOCRATIS TEXTUS III.

Plerique ſanabiles ſunt, niſi ita magnus exceſſus ſit, aut pueris jam adultioribus res incidat. Commodiſſimum, itaque his eſt celerrimè ſubvenire, antequàm & pedis oſſium, & carnis in E crure magna admodum defectio ſequatur.

GALENI COMMENTARIUS.

Adultiores vocat eos, qui plurimùm increverunt, quorum oſſa non æquè tractari & componi poſſunt, atque infantium, propter mollitiem. Hinc itaque colligitur Hippocratem de iis agere, qui nati jam ſunt : at loquatur-ne de illis qui in utero ſunt, non ſimiliter manifeſtum eſt ; ſed in ſuperioriF bus ſæpius retulit in utero matris articulos luxari.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ δ'.

Τρόποι μὲν οὖν κυλλώσιος, οὐχ εἷς, ἀλλὰ πλείονες. τὰ πλεῖστα μὲν οὐκ ἐξηρθρηκότα παντάπασιν, ἀλλὰ δι' ἔθος σχήματος, ἔν τινι ἀπολήψει τοῦ ποδὸς κεκυλλωμένα.

HIPPOCRATIS TEXTUS IV.

Modus ergo ejus vitij, ſub quo pes varus fit, non ſimplex eſt, ſed multiplex. Plerumque autem varus redditur, non quod articulus ex toto luxatus fuerit ; ſed quod pes conſueverit re aliqua exceptus figurari.

ut a quibuſdam etiam urgeantur, à quibus omnibus depravationes fiunt.

[illegible] μόνον.

C

HIPPOCRATIS TEXTUS V.

HÆc autem in curatione animadvertenda ſunt. Os cruris, quod ad talos extat, ab exteriori parte in interiorem propellendum, dirigendumque eſt: calx contrà è regione ejus in exteriorem repellendus, ut oſſa quæ exceſſerunt, inter ſe concurrant, & in medio, & à latere pedis: digitique omnes unà cum pollice repellente in interiorem partem inclinandi, atque ita cogendi ſunt.

GALENI COMMENTARIUS.

SCribit ipſe in libro de fracturis: Crus binis oſſibus continetur, quorum alterum altero tenuius eſt, ab una parte multo, paulo ab altera. Solent autem recentiores hoc os, quod ab exteriori parte ſitum eſt, Græcè nominare περόνην. Jubet igitur, ut illud in interiorem partem cogatur, ſimulque calx repellatur in exteriorem, idque præſertim ex calce, quod è regione eſt, cruris videlicet, quod ſuper ipſum naturaliter ſitum eſt. De hac autem reſtituendi ratione anteà ſæpius mentionem fecit, quæ omnium communis eſt: ſiquidem neceſſe eſt, quod naturali ſede exceſſit, in priſtinum locum propellere: & quod ſubjectum eſt, in contrariam partem adducere, ut oſſa inter ſe concurrant. Quæ ſubjicit de ipſis dirigendis evidentiſſima ſunt iis qui in memoria habeant, quæ ſuperius diximus in expoſitione hujus Libri, & antè, ejus, qui de fracturis eſt. Siquid autem occurrat, quod obſcurius videatur, illud duntaxat enodabimus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ε΄.

Προσήκει δὲ τῇ ἰητρείῃ. Τοῦτο δὲ χρὴ ἀπωθέειν μὲν, καὶ κατορθοῦν τῆς κνήμης τὸ κατὰ τὸ σφυρὸν ὀστέον τὸ ἔξωθεν, ἐς τὸ εἴσω μέρος, ἀπωθέειν δὲ ἐς τὸ ἔξω μέρος, τὸ τῆς πτέρνης, τὸ κατ' αὐτὴν τὴν ἴξιν, ὅπως ἀλλήλοις ἀντιτυπήσῃ τὰ ὀστέα τὰ ἐξέχοντα, κατὰ μέσον δὲ καὶ πλάγιον τὸν πόδα. Τοὺς δὲ αὖ δακτύλους, ἀθρόους ξὺν τῷ μεγάλῳ δακτύλῳ ἐς τὸ εἴ-

D σω μέρος ἐγκλίνειν, καὶ περιαναγκάζειν οὕτως.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΥτὸς ἐν τῷ περὶ ἀγμῶν εἶπεν· ἡ δὲ κνήμη δύο ὀστέα ἐστὶ, τῇ μὲν, συχνῷ λεπτότερον τὸ ἕτερον τοῦ ἑτέρου, τῇ δὲ, οὐ πολλῷ λεπτότερον, ἀλλὰ τοῖς τε μετ' αὐτὸν εἴθισται, τὸ ἔξωθεν ὀνομάζειν περόνην. Ταύτην οὖν, ὠθεῖν ἔσω κελεύει, καὶ τοῦτο πράττοντα, τὴν πτέρναν ἀπωθεῖν ἐκτὸς, καὶ μάλιστα αὐτῆς, τὸ κατὰ τὴν ἴξιν, ὅπερ δη-

E λοῖ τὴν εὐθυωρίαν, ὡς πρὸς τὴν κνήμην δηλονότι, τῆς ἐν τῷ κατὰ φύσιν, ἐπικειμένην αὐτῇ. πολλάκις δ' ἔμπροσθεν ἤδη περὶ τοιούτου τρόπου τῆς ἐμβολῆς εἶπεν, ἁπάντων ὄντων κοινοῦ. χρὴ γὰρ, τὸ μὲν ἐξέχοντος τοῦ κατὰ φύσιν, εἰς τὴν ἀρχαίαν χώραν ἐπαναγαγεῖν, ὅπως ἀλλήλοις ἀπαντήσῃ τὰ ὀστᾶ. τὰ δ' ἐφεξῆς εἰρημένα περὶ τῆς διαπλάσεως αὐτῶν, ἱκανῶς ἐστι σαφῆ τοῖς μεμνημένοις ὧν τ' ἔμπροσθεν εἰς τοῦτο τὸ βιβλίον εἴπομεν ἐξηγούμενοι, καὶ ὧν ἐπὶ τούτου πρότερον, εἰς τὸ περὶ ἀγμῶν. εἰ δέ τι παρεμπέσοι, δοκοῦν ἀσαφέστερον εἰρῆσθαι, περὶ μόνου τού-

F του ποιήσομαι τὸν λόγον.

HIPPOCRATIS TEXTUS VI.

DEligare item convenit, adhibito cerato, quod reſinam copioſè acceperit, & faſciis mollibus, non parvis, neque admodum arctatis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ϛ΄.

Ἐπιδεῖν δὲ κηρωτῇ ἐῤῥητινωμένῃ πολλῇ, καὶ σπλήνεσι, καὶ ὀθονίοισι μαλθακοῖσι, μὴ ὀλίγοισι, μηδὲ ἄγαν πιέζοντα.

χεῖς μὲν διὰ τὴν μαλθακότητα τῶν σωμάτων, ἣν ἐκ τῆς ἡλικίας ἔχει τὰ βρέφη. περιβεβλημένοις δὲ ἀτρέμα, φυλαττόμενος τὴν ἐκ τῆς βιαίας περιβολῆς θλίψιν αὐτῶν, καὶ μάλιστα ὅταν ἐπὶ μαλακῶν γίνωνται σωμάτων. ὅτι δὲ ἧττον πιέζεσθαι κελεύει, διὰ τοῦτο πλείοσι χρῆσθαι τοῖς ὀθονίοις ἀξιοῖ. τὴν γὰρ ἀσφάλειαν τῆς ἐπιδέσεως, ἔφασκεν, ἢ πίεσιν, ἢ πλῆθος τῶν ὀθονίων γίνεσθαι. B

mollitiem, quæ infantium corporibus propter ætatem ineſt, quas leniter adſtringit, cavens ne vehementer arctatæ comprimant, præcipuè cum corpora mollia ſint. Sed quia minùs adſtringit, idcirco imperat ut plures faſciæ injiciantur: ſcripſit enim vinculi firmitatem, vel preſſu comparari, vel numero faſciarum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ζ.

Οὕτω δὲ τὰς περιαγωγὰς ποιέεσθαι τῆς ἐπιδέσιος, ὥσπερ καὶ τῇσι χερσὶν ἡ κατόρθωσις ἦν τοῦ ποδὸς, ὅκως ὁ πούς, ὀλίγον μᾶλλον ἐς τὸ βλαισὸν ῥέπων φαίνηται. C

HIPPOCRATIS TEXTUS VII.

Non ſecùs autem circumagenda faſcia eſt, quàm ſi pes manibus dirigendus ſit, ut paulò magis valgus appareat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τοῦτο κοινὸν ἁπάσης ἐπανορθώσεως ἐξαρθρημάτων τε, καὶ καταγμάτων ἐστὶ παράγγελμα, πολλάκις ὑπ' αὐτοῦ προειρημένον. οὐ βούλεται γὰρ, ἐν ταῖς ἐπανορθώσεσι, τὰ διαπεπλασμένα πρὸς τὸ κατὰ φύσιν ἀκριβῶς ἀχθέντα, καταλιπεῖν αὐτόθι. κελεύει μὲν παραβάλλειν ὀλίγον ὅτι, ὡς ἐκ τούτου τὴν πολυχρόνιον αὐτῶν ῥοπὴν ἐπὶ τὴν διαστροφὴν ἀντισπῶντες, ἐν τῷ μέσῳ καταστήσωμεν, ὅπερ ἦν τὸ κατὰ φύσιν ἀκριβῶς. εἰ γὰρ ἐν τούτῳ, διαπλάττοντες καταλείπομεν, ἐπὶ τὴν πολυχρόνιον διαστροφὴν ὑπορρέπει τὰ μόρια. δῆλον δ' ὅτι καὶ τοῦτο τὸ παράγγελμα, ἐν τῷ γενικωτάτῳ τῷ πάντων ὑποπέπτωκε θεραπευτικῷ σκοπῷ, καθ' ὃν ἔφασκε τὰ ἐναντία τῶν ἐναντίων ἰάματα εἶναι, μήτε τὰ κατεψυγμένα θερμαινόντων ἡμῶν τῇ μετρίᾳ θερμασίᾳ, μήτε τὰ θερμαινόμενα μετρίως ψυχόντων, ἀλλ' εἰς τοσοῦτον ἐπέκεινα τῆς μεσότητος εἰς τἀναντία προχωρούντων, ὅσον ἀποχώρησιν αὐτῆς τὸ πάθος ἐπὶ θάτερον. καὶ νῦν οὖν, ἐπεὶ μὲν πάθος ἡ κύλλωσις ἐναντία βλαισώσει διὰ παντὸς τῷ λόγῳ, τὸ κῶλον ὁ Ἱπποκράτης πρὸς τὸ βλαισὸν ἀξιοῖ ῥέπειν, ἐπέκεινα δηλονότι τῆς κατὰ φύσιν ἀκριβῶς ὄντων. D E

GALENI COMMENTARIUS.

Hoc item præceptum communiter ad luxata, fractaque omnia pertinet, quod ſæpius ab ipſo memoriæ proditur: Non enim vult in dirigendo, quæ compoſita ſunt in naturalem ſedem exquiſitè reſtituta, ita relinqui; ſed paulo ultrà compelli, ut ad contrarium ejus loci, in quem diu perverſa ſpectarunt, à nobis impulſa, conſiſtant in medio, quod prorſus ſecundùm naturam fuit: nam ſi collocata in hoc dimitterentur, ad diuturnam depravationem redirent. Conſtat autem, præceptum hoc ad id conſilium pertinere, quod in curando maximè commune eſt, in quo contraria contrariorum eſſe præſidia docuit: quùm nec refrigerata moderatè calefaciamus, nec calefacta moderatè refrigeremus: ſed eatenus à medio in contrariam partem recedamus, quatenus in alteram morbus receſſit. Nunc, quia pes varus eſt, cui vitio contrarium id eſt, ſub quo valgus efficitur, idcirco Hippocrates jubet, dum componitur, ut in valgum convertatur, ſcilicet ultra ſedem prorſus naturalem.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ η'.

Ἴχνος δέ τι ποιέεσθαι, ἢ δέρματος μὴ ἄγαν σκληροῦ, ἢ μολυβδίνου.

HIPPOCRATIS TEXTUS VIII.

Solea item conficienda eſt, aut ex pelle non multum dura, aut ex plumbo.

F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τοῦθ' ἕνεκα τοῦ μονίμου τῆς ἐπιδέσεως ἐπιτεχνᾶται. διὰ τοῦτο δ' οὖν, καὶ προσκαταδεῖν, αὐτὸ κελεύει τῇ ἐπιδέσει πασῶν ὕστατον, ὅπως ἐκείνην τε συνέχῃ πᾶσαν, αὐτόν τε μὴ θλίβῃ τὸν χρῶτα. τοῦτο δὲ ἐδήλωσε, τῇ προκειμένῃ ῥήσει, γράψας ἐφεξῆς τήνδε.

GALENI COMMENTARIUS.

Hoc etiam ad ſtabiliendam juncturam molitur: quamobrem jubet ipſum poſtremum omnium ſuper juncturam devinciri, ut eam totam contineat, & carnem ipſam non comprimat, id quod ſequentibus expreſſit; inquit enim:

HIPPOCRATIS

GALENI COMMENTARIUS.

E Regione minimi digiti, hoc eſt, ab externa parte pedis faſciam appendit, quam attrahit ad poſteriorem partem cruris, quæ canicula premitur, quandoquidem pedi varo medetur: quod ſi valgum curaret, ab altera parte faſciæ caput aſſumeret, quoniam inclinare pedem oportet in contrariam partem, atque convertitur, ſic, ut, quæ extra ſpectant, compellantur intro: qua ratio, ſimiliter in contrariam regionem cogantur. C

HIPPOCRATIS TEXTUS X.

Aſſumendæ autem faſciæ ſunt, ut quomodo opus eſt, ſuſpendantur: alia enim depravatio aliam ſuſpenſionis rationem poſtulat. D

GALENI COMMENTARIUS.

Quod ego nuper poſui, ipſe nunc declarat, aliis depravationibus alias ſuſpendendi rationes accommodari. Conſtat autem, ubi pes in interiorem partem ſpectet, ita ſuſpendendum eſſe, ut extremum eius in interiorem partem compellatur, pes in exteriorem: ubi pes in exteriorem inclinatur, ita ut eius in exteriorem, pes in interiorem urgeatur: ubi in utramvis partem paulum excellit, appen- E ſa faſcia moderate in contrariam partem cogi debet. qui longe à naturali ſitu receſſit, validius repellendus eſt. Ideo depravationem (quam χώλωμα dixit) commune nomen omnium pravitatum accipito.

HIPPOCRATIS TEXTUS XI.

Calcei vero e plumbo imponantur, qui ſuper faſciarum obligationem, ad eam formam, quam Chiæ crepidæ habent: quibus opus non eſt ſi quis manibus recte componat, recte item faſciis deliget, recte ſuſpendat. Curatio igitur hæc, neque ſectionem, neque uſtionem, neque aliam varietatem requirit: celerius enim opinione hujuſmodi vitia curationi cedunt. tempore tamen ſuperanda ſunt, dum corpus juſto habitu increſcat. F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐκ [illegible]

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ι'.

Προσ[illegible] χωλώματα [illegible]

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅ [illegible] ὃ χώλωμα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ια'.

Ὑποδημάτιον [illegible]

[illegible] [illegible] [illegible] [illegible] χρησιάς.

gulem pedem excipit, & carnem non compri-
B mit : ad quam [illegible] [illegible], [illegible] [illegible] [illegible] calcei [illegible] [illegible], quamvis [illegible] [illegible] [illegible] [illegible], non [illegible].

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ [illegible].

Ὅταν δὲ ἐς [illegible] [illegible] [illegible] [illegible] [illegible], [illegible] πηλοπατίδες [illegible].

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰς [illegible] ἐμβάδας.

HIPPOCRATIS TEXTUS XII.

VEro autem ad calceos ventum, aptiſſimi ſunt, qui per [illegible] luto plena geſtari ſolent, [illegible] nuncupantur.

GALENI COMMENTARIUS.

C VEniunt ad calceos pueri [illegible] [illegible], quum pes qui [illegible], [illegible] [illegible], & aliquid [illegible], atque oſſa ipſa non amplius [illegible] ſunt. Nam nec [illegible] eſt ut [illegible] [illegible], ne pars ad priorem depravationem iterum revertatur : at ubi toto ingredi poſſunt, calceis [illegible] licet, quos Hippocrates [illegible] appellat. Hi autem calceamenti genus cavum, quod [illegible] pedem [illegible] [illegible] uſque ad talos complectitur. Manifeſtum eſt autem ejuſmodi eſſe, ex eo, D quod Hippocrates ſubjicit, quum inquit, [illegible] nuncupantur, hoc enim nomen inventum eſt : quod ſi per [illegible] [illegible], [illegible] ductum erit à luto, quod [illegible] Græce dicitur, quum ab ipſis lutum [illegible], [illegible] enim [illegible] dicunt : ſi per [illegible] [illegible], à luto [illegible], & à verbo ambulare, quod [illegible] dicitur, quum, qui iis utantur, toto in luto ambulent.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ [illegible].

Τὸ [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible].

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἄλλος [illegible] τῷ

HIPPOCRATIS TEXTUS XIII.

NAmque hoc calceamenti genus [illegible] [illegible] [illegible] [illegible], ſed [illegible] [illegible] [illegible].

GALENI COMMENTARIUS.

ET [illegible], & uſu, alius homo alio modo [illegible], alius enim pede prorſus recto, alius in interiorem partem inclinato, alius in exteriorem : atque [illegible] alius planta, tum alius calce magis [illegible], [illegible] [illegible] toti F pedi inſidit : quin & calcei [illegible] ſemper in pedi [illegible] ambulandi modo ſimiles [illegible], ubi neque [illegible] ſunt, neque exquiſite pedem comprehendunt : quorum calceorum ſi [illegible] [illegible], connectere licet, quomodo ingrediatur, qui illis utitur, calceus enim rectus & in neutram partem inclinans, ſed talis permanens, [illegible] [illegible] eſt à ſutore, hominem recto pede ingredi [illegible] : ſed, ſi vel intro, vel extra [illegible], [illegible] pedem [illegible] [illegible] [illegible]

…, κατά τινα ὁρμὴν, καὶ ἐπὶ πόδας.

HIPPOCRATIS TEXTUS XIV.

I*Donea item eſt ratio calciamenti Cretenſis.*

GALENI COMMENTARIUS.

IN Aſia noſtra, & non minus in Creta nunc calciamenta in uſu ſunt, quæ ad medium uſque crus pertinent, in quibus fiſſa pellis eſt multis locis, & ab utraque parte dextra ſcilicet & ſiniſtra æqualiter extenta: extremis partibus foramina habet, per quæ trajectum lorum partes pellis inciſas inter ſe contrahat. In aperto autem eſt hujuſmodi calceis pedem cum univerſa commiſſura, quæ ad talos eſt, contineri, atque adſtringi. His autem utuntur apud nos venatores potiſſimùm, quùm feras ſectantur: quandoquidem in aſperis, atque inæqualibus locis non ſolum currere, ſed ſaltare etiam coguntur. Eadem cauſa Cretenſes ad talium calceorum uſum impulit ob vaſtos inſulæ montes, atque aſperitatem.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιδ'.

C

ΕΠιτήδειος δὲ καὶ ὁ κρητικὸς τρόπος τῶν ὑποδημάτων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΤι καὶ νῦν ἔτι ἀσκεῖται κατὰ τὴν ἡμετέραν Ἀσίαν, καὶ κατὰ τὴν Κρήτην, οὐχ ἥκιστα, μέχρι κνήμης μέσης ἀνήκων. ἔστι δὲ ἱκανῶς ὑπ' αὐτὸ πολυσχιδές τι δέρμα, καθ' ἑκάτερον τὸ μέρος, ἀριστερόν τε, καὶ δεξιὸν ἴσον ἐκτεταμένον τε, καὶ ἰδίᾳ συντετρημμένον ἐπὶ τοῖς πέρασιν, ὡς ἱμάντι διεκβεβλημένων τῶν τρημάτων, συνάγεσθαι κατ' ἄλληλα τὰ τετμημένα τοῦ δέρματος τμήματα. πρόδηλον οὖν, ὅτι συνέχει τε, καὶ σφίγγει τὸν πόδα, μετὰ τῆς κατὰ φύσιν διαρθρώσεως ὅλης ἀκριβῶς, τὸ τοιοῦτον ὑπόδημα. χρῶνται δ' αὐτῷ μάλιστα παρ' ἡμῖν, οἱ κυνηγέται θηρεύοντες, ἐπειδὴ καὶ ἐν τραχέσι καὶ ἀνωμάλοις χωρίοις, ἀναγκάζονται πολλάκις οὐ τρέχειν μόνον, ἀλλὰ καὶ πηδᾷν. ἡ δ' αὐτὴ, καὶ τοὺς κρῆτας, αἰτία τοιούτοις ὑποδήμασι χρῆσθαι ἔπεισε, διά τε τὸ μέγεθος τῶν ὀρῶν τῶν ἐν τῇ νήσῳ, καὶ τὰς τραχύτητας.

D

E

DE OSSSIBVS, QVÆ EXCIDVNT *ſimul & nudantur.*

ΠΕΡΙ ΤΩΝ ΓΥΜΝΟΥΜΕΝΩΝ ὀστῶν, μεθ' διαρθρήματος.

HIPPOCRATIS TEXTUS XV.

V*Bicunque cruris oſſibus luxatis accedente vulnere articuli qui ad pedem ſunt, ſive in interiorem, ſive in exteriorem partem, penitus excedant, reponendi non ſunt: ſed ſinendum eſt, ut cui placet medico, eos reponat: ſcire enim convenit, ubi repoſiti ſerventur, hominem decedere, pauciſque diebus vitam trahere: nam pauci ſeptimum diem excedunt, cùm nervorum diſtenſione abſumantur.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιε'.

F

ΟΚόσοισι δ' αὖ κνήμης ὀστέα ἐξαρθρήσαντα, καὶ ἕλκος ποιήσαντα, τελείως ἐξέσχε τὰ παρὰ τὸν πόδα ἄρθρα, εἴτε εἰσωρρήσαντα, εἴτε καὶ τοι καὶ ἔξω, τὰ τοιαῦτα μὴ ἐμβάλλειν, ἀλλ' ἐᾷν τὸν βουλόμενον τῶν ἰητρῶν ἐμβάλλειν. σαφέως γὰρ εἰδέναι, ὅτι ἀποθανεῖται, ἐὰν ἐμβληθέντα ἐμμείνῃ, καὶ ἡ ζωὴ δ' ὀλιγήμερος τούτοισι γίνεται. ὀλίγοι γὰρ αὐτῶν τὰς ἑπτὰ ἡμέρας ὑπερβάλλοιεν, σπασμὸς γὰρ ὁ κτείνων ἐστίν.

ὀστοῦ ἐξαρθρήσῃ γυμνωθὲν, ἀφίστασθαι τῆς ἐμβολῆς, διὰ τὸν ἐπιγιγνόμενον σπασμόν. εἴρηται δὲ ἤδη περὶ τούτου κἀν τῷ περὶ τῶν ἀγμῶν, ὅτι συμβαίνει κατὰ τὰς τοιαύτας διαθέσεις, τοὺς μέν τινας διασπᾶσθαι τῶν μυῶν, τοὺς δὲ συνέρχεσθαι, καὶ σώζειν τὴν ἕνωσιν. ἀνασπασθέντων οὖν αὐτῶν ἐπὶ τὴν ἀρχὴν, ἔλαττον γίγνεται τὸ κῶλον ὅλον, ἀκολουθοῦν τε, καὶ συνανασπώμενον τοῖς μυσίν. ἐὰν δέ τις κατατείνας, ἐμβάλῃ τὸ ἐξέχον ὀστοῦν, ἅμα μὲν ἡ κατάτασις αὐτὴ, βλάβην οὐ σμικρὰν ἐργάζεται τοῖς μυσὶν, ἅμα δὲ καὶ τὸ μῆκος τοῦ κώλου συναποτείνων αὐτοὺς, ὀδυνήσει σφοδρῶς, καὶ κατὰ τοῦτο, μεγάλων μὲν ὄντων τῶν μυῶν, ἐξ ἀνάγκης ἀκολουθήσει σπασμός. Εἰ δὲ μικροὶ τύχοιεν ὄντες, οἷοι κατὰ τοὺς δακτύλους εἰσὶν, οὐδ' οὕτω μὲν ἀκίνδυνον ἔσται. σὺν ἀκριβείᾳ δὲ πολλῇ τῆς ὅλης θεραπείας, οἱ πολλοὶ τῶν τοιούτων διασώζονται. τὸ μὲν οὖν εἰς τὴν θεραπείαν χρήσιμον, εἴρηταί μοι. λογικὸν δέ τι ζήτημά ἐστι κατὰ τὸν τόπον τοῦτον, οὐδὲν οὔτ' ὠφελοῦν, οὔτε βλάπτον τὴν θεραπείαν, ἐπισκεπτομένων ἡμῶν διὰ τί προσέθηκε τοῖς τῆς κνήμης ὀστοῖς, τὰ ἐξαρθρήσαντα· τῶν γὰρ ἐμβαινόντων ταῖς κοιλότησιν, οὐ περιλαμβανομένων ταῖς ἐξοχαῖς, πάθος εἶναί φασι τὸ ἐξάρθρημα. καὶ γὰρ καὶ καλεῖ αὐτὸς ἄρθρα ταῦτα, καθότι δέδεικται πολλάκις ἔμπροσθεν. οὐκ οὖν ἐχρῆν, φασὶ, τὴν κνήμην ἐξαρθρεῖν λέγειν, ἀλλὰ τὸν ἀστράγαλον. ῥητέον οὖν πρὸς τοὺς τὰ τοιαῦτα ζητοῦντας, ὃ καὶ ἔμπροσθεν ἤδη μοι λέλεκται, τοῦ σημῆναι τὸ λεγόμενον πρᾶγμα, μόνον φροντίζειν τὸν Ἱπποκράτην, καθάπερ καὶ ὁ Πλάτων ἡμᾶς τε πείθειν ἀξιοῖ τοῦτο, καὶ πρῶτον αὐτὸς πράττει. δέδεικται δ' ἡμῖν ἑτέρωθι, ὅτι οἱ παλαιοὶ πάντες, οὐκ ἄλλον, ἢ τοῦτον εἶχον τὸν σκοπόν. μόνος γὰρ φαίνεται Πρόδικος ἐζηλωκέναι αὐτὴν ἐν τοῖς ὀνόμασι μικρολογίαν, ὡς εἰώθασι προσαγορεύειν οἱ τὰ Προδίκου ζηλώσαντες. ὅτι δὲ οὐδὲν ἡ σαφήνεια τῆς διηγήσεως βλάπτεται, δῆλόν ἐστι ἐξ αὐτῆς τῆς ῥήσεως, εἰπόντος τοῦ Ἱπποκράτους, ὅσοισι δ' ἂν κνήμης ὀστέα ἐξαρθρήσαντα, τελέως ἐξίσχῃ τὰ παρὰ τὸν πόδα ἄρθρα. καὶ γὰρ ἐὰν ὀλίγον ἀφέλῃς τὸ, ἐξαρθρήσαντα, δῆλόν ἐστι τὸ λεγόμενον, ὥστε τοῦτο τοὔνομα προσέθηκεν ὁ Ἱπποκράτης, μηδὲν ὅλως τῆς τοιαύτης μικρολογίας, ἣν οἱ ζητοῦντες, ἐπὶ τὸ πολὺ, πάντες ἀδύνατοι λέγειν εἰσίν. οἱ δέ γε δύναμιν ἔχοντες ἑρμηνευτικὴν, εἰς τὴν ἐνέργειαν τῆς ἑρμηνείας ἀποβλέποντες, οὐδὲ παρακολουθοῦσι τοῖς κατὰ μέρος ὀνόμασιν, ἀλλ' ἐπιρρέουσιν αὐτοῖς χρῶνται, κατὰ τὴν τῶν Ἑλλήνων συνήθειαν. ὁ γοῦν Ἱπποκράτης, ἔοικε νῦν ἐννοήσας ὅτι ἐξίσχει τῆς διαρθρώσεως τὰ τῆς κνήμης ὀστᾶ, διαπείραντα τὸ δέρμα, τῆς ἑρμηνείας οὕτως ποιήσασθαι. τὸ γὰρ ἐξέχον, καὶ προκύπτον ἐπὶ πολὺ τῆς διαρθρώσεως, ἐξηρθρηκέναι λέγων ἄν τις ἐναργέστερον ἑρμηνεύσειε, καὶ τῇ τοῦ πράγματος φαντασίᾳ προσάγοι τὸν ἀκούοντα.

[illegible]
B à reponendo caveamus, propterea, quòd nervorum diſtenſio ſuperveniat: quod ubi incidat, dictum eſt in opere de fracturis, muſculos alios convelli, alios contineri, & continuatos ſervari. Ubi ergo ad ſuum initium contrahantur, univerſum membrum brevius redditur; ſequitur enim, quùm à muſculis attrahitur. Quare ſi quis extendens os extans reponat, muſculi & ipſa intenſione non mediocriter lædentur, & longitudine membri ſimul diſtenti dolorem ſentient intolerabilem. Atque
C ideirco, quùm muſculi grandes ſint, nervorum diſtenſionem ſequi neceſſe erit: nam & ubi exigui eſſent, quemadmodum in digitis, neque ſic res periculo vacaret. Multi tamen ex his ob ſummam in curatione diligentiam ſervantur. Hactenus, quod curationi utile erat: Supereſt quæſtio quædam ad locutionem ſpectans, quæ curationi non prodeſt, aut officit: ut ſi requirant aliqui, cur Hippocrates de cruris oſſibus ἐξαρθρεῖν id eſt luxari dixerit, quùm id vitium eſſe eorum oſſium affirmet, quæ in cavis ſe inſinuant, non eorum, quæ proceſſus accipiunt, hos enim vocat ἄρθρα id eſt articulos, ut antè ſæpius oſtendi-
D mus. Non debuit igitur (inquiunt) dicere ἐξαρθρεῖν de crure, ſed de talo. Iis, qui hæc requirunt, reſpondendum eſt id, quod in prioribus ſæpenumerò diximus, Hippocratem eò tantùm intendere, ut propoſitam rem exprimat, quod ipſe Plato, & præcipit, & primus exequitur. Alibi autem demonſtravimus Veteres non aliò quàm huc ſpectaſſe: ſolus enim Prodicus ſtuduiſſe videtur tenui huic nominum inquiſitioni, quam qui Prodicum ſequuntur, ſolent exquiſitam diligentiam nuncupare. Hippocratem verò nihil obſcurius rem
E expreſſiſſe, ex verbis ejus apertè conſpicitur, quùm inquit: ubicumque cruris oſſibus luxatis, articuli qui ad pedem ſunt, penitus excedunt. Nam, ſi omninò dempſeris verbum luxatis, apertum eſt quod proponitur. Sed Hippocrates hoc adjecit, nihil reſpiciens ad tenuem hujuſmodi nominum inquiſitionem, cui qui ſtudent, plerumque non ſunt eloquentes: nam, qui dicendi facultatem habent, ad vim enunciationis reſpicientes, verba ſingula non attendunt, ſed Græcorum more illis
F utuntur, quorum copiam habent: quomodo videtur nunc Hippocrates loqui, volens oſſa cruris à commiſſura recedentia cute excedere. Si quis enim id, quod extat, & extrà commiſſuram valdè prominet, luxatum dicat, clariùs rem exponet, auditoremque imagine rei docebit.

hoc enim natura membri univerſa corrumpitur: idemque, ubi jam hæret, curationem non admittit, ſed ſolum à principio, cùm nondum ſphacelus eſt, ſed magna gangræna ſphacelo vicina. Verùm abutimur interdum vicinorum affectuum nominibus ad eos ſignificandos, qui ad hos accedunt, quamquam nondum ex toto ipſorum ſpeciem & naturam habent. Sic igitur & ingentem inflammationem, cùm non amplius ſuum colorem tuetur, dolorique eſt, interdum nominare gangrænam conſuevimus, quæ quamvis gangræna nondum penitùs ſit, futura tamen eſt paulo poſt, ſi negligatur.

τοσοῦτον χεῖρον τῆς τηλικαύτης φλεγμονῆς, ὅσον μεταπίπτειν τοῦ σφακέλου. φθορὰ γάρ ἐστι τῆς ὅλης οὐσίας τοῦ σφακελίζοντος μέλους, ὥστε οὐδ' ἂν ἰάσαιτό τις αὐτὸν ἤδη συνιστάμενον, ἀλλ' ἔτ' ἀρχόμενον, ὅταν οὐδέπω σφάκελός ἐστιν οὕτως, ἀλλὰ γάγγραινα μεγάλη, πλησιάζουσα σφακέλου. καταχρώμεθα δὴ οὖν ἐνίοτε τοῖς τῶν παρακειμένων παθῶν ὀνόμασι, ἐπὶ τῶν ἀφικνουμένων μὲν εἰς αὐτὰ, μηδέπω δὲ ἐχόντων τὴν ἐκείνων ἰδέαν τε καὶ φύσιν. οὕτως οὖν καὶ τὴν μεγίστην φλεγμονὴν, ὅταν μήτε τὴν χροιὰν διασώζῃ τὴν ἑαυτῆς, μήτε τὴν ὀδύνην, ἐνίοτε γάγγραιναν ὀνομάζομεν, μηδέπω μὲν οὖσαν ἀκριβῶς γάγγραιναν· εἰ δ' ἀμεληθείη, μικρὸν ὕστερον ἐσομένην.

HIPPOCRATIS TEXTUS XVII.

Nec mihi etiam videtur idoneum eſſe veratrum eodem die datum, & rurſus epotum; ſed ut quodvis tale ad idoneum proximè accedere, cui tamen confido. Quòd ſi neque ab initio reponantur, neque tentet aliquis ea reponere, pleroſque ſe explicare manifeſtum eſt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κζ'.

Καὶ οὐκ ἄν μοι δοκέῃ, οὐδ' ἑλλέβορος ὠφελέειν αὐθήμερόν τε δοθεὶς, καὶ αὖθις πινόμενος. ἄγχιστα δὲ, εἴπερ τι τοιοῦτον· οὐ μέν τοι οὐδὲ τοῦτο δοκέω. ἢν δὲ μὴ ἐμβληθῇ, μηδὲ ἀπ' ἀρχῆς, μηδὲ ἐπιχειρηθῇ ἐμβάλλειν, περιγίνονται οἱ πλεῖστοι αὐτῶν.

GALENI COMMENTARIUS.

Tractavimus de uſu veratri ad ejuſmodi vitia in commentariis in librum de fracturis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῆς τοῦ ἐλλεβόρου χρήσεως ἐπὶ τῶν τοιούτων παθῶν, εἴρηταί μοι, διὰ τῶν εἰς τὸ περὶ ἀγμῶν ὑπομνημάτων.

HIPPOCRATIS TEXTUS XVIII.

Fulcire autem crus & pedem oportet eo modo, quo ipſe velit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ κη.

Χρὴ δὲ ἡρμόσθαι μὲν τὴν κνήμην καὶ τὸν πόδα οὕτως, ὡς αὐτὸς ἐθέλει.

GALENI COMMENTARIUS.

Fulcire crus & pedem ἡρμόσθαι dixit, hoc eſt, ſtabiliter collocare: quò ſpectans imperat ut membrum figuremus, quemadmodum maximè cubantem juvat. Nam, quod ait, eo modo quo ipſe æger velit, huc evadit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡρμόσθαι μὲν τὴν κνήμην, καὶ τὸν πόδα, τὸ ἀσφαλῶς ἐστὶν ἐστηρίχθαι. τούτου δὲ στοχαζόμενόν σε κελεύει, τὸ ἀνωδυνώτατον αἱρεῖσθαι σχῆμα τῷ κάμνοντι· τὸ γὰρ, ὡς αὐτὸς ἐθέλει ὁ κάμνων, τοῦτον ἔχει τὸν σκοπόν.

Adjungit hæc Hippocrates, non ut hiſtoriam conſcribat eorum, quę ſic affectis eveniunt, quemadmodum Thucydides, ubi peſtilentiam illam recenſet; ſed ut cruentas has dejectiones diſtinguat à torminibus, quæ aliis de cauſis accidunt. Quare hæc, quamvis ad propoſitum opus propriè non pertineant; exponere tamen alienum non fuerit, quum Medici complures morbos, ſub quibus ſanguis dejicitur, diſcernere non poſſint: nonnulli enim exiſtimant, ubique

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ λθ΄.

Καὶ ὁρμῶνται μὲν λάβρως, καὶ ἰσχυρῶς, ἀτὰρ οὔτε πολυήμεροι γίνονται, οὔτε θανατώδεις, οὔτε γὰρ μάλα ἀπόσιτοι γίνονται οἱ τοιοῦτοι, οὔτε ἄλλως ξυμφέρει κενεαγγέειν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ ὡς ἱστορίαν γράφων τῶν συμβαινόντων τοῖς οὕτω κάμνουσιν, ὥσπερ ὁ Θουκυδίδης, ἡνίκα διηγεῖται τὸν λοιμὸν, ἀλλ᾽ ἕνεκα διορισμοῦ, τῶν ἐφ᾽ ἑτέραις αἰτίαις γινομένων δυσεντεριῶν, ταῦτα προσέθηκεν ὁ Ἱπποκράτης, ὥστ᾽ εἰ μὴ καὶ τῆς προκειμένης πραγματείας ἴδιός ἐστιν ὁ λόγος, οὐδὲ χεῖρον αὐτὸν ἐξεργάσασθαι, παμπόλλων ἰατρῶν ἀδυνατούντων διακρῖναι τὰς διαθέσεις, ἐφ᾽ αἷς ἐκκρίσεις αἵματος γίνονται. νομίζουσι γοῦν ἔνιοι, πάσας

ῥώμη συντέλεια, ταχέως ὁρμᾶται, καὶ ταχέως παύεται, μετὰ τοῦ μηδ' ἀνορέκτους τοὺς κάμνοντας ἰσχυρῶς γίγνεσθαι, καθάπερ ὅταν ἥπατος ἀρρωστοῦντος, ἐκκρίσεις ἔσονται τοιαῦται. σπανιώτερον μὲν οὖν, ἡπατικὴ διάθεσις ἀπὸ τοιαύτης ἄρχεται κενώσεως. ὡς τὸ πολὺ γὰρ, οἷον κρεῶν πλύματα, χωρὶς αἵματος λεπτοῦ ἐκκρίνονται κατ' ἀρχὰς αὐτοῖς. ἄρχεται μὲν οὖν ἐνίοτε, καὶ σὺν ἀθρόᾳ κενώσει τοῦ αἵματος, ὅταν ποτὲ συνέλθῃ πληθωρικὴ διάθεσις, ἀρρωστίᾳ τοῦ σπλάγχνου. μετὰ δὲ τὴν ἀρχὴν, ὁποτέρως ἂν γενομένην, ἅμα τῷ καὶ ἀνορεκτεῖν ἐσχάτως αὐτοὺς, ἐκκρίνεται, ποτὲ μὲν αἷμα καθαρὸν, οὐ πολὺ, ποτὲ καὶ μετὰ χολῆς ξανθῆς, ἅμα ταῖς τῶν ἐντέρων ἀποξυομέναις πιμελαῖς, εἶτά που καὶ μετὰ ταῦτα, καὶ οἷον τρὺξ αἵματος, ἡνίκα δὴ κακῶς ἔχει τὸ σπλάγχνον, παχύς. ἐπὶ δὲ ταῖς τοιαύταις ἐκκρίσεσι, καὶ μάλιστα ὅταν ἔχωσί τι καὶ χολῆς, αὐτῶν τῶν ἐντέρων συνεκκρίνεται τὰ μόρια, ἃ καλοῦμεν ξύσματα, ἐπιπολῆς αὐτῶν ἀποξυούσης τῆς δριμύτητος τῶν ἐντέρων διαχωρουμένων. ἐπὶ μὲν οὖν τῶν τοιούτων, λεπτοτάτης διαίτης ἐστὶ χρεία· τοῖς δὲ καὶ πλεονάζον ἐκκρίνουσιν αἷμα, δηλονότι διδόναι τροφὴν σύμμετρον, ἐρρωμένου τοῦ ἥπατος, καὶ κρατεῖν αὐτῆς δυναμένου.

ΕΜΒΟΛΗ ΜΗΡΟΥ ΠΡΟΣ ἰσχίον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μ'.

Μηροῦ δὲ ὀλίσθημα κατ' ἰσχίον, ὧδε χρὴ ἐμβάλλειν, ἢν ἐς τὸ εἴσω μέρος ὀλισθήκῃ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καταγνώκασιν Ἱπποκράτους, ἐπὶ ἐμβάλλειν τι καὶ ἰσχίον ἄρθρον, ὡς αὖ ἐκπίπτον αὐτίκα, πρῶτος Κτησίας ὁ Κνίδιος, συγγενὴς αὐτοῦ, καὶ γὰρ αὐτὸς ἦν Ἀσκληπιάδης τὸ γένος, ἐφεξῆς δὲ Κτησίου καὶ ἄλλοι τινές. διττῆς οὖν οὔσης κρίσεως ἁπάντων τῶν πραγμάτων, τῆς μὲν ἑτέρας, ὅταν αὐτόπτης τις γένηται τοῦ ζητουμένου, τῆς δ' ἑτέρας, ὅταν ἐκ τῆς φύσεως αὐτοῦ, μὴ περιμένων μακρὰν πεῖραν, ἐνδεικτικῶς ἀποφαίνηταί τι, καὶ ἡμεῖς ἀμφοτέρας ποιησόμεθα. τὸ μὲν οὖν τῆς φύσεως τοῦ πράγματός ἐστι τοιόνδε. κατὰ τὴν διάρθρωσιν ταύτην, ἰσχυρότατός ἐστι σύνδεσμος, στρογγύλος, ἐγκατακεκρυμμένος αὐτῇ, συνάπτων τὴν κορυφὴν τῆς κεφαλῆς τοῦ μηροῦ, τοῖς βαθυτάτοις τε καὶ κοιλοτάτοις μέρεσι τῆς κοτύλης, ὥστε κἂν

[illegible] cruenta dejectio, quæ magno impetu concitatur, & citò quieſcit, præterquamquòd homo ob cibi faſtidium non admodum abſtinet, ſicut quando ob jecinoris imbecillitatem alvus cruenta eſt; quanquam rarò initio, quum jecur afficitur, hujuſmodi alvus ſe oſtendit: plerunque enim à principio tenuis ſanies cruenta dejicitur aquæ ſimilis, in qua lota caro ſit: interdum tamen incipit jecinoris affectus cum ſubita ſanguinis dejectione, ubi videlicet viſceris imbecillitati ſanguinis multitudo acceſſerit: poſt principium verò utrovis modo res acceſſerit, & æger maximè cibum faſtidit, & ſanguis modò purus & non multus, modò flavæ bili immixtus ſimul, cum deraſa inteſtinorum pinguedine dejicitur, poſtea quaſi fæx ſanguinis deſcendit, ubi jecur jam peſſimè habet. Sub hujuſmodi ergo dejectionibus, præſertim ubi aliquid bilis admixtum fuerit, quædam ipſius inteſtini partes excernuntur, quæ quum deradantur ξύσματα vocant; nam quæ per inteſtina deſcendunt, eo quod acria ſint, ſummam ipſorum partem eraduni; in quo caſu quanta maximè poteſt abſtinentia imperanda eſt: ſed iis, qui ſuperantem ſanguinem dejiciunt, convenienti modo cibus dari debet, quum jecur valeat, & poſſit ipſum conficere.

QUA RATIONE FEMUR in Coxæ cavum reponatur.

HIPPOCRATIS TEXTUS XL.

Vbi femur à coxa elabatur, ſi in interiorem partem venerit, hac via reſtituendum eſt.

GALENI COMMENTARIUS.

Reprehendunt Hippocratem, quòd ponere tentet femur à coxa prolapſum, quum iterum protinus elabatur, primò quidem Cteſias Cnidius ejus cognatus, nam ipſe quoque ex familia fuit Aſclepiadarum: poſt Cteſiam verò alii nonnulli. Sed quum hæc omnia duplici via judicentur, altera quum ipſis oculis comprehenditur, quod requiritur: altera, quum non expectato longo uſu, aliquid demonſtramus, judicio ex ipſius natura ſumpto: nos quoque utraque via judicabimus; Natura igitur rei ſic habet. In hac ipſa commiſſura ligamentum rotundum validiſſimum incluſum eſt, quo ſummum femoris caput altiſſimis, atque intimis cavi partibus innectitur, ita, ut quis,

[...] mo pedem magis attollere, ut ingredi in labrum poſſit. Hoc igitur pacto rei natura monemur, ubi ligamentum abrumpatur, femur repoſitum C in ſua ſede contineri non poſſe. Sed & illud verè adjiceretur, quod commiſſura genu ab exteriori parte nervoſis quibuſdam ligamentis continetur: femur verò hoc uno. Neque ullum aliud habet tale, quo commiſſura ab exteriori parte illigetur; ſed nec muſculos etiam, qui non parum quoque conferunt ad continendos articulos, ne procidant, præſertim ubi boni habitus fuerint ac validi. Quamobrem athletis, quamvis in palæſtra vehementiores ictus patiantur, cadant, diſtendantur, contorqueanturque ad articulos, nihilominus membra non luxantur, D eò quòd validis, & grandioribus muſculis undique circundentur. Scripſit etiam Hippocrates inter initia hujus Libri, bobus potiſſimùm coxæ articulum luxari, ubi ſenes ſunt, & graciles. Femur igitur abrupto ligamento, quo continebatur, etiamſi in ſuam ſedem collocetur, manere non poteſt, iis præſertim qui graciliores fuerint. Spectemus deinceps, ſi ligamentum humoris copiâ relaxatum excidere femur ſinat, idque reponatur, quid futurum eſſe credibile ſit. Mihi quidem, ut in hoc caſu res E manifeſtiſſima videtur; namque ubi idem humor maneat, ſimiliter erumpet; ſed ſi inareſcat, ad naturalem firmitatem reducetur; femur verò ob humorem excidere, & ipſe Hippocrates docet, qui in ſententiis illis, quæ Aphoriſmi inſcribuntur, ſic inquit: Quoſcunque coxæ dolor exercet, his ſi coxæ articulus excidat, & rurſus recondatur, muci ſuperveniunt; mucis autem in commiſſura collectis, hoc eſt, glutinoſo humore, madeſit ligamentum, ac relaxatur. Nihil autem intereſt, ſeu ligamentum, F ſeu nervus illigans vocetur: quæcunque enim ligamenta nervorum exemplo, rotunda ſunt, ab iis, qui in incidendis corporibus verſantur, vocari ſolent nervi illigantes. Sed & nos quoque femur, hac de cauſa luxatum bis jam reſtituimus, neque amplius poſtea procidit: diu autem oportet ſiccantibus medicamentis commiſſuram circundare, dum neruus illigans abundè ſiccetur, ne amplius ita extendatur, ut femur oris cavi poſſit excidere; ſed intus in naturali

ὁμαλοῦ ἐδάφους, ἀεὶ δυνάμεθ᾽ ἂν οὕτω μόνως φυλάξαι τὴν κατὰ φύσιν θέσιν, ἀλλ᾽ ἔοικεν ἀδύνατον τοῦτο. καὶ γὰρ εἰ μηδὲν ἄλλο δυνάμεθά γε, πάντως ἐπαίρειν ἀναγκασθησόμεθα ὡς C ἐν ταῖς εἰς πύελον ἐμβάσεσι. οὕτως μὲν οὖν ἡ φύσις τοῦ πράγματος ἡμᾶς διδάσκει, μὴ δύνασθαι μένειν κατὰ χώραν, τὸν μηρὸν ἐμβληθέντα, τοῦ συνδέσμου διαρραγέντος. ἔτι γὰρ ἂν κἀκεῖνο προσθεὶς ἄν τις, ἀληθεύσοι. τῇ μὲν κατὰ γόνυ διαρθρώσει, σύνδεσμοί τινές εἰσιν ἔξωθεν νευρώδεις. τῷ μηρῷ δὲ μόνος, εἷς οὗτος, οὐδενὸς ἔξωθεν ἄλλου τοιούτου σφίγγοντος τὴν διάρθρωσιν, ὅτι τῶν μυῶν οὐδὲ γὰρ οὐδὲ παρὰ τούτων ὀλίγη τίς ἐστι βοήθεια, πρὸς τὸ μὴ ῥᾳδίως ἐκπίπτειν τὰ ἄρθρα, καὶ μάλιστα ὅταν ὦσιν εὔσαρκοί τε, καὶ σύντονοι, καθάπερ ὑπάρχει τοῖς γυμναστικοῖς, καὶ τοῖς σφοδρότατα ἰσχύουσι, κατὰ τὰ παλαί- D σματα, πληγάς τε, καὶ πτώσεις, καὶ τάσεις, καὶ διαστροφὰς τῶν ἄρθρων, οὐκ ἐκπίπτει τὰ κῶλα, διότι πάντοθεν, ἰσχυροῖς, καὶ μεγάλοις σφίγγεται μυσίν. εἶπε δὲ καὶ αὐτὸς ὁ Ἱπποκράτης, κατ᾽ ἀρχὰς τοῦδε τοῦ βιβλίου, καὶ τοῖς βουσὶ μάλιστα ἐκπίπτειν τὸ κατ᾽ ἰσχίον ἄρθρον, ὅταν ὦσι γέροντές τε, καὶ λεπτοί, διαρραγέντος τοῦ κατὰ τὸν μηρὸν συνδέσμου, μένειν οὐχ οἷόν τε τὸ ἄρθρον κατὰ χώραν, κἂν ἐμβληθῇ καὶ μάλιστα ἐπὶ τῶν ἰσχνῶν. ἐφεξῆς οὖν ἴδωμεν, εἰ δι᾽ ὑγρότητα δαψιλῆ, χαλασθεὶς ὁ σύνδεσμος, ἐπιτρέψειεν ἐκπεσεῖν τῷ μηρῷ, κἄ- E πειτα ἐμβληθείη, τί συμβαίνειν εἰκός· ἐμοὶ μὲν δοκεῖ, κἂν τοῦτο πρόδηλον εἶναι, μενούσης μὲν αὐτῆς τῆς ὑγρότητος αὖθις ὡς αὖθις ἐκπεσεῖν, ξηρανθείσης δὲ, τὴν κατὰ φύσιν, ἀσφάλειαν ἀπολήψεσθαι. ὅτι δὲ δι᾽ ὑγρότητα, συμβαίνει τὸν μηρὸν ἐξαρθρεῖν γίνεσθαι, καὶ παρ᾽ αὐτοῦ τοῦ Ἱπποκράτους μαθήσῃ, γράφοντος ἐν ἀφορισμοῖς ὧδε· ὅσοις, ὑπὸ ἰσχιάδος ἐνοχλουμένοις, ἐξίσταται τὸ ἰσχίον, καὶ πάλιν ἐμπίπτει, τούτοισι μύξαι ἐπιγίνονται. μύξης οὖν ἀθροιζομένης ἐν τῇ διαρθρώσει, τουτέστιν ὑγροῦ γλίσχρου διαβρεχόμενος, ὁ σύνδεσμος χαλᾶται. F διαφέρει δ᾽ οὐδὲν, εἴτε σύνδεσμον ὀνομάζειν αὐτὸν, εἴτε νεῦρον συνδετικόν. ὅσοι γὰρ τῶν συνδέσμων εἰσὶ στρογγύλοι κατὰ νεύρων ἰδέαν, ἔθος ἐστὶ τοῖς ἀνατομικοῖς, νεῦρα συνδετικὰ προσαγορεύειν αὐτούς. καὶ ἡμεῖς ἰασάμεθα δὶς ἤδη τοιαύτην ἔκπτωσιν μηροῦ, καὶ οὐκέτι ἐξέπεσε τοῦ λοιποῦ χρόνου. προσήκει δὲ μέχρι πολλοῦ ξηραίνουσι φαρμάκοις περιλαμβάνειν τὴν διάρθρωσιν, ἄχρις ἂν αὐτάρκως ξηρανθῇ τὸ συνδετικὸν νεῦρον, ὡς μηκέτι συνεκτείνεσθαι

διαφυλάττεσθαι συνεχόμενον πρὸς τῇ κοτύλῃ τοῦ ἰσχίου, τὸν μηρὸν ἀγνοοῦσιν ἐν τῷ καθόλου εἴπερ τὴν ἀπόφασιν ποιούμενοι. οὐ γὰρ αὖ Ἱπποκράτης, καὶ Διοκλῆς, ἀναγεγράφασιν ἐμβαλεῖς, ἔτι δὲ Φιλότιμος, Εὐήνωρ, Νηλεύς, Μόλπις, Νυμφόδωρος, ἄλλοι δέ τινες. ἡμεῖς δὲ ἐπὶ δύο παιδίων ἐκρατήσαμεν τῆς προθέσεως· πολλάκις τοί γε, καὶ μᾶλλον ἐπὶ τῶν πλειόνων ὀλισθαίνει πάλιν τὸ ἄρθρον. οὐκ ἐκ λόγου δὲ δεῖ τὸ πρᾶγμα κρίνειν, ἀλλ' ἐπειδή ποτε καὶ μένει, διαλαμβάνειν, μὴ διὰ παντὸς ἀποσπασμὸν γίνεσθαι τοῦ νεύρου, ἀλλὰ καὶ ἀποχαλᾶσθαι, καὶ συστρέφεσθαι πάλιν, ἐπεὶ τοῦτο ζητεῖν ἐστὶ χρήσιμον, ἀλλ' οὐ παντελῶς κοινόν. ἐπὶ τῷ τέλει τῆς ῥήσεως, ὁ Ταραντῖνος τοῦτο προσέγραψε, φυλάττων τὴν ἑαυτοῦ προαίρεσιν ἐμπειρικὴν οὖσαν. ἔστι δὲ αὐτῇ ἡ προαίρεσις, ὅσα φανερῶς ὤφθη, καὶ τὸ χρήσιμον ἤδη πρὸς τὴν τέχνην ἔχομεν ἐξ αὐτῶν εἰπεῖν, ἄχρηστον ἐπὶ τούτων εἶναι τὴν τῆς αἰτίας ζήτησιν. ἀλλὰ καὶ μετὰ τὸν Ἡρακλείδην, ἄλλοι πολλοὶ τῶν νεωτέρων, γεγράφασιν ἐμβληθέντα μηρὸν ὑπ' αὐτῶν, ἄχρι παντὸς μεμενηκέναι.

coxam ipſum alligabat, quum in univerſum rem negent; neque enim Hippocrates, Diocles, Philotimus, Evenor, Nileus, Molpis, Nimphodorus, & alii nonnulli de reſtituendi ratione tractaſſent: Sed & nos quoque id conſequuti ſumus, ut duos pueros ſanaremus, quibus ſæpius, & magis quàm iis, qui ætate jam robuſtâ ſunt, excidere articulus ſolet. Rem igitur, ratione judicare non oportet; ſed quum interdum maneat, exiſtimare non ſemper nervum abrumpi; ſed relaxari, & iterum contrahi: quoniam expedit hoc requirere, quanquam non omnino commune eſt. Adjecit hoc Tarentinus in fine orationis, ut quam profitebatur, Empiricorum ſectam tueretur, quorum ea ſententia eſt, ut in iis, quæ ita manifeſtè apparent, ut inde proferre utilitatem ad artem jam poſſimus, inutile ſit cauſam quærere. Sed & poſt Heraclidem multi alii ex junioribus reſtitutum à ſe femur perpetuò ſervatum eſſe in ſua ſede teſtantur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μα'.

Ἀγαθὴ μὲν ἤδη, καὶ δικαίη, καὶ κατὰ φύσιν ἡ ἐμβολή, καὶ δή τι καὶ ἀγωνιστικὸν ἔχουσα, ὅστις γε τοῖσι τοιούτοισιν ἥδεται κομψευόμενος. κρεμάσαι χρὴ τὸν ἄνθρωπον, τῶν ποδῶν, πρὸς μεσόδμην, δεσμῷ δυνατῷ, μαλθακῷ δέ, καὶ πλάτος ἔχοντι, τοὺς δὲ πόδας ἔχειν χρὴ ὅσον τέσσαρας δακτύλους ἀπ' ἀλλήλων, ἢ καὶ ἔλασσον. χρὴ δὲ καὶ ἐπάνωθεν τῶν ἐπιγουνίδων, προσπεριβεβλῆσθαι, πλατεῖ ἱμάντι, καὶ μαλθακῷ ἀνατείνοντι ἐς τὴν μεσόδμην.

HIPPOCRATIS TEXTUS XLI.

Hæc quidem reſtituendi ratio bona, juſta, & ſecundùm naturam eſt, per quam ſubitò ferè ad finem pervenitur, ſi quis oſtentationi ſtudeat. Homo per pedes ab eo ligno grandiori, quod tranſverſum ab uno pariete domus ad alterum pervenit, vinculo ſuſpendatur, firmo, molli, latoque: pedes autem habeat quatuor digitos, aut minus etiam inter ſe diſtantes: vinciatur item ſuper genua loro lato ac molli, quod ad propoſitum lignum adducatur.

A

A Lignum grandius, &c.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ ζηλοῦντάς τι δημιουργεῖν εἰώθασιν οἱ Ἀττικοί, κομψεύεσθαι λέγειν, ὅπερ καὶ νῦν σημαίνει παρὰ τῷ Ἱπποκράτει, τό, κομψευόμενος. καὶ γὰρ καὶ πρόσθεν εἶπεν, ἐπὶ τῆς τῆς κλίμακος κατακλίσεως, ὡς ἐκχαυνοῦσι τὸν πολὺν ὄχλον ἐπιτηδεύοντές τινες, ἐπ' αὐτὴν ἥκουσιν, ἀλλ' ὅμως κἀκείνην ἔγραψεν, ἐπεὶ καὶ καλῶς αὐτῇ χρωμένους ἑώρα τοὺς καθ' ἑαυτὸν ἰατρούς. οὕτως οὖν καὶ νῦν, ὡς ἄν τις κάλλιστα διὰ κλίμακος κατατείνας, ἐμβάλλοι μηρόν, ἐβουλήθη διδάξαι. ἴσως δὲ ἄν ποτε καὶ χρησαίμεθα αὐτῇ, μὴ παρόντος τοῦ βάθρου, περὶ οὗ μετὰ ταῦτα ἐρεῖ. κελεύει τοίνυν ἐπὶ κλίμακος τὸν θεραπευόμενον δήσαντας ἱμᾶσι, κρεμάσαι τὴν κλίμακα πρὸς μεσόδμην ἀνατείναντας. οὕτω δὲ ὀνομάζεται τὸ μέγα ξύλον, ἀπὸ τοῦ ἑτέρου

GALENI COMMENTARIUS.

Qui cum oſtentatione aliquid efficiunt, ab Atticis κομψεύεσθαι, dicuntur, quemadmodum nunc ab Hippocrate, qui oſtentationem exprimere volens uſus eſt verbo κομψευόμενος Nam & antea, ubi hominem ſuper ſcalam reſupinavit, ad id præſidium eos venire dixit, qui vulgò videri volunt magnum aliquid moliri; id tamen ſcripſit, quia viderat multos ſui ſeculi Medicos, qui eo minùs rectè uterentur; ita etiam nunc oſtendere voluit, qua via crure per ſcalam optimè extento femur reponatur, qua uti fortaſſe non erit ab re, ubi non ſit ſcamnum, de quo poſtea tractabit. Præcipit igitur, ut ſcala, ſuper qua homo loris alligatus fuerit, ſuſpendatur à ligno grandiori, quod tranſverſum ab uno pariete

eur.

ται. ὅταν δὲ κρεμασθῇ, ἄνδρα χρὴ εὐπαίδευτον, καὶ μὴ ἀσθενέα, ἐνειρέξαντα τὸν πῆχυν μεσηγὺ τῶν μηρῶν.

GALENI COMMENTARIUS.

Partibus, quas commemoravit, quomodo injicienda vincula ſint, apertè expoſuit. Illa igitur, quibus affectum crus appenditur, robuſtiora eſſe voluit & mollia, idque non injuriâ, cùm tota intenſio ad ipſius curationem adhibeatur, ea ratione, quæ communiter requiritur in luxatis omnibus reponendis. Igitur femoris caput, quùm cavo excidens in interiorem partem eruperit, à muſculis, qui ibi ſunt, attractum primò in inferiorem partem attrahendum eſt, unà ſcilicet cum femore, deinde in exteriorem impellendum: cúmque è regione ſui cavi collocatum fuerit, tunc vel ſolis muſculis committendum eſt, vel ſimul etiam adurgendum. Sæpius autem diximus, muſculos naturalem vim habere, qua ad ſua principia contrahuntur. Attrahunt igitur ſimul & femur, quod attractum ſuo capite in cavum coxæ conjicietur.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοὺς μὲν δεσμοὺς, ὅπως προσήκει περιβάλλειν οἷς εἶπε μέρεσι τοῦ σώματος, ἐδήλωσε σαφῶς. ἰσχυροτέρους μέν τοι κελεύει, καὶ μαλθακοὺς, ἀναπείθονται εἶναι τοὺς κατὰ τὸ πεπονθὸς σκέλος, εἰκότως· ὅλη γὰρ ἡ κατάτασις, ἕνεκα τοῦ ἐκείνου θεραπείας γίγνεται, κατὰ τὸν κοινὸν ἁπάντων τῶν ἐμβαλλομένων λόγον. ἐπειδὴ γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ, τῆς κοτύλης ἐκπεσοῦσα, πρὸς τὸ ἐκτὸς χώραν ἥκει, ὑπὸ τῶν ἐνταῦθα μυῶν ἀνασπασθεῖσα, προσήκει δήπου, πρότερον εἰς τὸ
D
κάτω μέρος αὐτὴν ἀγαγεῖν, ἅμα τῷ μηρῷ δηλονότι, κἄπειθ' οὕτως ἀπῶσαι πρὸς τὸ ἐκτὸς χώραν, εἶτα ἐπειδὰν κατ' εὐθὺ γένηται τῆς κοτύλης, ἤτοι τοῖς μυσὶν ἐπιτρέψαι μόνοις τοῦτο ποιεῖσθαι, ἢ καὶ συνεπωθεῖν αὐτόν. εἴρηται δὲ ἤδη πολλάκις, ὡς οἱ μύες ἅπαντες, ἐπὶ τὰς ἑαυτῶν κεφαλὰς ἀνασπᾶσθαι πεφύκασι. συνανασπῶσιν οὖν δηλονότι καὶ τὸν μηρὸν ἑαυτοῖς, ἀνασπώμενος δ' ἐμβιβάσεται τῇ κοτύλῃ τοῦ ἰσχίου, κατὰ τὴν κεφαλὴν αὐτοῦ.

HIPPOCRATIS TEXTUS XLIII.

Dein collocare brachium inter caput femoris luxati, & eam regionem, quæ inter anum & naturale media eſt: tum trajectam manum alterâ prehendere, & rectus aſſiſtens repente corpori ſuſpenſo appendi, ita, ut ſublimis maximè æqualiter ſuſpendatur. In hac reponendi ratione omnia ſecundùm naturam ſunt: nam corpus ipſum ſuſpenſum ſuo pondere deorſum verſus extenditur: is, qui appenditur in inferiorem partem extendit, & femoris caput excitari cogit è regione ſui cavi, ſimulque oſſe brachij ipſum urget, truditque, ſic, ut in priſtinam ſedem revertatur. Neceſſe autem eſt aptiſſimè vincula injicere, ea autem adverſione, ut is, qui appenditur, validiſſimus ſit. At (quemadmodum ſuprà narravimus) homines plurimùm naturâ inter ſe differunt, quantum ad articulos attinet, facile, vel vix reſtituendos. Quamobrem plurimum differant, diximus quæ de humeri capite.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μγ'.

Εἶτα διὰ τοῦ πήχεως μεσηγὺ τοῦ περιναίου, καὶ τῆς κεφαλῆς τοῦ μηροῦ τῆς ἐξεστηκυίης, ἔπειτα συνάψαντα τὴν ἑτέρην χεῖρα, πρὸς τὴν ἠρτημένην, παραστάντα ὀρθὸν, παρὰ τὸ σῶμα τοῦ κρεμαμένου ἐξαπίνης ἐκκρεμασθέντα, μετέωρον αἰωρηθῆναι ὡς ἰσορροπώτατον. αὕτη δὲ ἡ ἐμβολὴ, παρέχεται πάντα ὅσα χρὴ κατὰ φύσιν. αὐτό τε γὰρ τὸ σῶμα κρεμάμενον, τῷ ἑωυτοῦ βάρει, κατάτασιν ποιέεται, ὅ, τε ἐκκρε-
F
μασθεὶς, ἅμα μὲν τῇ κατατάσει, ἀναγκάζει ὑπεραιωρέεσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ, τῷ ὀστέῳ τοῦ πήχεος ἀπομοχλεύειν, καὶ ἀναγκάζειν εἰς τὴν ἀρχαίην φύσιν ὀλισθαίνειν. χρὴ δὲ παγκάλως μὲν τοῖσι δεσμοῖσιν ἐσκευάσθαι, φρονέοντα δὲ, ὡς ἰσχυρότατον τὸν ἐξαιωρεόμενον εἶναι. ὡς μὲν οὖν καὶ πρόσθεν εἴρηται, μέγα τὸ διαφέρειν ἐστὶ τὴν φύσιν τοῖσιν ἀνθρώποισιν, ἐς τὸ εὐέμβλητα εἶναι, καὶ δυσέμβλητα, καὶ διότι μέγα διαφέρει, εἴρηται πρόσθεν ἐν τοῖς περὶ ὤμου.

χειν, ἐπισυζεύξαντά τι τῇ ἑτέρᾳ χεῖρα, καθότι σαφῶς αὐτὸς ἔγραψεν, ἐκκρεμασθῆναι τὸν εἰς τὸ κάτω μέρος ἕλκοντα τὴν B κεφαλὴν ἐπισπᾶσθαι τοῦ μηροῦ. γίνεται δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μοχλεία, πρὸς τὴν εἰς τὸ ἔξω μετάστασιν τοῦ ἄρθρου, χάριν τοῦ κατ' εὐθὺ γενέσθαι τῆς κοτύλης τοῦ ἰσχίου, τὴν κεφαλὴν τοῦ μηροῦ.

trahit femoris caput, manum demittat, cum qua alteram conjungat, ſicut ipſe apertè declaravit, atque ita ſuſpendatur. Quo fiet ut femoris caput, non ſolùm trahatur, ſed in exteriorem commiſſuræ partem impellatur, ut è regione cavi quod in coxa eſt, collocetur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μδ'.

Ἐνίοισι γὰρ ὁ μηρὸς ἐμπίπτει ἀπ' οὐδεμιῆς παρασκευῆς, ἀλλ' ὀλίγης μὲν κατατάσιος, ὅσοι τῇσι χερσὶ κατιθῦναι, βραχείης δὲ, κιγκλίσιος. C

HIPPOCRATIS TEXTUS XLIV.

Nam femur quibuſdam abſque ulla præparatione revertitur, ſiquidem levi adhibita intenſione, & exiguo motu, manibus in ſuam ſedem compellitur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὥσπερ ἐν τοῖς ἔμπροσθεν, ἀρρενικῶς εἶπε κιγκλισμὸν, οὕτω νῦν κίγκλισιν θηλυκῶς, τὴν ἐπὶ βραχὺ γινομένην διακίνησιν. αὐτὸς γὰρ δὴ διακινῆσαι ῥῆμα, κατὰ τῆς βραχείας κινήσεως, ὥσπερ μέμνηται γράφων ἐμβολὴν ἐξηρθρηκυίας γένυος.

GALENI COMMENTARIUS.

Antè κιγκλισμὸν maſculino genere dixit, nunc fœminino κίγκλισιν quod vocabulum διακίνησιν, id eſt exiguum motum ſignificat: quoniam verbum διακινῆσαι mutuatur ad id ſignificandum, quod leviter dimovetur, cujus meminit, cùm tradidit qua ratione luxata maxilla reponeretur. D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ με'.

Πολλοῖσι δὲ, συγκάμψασι τὸ σκέλος κατὰ τὸ ἄρθρον, ἐνέπεσεν ἤδη, ἀμφίσφαλσιν ποιησάμενον· ἀλλὰ γὰρ τὰ πολὺ πλείω, οὐκ ἐνακούει τῆς τυχούσης παρασκευῆς. διὰ τοῦτο, ἐπίστασθαι μὲν χρὴ τὰ κράτιστα, περὶ ἑκάστου, ἐν πάσῃ τῇ τέχνῃ. χρέεσθαι δὲ οἷσιν ἂν δόξῃ ἑκάστοτε. εἴρηνται μὲν οὖν ἔσοδοι κατατασίων, καὶ ἐν τοῖσιν ἔμπροσθεν γεγραμμένοισιν, ὥστε χρέεσθαι τούτων ὅς τις ἂν παρατύχῃ. δεῖ γὰρ ἀντικατατετάσθαι ἰσχυρῶς, ἐπὶ θάτερα μὲν τοῦ σκέλεος, ἐπὶ θάτερα δὲ τοῦ σώματος. ἢν γὰρ εὖ κατατεθῇ, ὑπεραιωρηθήσεται ἡ κεφαλὴ τοῦ μηροῦ, ὑπὲρ τῆς ἀρχαίης ἕδρης· καὶ ἢν μὲν ὑπεραιωρηθῇ οὕτως, οὐδὲ κωλύσαι ἔτι ῥηΐδιον, ἵζεσθαι αὐτὴν ἐς τὴν ἑωυτῆς ἕδρην, ὥστε ἤδη πᾶσα ἀρκέει μόχλευσίς τε, καὶ κατόρθωσις. ἀλλὰ γὰρ ἐλλείπουσιν ἐν τῇ κατατάσει, διὰ τοῦτο ὄχλον πλείω παρέχει ἡ ἐμβολή. E

HIPPOCRATIS TEXTUS XLV.

Compluribus etiam, quùm crus ad commiſſuram hanc flecterent, circumactus jam articulus reverſus eſt, ſed plerumque non paret cuivis præparationi: quamobrem, quæ ad ſingula efficaciſſima ſunt, in unaquaque arte ſcire convenit, & ea ubique adhibere, quæ accommodata videbuntur. Suprà extendendi modos diximus, ut quilibet eo utatur, cujus copia ſit: oportet enim præſtanter ab una parte crus extendere, ab altera corpus: nam, ſi benè extendamus, femoris caput è regione ſui cavi excitabitur, quod, ubi ſic excitatum fuerit, non facilè prohiberi poterit, quominùs in ſuam ſedem revertatur, ita, ut jam quovis modo impellere, ac dirigere abundè ſit. Sed minùs extendunt, quàm par ſit, idcirco majori negocio reponunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν τῷ κάμπτειν τὸ σκέλος κατὰ βουβῶνα, μετέωρος ὅλος ὁ μηρὸς γίγνεται. κατὰ τὴν τοιαύτην γοῦν ἐνέργειαν, ἡ ἐκπεπτωκυῖα κεφαλὴ τοῦ μηροῦ, διακινηθεῖσα, τὰ κατὰ περίσφαλσιν εἴωθεν ἐκπίπτειν ἔστιν ὅτε. τὸ δὲ κατὰ περίσφαλσιν ἔστιν ὅτε, ποῖόν τι δηλοῖ, καὶ ἐπὶ τοῦ κατ' ὦμον ἄρθρου, καὶ τὸ κατ' ἰσχίον, ἐκπιπτόντων τε, καὶ ἐμβαλλομένων, γίνεται, διὰ τῶν ἔμπροσθεν αὐτὸς ἐδίδαξε, ἡνίκα ἐδίδασκε, ἐπὶ πάντων τῶν διηρθρωμένων μὴ δύνασθαι γενέσθαι παράρθρημα, F

GALENI COMMENTARIUS.

Ubi crus ad inguen curvatur, femur univerſum ſuſpenditur: in qua actione prolapſum femoris caput dimovetur, circumactumque reſtitui nonnunquam ſolet. Quid ſit circumagere, quod accidit, ubi prolapſus articulus, vel qui in latum ſcapularum os inſeritur, vel qui in coxam reſtituitur, ipſe in ſuperioribus declaravit, ubi docuit non poſſe articulum in his commiſſuris ſuo loco paululùm excedere

à poſteriori parte ad ſpinam, à priori juxta jugulum adducere, & religare; atque ita in diverſa contendere, aliis ab una parte, aliis ab altera ducentibus. Animadvertendum autem, ne lorum, quod inter anum, & naturale demittitur, ſuper femoris caput extendatur, ſed inter femoris caput, & eam regionem, quæ inter anum, & naturale media eſt. Dum intenſio adhibetur, femoris caput in exteriorem partem propellendum, pugno ipſi inhærente: ubi, qui extendit, ſuſpenditur, una manu trajecta, & alteri juncta, ſimul & extendere debet, & in exteriorem partem urgere: ſed alius ad genu femur in interiorem partem leviter dirigat.

GALENI COMMENTARIUS.

VBi homo per pedes appendatur, capite deorſum ſpectante, omnes articuli extenduntur. At propoſitum eſt eum ſolùm extendere, qui ad inguen eſt. Jure igitur ſuper genu vinculum injicit, quod femur ſurſum extendat. Nam, ſi permittamus attrahi crus ſolùm à vinculis, quæ infrà genu ſunt, fiet ut genu, non minùs, imò magis quàm coxæ articulus extendatur, quùm propiùs ſit vinculis ſub ſe extendentibus.

HIPPOCRATIS TEXTUS XLVII.

SVprà etiam diximus expeditiſſimum eſſe iis qui in frequenti civitate medentur, lignum habere quadratum, ſex cubitorum, aut paulo longius, latum cubitos duos: cujus craſſitudo, ſi dodrantem impleat, abunde eſt.

GALENI COMMENTARIUS.

IN opere de fracturis hujus machinamenti meminit, ita, ut huic quoque teſtimonio innitantur, qui aiunt compoſitum fuiſſe principio ab Hippocrate Librum unum, inſcriptumque de officina medici, deinde in duos diviſum ob magnitudinem, ejuſque priorem partem inſcriptam de fracturis, alteram verò de articulis. Quale autem ſtrui velit machi-

χέρας περιβολῆς διατείνεσθαι, ἀλλὰ καὶ ἱμᾶσι μακροῖσι, διπλόοισι,
C ἰσχυροῖς, προσηνέσι, παρὰ τὸν περίναιον βεβλημένοισι, παρατεταμένοισι ἐπὶ μὲν τὰ ὄπισθεν παρὰ τὴν ῥάχιν, ἐπὶ δὲ τὰ ἔμπροσθεν, παρὰ τὴν κληῖδα προσηρτημένοισι, τὴν ἀρχὴν τὴν ἀντικατατείνουσαν οὕτω διαναγκάζεσθαι, τοῖσι μὲν ἔνθα διατεινομένοισι, τοῖσι δὲ ἔνθα. ὅκως δὲ ὁ ἱμὰς, ὁ παρὰ τὸν περίναιον, μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ μηροῦ παρατεταμένος ἔσται, ἀλλὰ μεσηγὺ τῆς κεφαλῆς ἐπὶ τοῦ περιναίου. ἐν δὲ τῇ κατατάσει, κατὰ μὲν τὴν κεφαλὴν τοῦ μηροῦ ἐρείσας τὴν πυγμὴν ἐς τὸ ἔξω ὠθείτω. ἢν δὲ μετεωρίζηται ἑλκόμενος, διείρας τὴν χεῖρα, καὶ ἐπισυνάξας τῇ ἑτέρῃ χειρὶ, ἅμα μὲν συγκατατεινέτω,
D ἅμα δὲ ἐς τὸ ἔξω συναναγκαζέτω. ἄλλος δέ τις, τὸ παρὰ τὸ γόνυ τοῦ μηροῦ, ἡσύχως ἐς τὸ εἴσω μέρος κατορθούτω.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΚ τῶν ποδῶν κρεμαμένου τοῦ ἀνθρώπου, καὶ τὴν κεφαλὴν ἔχοντος κάτω, πᾶσι τοῖς ἄρθροις διατείνεσθαι συμβαίνει, βουλόμεθα δὲ ἡμεῖς, ἓν μόνον ἄρθρον, τὸ κατὰ τοὺς βουβῶνας, τοῦτο πάσχειν. εἰκότως οὖν, ἄνω τοῦ γόνατος ἐπιβάλλειν κελεύει δεσμὰ τῶν μηρῶν τὸ κάτω ἄνω τεινόμενα.
E μόνοις γὰρ τοῖς κατὰ τὴν κνήμην, ἐὰν ἐπιτρέψαιμεν αὐτὸ ἕλκειν τὸ σκέλος, οὐδὲν ἧττον, ἀλλὰ καὶ μᾶλλον τῆς κατ᾽ ἰσχίον διαρθρώσεως, ἔκτασιν τῆς συμβήσεται τῆς κατὰ γόνυ, τοῖς τείνουσι δεσμοῖς οὔσης ἐγγυτέρω.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μζ'.

ΕΙρηται δὲ καὶ πρόσθεν, ὅτι ἐπάξιον, ὅς τις ἐν πόλει πολυανθρώπῳ ἰητρεύει, ξύλον κεκτῆσθαι τετράγωνον, ὡς ἑξάπηχυ, ἢ ὀλίγῳ μεῖζον, εὖρος δὲ, ὡς δίπηχυ, πάχος δὲ ἀρκέει σπιθαμιαῖον.
F

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τῷ περὶ ἀγμῶν, εἴρηκε περὶ τοῦδε τοῦ μηχανήματος, ὥστε καὶ ἐντεῦθεν ἐφέλκεσθαι μαρτύριον ὧν λέγουσιν ἔνιοι, περὶ τοῦ γεγράφθαι μὲν ὑφ᾽ Ἱπποκράτους ἓν βιβλίον, ἐξ ἀρχῆς ἐπιγεγραμμένον κατ᾽ ἰητρεῖον, ὕστερον δὲ εἰς δύο τμηθῆναι διὰ τὸ μέγεθος, ἐπιγραφῆναί τε, ἕτερον μὲν πρότερον αὐτοῦ μέρος, περὶ ἀγμῶν, τὸ δὲ δεύτερον, περὶ ἄρθρων. ὁποῖον δέ τι

μένον ἐπιτήδειον, Ἀρχιμήδους δ' αὐτὸ φασὶν εὕρημα εἶναι. πρὸς δὲ τὰς ἐν πόλει χρείας, σάμνιον μὲν ἄξιον λόγου, τὸ τοῦ τέκτονος καλούμενόν ἐστιν, ἢ τὸ τοῦ Ἀνδρέου. B ἑδραῖον δὲ, τοῦτο τὸ Ἱπποκράτους βάθρον, ὃ τινες τῶν νεωτέρων ἰατρῶν, ἐπὶ δὴ ἐσκευάκασι ποικιλώτερον, ὥσπερ καὶ τὴν μηχανικὴν ἄμβην. ἐφεξῆς οὖν, αὐτοῦ γράφοντι τὴν κατασκευὴν τοῦ ὀργάνου, προσέχετε τὸν νοῦν, ἐφαρμόζοντες ἃ λέγει, τοῖς τεθεαμένοις ἐφ' οὗ τεθέασθε βάθρου· μόνη γὰρ δεῖξις, σαφηνίζει τὰ τοιαῦτα, καθάπερ εἴρηται καὶ πρόσθεν. ἐστὶ μὲν οὖν τῶν ἀναγινωσκόντων παρ' ἐμοὶ τὸ βιβλίον, ἑτοίμως ποιοῦμαι, παρακειμένου τοῦ ὀργάνου, πολλάκις μὲν αὐτοῦ τοῦ μεγάλου, πολλάκις δὲ C καὶ τῶν μεμιμημένων αὐτὸ τινὸς, ἃ διὰ ταύτην μόνην τὴν χρείαν κατασκευάζομεν, ἵνα ἔχωμεν δεικνύναι τοῖς ἀναγινώσκουσιν. οὐ γὰρ δὴ δι' αὐτῶν ἐστιν ἐμβληθῆναι ἄρθρον, ἀλλὰ νῦν γε τοῦτο μὲν ἀδύνατόν ἐστι πρᾶξαι. τὸ δ' ἐξηγήσασθαί τι τῶν κατὰ τὴν λέξιν ἀσαφῶν, δυνατὸν, ὅπερ ἔν τε τοῖς ἔμπροσθεν ἐποίησα, καὶ νῦν ἐν τοῖς ἐφεξῆς πράξω.

cuitibus, facilitatem præſtet, quod iterum facientibus maximè idoneum eſt. Refertur autem ad Archimedem auctorem. In urbibus B verò non alienum eſt Fabri, vel Andreæ organum, ubi erecto opus eſt: ubi plano, ſcamnum hoc Hippocratis præcipuè aptatur, quod à nonnullis ex recentioribus medicis variè jam ſtruitur, ſicut machinatio ſpathæ, quæ in ſummo capitulum habet rotundum ac leniter cavum. Deinceps igitur ad organi ſtructuram, quæ ab ipſo traditur, animum advertite, ea, quæ Hippocrates ſcribit, iis quæ in ſcamno inſpexiſtis accommodantes: hæc enim, ſicut anteà quoque dictum eſt, ſola monſtratione aperiuntur. Equidem iis, qui apud C me Librum legunt, rem facilè demonſtro, organo juxtà collocato, ſæpè ipſo magno, ſæpè parvo aliquo, ad magni exemplum fabricato, cujuſmodi ad hunc tantùm uſum paramus, ut oſtendere legentibus poſſimus, quùm per tales formulas nequeant articuli in ſuam ſedem urgeri. Nunc autem monſtrari hæc minimè poſſunt: ſed exponere licet, ſi quid ex verbis Hippocratis obſcurum ſit: quod & in ſuperioribus feci, & nunc etiam faciam.

D

ΙΓΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μη΄.

ΕΠειτα, κατὰ μῆκος μὲν, ἔνθεν καὶ ἔνθεν τομὴν ἔχειν χρὴ, ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχάνησις εἴη.

HIPPOCRATIS TEXTUS XLVIII.

EXcavetur præterea hinc in longitudinem, ne machinamentum juſto ſublimius ſit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν ἔνθεν καὶ ἔνθεν, ἐξ ἀριστερῶν, καὶ ἐκ δεξιῶν λέγει. δῆλον δὲ ἐκ τοῦ προσθεῖναι κατὰ μῆκος. ἀλλὰ καὶ τὸ παραμήκη, ταυτόν ἐστι. τὴν γὰρ ἄνωθεν τῆς κεφαλῆς, καὶ κάτωθεν τῶν ποδῶν τομὴν, ἐγκαρσίαν ἂν E εἰρήκει μᾶλλον, οὐ παραμήκη. ἡ δὲ σύμπασα φράσις ἑρμηνευθείη, τοιόνδ' ἐστίν· οὐδὲν γὰρ χεῖρον, αὐτὴν παραφράσαι σαφηνείας ἕνεκεν. ἔπειτα κατὰ μῆκος μὲν, ἔνθεν καὶ ἔνθεν ἐντομὴν εἶναι χρὴ παραμήκη τοῦ ξύλου, βάθος ἔχουσαν σύμμετρον, ὡς πρὸς μοχλείαν, ὅπως μὴ ὑψηλοτέρα τοῦ προσήκοντος ἡ μηχάνησις εἴη. τὸ γὰρ τοῦ καιροῦ, λέγουσιν οἱ Ἕλληνες ἐνίοτε, καὶ τοῦ προσήκοντος, ὅπερ καὶ δέον ὀνομάζουσιν. ἔστω τοιγαροῦν ἡ τομὴ τηλικαύτη τὸ βάθος, ὡς ἐν αὐτῇ στηρίξασθαι μοχλὸν, ἁρμόττοντα F τῇ μελλούσῃ γίνεσθαι μοχλείᾳ.

GALENI COMMENTARIUS.

HInc atque hinc dixit ἔνθεν καὶ ἔνθεν, quod accipit pro à dextra parte, & ſiniſtra. Id vel eo patet, quod adjicit in longitudinem quod idem ſignificat, atque longum. Nam, E ſi excavari voluiſſet ſuprà à capite, vel infrà à pedibus, tranſverſum potius dixiſſet, non in longitudinem. Mens autem totius orationis hujuſmodi eſt, quam non abs re eſt, perſpicuitatis cauſa, non longè à verbis recedentem exponere. Excavetur præterea hinc, atque hinc in longitudinem ligni: idque cavum eam altitudinem habeat, quæ ad impellendum accommodatur, ne machinatio juſto ſublimior ſit. Verbum *juſto* ipſe ſcribit τοῦ καιροῦ, Græci enim ita dicunt, & interdum etiam τοῦ προσήκοντος, quod debito ſignificat. Ergo altitudo F cavi tanta eſſe debet, ut vectis, qui ad impellendum aptatur, illis inhærere, atque objici poſſit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ μθ.

ΕΠειτα ξύλα βραχέα, ἰσχυρὰ, ἐνηρμοσμένα, ὀνίσκους ἔχειν ἑκατέρωθεν.

HIPPOCRATIS TEXTUS XLIX.

POſtes item ab utraque parte adjiciantur, breves, robuſti, qui axes contineant.

FOſſas dixit καπέτους, quod verbum non pauci ex veteribus Græcis in eandem ſignificationem acceperunt; id mutuatur nunc Hippocrates tranſlatione uſus, ad ea cava ſignificanda, quæ in ſcamno ea de cauſa fiunt, ut illis objici vectes poſſint: quæ cava præcipit, ut in altera ligni parte magis, hoc eſt in inferiori, exſculpantur: nihil etiam (inquit) prohibet quin in ſuperiori quoque parte ſint; quanquam non neceſſe eſt, hoc ſiquidem machinamentum, quod nunc exponimus, non ſolum ad coxæ articulum pertinet, ſed & ad vertebras quocunque modo luxatas, & ad humeri caput reponendum. Complura autem ſint cava hæc oportet, quandoquidem, qui curantur, ætate, magnitudine, & univerſo corporis habitu, inter ſe differunt; quàm magna eſſe debeant, & quantum inter ſe diſtare, ipſe evidenter expoſuit.

Καπέτους μὲν, οὐκ ὀλίγοι τῶν παλαιῶν εἰρήκασι τὰς C τάφρους· ὁ δ' Ἱπποκράτης, νῦν ἐκ μεταφορᾶς κέχρηται τῇ προσηγορίᾳ, τὰς ἐκτετμημένας τοῦ βάθρου κοιλότητας ἑρμηνεῦσαι βουλόμενος, ἕνεκα τοῦ στηρίζεσθαι κατ' αὐτὰς τοὺς μοχλοὺς, ἃς εἶναι κοιλότητας, ἀξιοῖ μάλιστα μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου, τουτέστι, τῷ κάτω, διαγλύψαι. κωλύειν δ' οὐδὲν ἐκ περιουσίας φησὶν, εἰ καὶ κατὰ τὸ ἄνω μέρος εἴη. οὐ μόνον γὰρ, τὸ κατ' ἰσχίον ἄρθρον ἐμβάλλουσιν ἡμῖν, ἔστι χρήσιμον τὸ νῦν ἑρμηνευόμενον ὄργανον, ἀλλὰ καὶ τὰ κατὰ τοὺς σφονδύλους πάντα, καὶ τὸν ὦμον. εἶναι δὲ χρὴ πλείους ταύτας, ἐπειδὴ καὶ ταῖς ἡλικίαις,
D καὶ τοῖς μεγέθεσιν, ὅλῃ τῇ ἕξει τοῦ σώματος, ἀλλήλων διαφέρουσιν οἱ θεραπευόμενοι. τὸ μέγεθος δ' αὐτῶν ὁπηλίκον εἶναι κελεύει, καὶ τὴν διάστασιν, ἣν ἀλλήλων ἀπέχουσιν, αὐτὸς ἔγραψε σαφῶς.

HIPPOCRATIS TEXTUS LI.

MEdium inſuper lignum altè in quadratam figuram trium digitorum excavetur, in quod cavum, ubi opus eſſe videatur, defigatur lignum, quod cavo conveniat, & ſuperiùs teres ſit. Figatur autem, quum ad rem pertinere videbitur, medium inter femoris caput, & eam regionem, quæ inter anum & naturale media eſt: quod lignum extans corpus ſequi non permittit, quùm à pedibus trahitur: interdum enim hoc ſufficit, abſque intenſione, quæ, ut membrum in diverſa diducatur, à ſuperiori quoque parte adhibetur. Interdum autem ubi crus ab utraque parte extendatur, lignum hoc versùs hanc, vel illam partem laxum demittitur, ut femoris caput in exteriorem partem impellat; hac enim de cauſa & cava exſculpta ſunt, ut cuneus, vel vectis ligneus, in quod expeditiùs ſit demiſſus, aut juxta articulorum capita, aut ipſis prorſus inhærens, eodem momento impellat, quo intenſio adhibetur, ſeu in exteriorem partem, ſeu in interiorem impellere opus ſit.

A

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ να'.

Ἔχειν δὲ κατὰ μέσον τὸ ξύλον, καὶ καταγλυφὴν χρὴ, βαθυτέρην ἐπὶ τετράγωνον ὡς τριῶν δακτύλων, ἢ ἐς μὲν
E τὴν καταγλυφὴν ταύτην, ὅταν δοκέῃ προσδεῖν ξύλον, ἐμπηγνύναι ἐναρμόζον τῇ καταγλυφῇ, τὸ δὲ ἄνω στρογγύλον, ἐμπηγνύναι δὲ, ἐπήν ποτε δοκέῃ ξυμφέρειν, μεσηγὺ τοῦ περιναίου, καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. τοῦτο τὸ ξύλον ἑστὼς, κωλύει τὴν ἐπίδοσιν ἐπιδιδόναι τὸ σῶμα, τοῖσι πρὸς ποδῶν ἕλκουσιν. ἐνίοτε γὰρ ἀρκέει αὐτὸ τὸ ξύλον τοῦτο, ἀντὶ τῆς ἄνωθεν ἀντικατατάσιος· ἐνίοτε δὲ καὶ κατατεινομένου τοῦ σκέλεος ἔνθεν καὶ ἔνθεν, αὐτὸ τὸ ξύλον τοῦτο χαλαρὸν ἐγκείμενον, ἢ τῇ, ἢ τῇ, ἐκμοχλεύειν ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὸ
F ἔξω μέρος. διὰ τοῦτο γὰρ καὶ αἱ κάπετοι ἐντετμέαται, ὡς καθ' ὁκοίην ἂν αὐτέων ἁρμόσῃ ἐμβαλλόμενος ξύλινος μοχλὸς, μοχλεύοι, ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων, ἢ κατὰ τὰς κεφαλὰς τελέως ἐρειδόμενος, ἅμα τῇ κατατάσει, ἤν τε ἐς τὸ ἔξω μέρος συμφέρῃ ἐκμοχλεύεσθαι, ἤν τε ἐς τὸ εἴσω.

A Lignum ſex cubitos, &c.

θεις τὴν διάνοιαν, οὐκ ὀκνήσω παραφράζων τὴν αὐτὴν εἰπεῖν. τὸ τοίνυν ξύλον τοῦτο, μεταξὺ τοῦ περινέου, καὶ τῆς ἐκπεπτωκυίας τοῦ μηροῦ κεφαλῆς, ὀρθὸν ἱστάμενον, ἀντιστήριγμα γίνεται τῇ κάτω τάσει. λέλεκται γὰρ ἤδη πολλάκις ἡμῖν πρόσθεν, εἰ μή τις ἀντιτείνει πρὸς τὴν ἐναντίαν χώραν τοῦ κατατεινομένου κώλου, συνακολουθοῦν ὁ κάμνων, ἐκλύσει τὴν τάσιν. ἐργάζεται μὲν τοῦτο, καὶ ἡ διὰ τῶν ἄνω βρόχων ἀντίτασις, ἀσφαλείας δὲ ἕνεκα, καὶ τούτῳ τῷ ξύλῳ χρῆται, καὶ μέντοι καὶ μοχλεύει ποτ᾽ αὐτὸ πιέσας τινὶ καὶ ὄντα χαλαρόν. B

tamen qui hebetioris ſunt ingenii, verba hæc aperire aliquantulùm non gravabor. Hoc igitur lignum, quod erectum collocatur inter caput femoris prolapſi, & eam regionem, quæ media eſt inter anum, & naturale, renixûs cauſa objicitur, quum ab inferiori parte crus extenditur; ſæpius enim oſtendimus, ubi membrum extenditur, niſi à contraria parte tendatur, ſequente ægro, intenſionem reſolvi. Tenditur autem, & per laqueos ſuperioribus partibus injectos; ſed firmitatis causâ lignum hoc adhibet, quo nonnunquam minùs firmiter hærente ad impellendum utitur.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιβ΄.

Καὶ ἢν τι στρογγύλον τὸ μοχλὸν ξυμφέρῃ εἶναι, ἤν τι πλάτος ἔχοντα, ἄλλος γὰρ ἄλλῳ τῶν ἄρθρων ἁρμόζει. εὔχρηστος δὲ ἐστὶν ἐπὶ πάντων τῶν ἄρθρων ἐμβολῆς, τῶν κατὰ τὰ σκέλεα, αὕτη ἡ μόχλευσις σὺν κατατάσει· περὶ οὗ νῦν ὁ λόγος ἐστί, στρογγύλος ἁρμόζει ὁ μοχλὸς εἶναι· ἀπὸ τουτέων τῶν μηχανέων, καὶ ἀναγκέων οὐδὲν ἄρθρον μοι δοκέει οἷόν τε εἶναι, ἀπορηθῆναι τοῦ ἐμπεσεῖν. εὕροι δ᾽ ἄν τις καὶ ἄλλους τρόπους τούτου τοῦ ἄρθρου ἐμβολῆς. D

HIPPOCRATIS TEXTUS LII.

Ac ſeu teres vectis eſſe debeat, ſeu latus, alius enim alii articulo convenit hujuſmodi impulſus, ſi intenſio quoque accedat, ad omnes crurum articulos reponendos efficaciſſimus eſt: propoſito autem articulo vectis teres accommodatur. Quod ſi per hoc machinamentum vis adhibeatur, fieri non poſſe exiſtimo, ut aliquis ſit articulus, qui non reponatur. Reperiet quis, & alios reponendi hujus articuli modos.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὐτὸς ἐφεξῆς ἐρεῖ, στρογγύλῳ μὲν χρῆσθαι μοχλῷ, μοχλεύοντας ἔξω τὸν μηρὸν, ὅπερ αὐτῷ νῦν πρόκειται, τὴν ἔσωθεν μεθεστῶσαν ἐμβάλλοντι κεφαλήν. ἐπὶ δὲ τῆς ἔξωθεν μεθεστηκυίας, τῷ πλατεῖ χρῆσθαι μοχλῷ. νῦν μὲν γὰρ βούλεται παρατεθῆναι μεταξὺ τοῦ περιναίου, καὶ τῆς ἐκπεπτωκυίας κεφαλῆς, αὐτὸν ἄνωθέν πως μᾶλλον πειρωμένοις τῆς κεφαλῆς πιέζειν, κατὰ δὲ τὴν ἔξω μετάστασιν, εὐρυχωρίας οὔσης ἱκανῆς, ἀσφαλέστερον ἐστὶ παραθέσθαι ὁ πλατὺς μοχλὸς, ὡς καὶ μετ᾽ ὀλίγον αὐτὸς εἰρήσεται, κατὰ τὸν ἴδιον αὐτοῦ λόγον. E

GALENI COMMENTARIUS.

Ipſe deinceps oſtendet tereti vecte tunc utendum eſſe, quum femur in interiorem partem impellitur, quod nunc inſtituit, quum femoris caput in interiorem partem prolapſum reponat: nam, ſi in exteriorem luxatum ſit, latum vectem admoveri jubet. Nunc quidem præcipit ut medium inter caput femoris prolapſi, & eam regionem, quæ eſt inter anum & naturale, inſeramus, conemurque ſublimius paulo, quàm femoris caput demittere; ſed, quum in exteriorem regionem articulus veniet, ubi ſatis ſpatii eſt, latus vectis firmiùs objicietur, quod ipſe paulò infrà oſtendet, ubi aget de ipſo ſeparatim.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιγ΄.

Εἰ γὰρ τὸ ξύλον τοῦτο τὸ μέγα ἔχοι κατὰ μέσον, καὶ ἐκ πλαγίων, φλιὰς δύο ποδιαίας, ὕψος δὲ, ὅκως δοκέει ξυμφέρειν, τὴν μὲν ἔνθεν, τὴν δὲ ἔνθεν, ἔπειτα ξύλον πλάγιον ἐνείη ἐν τῇσι φλιῇσιν ὡς κλιμακτὴρ, ἔπειτα διείρειν τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιέων, τὸ δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχοι ἐναρμόσσον. ἀτὰρ πρὸς τὸ ὕψος, καὶ πρὸς τὸ ἄρθρον ᾗ ἐκπέπτωκε, ῥηΐδιον χρὴ ἁρμόζειν. τὸν γὰρ κλιμακτῆρα ὑψηλότερον χρὴ ποιέειν τοῦ μετρίου, καὶ ἱμάτιον πολύπτυχον, ὡς ἂν ἁρμόσῃ, ὑποτείνειν ὑπὸ τὸ σῶμα. F

HIPPOCRATIS TEXTUS LIII.

Nam, ſi magnum hoc lignum medium duos poſtes habeat pedales, ejus altitudinis, quæ idonea videatur, ab utroque latere unum: tum ſuper hos duos poſtes tranſverſum lignum in ſpeciem gradûs ſtatuatur: deinde integrum crus inter poſtes trajiciatur; quod læſum eſt, ſuper gradum commodè collocatur, ſuperque aptatur, quà articulus exceſſit. Gradum verò juſto ſublimiorem ſtabilire oportet: & multiplicem veſtem, prout convenire videbitur, corpori ſubjicere.

C

HIPPOCRATIS TEXTUS LIV.

Poſt hæc lignum, quod convenientem latitudinem habeat, & longitudine uſque ad talum perveniat, cruri ſubjiciendum, ſic, ut ultrà caput femoris, quantum poteſt, feratur: crurique alligandum, quot locis opus eſſe videbitur.

GALENI COMMENTARIUS.

Lignum alligandum eſſe ad totum crus, ſuprà etiam oſtendimus; ſed nunc ſuperiorem ligni extremitatem, ſuperiorem capite femoris collocandam exiſtimat, adjiciens orationi quantum poteſt: ſiquidem, quod nunc fieri jubet, difficillimum eſt, niſi ea pars longi hujus ligni, quæ inguini hæret, humilior ſtruatur: quæ ſpectat in exteriorem partem, ſublimior: nam, ſi æquale ſit, paremque altitudinem habeat, difficile admodum fuerit ipſius ſummitatem ſimul in inguine ſtabilire, & ſuperiorem femoris capite demittere.

E

HIPPOCRATIS TEXTUS LV.

Quo facto dum crus intenditur, vel per lignum, quale piſtillum eſt, vel per aliud ex iis, quæ idonea ad extendendum ſunt, ſimul oportet crus cum alligato ligno ſuper gradum deorſum compellere, & ad coxam ab aliquo homine contineri: hac enim via femoris caput intenſionis vi è regione ſui cavi ſuperius collocabitur, & ſimul ob impulſum, in ſuam ſedem trudetur. Quæ cogendi rationes validæ ſunt: & ſi rectè admoveantur, vitium ſuperant; ſed, quemadmodum antè dictum eſt, articulus hic, imbecilliori vi, & plerunque quavis præparatione in ſuum locum revertitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νδ΄.

Ἔπειτα δὲ καὶ ξύλον ἔχοντα πλάτος μέτριον καὶ μῆκος, ἄχρι τοῦ σφυροῦ ἀποτεταμένον, ὑπὸ δὲ τὸ σκέλος τεθὲν, ἱκνεύμενον ἐπέκεινα τῆς κεφαλῆς τοῦ μηροῦ, ὡς οἷόν τε. προσκαταδεῖν δὲ καὶ πρὸς τὸ σκέλος ὁκοσαχοῦ ἂν μετρίως ἔχῃ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Ὅτι τὸ ξύλον προσκαταδεῖ τὸ σκέλος ὅλον, εἴρηταί μοι καὶ πρόσθεν, ἀλλὰ νῦν γε, τοῦ ξύλου τὴν ἄνωθεν ἀρχὴν, ὑψηλοτέραν ἀξιοῖ ποιῆσαι, τῆς κεφαλῆς τοῦ μηροῦ, προσθεὶς τῷ λόγῳ, τὸ, οἷόν τε. πάνυ γάρ ἐστι χαλεπὸν, ὃ λέγει ποιῆσαι, πλὴν εἰ τὸ μὲν, εἰς τὸν βουβῶνα τοῦ μακροῦ ξύλου στηριζόμενον, εἰργάσατό τις ταπεινότερον, ὑψηλότερον δὲ τὸ ἔξω μέρος, ὁμαλόν τε, καὶ ἰσόρροπον αὖ εἴη, πάνυ χαλεπόν ἐστι, ἅμα μὲν στηρίζειν αὐτοῦ τὴν ἀρχὴν ἐν τῷ βουβῶνι, ἅμα δὲ ὑπερέχουσαν ποιεῖν τῆς κεφαλῆς τοῦ μηροῦ, κατὰ τὴν νῦν προκειμένην ἔκτασιν, ὑψηλοτέραν οὖσαν τοῦ βουβῶνος.

E

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ νε΄.

Κἄπειτα κατατεινομένου τοῦ σκέλεος, εἴτε ξύλῳ ὑπεροειδεῖ, εἴτε τουτέων τινὶ τῶν κατατασίων, ὁμοῦ δὲ καὶ καταναγκάζειν τὸ σκέλος περὶ τὸν κλιμακτῆρα, ἐς τὸ κάτω μέρος, ξὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ. τὸν δὲ ἵνα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου κατὰ τὸ ἰσχίον. καὶ γὰρ οὕτως, ἅμα μὲν ἡ κατάτασις ὑπεξαίροιτο τὴν κεφαλὴν τοῦ μηροῦ F εἰς τὴν ἀρχαίην φύσιν. αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι ἰσχυραὶ, καὶ πᾶσαι κρείσσους τῆς ξυμφορῆς, ἤν τις ὀρθῶς καὶ καλῶς σκευάζοι. ὥσπερ δὲ καὶ πρόσθεν εἴρηται, πουλύ τι ἀπὸ ἀσθενεστέρων κατατασίων καὶ φαυλοτέρης κατασκευῆς τοῖσι πλείοσιν ἐμπίπτει.

τοῦ ὕπερος, ἄριστος ἂν εἴη, τὸ αὐτὸ τοῦτο ποιήσομεν, κατατείνειν. ἐξαρτῆσαι δὲ δηλονότι δεῖ τοὺς κατατείνοντας αὐτὸ βρόχους, ἤτοι ξύλου τινὸς ὑπεροειδοῦς, ἀπηρεισμένου κατὰ τὸ πέρατι, πρὸς ἑδραῖόν τι τοῦ ἐδάφους κείμενον· εἰ δὲ μὴ διὰ τοῦ τοιούτου ξύλου βούλοιο τὴν κατάτασιν ποιεῖσθαι, τῷ πρὸς τῶν ποδῶν ἄξονι τοῦ βάθρου, περιδῆσαι τὰ πέρατα τῶν κατατεινόντων ἱμάντων. τοῦτο γὰρ ἐδήλωσεν ἐν τῷ φάναι, εἴτε τούτων τινὶ, εἴτε τῶν κατατασίων, λέγων τούτων δηλονότι τῶν προειρημένων, πρὸς διαστολὴν τοῦ ὑπεροειδοῦς ξύλου. τὰ δ' ἐφεξῆς τῆς ῥήσεως τῆσδε, δῆλα. B

tendere. Cæterùm laquei, quibus crus extenditur, religandi ſunt, vel ad lignum, quale piſtillum eſt, cujus ima pars firmiter in pavimento oppoſitæ moræ objiciatur: vel ſi hujuſmodi ligno uti ad intendendum nolis, lori capita ad axem qui in ſcamno à pedibus eſt, vincienda; id enim ſibi voluit, quum ait: vel per aliud ex iis quæ ad extendendum ſunt, ex iis intelligens, quæ propoſita ſunt diverſa à ligno, quale piſtillum eſt. Quæ ſubjicit in hac oratione manifeſta ſunt.

C

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ιϛ'.

Ἢν δὲ ἐς τὸ ἔξω κεφαλὴ μηροῦ ὀλισθῇ, τὰς μὲν κατατάσιας ἔνθα καὶ ἔνθα χρὴ ποιέεσθαι, ὥσπερ εἴρηται τοιουτοτρόπως. τῇ δὲ μοχλεύσει πλάτος ἐχούσῃ τῷ μοχλῷ, μοχλεύειν χρὴ ἅμα τῇ κατατάσει, ἐκ τοῦ ἔξω μέρεος ἐς τὸ εἴσω ἀναγκάζοντα, κατά τε αὐτὸν ἤδη τὸν γλουτὸν, πλάγιον τὸν μοχλὸν, καὶ ὀλίγῳ ἀνωτέρω. ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον, κατὰ τὸν γλουτὸν ἀντιστηριζέτω τις ταῖσι χερσὶν, ὡς μὴ ὑποχωρέῃ τὸ σῶμα, ἢ ἑτέρῳ τινὶ τοιούτῳ μοχλῷ ὑποβάλλων, καὶ ἐρείσας ἐκ τῶν κατ' ἴσον, τὴν ἁρμόζουσαν ἀντικατεχέτω. τοῦ δὲ μηροῦ τοῦ ἐξηρθρηκότος τὸ παρὰ τὸ γόνυ εἴσωθεν ἔξω παραγέτω ἡσύχως. ἡ δὲ κρέμασις, οὐχ ἁρμόσει τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος τοῦ ἄρθρου. ὁ γὰρ πῆχυς τοῦ ἐκκρεμαμένου, ἀπωθέοι ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ἀπὸ τῆς κοτύλης· τῷ μέντοι ξύλῳ τῷ ὑποκειμένῳ ξύλῳ μοχλεύσειν, μηχανήσαιτ' ἄν τις. ὥστε ἁρμόζειν καὶ τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἔξωθεν προσβαρτέον. ἀλλὰ τί καὶ δεῖ πλείω λέγειν, ἢν γὰρ ὀρθῶς μὲν καὶ εὖ κατατείνηται, ὀρθῶς δὲ μοχλεύηται, τί οὐκ ἂν ἐμπέσοι ἄρθρον, ὅπως ἐκπεπτωκός. D E

HIPPOCRATIS TEXTUS LVI.

At ubi in exteriorem partem femoris caput exciderit ab utraque parte, quomodo ante diximus, extendendum eſt: ſed impellendum per latum vectem, ſimulque dum intenſio adhibetur, ab exteriori parte in interiorem urgendum, vecte ad clunem, ac paulo ſuprà accommodato, & , ne corpus cedat, aliquo integram partis clunem repellente, vel manibus, vel alio hujuſmodi vecte ſuperimpoſito, qui cavo illi, quod magis in rem erit, objiciatur: femoris item luxati, quod ad genu eſt, ab interiori parte leviter in exteriorem cogendum. Suſpendere tamen, ubi articulus in hanc partem erumpat, alienum eſt, quandoquidem cubitus illius, qui appenditur, articulum à ſuo cavo reduceret: impulſus autem per ſubjectum lignum videbitur alicui ad hoc genus luxati pertinere: in quo caſu ab exteriori parte accommodandum eſt. Quid plura? ſi commodè rectéque extendamus, rectè item impellamus, quis articulus ita luxatus non revertetur?

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κἂν κατατείνῃ τις ἰσχυρῶς τὸ σκέλος, οὐδὲν τῆς διὰ τοῦ ξύλου μοχλείας ἐστὶ χρεία. καὶ γὰρ αἱ χεῖρες ἡμῶν, ἱκαναὶ περιλαβοῦσαι κατὰ τὸν γλουτὸν ἔξωθεν ὅλον τὸ πέρας τοῦ μηροῦ πρὸς τὴν εἴσω χώραν ἀπῶσαι, μέχρις ἂν κατ' εὐθὺ γένηται τῆς κοτύλης. εὔδηλον δὲ, ὅτι στρογγύλος μοχλὸς, ἀνεπιτήδειός ἐστιν εἰς τὴν τοιαύτην μοχλείαν, ὅπου γε καὶ ὁ πλατὺς ἐνδεής ἐστιν, εἰ μὴ τοιοῦτος εἴη καθ' ὃ περιλαμβάνει τὸν γλουτὸν, ὁποίαν ἐκέλευσε ποιεῖν ἡμᾶς τὴν καλουμένην ἄμβην. αὐτὸς γοῦν εἴρηκε κατὰ λέξιν, ὡς κατ' αὐτόν γε τὸν γλουτὸν, τιθέμενον τὸν μοχλὸν, καὶ ὀλίγον ἀνωτέρω, οὕτως ἐπιχειρεῖν χρὴ τῇ μοχλείᾳ. τοῦτο δὲ ὀλίγον ἀνωτέρω, σημαντέρου δεῖξαι τοῦ περιλαμβάνοντος οὐκ εὐθέως ἀκριβῶς. τὰ δ' ἐφεξῆς πάντα δῆλα, καὶ τῆσδε τῆς ῥήσεως. F

GALENI COMMENTARIUS.

Si crus valenter extendatur, non neceſſe erit per lignum impellere: manibus enim prehendentes femoris caput totum juxta clunem cogere ab exteriori parte in interiorem poterimus, donec è regione ſui cavi collocetur. Patet autem teretem vectem ad hujuſmodi impulſum inutilem eſſe, quum & latus etiam non ſufficiat; niſi qua clunem attingit, talis ſtruatur, quale ſtrui voluit capitulum rotundum ac leniter cavum ſuper eam ſpatham, quæ ad reponendum humeri caput aptatur, ἄμβη dicitur. Ipſe autem ad verbum ſcripſit urgendum vecte ad clunem ac paulo ſuprà accommodato; re ſimum autem hunc eſſe neceſſe eſt, quà clunem complectitur, non ex toto rectum. Quæ ſequuntur in hac oratione, omnia clara ſunt.

GALENI COMMENTARIUS.

HÆc etiam, quæ de femore ſic luxato tradit, iis qui eorum, quæ propoſita ſunt, meminerint, in aperto omnia ſunt. Edicit enim ne hos ut priores reſupinemus; ſed in ventrem convertamus, hic ſiquidem eſt habitus pronus. Valenti ergo intenſione adhibitâ, à poſteriori parte in priorem compellere articulum oportet: Nam, cùm homo ita jacet, ut præcepit, poſterior pars ſublimior collocatur, prior ſubjicitur. Quocirca neceſſe eſt, ut qui reſtituit, femoris caput deorſum compellat, quod commodiſſimè præſtat impulſus, qui per aſſerem adhibetur. Idem efficeret, qui quà prominet femoris caput inſidens, magna vi cogeret: ſed, niſi clunis eminentia luxato capiti hæreat, nihil hominem juvabit. Hæc igitur curatio virum ſummæ diligentiæ ac prudentiæ poſtulat.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τὰ περὶ τοῦ τετάρτου τύπου τῆς ἐκπάλσεως εἰρημένα, πάντ' ἐστὶ σαφῆ, τοῖς μεμνημένοις τῶν προειρημένων. ἀξιοῖ γὰρ, οὐχ ὡς τοὺς προτέρους, οὕτω καὶ τοῦτον ὕπτιον κατακλίνειν, ἀλλ' ἐπὶ τὴν γαστέρα, τοῦτο γὰρ δηλοῦται τὸ πρηνὲς ἐστὶ σχῆμα. κατατείνοντα δὲ ἰσχυρῶς, ἐκ τῶν ὄπισθεν μερῶν, εἰς τὸ πρόσω χρὴ τὸ ἄρθρον ὠθεῖν. ἐν δὲ τῇ νῦν κατακλίσει, τὸ μὲν ὀπίσω μέρος ἀνωτέρω γίνεται, τὸ πρόσω δὲ, ὑποκάτω· τούτου δεῖ προσήκει τὸν ἐμβάλλοντα, καταναγκάζειν εἰς τὸ κάτω, τὴν κεφαλὴν τοῦ μηροῦ, καὶ τοῦθ' ἱκανώτατον μὲν,

D ἡ διὰ τῆς σανίδος ὤθησις ἐργάζεται. δύναιτο δ' ἄν τις αὐτὸ κἀν χερσὶ πρᾶξαι, καὶ αὐτὴν τὴν ἐξοχὴν ἐπικαθίσας, μετὰ τοῦ προσεμβληθῆναι βιαίως· ἀλλ' ἐὰν τὸ τῆς ἰδίας πυγῆς ἐξέχον, ἐρείσῃ κατὰ τῆς ἐξηρθρηκυίας κεφαλῆς, οὐδὲν ὀνήσει τὸν κάμνοντα. δεῖται τοίνυν τοῦτο τὸ ἔργον, ἀνδρὸς ἐπιμελοῦς τε, καὶ συνετοῦ.

HIPPOCRATIS TEXTUS LXII.

SI in priorem partem venerit, idem convenit extendendi modus: ſed aliquis manu admodum ſtrenua, & maximè peritus, ſublimiori unius palmæ parte inguen adurgeat, eandemque manum altera comprehendat, ſimulque quod exceſſit, in inferiorem partem trudat, & verſus priorem genu ſubigat. Hic extendendi modus, ubi femur ſic luxatur, maximè naturæ convenit: ſed & ille, qui hominem ſuſpendit, propè etiam naturæ aptatur, in quo neceſſe eſt ut is qui appenditur, non ignarus ſit, ne brachio articulum impellat: ſed inter partes naturales & anum, juxta os, quod ſacrum dicitur, appendatur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξβ'.

Ἢν δὲ ἐς τὸ ἔμπροσθεν ὀλισθῇ, τῆς μὲν κατατάσιος ὁ αὐτὸς

E τρόπος ποιητέος· ἄνδρα δὲ χρὴ ὡς ἰσχυρότατον ἀπὸ χειρὸς, καὶ ὡς εὐπαιδευτότατον, ἐρεισάμενον τὸ θέναρ τῆς χειρὸς ἑτέρης ἐπὶ τὸν βουβῶνα, καὶ τῇ ἑτέρῃ χειρὶ τὴν ἑωυτοῦ χεῖρα προσκαταλαβόντα, ἅμα μὲν ἐς τὸ κάτω ὠθέειν τὸ ὀλίσθημα, ἅμα δὲ ἐς τὸ ἔμπροσθεν τοῦ γούνατος μέρος. οὗτος γὰρ ὁ τρόπος τῆς ἐμβολῆς ἄγχιστα κατὰ φύσιν τούτῳ τῷ ὀλισθήματί ἐστιν. ἀτὰρ καὶ ὁ κρεμασμὸς, ἐγγύς τι τοῦ κατὰ φύσιν. δεῖ μέντοι τὸν ἐκκρεμάμενον ἔμπειρον εἶναι, ὡς μὴ ἐκμοχλεύοι τῷ πήχει τὸ ἄρθρον, ἀλλὰ περὶ μέσον τὸν περίναιον, καὶ κατὰ τὸ ἱερὸν ὀστέον,

F τὴν ἐκκρέμασιν ποιέεσθαι.

GALENI COMMENTARIUS.

AD quartum genus luxati femoris aggreſſus eſt: de quo evidentiſſimè omnia prodidit, iis præſertim, qui in memoria habeant, quæ anteà dicta ſunt: quare nihil eſt quòd nugas hîc agamus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπὶ τὴν τετάρτην διαφορὰν τῆς ἐκπάλσεως τοῦ κατ' ἰσχίον ἄρθρου, μεταβὰς, σαφέστατα πάντα τὰ περὶ αὐτοῦ εἶπε, καὶ μάλιστα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν, ὥστε οὐδὲν ἡμᾶς τὸ ἐνταῦθα δεῖ προσφλυαρεῖν.

ὠλισθηκότα, ἀσκῷ ἐμβάλλειν ἐπεχείρησαν, ἐπίσταμαι μὲν οὖν χρὴ, ὅτι ἕτερα πολλὰ ἀσκοῦ κρέσσω ἐστί. χρὴ δὲ τὸν μὲν ἀσκὸν καταθεῖναι ἐς τοὺς μηροὺς ἀφύσητον ἐόντα, ὡς ἂν δύνηται ἀνωτάτω πρὸς τὸν περίναιον ἀνάγοντα. ἀπὸ δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον, ταινίῃ πρὸς ἀλλήλους τοὺς μηροὺς καταδῆσαι, ἄχρι τοῦ ἡμίσεος τῶν μηρῶν, ἔπειτα ἐς ἕνα τῶν ποδῶν, τὸν λελυμένον, ἐνθέντα αὐλὸν ἐκ χαλκείου φυσᾶν, καὶ ἐσαναγκάζειν ἐς τὸν ἀσκὸν, τὸν δὲ ἄνθρωπον πλάγιον κατακέεσθαι, τὸ σιναρὸν σκέλος ἐπιπολῆς ἔχοντα. ἡ μὲν οὖν παρασκευὴ αὕτη ἐστί, σκευάζονται δὲ κάκιον οἱ πλεῖστοι, ἢ ὡς ἐγὼ εἴρηκα· οὐ γὰρ καταδέουσι τοὺς μηροὺς ἐπὶ συχνὸν, ἀλλὰ μοῦνον τὰ γούνατα, οὐδὲ προσκατατείνουσι· χρὴ δὲ καὶ προσκατατείνειν, ὅμως δὲ ἤδη τινὲς ἐνέβαλον, ῥηϊδίου πρήγματος ἐπιτυχόντες. οὐ φαύλως δὲ οὐ πάνυ ἔχει ἐξαναγκάζεσθαι οὕτως, ὅ, τι γὰρ ἀσκὸς ἐμφυσώμενος, οὐ τὰ ὀγκηρότατα αὐτοῦ ἔχει πρὸς τῷ ἄρθρῳ τῆς κεφαλῆς, ὃ δεῖ μάλιστα ἐκμοχλεῦσαι, ἀλλὰ κατὰ τὸ ἑωυτοῦ, αὐτὸς μέσος καὶ τῶν μηρῶν ἴσως, ἢ ἔτι κατωτέρω. οἵ τε αὖ μηροὶ γαυσοὶ πεφύκασιν, ἄνωθεν γὰρ σαρκώδεές τε καὶ ξύμμηροι, ἐς δὲ τὸ κάτω ἀπόξηροι, ὥς τε καὶ ἡ τῶν μηρῶν φύσις ἐπαναγκάζοι τὸν ἀσκὸν, ἀπὸ τοῦ ἐπικαιροτάτου χωρίου, εἴτε οὖν τις μικρὸν ἐνθήσει τὸν ἀσκὸν, μικρὴ ἡ ἰσχὺς ἐοῦσα, ἀδύνατός ἐστιν ἀναγκάζειν τὸ ἄρθρον. εἰ δὲ δεῖ ἀσκῷ χρέεσθαι ἐπὶ πολὺ, οἱ μηροὶ ξυνδετέοι πρὸς ἀλλήλους, καὶ ἅμα τῇ κατατάσει τοῦ σώματος ὁ ἀσκὸς φυσητέος, τὰ δὲ σκέλεα ἀμφότερα ὁμοῦ καταδεῖν ἐν τούτῳ τῷ τρόπῳ τῆς ἐμβολῆς ἐπὶ τῇ τελευτῇ.

B *riorem partem elaberetur, ſcire tamen licet alia multa ex uſu magis eſſe, quàm utrem. Datur ergo inter femora uter non inflatus, ſic, ut quantum maximè poteſt, ſublimis inter anum & naturale collocetur: tum femora inter ſe vinciuntur habena, quæ à patella ordiatur, & uſque ad dimidiam femorum partem intendat: poſt hac inflatur uter, diſtenditurque demiſſa ænea fiſtula in unum ex pedibus, qui ſolutus ſit, & æger in latus cubat, vitiato crure ſurſum ſpectante. Præparatio igitur hujuſmodi eſt, ſed pleriquè hanc adhibent deteriorem, quam ego dixerim, cùm non alligent bonam femoris partem (ut propoſui) ſed* C *genua duntaxat: adde quòd intenſionem, quæ maximè neceſſaria eſt, omittunt. Nonnulli tamen luxatum jam reſtituerunt, ut qui rem facilem nacti fuerint. Sed hujuſmodi impulſus non magnopere tolerabilis eſt: ſiquidem inflatus uter, quà maximè tumet, eam regionem non attingit, in qua prolapſum femoris caput jacet, quà potiſſimum impellendum eſt; ſed infra illud, ut qui in medio femorum vel interius etiam contineatur: ad hæc femora naturaliter ſunt curva, à ſuperiori enim parte carnoſa ſunt, & propè inter ſe junguntur, ab inferiori* D *tenuantur: quare & femorum natura utrem expellit ab ea parte, qua præcipuè admovendus eſſet, ita, ut ſi parvus uter inſeratur, cum vim exiguam habeat, nullo modo urgere articulum poſſit. Oportet ergo, ſi utendum utre ſit, femora ad magnam partem inter ſe devincire, & utrem inflare, eodem momento, quo corpus extenditur, cruraque extrema parte inter ſe colligare, ubi hac ratione articulus reponitur.*

A

Homo in latus &c.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τὸν διὰ τοῦ ἀσκοῦ τρόπον τῆς ἐμβολῆς, οὐκ ἐπαινῶν, ὅμως ὡς ἄν τις ἄριστα καὶ τούτῳ χρήσαιτο διδάσκει, σαφῶς ἅπαντα διερχόμενος.

GALENI COMMENTARIUS.

E DOcet, qua ratione quis utatur modo reſtituendi per utrem, quamvis eum non probet. Cuncta autem planè explicat.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ οη′.

Χρὴ δὲ, περὶ πλείστου μὲν ποιέεσθαι ἐν πάσῃ τῇ τέχνῃ, ὅκως ὑγιὲς μὲν ποιήσῃς τὸ νοσέον. εἰ δὲ πολλοῖσι τρόποισιν οἷόν τε εἴη ὑγιέας ποιέειν, τὸν ἀοχλότατον χρὴ αἱρέεσθαι. καὶ γὰρ ἀνδραγαθικώτερον τοῦτο, καὶ τεχνικώτερον, ὅστις μὴ ἐπιθυμέει δημοειδέος κιβδηλίης, περὶ οὗ νῦν ὁ λόγος ἐστί. τοιαίδε δὲ τῶν ἄν τινες κατοικίδιοι κατατάσιες εἶεν τοῦ σώματος, ὥστε ἐκ παρεόντων τὸ βέλτιον αἱρέειν.

HIPPOCRATIS TEXTUS LXIV.

F *IN tota arte medicinali id in primis dare operam oportet, ut quod malè habet, ad ſanitatem perducatur: quod, ubi contingere poſſit pluribus modis, ille eligendus eſt, qui omnium minimo negotio comparatur: hoc ſiquidem magis officium eſt probi viri, & plus habet artificij, niſi quis in popularem auram incumbat. Sed, quod ad hunc locum attinet, quidam modi extendendi corporis per ea quæ domi habentur, parari poſſunt, ſic, ut ex ijs, quæ præſentia ſunt, invenire liceat, per quæ promptè curatio adhibeatur.*

GALENI

... quoque poſtea devincire.

ἐπὶ πλέον, ἔπειτα οὕτω δ' ἔτι τοῖσι δεσμοῖσι.

GALENI COMMENTARIUS.

C

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

A

A Homo ſcalæ, &c.

NAvium rudentes Græci vocant ὅπλα, quod Poëta indicat eo carmine,

Κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης.

Conſtat etiam Hippocratem, quum rudentes ὅπλα dixit, eos funes intellexiſſe, qui in navibus habentur: nam eos, qui in urbibus, & qui in agro, communi finium vocabulo appellavit σχοινία.

TA' κατὰ ναῦν σχοινία, καλοῦσιν ὅπλα, δηλοῖ δὲ τοῦτο, καὶ ὁ ποιητὴς εἰπών.

Κεῖτο δ' ὑπ' αἰθούσῃ, ὅπλον νεὸς ἀμφιελίσσης.

Δῆλον οὖν ὅτι νῦν ὁ Ἱπποκράτης εἴρηκεν ὅπλα μὲν ἰδίως, τὰ ἐν τῇ νηῒ σχοινία. τὰ δὲ ἔξω τῆς νεὼς, ἐν ταῖς D πόλεσι, καὶ κατ' ἀγρὸν διὰ τῆς κοινῆς προσηγορίας ἐδήλωσε, τὸ, σχοινία.

HIPPOCRATIS TEXTUS LXIV.

AD hæc ſuper lectum qui ex iis, quorum copia eſt, firmiſſimus ſit, & maximus, rectè homo extendatur: lecti autem pedes, vel qui à capite, vel qui à pedibus ſunt, vel ab exteriori, vel ab interiori parte fulciantur, ita, ut fulcra limini firmiter hæreant: ſed ad alios pedes collocetur lignum quadratum tranſverſum, quod perveniat ab uno E *pede ad alterum: ac ſi tenue ſit, ad pedes lecti deligetur: ſi craſſum ſine vinculo relinquatur: poſt hæc vinculorum capita tam eorum, quæ verſus caput procedunt, quàm eorum, quæ verſus pedes, utraque ad piſtillum, vel ad aliud tale lignum vinciantur: vincula autem, vel recta juxta corpus porrigantur, vel paulo etiam ſuperiora, convenienterque à piſtillis intendantur, quæ erecta ſint, ſic, ut unum limini objiciatur, alterum ligno, quod adjectum eſt. Sic igitur per piſtilla ad ſe attracta adhibere vim oportet: ſatis autem eſſet loco liminis, & ligni appoſiti ſcala, quæ gradus firmos habe-* F *ret, lecto ſubjecta, ut piſtillis hinc, & inde admotis, vincula extenderentur. Reponitur item hoc modo femoris articulus, ſive in interiorem, ſive in priorem partem eruperit. Scala defoditur, cui homo inſidet integro crure, leniter extento, & quà commodè poterit alligato: vitiato cruri vas fictile appenditur aquæ plenum, vel calathus in quem conjecti lapides fuerint. Eſt & alter reponendi modus ad eos, quibus femoris caput in interiorem*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΡΗΣΙΣ ξβ'.

Ἐξήγησις λείπει.

TOῦτον δὲ ἐπὶ κλίνης χρὴ, ἥ τις ἰσχυροτάτη καὶ μεγίστη τῶν παρεουσέων, κατατετάσθαι καλῶς τὸν ἄνθρωπον. τῆς δὲ κλίνης τοὺς πόδας, ἢ τοὺς πρὸς κεφαλῆς, ἢ τοὺς πρὸς ποδῶν, ἐρηρεῖσθαι πρὸς τὸν οὐδὸν, εἴτε ἔξωθεν συμφέρει, εἴτε ἔσωθεν. παρὰ δὲ τοὺς ἑτέρους πόδας παρεμβεβλῆσθαι ξύλον τετράγωνον, πλάγιον, διῆκον ἀπὸ τοῦ ποδὸς πρὸς τὸν πόδα. καὶ ἢν μὲν λεπτὸν ἔῃ τὸ ξύλον, προσδεδέσθω πρὸς τοὺς πόδας τῆς κλίνης, ἢν δὲ παχὺ ἔῃ, μηδέν. ἔπειτα τὰς ἀρχὰς χρὴ τῶν δεσμῶν, καὶ τῶν πρὸς τῆς κεφαλῆς, καὶ τῶν πρὸς τῶν ποδῶν, προσδῆσαι ἑκατέρας πρὸς ὕπερον, ἢ πρὸς ἄλλο τι τοιοῦτον ξύλον. ὁ δὲ δεσμὸς ἐχέτω ἰθυωρίην κατὰ τὸ σῶμα, ἢ καὶ ὀλίγον ἀνωτέρω· ξυμμέτρως δὲ ἐκτετάσθω πρὸς τὰ ὕπερα, ὡς ὀρθὰ ἑστεῶτα. τὸ μὲν, παρὰ τὸν οὐδὸν ἐρείδηται, τὸ δὲ, παρὰ τὸ ξύλον τὸ παραβεβλημένον, κἄπειτα ὑπὸ τὰ ὕπερα ἀνακλῶντα χρὴ τὴν κατάτασιν ποιέειν. ἀρκέει δὲ κλῖμαξ ἰσχυρὴ ἔχουσα τοὺς κλιμακτῆρας, ὑποτεταμένη ὑπὸ τὴν κλίνην. αὕτη τοῦ οὐδοῦ τε καὶ τοῦ ξύλου τοῦ παραπεπταμένου, ὡς τὰ ὕπερα πρὸς τῶν κλιμακτήρων τοὺς ἁρμόζοντας ἔνθεν καὶ ἔνθεν περιστρεφόμενα, οὕτω τὴν κατάτασιν ποιέεσθαι τῶν δεσμῶν. ἐμβάλλεται δὲ μηροῦ ἄρθρον, καὶ τόνδε τὸν τρόπον, ἢν ἐς τὸ εἴσω ὀλισθῇ, καὶ ἐς τὸ ἔμπροσθεν. κλίμακα χρὴ κατορύξαντα, ἐπικαθίσαι τὸν ἄνθρωπον, ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος ἡσύχως κατατείναντα, προσδῆσαι ὅκου ἂν ἁρμόσῃ, ἐκ δὲ τοῦ σιναροῦ εἰς κεράμιον ὕδωρ ἐγχέαντας ἐκκρεμάσαι, ἢ ἐς

ἐπάρου ἐκπεφυκυίας βραχέος ὅσον ἀρμοῖ, ὡς καὶ πρόσθεν εἴρηται· πρὸ τοῦ μὲν οὖν δεῖ εἰδέναι, ὅτι πολύτροποι τῶν ὀστέων αἱ ξυμβολαί εἰσιν, ὡς ἐπὶ πολὺ, ἡ κεφαλὴ, καὶ ἡ κοτύλη. ἔστι ὧν δὲ καὶ ἡ χώρα κοτυλοειδὴς, καὶ ἐπιμήκης· ἔνιαι δὲ τῶν χωρέων γληνοειδέες εἰσίν. αἰεὶ δὲ ἐμβάλλειν δεῖ πάντα τὰ ἐκπίπτοντα ἄρθρα, μάλιστα μὲν εὐθὺς παραχρῆμα, ἔτι θερμῶν ἐόντων· εἰ δὲ μὴ, ὡς τάχιστα· καὶ γὰρ τῷ ἐμβάλλοντι ῥήϊον καὶ θᾶσσόν ἐστιν ἐμβαλεῖν, καὶ τῷ ἀσθενέοντι πολὺ ἀπονωτέρη ἡ ἐμβολὴ, ἢ πρὶν ἐξοιδεῖν, ἐστί. δεῖ δὲ αἰεὶ πάντα τὰ ἄρθρα, ὁκόταν μέλλῃς ἐμβάλλειν, προμαλάξαι καὶ διακιγκλίσαι· ῥᾷον γὰρ ἐθέλει ἐμβάλλεσθαι. παρὰ δὲ πάσας τὰς τῶν ἄρθρων ἐμβολὰς, ἰσχναίνειν δεῖ τὸν ἄνθρωπον, μάλιστα μὲν περὶ τὰ μέγιστα ἄρθρα, καὶ χαλεπώτατα ἐμβάλλεσθαι, ἥκιστα δὲ, περὶ τὰ ἐλάχιστα, καὶ ῥήϊστα.

Περὶ τῆς τῶν δακτύλων ἐξαρθρήσιος.

Δακτύλου δὲ ἢν ἐκπέσῃ ἄρθρον, ἤν τε τὸ πρῶτον τῆς χειρὸς, ἤν τε τὸ δεύτερον, ἤν τε τὸ τρίτον, ὁ αὐτὸς καὶ ἴσος τρόπος τῆς ἐμβολῆς· χαλεπώτερα μὲν αἰεὶ τὰ μέγιστα τῶν ἄρθρων ἐμβάλλειν. ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους, ἢ ἄνω, ἢ κάτω, ἢ ἐς τὸ πλάγιον ἑκατέρωθεν, μάλιστα μὲν ἐς τὸ ἄνω, ἥκιστα δὲ ἐς τὰ πλάγια, ἐν τῇ σφόδρα κινέεσθαι· ἑκατέρωθεν δὲ τῆς χώρης οὐκ ἐκβέβηκεν, ὥσπερ ἄμβη ἐστίν. ἢν μὲν οὖν ἐς τὸ ἄνω ἐκπέσῃ, ἢ ἐς τὸ κάτω, διὰ τὸ λειοτέρην εἶναι ταύτην τὴν χώρην, ἢ ἐκ τῶν πλαγίων· καὶ ἅμα μικρῆς ἐούσης τῆς ὑπερβάσιος, ἢν μετασπῇ τὸ ἄρθρον, ῥηΐδιόν ἐστιν ἐμβάλλειν· τρόπος δὲ τῆς ἐμβολῆς ὅδε. περιελίξας τοῦ δακτύλου ἄκρον, ἢ ἐπιδέσματί τινι, ἢ ἄλλῳ τρόπῳ τοιούτῳ τινὶ, ὅκως ὁκόταν κατατείνῃς ἄκρου λαβόμενος, μὴ ἀπολισθαίνῃ. ὁκόταν δὲ περιελίξῃς, τὸν μέν τινα διαλαβέσθαι ἄνωθεν τοῦ καρποῦ τῆς χειρὸς, τὸν δὲ τοῦ κατειλημμένου, ἔπειτα κατατείνειν πρὸς ἑωυτὸν ἀμφοτέρους εὖ μάλα, καὶ ἅμα ἀπῶσαι τὸ ἐξεστηκὸς ἄρθρον ἐς τὴν χώρην. ἢν δὲ ἐς τὰ πλάγια ἐκπέσῃ, τὸ μὲν κατάστασιος ὁ αὐτὸς τρόπος· ὁκόταν δὲ ἤδη δοκέῃ σοι ὑπερβεβηκέναι τὴν γραμμὴν, ἅμα χρὴ κατατείνοντας ἀπῶσαι ἐς τὴν χώρην εὐθύς. ἕτερον δέ τινα ἐκ τοῦ ἑτέρου μέρεος τοῦ δακτύλου, φυλάσσειν καὶ ἀνωθέειν, ὅκως μὴ πάλιν ἐκεῖθεν ἀπολισθῇ. ἐμβάλλουσι δὲ ἐπιεικέως καὶ αἱ σαῦραι αἱ ἐκ τῶν φοινίκων πλεκόμεναι, ἢν κατατείνῃς ἔνθεν καὶ ἔνθεν τοῦ δακτύλου, λαβόμενος, τῇ μὲν ἑτέρῃ, τῆς σαύρης, τῇ δὲ ἑτέρῃ, τοῦ καρποῦ τῆς χειρός. ὁκόταν δὲ ἐμβάλλῃς, ἐπιδεῖν δεῖ ὀθονίοισιν ὡς τάχιστα λεπτοτάτοισι, κεκηρωμένοισι κηρωτῇ, μήτε λίην μαλακῇ, μήτε λίην σκληρῇ, ἀλλὰ μετρίως ἐχούσῃ. ἡ μὲν γὰρ σκληρὴ ἀφίσταται ἀπὸ τοῦ δακτύλου, ἡ δὲ ἁπαλὴ καὶ ὑγρὴ, διατήκεταί τε καὶ ἀπόλλυται, θερμαινομένου τοῦ δακτύλου· λύειν δὲ ἄρθρου δακτύλου, τριταῖον ἢ τεταρταῖον. τὸ δὲ ὅλον, ἢν μὲν φλεγμήνῃ, πυκνότερον λύειν, ἢν δὲ μὴ, ἀραιότερον· κατὰ πάντων δὲ τῶν ἄρθρων ταῦτα λέγω.

omnium oſſium commiſſuras plerunque ſinu & ca-
B pite contineri: & in aliis ſinum cavum eſſe oblongum, in aliis partem deſidentem. Semper autem reſtituere convenit omnes articulos, qui exciderunt, protinus quum adhuc calidi ſunt, vel certè quamcelerrimè: nam qui reponit, faciliùs & citiùs reponit: & æger minorem moleſtiam ſentit, ubi priuſquam locus intumuerit, articulus reſtituatur. Perpetuò item, ubi reponendus articulus eſt, emolliri ante debet, & dimoveri, ſic enim promptiùs reverti conſuevit. Vbicunque autem reponitur, imponenda abſtinentia eſt maxima, ubi maximus
C fuerit, & difficillimus ad reponendum: minima, ubi exiguus, & facilè recondatur.

A

A Canterius inter. &c.

DE DIGITIS LUXATIS.

Quòd ſi digiti articulus excidat, ſeu primus qui ad manum pertinet, ſeu ſecundus, ſeu tertius, eadem eſt & æqualis reponendi ratio; maximi quidem articuli ſemper ægriùs reſtituuntur. Ex-
D cidunt autem in quatuor partes, vel ſurſum, vel deorſum, vel utrinque ad latera, ſed maximè in ſuperiorem partem, minimè in latera, quod accidit, ubi vehementer moveantur. Quòd ſi latere prorumpant ab ea parte, in quam veniunt, quaſi capitulum rotundum conſpicitur, & leniter cavum: ſi in ſuperiorem vel inferiorem partem prolabantur, quum hic locus levior ſit, quàm qui à lateribus, ſimulque procidentium articulorum exceſſus parvus, faciliùs reconduntur. Reponendi ratio ſic habet. Summus digitus faſcia vel aliqua tali re
E involvitur, ſic, ne dum intenditur, extrema parte prehenſus elabatur: quo involuto, unus eam regionem, quæ ſuper primam palmæ partem eſt, alius involutam partem, ad ſe uterque valenter attrahat, ſimulque excedens articulus in ſuam ſedem compellatur. Si à latere excedat, ratio extendendi eadem eſt: namque ubi videbitur loco exceſſiſſe, ſimul dum intenſio adhibetur, protinus in ſuam ſedem cogendus eſt: ſed interim aliàs ab altera parte debet digitum repellere, cavens ne in eam rurſus prolabatur. Commodè quoque reſtituuntur per digitorum tegmenta ex palmis intexta, quæ à lacertis σαῦραι Græcè nuncupantur; ubi in diverſa
F digitum extenderis, prehendens altera manu primam palmæ partem, altera tegmentum, poſito articulo, debes quamcitiſſimè devincire faſcia tenuiſſima, inuncta cerato, quod nec nimis molle ſit, nec nimis durum, ſed moderatè: quum quod durum eſt, à digito recedat; quod liquidum & molle, digiti calore tabeſcat & reſolvatur. Solvendus eſt digiti articulus tertio aut quarto quoque die; atque in univerſum, ſi inflammatio locum occupaverit, frequentius ſolvendus eſt; ſin minus, rariùs: quod communiter de omnibus articulis

quam incurueris adjectio communi et pertinet ad quoduis reponendum. Quòd ſi genu in ſuam ſedem non revertatur, curuari non poteſt iis, quibus in poſteriorem partem venit, neque omnino aliis; unde femoris, & cruris prior pars extenuatur. Quibus excidit in interiorem, valgi magis ſiunt, ſed extenuatur pars exterior. Si moveatur in exteriorem, magi vari ſiunt, ſed non ita claudicant, & craſſiori oſſe nituntur, ſed extenuatur pars interna. Quod ſi à primo natali die, vel in incremento, id accidat, ſuccedit res quomodo ante oſtenſum eſt.

DE TALO LUXATO.

Quæ ad talum pertinent valenter diſtendere oportet, vel manibus, vel aliis quibuſdam, & ſimul dirigere; quod commune eſt omnium.

DE PEDE.

Quæ in pede, perinde atque ea, quæ in manu reſtituuntur. Tum eorum quæ in crure ſive à primo natali die, ſive in incremento, luxentur, eadem eſt ratio, atque eorum, quæ in brachio. Quicunque ex ſuperi loco ſaltantes calci vehementer inſiſtunt, ita ut oſſa diducantur, venæ ſanguinem effundant, nervi qui juxta ſunt, contundantur, atque hæc graviſſima accidant, periculum eſt ne calx corrumpatur, & in ævum negotia faceſſat: oſſa enim moleſta ſunt, nervi inter ſe communicant; quandoquidem & quibus ob fracturam in crure, aut tibia, aut ob nervos qui cum calce communicant attritos, aut quòd homo, dum jacet negligenter habitus ſit, nigreſcit calx, & malum recrudeſcit, & corruptioni oſſis febres acutæ accedunt, cum ſingultu, cum mentis alienatione, quæ celerrimè hominem interimunt: accedit & venarum ſanguinem fundentium livor. Ex eo autem intelliges, futurumne ſit, ut malum recrudeſcat, ſi ſanguis è venis fuſus, ſi nigrities, & quæ juxta ſunt, ſubdura ſint, & ſubrubicunda. Tum ſi cum duritie livida ſint, periculum eſt ne nigreſcant: quòd ſi ſanguis ſuffuſus, nigrities, proximæ partes ſubvirides ſint, & molles, talia in his omnibus bona. Remedium eſt veratrum ſi febris abſit: ſed ſi adſit, & res poſtulet, bibatur

C ... τοῖσιν, ἀτὰρ οὐδὲ τοῖσιν ἄλλοισι πάνυ, μινύθει δὲ μηροῦ καὶ κνήμης τὰ ἔμπροσθεν. ἢν δὲ ἐς τὸ εἴσω, βλαισότεροι, μινύθει δὲ τὰ ἔξω· ἢν δὲ ἐς τὸ ἔξω, γαυσότεροι, χωλοὶ δὲ ἧσσον. κατὰ δὲ τὸ παχύτερον ὀστέον ὀχέονται, μινύθει δὲ τὰ εἴσω. ἐκ γενεῆς δὲ, ἢ καὶ ἐν αὐξήσει, κατὰ λόγον τῶν προειρημένων.

D

Περὶ τῆς τοῦ σφυροῦ ἐξαρθρήσιος.

Τὰ δὲ κατὰ τὰ σφυρὰ, κατατάσιος ἰσχυρῆς δέεται, ἢ τῇσι χερσὶν, ἢ ἄλλοισι τοιούτοισι, κατορθώσιος δὲ ἅμα ἀμφότερα ποιεούσης· κοινὸν δὲ τοῦτο ἅπασι.

Περὶ τοῦ ποδός.

Τὰ δὲ ἐν ποδὶ, ὡς καὶ τὰ ἐν χειρὶ ὑγιέες· τὰ δὲ τῆς κνήμης, ξυγκοινωνέοντα καὶ ἐκπίπτοντα ἐκ γενεῆς, ἢ καὶ ἐν αὐξήσει ἐξαρθρήσαντα, ταῦτα ἃ καὶ ἐν χειρί. ὁκόσοι δὲ πηδήσαντες ἄνωθεν ἐστηρίξαντο τῇ πτέρνῃ, ὥστε διαστῆναι E τὰ ὀστέα, καὶ φλέβας ἐκχυμωθῆναι, καὶ νεῦρα ἀμφιφλασθῆναι, ὁκόταν γένηται οἷα τὰ δεινὰ, κίνδυνος μὲν σφακελισθέντα τὸν αἰῶνα πρήγματα παρασχεῖν. ῥοιώδεα μὲν γὰρ τὰ ὀστέα, τὰ δὲ νεῦρα ἀλλήλοισι κοινωνέοντα, ἔπειτα καὶ οἷσιν ἂν μάλιστα κατεηγείσιν, ἢ ὑπὸ τρώματος, ἢ ἐν κνήμῃ, ἢ ἐν μηρῷ, ἢ νεύρων ἀπολυθέντων, ἃ κοινωνέει τούτων, ἢ ἐκ κατακλίσιος ἀμελέος ἐμελανώθη πτέρνη, καὶ τούτοισι τὰ παλιγκοτέοντα ἐκ τῶν τοιούτων ἐστὶν, ὅτι καὶ πρὸς τῷ σφακελισμῷ γίνονται πυρετοὶ ὀξέες, λυγμώδεες, γνώμης ἁπτόμενοι, ταχυθάνατοι, καὶ ἐν φλεβῶν αἱμορροΐδων πελιώσιες, F σημεῖα δὲ τῶν παλιγκοτησόντων, ἢν τὰ ἐκχυμώματα, καὶ τὰ μελάσματα, τὰ περὶ ταῦτα, ὑπόσκληρα, καὶ ὑπέρυθρα, ἢν τι ξὺν σκληρύσματι πελιδνωθῇ, κίνδυνος μελανθῆναι. ἢν δὲ ὑπόπελια, ἢ καὶ πελιὰ μάλα, καὶ ἐκκεχυμωμένα, ἢ ὑπόχλωρα καὶ μαλακὰ, ταῦτα ἐπὶ πᾶσι τοῖσι τοιούτοισιν ἀγαθά. ἴησις, ἢν μὲν ἀπύρεκτος ᾖ, ἐλλέβορον, ἢν δὲ μὴ, μὴ· ἀλλὰ ποτὸν

καρποῦ. ἢ ἡσυχάσωσι, δίαιτα μείων γίνεται. τὰ δὲ ἐκ γενῆς, ἢ ἐν αὐξήσει, κατὰ λόγον τῶν προτέρων.

in prima palmæ parte, ſi homo quieſcat: in quo caſu tenuiori victu opus eſt. Eorum autem, quæ à primo natali die, vel in incremento, eadem ratio eſt, quam ſupra oſtendimus.

GALENI
DE FASCIIS
LIBER.

ΤΟ ΤΟΥ ΒΙΒΛΙΟΥ ΥΠΟΚΕΙΜΕΝΟΝ.

Ταῦτο βιβλίον τὰς πάσας ἐπιδέσμους, καὶ δεσμὰ περιλαμβάνει, δι' ὧν τὰ βεβλασμένα μέρη βοηθούμενα τῆς χειρουργίας ἐπιδεῖται.

ARGUMENTUM LIBRI.

Hic Liber Faſcias propè omnes ac vincula complectitur, quibus læſæ partes operationibus opitulaturæ deligantur.

CAPUT I.

Quæ miniſtrant opera, ea decorè, rectè, mundè, celeriter, citra dolorem, concinnè, promptè ac jucundè eſſe conſicienda; & deligationis ſpecies eſſe tum eam quæ ſit, tum eam quæ facta eſt; & ſimplicem, & multiplicem; nec multiplicem ablegari ab Hippocrate; & à munditie ducendum exordium operationis.

A

NON inconſultò mihi videtur priſcus Hippocrates aliis artibus inſpectis, ab agendi munditie ducto exordio pronunciaſſe; Nobis ſanè placet omnino omni arti mentem incumbere. Etenim quæcunque opera decorè ac rectè miniſtrant, decorè ſingula, rectéque efficienda

ΚΕΦΑΛΑΙΟΝ α'.

Τὰ διοικέοντα ἔργα, ταῦτα καλῶς, ὀρθῶς, καθαρείως, ταχέως, ἀνωδύνως, εὐρύθμως, εὐπόρως, καὶ ἡδέως διαχειρίζεσθαι δεῖ. τὰ τῆς ἐπιδέσεως εἴδη, εἶναι δύο, τὸ ἐργαζόμενον, καὶ τὸ εἰργασμένον, καὶ τὴν ἁπλῆν καὶ τὴν ποικίλην· καὶ μὴ Ἱπποκράτην τὴν ποικίλην ἐκβάλλειν, καὶ ἀπὸ τῆς καθαρειότητος ἀρκτέον τὸ ἔργον.

ΟΥχ ἀσκόπως μοι δοκεῖ ὁ παλαιὸς Ἱπποκράτης ἐπιβλέψας τὰς ἄλλας τέχνας, ἀρχόμενος τῆς ἐν τῷ πράττειν καθαρειότητος ἐκπεφωνηκέναι· ἐμοὶ δὲ αἰδέσει μὲν πάσῃ τῇ τέχνῃ προσέχειν τὸν νόον. καὶ γὰρ ὁκόσα ἔργα καλῶς ἢ ὀρθῶς διοικεῖ, καλῶς ἕκαστα χρὴ ποιεῖν καὶ

ἔχει διαφοράς. καὶ γὰρ τέμνοντα, καὶ καίοντα, καὶ ἔτι ἐπιδέοντα, καὶ εἴ τι ἄλλο χειρουργοῦντα μετὰ τοῦ συμφερόντως πράττειν, καὶ τοῦ καθαρείως καὶ εὐρύθμως προσήκει φροντίζειν δεῖ· ὡς καὶ αὐτὸς πάλιν πού φησιν· Ἐπιδέσιος δὲ δύο εἴδεα, ἐργαζόμενόν τε καὶ εἰργασμένον. ἐργαζόμενον μὲν ταχέως, ἀπόνως, εὐπόρως, εὐρύθμως· ταχέως μὲν ἀνύειν τὰ ἔργα· ἀπόνως δὲ ῥηϊδίως δεῖν, εὐπόρως δὲ εἰς πάντα ἑτοίμως· εὐρύθμως δὲ ὁρῆσθαι ἡδέως· ἀπαιτεῖ μὲν γὰρ τὰ νοσήματα πάντα περί τι τοῦ σώματος μέρει τὴν ἁρμόζουσαν ἐπίδεσιν· ἀπαιτοῦσι δὲ οἱ ἄνθρωποι καὶ κατ' ἰδίαν πολλάκις τὸ κατὰ τὰς ἐπιδέσεις εὔρυθμον· ὡς ἐπί τι μοναχῶν, καὶ τῶν ἄλλων εἰς δῆμον παρασκευαζομένων ἁπάντων χάριν, ἀναγκαῖον εἰδέναι τὰς παντὶ μέρει τοῦ σώματος ἁρμοζούσας ἐπιδέσεις ἁπλᾶς τε καὶ ποικίλας· ἐπισταμένους ὡς τισὶ τῶν μερῶν ἁρμόζουσιν ἑκάτεραι, τισὶ δὲ ἡ ἑτέρα, λέγω δὲ ἡ ποικίλη, εἰ καί πως ἄλλως δοκεῖ· ἄξιον δὲ τὴν στάσιν διευκρινῆσαι πρότερον. ἀχρηστίαν ἔνιοι τῶν ποικίλων κατεγνώκασιν ἐπιδέσεων φάσκοντες βλαβερὰν ταύτας παρέχειν τὴν χρῆσιν, ἀπόδειξιν μὲν οὐδεμίαν βεβαίαν χρώμενοι παλαιῶν δὲ ἀνδρῶν μαρτυρίαις· καὶ πρῶτόν γε Ἱπποκράτην εἰσάγοντες λέγοντα· ἀτὰρ καὶ ἄλλα πολλὰ λωβέονται οἱ χαίροντες ταῖς καλαῖς ἐπιδέσεσι, τουτέστι, ταῖς ποικίλαις· καὶ Μαντίαν τε ἱστοροῦντα ὑπὸ φαρμακοπώλου ἐπιδεδεμένον τινὰ ποικίλῃ ἐπιδέσει τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, διὰ τῆς ἐπιδέσεως οἱ ὀφθαλμοὶ προέπεσον. δοκεῖ δὲ αὐτοῖς καὶ κατὰ λόγον τοῦτο γεγονέναι, διότι ἀνώμαλος ἡ τῶν ἐπιδέσμων γίνεται περίπτωσις, διὰ τὴν ποικιλίαν δυναμένη εἰς φλεγμονὰς καὶ ἀποστάσεις ἄγειν τὰ σώματα· τούτους ἄξιον ἐγνωκέναι διότι γίνεται ἃ λέγουσιν, οὐχ ὑπὸ ποικιλίας τῶν ἐπιδέσμων, ὑπὸ δὲ ἀπειρίας τῶν χρωμένων σφιγγόντων τὴν ἐπίδεσιν. χρὴ γὰρ ἐπιδεῖν, ὥς φησιν Ἱπποκράτης· Ἐν δὲ τουτέοισι μάλιστα ἐπιδέσιες, πίεξις μὲν ὥστε τὰ ἐπικείμενα μὴ ἀφεστάναι, μὴ δὲ ἐρηρεῖσθαι κάρτα. ἀλλ' ἡρμόσθαι μὲν προσηναγκάσθαι δὲ μή. ἔδει δὲ αὐτοὺς τὸν Ἱπποκράτην ἐπαγομένους μάρτυρα προσαποδοῦναί τι λοιπόν. οὐ γὰρ ἁπλῶς ἐξενήνεκται ἀτὰρ καὶ ἄλλα πολλὰ λωβέονται χαίροντες ταῖς καλαῖς ἐπιδέσεσιν ἀλλὰ μετὰ τοῦ προσκεῖσθαι τὸ ἄνευ νοῦ. σημειωτέον δὲ καὶ ἐκ τῶν νῦν λεγομένων ὡς Ἱπποκράτης οὐκ ἐκβάλλει τὰς ποικίλας ἐπιδέσεις· αὐτὸς γοῦν ἐν τῷ κατ' ἰητρεῖον βιβλίῳ περὶ ἐπιδέσεως διαλεγόμενος καὶ εἰπὼν τίς ἂν εἴη ἀρετὴ ἐν τῷ ἐπιδεῖν. ἑξῆς ἣ καὶ τίς ἐν τῷ ἐπιδεδεκέναι οὕτω λέγει ἀγαθῶς καλῶς. τὸ μὲν ἀγαθῶς, ἐπὶ τοῦ συμφέροντος τιθείς. τὸ δὲ κα-

B ſive ſecet, ſive urat, ſive etiam deliget, ſeu quid aliud manu moliatur, non modò cum utilitate agere, ſed mūdiciei, & concinnitati ſtudeat oportet; quemadmodum & ipſe rurſum alibi pronunciat. Deligationis duæ ſunt ſpecies, & quæ fit, & quæ facta eſt. Quæ fit, celeriter, citra dolorem, promptè, concinnè *efficienda eſt;* celeriter quidem, ut abſolvatur operatio; citrà verò dolorem, ut facilè elaboretur, promptè autem, ut ad omnia præſto ſit; concinnè denique, ut aſpectum oblectet. Etenim affectus quidem nōnullis corporis partibus oborti, congruentem deli- C gationem poſtulant; poſtulant verò homines per ſe multoties deligationum concinnitatem. Quare tum ſolitariorum, tum aliorum omnium ſeſe foro parantium gratia, idoneas ſingulis corporis partibus deligationes tum ſimplices, tum multiplices ſcire neceſſe eſt. Nec ignorandum nonnullis quidem partibus utraſque, quibuſdam verò alteram, multiplicem dico, convenire, etiamſi quibuſdam ſecus videatur. Sed conſentaneum eſt hanc controverſiā primùm diluere. Nonnulli multipliciū deligationum inutilitatem damnāt, noxium ipſas uſum præſtare profitentes, ſtabili D quidem demonſtratione nulla; ſed priſcorū virorum teſtimoniis ipſi nituntur; atque imprimis Hippocratem introducunt, hęc pronunciantem; *Quamobrem* & alia multa mutilant ac lædunt, qui decoris, hoc eſt, multiplicibus deligationibus delectantur. Deinde Mantiam, qui narrat quemdam virum, cui Pharmacopola caput, & faciem multiplici deligatione deligaverat, qua deligatione oculi prociderunt; idque ipſis meritò contigiſſe videtur, propterea quod inæqualis fit faſciarū occurſus, qui multiplicitate corporis partes in phlegmonas & abſceſſus poteſt addu- E cere. Rationi conſentaneum eſt eos noſſe quæ proferunt, hæc non à faſciarum multiplicitate, ſed ab his utentium & deligationē conſtringentium ineptia contigiſſe. Oportebat namque deligare, quemadmodum pronunciat Hippocrates. In his autem deligationis ſunt compreſſio quidem, quò incumbentia neque abſcedant, neque admodum obnitantur, ſed fulciantur quidem, non tamen cogantur. Ipſos autem decebat teſtem Hippocratem adducentes ſententiæ reſiduum addere; Non enim ſimpliciter ipſam F extulit, *ſed & alia multa obladunt qui decoris deligationibus delectantur*, ſed hoc appoſito, *citra mentem.* [At ex iis nunc à me docendis perpendant multiplices deligationes ab Hippocrate non ablegari.] Nam ipſe Libro de Medici Officina, de Faſciatione diſſerens, quum quæ virtus inſit deligationi quæ fit, ac deinceps deligationi quæ jam facta eſt, pronuntiavit, ſic eloquitur, *rectè ac decorè.* Illud quidem *rectè* quod conferat, poſuit; hoc verò, *de-*

de articulis ſcriptum,
qua patet Hippocratem grue variâ deligatione uſum fuiſſe? Sciant autem quòd quibuſdam in partibus, ut in femore priſtinum in articulum repoſito, & brachio & cubito, & cæteris pluribus, non alia quàm multiplici deligatione uti non detur. Verùm hactenùs dicta ſufficiant.

ποικίλῃ οὔσῃ ἐπιδέσει κεχρῆσθαι. ἴσασιν δὲ ὅτι ἐπὶ μηροῦ ἤγουν ὡς ἐπὶ μηροῦ προεμβεβλημένου, βραχίονός τε, καὶ ἀγκῶνος, καὶ ἄλλων πλειόνων οὐκ ἔστιν ἄλλῃ χρῆσθαι ἐπιδέσει, ἢ ποικίλῃ· ἀλλὰ περὶ μὲν τούτων ἱκανὰ τὰ εἰρημένα.

CAPUT II.

De faſciis à materia, figura, longitudine, latitudine, & ſtructura differentibus.

C

AD artificem verò tum faſciarum, tum deligationis doctrinam, orationem reducamus; certòque ſciamus imprimis qua in re diſcrepent faſciæ inter ſe materiâ, figurâ, longitudine, latitudine, & ſtructura. *Materia*, quoniam ipſarum nonnullæ ſunt laneæ, quædam lineæ, aliæ membraneæ, quum ipſarum uſus non unus, neque ſimilis, ſed diverſus exiſtat. Propterea conemur in operum functione congruenter affectui delectum facere. Quæ itaque aſtrictione opus habent, lineas in ipſis uſurpemus; quæ verò aſtrictionem non deſiderant, quod hæc quibuſdam inflammationibus adverſetur, & continentiam ſolam nixumve, aut tegumentum poſtulent, in his laneas. Membraneis denique utemur, quemadmodum in naſi & maxillæ fractura, agglutinato parti devinciendæ faſciæ extremo, uſus eſt Hippocrates. *Figura*, quò hæ convolutæ, illæ ſciſſæ, aliæ cōſutæ ſint. *Cōvolutæ* ſunt, quæ ex habena in inſignē longitudinem factæ ſunt, quales exiſtunt quæ in mēbrorum fracturis uſurpantur. Sciſſæ quæ uno conſtant linteo, extremis, aut aliis etiam quibuſdam partibus diſciſſæ; quales capiti perforato admovētur, quæ cancri vocantur, quadricrures, ſexcrures, aut octicrures. *Conſutæ*, quæ ex pluribus habenis cōpoſitæ, ſolis figuris diſſimilibus propugnaculū habent, quales ſunt ſuſpendentes, accingētes, aut mammifaſciæ, aut quæ mãmis, & loco ſedē ambienti congruunt. Lōgitudine quod aliæ ſint oblongiores, aliæ breviores. *Latitudine quod aliæ ſint anguſtiores aliæ latiores.* At ut faſciarum lōgitudo, ſic & latitudo partibus devinciendis pro longitudinis & latitudinis proportione apparanda eſt. Structurâ denique inter ſe faſciæ differunt, quod aliæ textæ ſint, aliæ coactæ, aliæ

ΚΕΦΑΛΑΙΟΝ β΄.

Περὶ τῶν ἐπιδέσμων ὕλῃ, σχέσει, μήκει, πλάτει, καὶ κατασκευῇ διαφερόντων.

D

Ἐπανάγωμεν δὲ τὸν λόγον ἐπὶ τὴν τῶν ἐπιδέσμων τε, καὶ τῆς ἐπιδέσεως τεχνολογίαν· καὶ δὴ ἐν πρώτοις ἴδωμεν τίνι διαφέρουσιν ἀλλήλων οἱ ἐπίδεσμοι, ὕλῃ, σχέσει, μήκει, πλάτει, κατασκευῇ. ὕλῃ μὲν ἐπεὶ οἱ μὲν αὐτῶν εἰσιν ἔρεοι, οἱ δὲ λινοῖ· οἱ δὲ δερμάτινοι, τῆς χρήσεως αὐτῶν οὐ μιᾶς οὐδὲ τῆς ὁμοίας οὔσης, ἀλλὰ διαφόρου· πειρώμεθα γὰρ ἁρμοζόντως τοῖς πάθεσι τὴν ἐκλογὴν ἐν τῇ χρήσει ποιεῖσθαι· ὅσα γοῦν σφίγξεως δεῖται λινοῖς ἐπ' αὐτῶν χρώμεθα· ὅσα δὲ οὐ σφίγξεως, διὰ τὸ ἐναντιοῦσθαί τισι φλεγμοναῖς, συνοχείας δὲ δεῖται μόνης, ἢ σκέπης, ἐρέοις· δερματίνοις δέ, ὡς Ἱπποκράτης ἐπὶ ῥινός, καὶ γένυος καταγείσης ἐχρήσατο, κατακολλῶντες τὸ ἄκρον τῷ δεομένῳ τῆς ἐπιδέσεως· σχέσει δέ, ἐπεὶ οἱ μέν εἰσιν εἱλικτοί, οἱ δὲ σχιστοί, ἄλλοι δὲ σύρραπτοι. εἱλικτοὶ μὲν οὖν εἰσιν οἱ ἐκ ταινίας ἐπὶ μῆκος ἀσυμβλήτου γεγονότες, οἷοί εἰσιν οἱ κατὰ τὰ κατάγματα τῶν κώλων παραλαμβανόμενοι. σχιστοὶ δὲ οἱ ἐκ ῥάκους ἑνὸς κατὰ τὰ πέρατα, ἢ καὶ ἄλλοτι μέρος ἐπερρωγότος, οἷοί εἰσιν οἱ ἐπὶ κεφαλῆς ἀνατετρημμένης παραλαμβανόμενοι, καρκῖνοι δὲ καλούμενοι, τετρασκελεῖς, ἢ ἑξασκελεῖς, ἢ ὀκτασκελεῖς. σύρραπτοι δὲ οἱ ἐκ τελαμώνων πλειόνων συντιθέμενοι ἀνομοιοσχήμονα τὴν ἐπιβολὴν ἔχοντες οἷοί εἰσιν οἱ καλούμενοι ἀναλκατερίδες, ἢ ἀναζῶστραι, ἢ μαστόδεσμοι, ἢ ἐπὶ μαστῶν καὶ τὸν περὶ ἕδραν τόπον ἁρμόζοντες· μήκει δέ, ἐπεὶ οἱ μέν εἰσιν ἐπιμηκέστεροι, οἱ δὲ βραχύτεροι· ὁμοίως δὲ καὶ ἐπὶ πλάτους ἔχει τοῖς ἐπιδεομένοις μέρεσι παρασκευαζομένου καὶ τοῦ μήκους, καὶ τοῦ πλάτους ἀναλόγως. κατασκευῇ δὲ διαφέρουσιν ἀλλήλων, ἐπεὶ οἱ μὲν ὑφαντοί, οἱ δὲ πιλωτοί, οἱ δὲ

E

F

ΚΕΦΑΛΑΙΟΝ γʹ.

Τοὺς ἐπιδέσμους αἱρεῖσθαι χρὴ πάντας καλούς, καθαρούς, λεπτούς, κούφους, μαλακούς, ὑγιεῖς, ἐπιβρέγματα ἢ ξυρράφας οὐκ ἐχομένους, καὶ πρὸς στήμονα σχιζομένους.

Ἔστω δὲ κοινὸν μὲν ἐπὶ πάντων παραγγελμάτων ἐπιδεομένων τὸ εὐπορεῖν εἶναι, καὶ τοῖς παροῦσιν ὡς ἀρίστοις δύνασθαι χρῆσθαι. ἐκλογῆς δέ τινος οὔσης τὸ αἱρεῖσθαι τοὺς ἐπιδέσμους, ὡς εἶπεν Ἱπποκράτης· φησὶ γάρ, ἔστω ἐπιδέσματα καλά, καθαρά, λεπτά, κοῦφα, μαλακά, ὑγιέα, ὥστε τάνυσιν φέρειν, καὶ ὀλίγῳ κρέσσω, μὴ ἔχοντα ξυρράφας, μηδὲ ἐξαστίας. καθαρὰ μὲν γὰρ εἶναι δεῖ, διότι ἀπρεπὲς τὸ ῥυπαρὸν καὶ μηδὲ ἐπιδεχόμενον τὰ ἐπιβρέγματα καὶ παρέχοντά τινα βλάβην ἐν τῇ πρὸς τὰ ἐπιβρέγματα μίξει. ἔστω δὲ καὶ ἴδιον χρῶμα ὡς μὴ ἀπὸ πορφύρας ἤ τινος ἄλλου βάμματος τὸ αὐτὸ γίνεσθαι, ἢ καὶ φαντασίαν ἡμῖν προβάλλῃ αἵματος ῥέοντος· ἢ τοῦ χρώματος ὁμοιότητα, λεπτὰ δέ, ὡς μὴ ὄγκον πλείονα ταῖς ἐπινεμήσεσι παρέχῃ. μαλακὰ δέ, ὡς μὴ θλίβῃ διὰ τὴν σκληρότητα· κοῦφα δέ, ὡς τὸ μὴ ἐκ τοῦ προσόντος αὐτοῖς βάρους φορτικὴν τὴν ἐπίδεσιν γίνεσθαι· μὴ ἐχέτω δέ, μηδὲ ξυρράφας ἀνωμάλως, διὰ τὸ ποιοῦσι τὴν θλῖψιν, ἀλλὰ μηδὲ ἐξαστίαν, ὅ ἐστι, μήτε πτέρωσιν, μήτε παραστροφήν, μήτε ὥσπερ ἶνας ἐξεχούσας. τὸ μὲν γὰρ ἀνώμαλον τὴν ἐπίδεσιν ποιεῖ· τὰ δὲ ἐξέχοντα τὴν ἐπινέμησιν οὐκ ἐᾷ γίνεσθαι ῥᾳδίως. σχίζοντα δὲ τοὺς ἐπιδέσμους, οὐ κατὰ τὸ ἐπικάρσιον τμῆμα τῇ ὤᾳ δεῖ σχίζειν, ἀλλὰ κατ' εὐθὺ ὥσπερ ἐξυφαίνεται ὡς τὸν στήμονα αὐτὸν γίνεσθαι στοχαζόμενον· ἐπὶ τούτῳ γὰρ εὔσχιστα τὰ ῥάκη· ἐπὶ δὲ τὴν κρόκην τὸ ἀνάπαλιν· ἄλλως τε, καὶ κατὰ τὴν πρὸς τὸν στήμονα ἀκολουθίαν σχιζόμενα εὐτονώτερα πρὸς τὴν θέσιν τῶν ἐπιδεομένων ἐστί.

CAPUT III.

Faſciarum copia & delectu opus eſſe; faſcias mundas, decoras, tenues, molles, leves, ſine ſuturis, ſine extantiis, firmas, & pro ſtaminis ſerie ſciſſas eſſe decet.

Ex omnibus præceptis illud ſit publicum. Devincientibus *Medicis* faſciarum copiam ſuppetendam eſſe, quo proſtantibus quampluri- mis uti queant. Quum autem delectus quidam adeſt, faſciæ eligendæ ſunt, quemadmodum præcipit Hippocrates: ſic enim pronuntiat; Sunto faſciæ decoræ, mundæ, tenues, leves, « molles, integræ, tenſionem ferentes, paulò « valentiores, neque ſuturas, neque extantias « habentes. Enimverò mundas eſſe faſcias oportet, quòd ſordidæ fœdæ ſint, perfuſiones non admittant, & aliquam in perfuſionum cinno læſionem invehant. Sed his proprius ſit color, ne à purpura, aut alia quadam tinctura idem noxæ oboriatur, neve etiam nobis fluentis ſanguinis imaginatio promoveatur, aut coloris ſimilitudo. Tenues, ne majorem diſtributionibus molem conſtituant. Molles, ne ob duritiem contuſio concitetur. Leves, ad hoc, ne ob incumbens ipſis grave pondus oneroſa deligatio contingat. Neque verò faſciæ ſuturas ſortiantur inæquales, eâ re contuſionem allaturæ; imo neque extantias, hoc eſt, neque fimbrias, neque inſtitas, aut orarum obverſiones, fibrarum modo eminentes. Quæ namque extant, inæqualem deligationem reddunt; quæ verò eminent, diſtributionem fieri facilè non ferunt. At ſcindẽti faſcias, non tranſverſaria villo, ſed directe ſectione, prout tela contexitur, ſcindendum eſt, ut ſtamine dirigatur collimanti. Hoc enim modo lintea facilè ſcinduntur; ſecus autem ad tramam. Præterea & quæ ducta ad ſtamen ſerie ſcinduntur, ad partium devinciendarum poſituram *continendam* robuſtiora ſunt.

ΚΕΦΑΛΑΙΟΝ δʹ.

Τὰς τῶν ἐπιδέσεων διαφορὰς ἀπὸ τῶν ἐπιδεομένων μερῶν, καὶ συμβεβηκότων, καὶ τῆς τῶν ζῴων ὁμοιότητος λαμβανομένας, καὶ τὰς ἰδίᾳ, καὶ τὰς μετ' ἀρχῶν ἀρχέσθαι, καὶ τὰς ἰδίας, ἢ κοινὰς εἶναι, τάς τε προσθοφανεῖς, ἢ ὀπισθοφανεῖς, ἢ ὁμαλοφανεῖς.

Τῶν δὲ ἐπιδέσεων αἱ μέν, ὡς ἔμπροσθεν εἶπον, εἰσὶν ἁπλαῖ, αἱ δὲ ποικίλαι· καὶ τούτων αἱ μὲν ἀπὸ τῶν ἐπιδεομένων μερῶν ἔτυχον τῆς προσηγορίας, αἱ δ' ἀπὸ τῶν συμβεβηκότων, ἄλλαι δὲ κατὰ μεταφορὰν τῆς πρὸς τὰ ζῷα

CAPUT IV.

Variarum deligationum differentias à partibus devinciendis, eventis, & animalium effigie ſumptas; per ſe, aut cum laqueis effici; ab uno, aut pluribus capitibus ordiri; proprias, aut communes eſſe; & extrorſum, aut retrorſum, aut æqualiter prominere.

At verò deligationum (ut antea protulimus) quædam ſunt ſimplices, quædam verò multiplices. Harum etiamnum aliæ à partibus devinciendis, aliæ ab eventis, aliæ per effigiei ad animalia tranſlationem appella-

Priorem faſciæ poſituram, neque fortuitam, neque definitam, ſed à ſpecie, parte affecta, & à morbo indicari. De duplici deligatione facta, & facienda, ac de utriuſque conditionibus.

RAtioni conſentaneum eſt priùs inſpicere, an ut ſors tulerit, prima faſciarum injectio efficienda ſit, & ea de re perquirẽdum eſt. Qui namq; nos præceſſerunt omnes, quoſdam corporis locos definierunt, in quibus capitum faſciæ poſitura ſtabilienda eſt. Exempli gratia, in capite cui quãcunque ob cauſam deligatio debetur, faſciæ caput ſupra occipitium collocant, ac inde diſtributionẽ ducentes deligationem conficiunt, ſpectato nequaquam affectu, ob quem faſciam admovent, an congruenter, necne, ipſam operationem moliantur. In cæteris quoque partibus aut imperitia, aut ignoratione, ut creditur, hoc opus obeuntes, ſedes quodam modo circumſcripſerunt. Oportet enim rectè devincientem operam dare quò non ſolùm Hippocratis edicto, ſpeciei ſpeciẽ, verumetiam partis deviciendæ morbo congruentem deligationem moliatur. Nos itaque non quò ſors tulerit, ſed ubi deceat, faſciarum capita collocamus; extrema verò prout Senex imperat, impo-
» nenda ſunt. Quæ moventur ut articuli; qua in-
» flectuntur quamminimis ac maximè contractis
» *faſciis*, veluti poples; qua verò extenduntur tum
» ſimplicibus & expaſſis, tum latis, veluti rotula,
» obvolvenda ſunt. Obvolvere inſuper oportet
» cõprehenſionis rerũ his incumbentium gratiâ;
» ſuſpenſionis quoq; univerſæ faſciæ in conquieſ-
» centibus, ac ſubſidentioribus corporis partibus
» qualis regio tum ſupra, tũ infra genu poſita eſt.
» At idonea eſt capitis quidem humeri ad alteram
» axillam, inguinis verò ad alterum ilium, & tibiæ
» ſupra ſuram faſciæ circunductio. Quibuſcun-
» que ſurſum quidem faſciæ fuga fit, infernè fit
» ſuſpenſio; quibus deorſum, verſa vice. At qui-
» bus non datur, ut in capite, in his quammaximè
» æquali parte comprehenſiones faciendæ ſunt,

Τὴν προτέραν τοῦ ἐπιδέσμου θέσιν μήτε τυχοῦσαν, μήτε διωρισμένην, ἀλλὰ ἀπὸ τοῦ εἴδεος τε καὶ μέρεος πεπονθότος, καὶ τοῦ νοσήματος ἐνδείκνυσθαι· περὶ διπλῆς ἐπιδέσεως τῆς συντετελεσμένης τε καὶ συντελουμένης, καὶ περὶ τῶν τῶν ἀμφοτέρων ἀρετῶν.

D ΑΞιον ἐπισκέψασθαι πρότερον ὡς ἔτυχε τὴν πρώτην τῶν ἐπιδέσμων καταβολὴν ποιεῖσθαι χρὴ, καὶ περὶ τούτου ζητητέον ἐστίν. οἱ μὲν γὰρ πρὸ ἡμῶν πάντες τόπους τινὰς ἀφώριζον τοῦ σώματος, ἐφ' ὧν δεῖ τὴν θέσιν τῶν ἀρχῶν ποιεῖσθαι, οἷον ἐπὶ κεφαλῆς ἐπιδεομένης δι' ὃ δή ποτ' οὖν τὴν ἀρχὴν κατ' ἰνίου τάττουσι, κἀκεῖθεν τὰς ἐπινεμήσεις ἄγοντες συντελοῦσι τὰς ἐπιδέσεις οὐδέν τι ἐστοχασμένοι τοῦ πάθους δι' ὃ ἐπιδέουσιν εἴτε ἁρμοζόντως αὐτὸ τοῦτο πράττουσιν, εἴτε καὶ μή· καὶ ἐπὶ τῶν ἄλλων δὲ μερῶν ἀφωρίσαντό πως, ἢ κατὰ ἀμαθίας, ἢ ἀγνοίας ὡς εἰκὸς τοῦτο πράττοντες. δεῖ γὰρ τὸν ὀρθῶς ἐπιδέοντα
E πειρᾶσθαι μὴ μόνον, ὥς φησιν Ἱπποκράτης, ἁρμόζον τὸ εἶδος τῷ εἴδει ποιεῖν, ἀλλὰ καὶ τῷ πάθει τοῦ ἐπιδεομένου. διὸ καὶ ἡμεῖς οὐχ ὅπῃ ἔτυχεν, ἀλλ' ὅπῃ δεῖ τιθέμεθα τὰς ἀρχὰς, καὶ τὰ πέρατα δὲ τῶν ἐπιδέσεων θετέα δεῖ, ὥς φησιν ὁ παλαιός. Τὰ δὲ κινούμενα, οἷον ἄρθρα, «
ὅπῃ μὲν ξυγκάμπτεται, ὡς ἥκιστα, καὶ εὐσταλέστατα περι- «
βάλλειν, οἷον ἰγνύην· ὅπῃ δὲ περιτείνεται, ἁπλᾶ τε καὶ πλα- «
τέα, οἷον ἡ μύλη. περιβάλλειν δὲ καταλήψιος μὲν τῶν »
F περὶ ταῦτα εἵνεκα· ἀναλήψιος δὲ τοῦ ξύμπαντος ἐπι- «
δέσμου ἐν τοῖσιν ἀτρεμέουσι, καὶ λαπαρωτέροισι τοῦ σώ- «
ματος, οἷον τὸ ἄνω, καὶ τὸ κάτω τοῦ γό- «
νατος· ὁμολογεῖ δὲ ὤμου μὲν ἡ περὶ τὴν ἑτέραν «
μασχάλην περιβολὴ, βουβῶνος δὲ ἡ περὶ τὸν ἕτε- «
ρον κενεῶνα καὶ κνήμης ἡ ὑπὲρ τὴν γαστροκνημίην. «
Ὁκόσοισι μὲν ἄνω ἡ φυγὴ κάτωθεν ἡ ἀντίληψις, οἷσι «
δὲ κάτω τὸ ἐναντίον. οἷσι δὲ μή ἐστιν· οἷον ἡ κεφαλή, «
τουτέων ἐν τῷ ὁμαλωτάτῳ τὰς καταλήψιας ποιέεσθαι, «

τὸ δὲ ῥηϊδίως δρῆν, εὐπόρως δὲ ἐς τὸ προετοίμως· εὐρύθμως δὲ δρῆσθαι ἡδέως· ἐπιδεδεκότα δὲ ἔχειν πάσας τὰς ἔμπροσθεν εἰρημένας ἀρετὰς ἀγαθῶς, καὶ καλῶς, καὶ τὰ λοιπά. B

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ εὐχρηστίας ἐπιδέσμων, καὶ τῆς ἐπιδέσεως τῆς συνεχούσης, ἢ αὐτουργούσης· ὅθεν, ᾗ, καὶ ποῖ ἀκτέον τὸν ἐπίδεσμον ὡς τὰ ἀφεστῶτα μόρια προστέλλωνται, καὶ τὰ ἐκπεπταμένα συστέλλωνται, καὶ διεστραμμένα διορθῶνται.

C

Περὶ δὲ εὐχρηστίας τῶν ἐπιδεσμῶν τάδε χρὴ εἰδέναι· ὡς τῶν ἐπιδέσεων αἱ μὲν ἰωμένοις τισὶν ὑπηρετοῦσι συνοχῆς χάριν παραλαμβανόμεναι, αἱ δὲ οὐκ εἰς τοῦτο, εἰς δὲ τὸ αὐτουργῆσαι παραλαμβάνονται, αὗται τὴν ἴασιν πεπιστευμέναι, ἐφ᾽ ὧν μάλιστα ἠκριβωκέναι δεῖ, ὅπῃ ποτὲ ταχτέον τὴν ἀρχὴν, καὶ ὅθεν τὰς ἐπινεμήσεις ποιητέον, καί που τελευτητέον· ὧν ἕκαστα διὰ γραφῆς μὲν τἀκριβὲς παραδοῦναι οὐχ οἷόν τε· ἀφορμὰς δὲ παρέχειν, δι᾽ ὧν εὐεπιλόγιστος ἐν τοῖς ἐπὶ μέρους ἔσται ὁ ἰατρὸς ἐπιστάμενος φύσιν τε ἑκάστου τῶν μερῶν ὡς ἔχει εὐφόρως πρός τε ἐπίδεσιν, καὶ ἀνάληψιν, καὶ θέσιν. ἐπιστάμενος δὲ καί τι δύναται ἐπίδεσις· δύναται τοίνυν ἐπίδεσις, τὰ μὲν ἀφεστῶτα προστέλλειν, τὰ δὲ ἐκπεπταμένα συστέλλειν, τὰ δὲ διεστραμμένα διορθῶσαι, καὶ τὰ ἐναντία πάντων χρῆσθαι, ἐπιδεῖν δὲ μὲν ἀφεστῶτα, ὥστε τὰ μετέωρα δὲ τῆς ἕδρας ψαύειν, τοῦτ᾽ ἔστι τῶν ἑδραίων ἀφ᾽ ὧν ἀπέστη, καὶ εἰ μετεωρισθῇ. μὴ πιέζειν δὲ, καὶ μὴ ἄρχεσθαι μὲν ἐκ τοῦ ὑγιέος, τελευτῆσαι δὲ εἰς τὸ ἕλκος, ὡς τὸ μὲν ὑπεὸν ἐξάγηται, ὅσον ἐστὶν ἐκθλίβηται, ἕτερον δὲ μὴ ἐπισυλλέγηται· ἐφ᾽ ὧν δὲ ἂν ἀποστήσασθαι βουλητῶμεν πάντα τἀναντία χρὴ ποιεῖν τοῖς συναγομένοις. E ἐφ᾽ ὧν δὲ ἐκπεπετασμένα ὅσον ἐστὶν ἐκπεπταμένα, ἐκ πολλοῦ δὲ βουλόμεθα συναγαγεῖν, τὰ μὲν ἄλλα τὰ αὐτὰ ποιητέον. ἐκ πολλοῦ δέ τινος τὴν συναγωγὴν καὶ ἐκ προσαγωγῆς τὴν πίεσιν ποιεῖσθαι, τὸ πρῶτον ἥκιστα, ἑξῆς ἔτι μᾶλλον ἕως τοῦ μᾶλλον τοῦ συμψαύειν καὶ ἡρμόσθαι, μὴ ἐρηρεῖσθαι δέ· ἐφ᾽ ὧν δὲ δεῖ συνηγμένα διαστῆσαι, ἐν φλεγμονῇ ἐλινύειν, ἄνευ δὲ φλεγμονῆς, παρασκευῇ μὲν τῇ αὐτῇ ἐπιδέσει, δὲ ἐναντίῃ διεστραμμένα διορθῶσαι, τὰ μὲν ἄλλα ταῦτα. δεῖ δὲ τὰ μὲν ἀπεληλυθότα ἐπάγειν, τὰ δὲ ἐναντία ἐναντίως· ἅπαντα δὲ ταῦτα ὥσπερ νόμους ἐπιστάμενόν τε καὶ διαφυλάττοντα ἑκάστῳ πάθει τὸ κατάλληλον αὐτοῦ αἱρεῖσθαι, μὴ προσέχοντα εἰς τόπους τινάς. ἡμεῖς ἀφορίζομεν τὰ νῦν ἐπιδέοντες, ἀφ᾽ ὧν δεῖ τῆς ἐπινεμήσεως ἄρχεσθαι. διὰ γραφῆς γὰρ καθ᾽ ἓν ἐξειργασμένον

rum ratione; citra dolorem, quò ipſa facile præſtemus; promptè, in omnibus paratè; concinnè, ut B aſpectum oblectent. Quæ verò deligationem peregerunt, omnes ſuperiores virtutes enarratas ſortiuntur, rectè, decorè, & cæteras.

CAPUT VI.

De faſciarum, & faſciationis, continentis, aut per ſe operantis uſu: unde, qua, & quo ducenda faſcia, ut partes abſceſſæ conjungantur, everſæ coerceantur, ac diſtortæ dirigantur.

C De faſciarum devincientium uſu hæc noſſe oportet. Deligationum alias quibuſdam *topicis* medentibus ſubſervire, continendi gratiâ ſuſceptas; alias non ad hoc, ſed ad operationem per ſe obeundam uſurpatas, in quibus accuratiſſimè didiciſſe oportet, ubi partium faſciationis exordium ſtatuendum ſit, quà diſtributiones ducendæ, & quò finis ferendus; quæ ſingula deſcriptione quidem planè tradi nequeunt; ſubſidia tamen præſtare poſſunt, quibus qui Medicus in particularibus verſatus erit, facilè ratiocinatione D colliget ſe tum ſingularum partium naturam prout deligationi, ſuſpenſioni, & poſituræ ferendæ ſit idonea, tum etiam quid valeat deligatio, noſſe. At poteſt deligatio eas quæ abſceſſerunt partes conjungere, everſas coërcere, diſtortas dirigere, atque omnibus contraria præſtare. At eas quæ abſceſſerunt partes ita devincire oportet, ut ſublimia ſedem, hoc eſt, ſtabilem unde abſceſſerunt, locum contingant; etſi multùm ſublata ſunt, non tamen premant. A ſana verò ac integra parte deligatio ordienda eſt, & ad ulcus finienda, ut quod ſubeſt, educatur, hoc eſt, excludatur, neque alterum colligatur. Quibus autem in E partibus abſceſſus, & *materiā* colligi voluerimus, his in unum cogendis omnia contraria efficienda ſunt. quibus autem extenſas, quod eſt, everſas partes è longinquo in unum adducere volumus, cætera eodem modo facienda. E longinquo verò quodam coactio, & ex acceſſu compreſſio primùm minima, deinde major, facienda. Majoris terminus ſit partium contactus, & peracta conjunctio, non autem fulcimentum. Quibus autem conjuncta diducenda ſunt, in inflammatione ſuperſedenda eſt deligatio citra inflammationem, F eodem apparatu, ſed contraria deligatione utendum: Diſtorta dirigenda ſunt & ejuſmodi cætera. Quæ receſſerunt, adducenda ſunt: contraria verò contra. Hæc omnia *Medicum* tãquam legum tum peritum, tum aſſertorem decet pro ſingulis affectibus idoneam ipſis deligationem eligere, minimeque ad certos locos conſilium dirigere. Nos autem nunc partium deligationem obeuntes, à quibus faſciæ diſtributio ordienda ſit definimus: Quod enim in unaquaque operatione

faſciolæ nodum, anteriora verò ſupra occiput colligamus. Poſſumus etiam abſque nodis, aliis quidem ſuppoſitis, aliis verò incumbentibus, poſtremo fibulas imponere.

CAPUT VIII.

2. Schiſtus quadricruris ad frontem & vicinos locos.

LInteum in quatuor crura dividimus, medio continuo relicto, quod etiam fronti apponimus. Capita verò anteriora poſterioribus capitibus demiſſis ad occiput deducimus; ibique nodo ligamus, deinde alia duo capita ſurſum converſa ad verticem ducimus, ad quem ligamus. At quæ ad verticem feruntur, ea ſub mentum adducta connectere poſſumus. Hoc ſchiſto ad occiput quoque utimur capitibus à capitis lateribus nexu revictis.

CAPUT IX.

3. Schiſtus octicruris univerſo capiti idoneus.

LInteum octo in crura diviſum, medio minimè ſciſſo relicto, quo caput univerſum tegat amplitudine, toti capiti obvolventes, tum è cruribus demiſſis ad mentum duo adducimus, eorumque ſciſſa ſecundùm aures continuitate, illic nexu ligamus. Quum autem reliqua *crura* poſteriora quatuor ſint, duo anteriora, poſteriorum ultima ſuper alia frontem verſùs adducimus, alterum quidem ad extremum ſubjicimus, alterum verò ad ſubjecti comprehenſionem injicimus. Jam verò eodem modo anteriora crura ad occiput ducimus. Simili quoque ratione prima capita eodem in loco deligamus, eorumque alterum ad alterum contrahimus; alia verò duo poſteriora ad frontem adducimus, hoc quidem ſubjicimus, illud verò attollimus; iſtud denique poſtremum ad capitis latera fibulâ deligamus. Hoc ſchiſto citra nodos caput devinciente, eam quæ nodis fit aſtrictionem vitamus.

τὰς μὲν ὀπισθίους πλησίον τοῦ κατὰ τὸ ἰνίον πεπλεγμένου ἅμματος, τὰς δὲ ἐμπροσθίους παρὰ τὸ ἰνίον. δυνατὸν δὲ καὶ χωρὶς
C ἀμμάτων τὰς μὲν ὑποβάλλειν, τὰς δὲ ἐμβάλλειν τοῦ ὑστάτου ἀγκτηρίζοντα.

ΚΕΦΑΛΑΙΟΝ η'.

Σχιστὸς τετρασκελὴς ἐπὶ μετώπου, καὶ τῶν πλησίον τόπων.

ΔΙαιροῦμεν τὸ ῥάκος εἰς σκέλη τέσσαρα τὸ μέσον συνεχὲς ἐῶντες ὃ καὶ ἐπιβάλλομεν τῷ μετώπῳ· τὰς ἀρχὰς δὲ τὰς ἐμπροσθίους ἀπάγομεν ἐπὶ ἰνίον κατὰ τῶν ὀπισθίων ἀρχῶν
D κατὰ τῶν προειρημένων κἀκεῖ ἀμματίζομεν, ἐπὶ τὰς ἑτέρας δύο ἀρχὰς ἀνακλάσαντες ἄγομεν ἐπὶ κορυφήν, ἐπ᾽ αὐτῆς δὲ ἀμματίζομεν· δυνατὸν δὲ τὰς ἐπὶ κορυφῆς ἀγομένας ὑπὸ τὸ γένειον ἀγαγόντας ἀμματίζειν· τούτῳ καὶ ἐπὶ ἰνίου χρώμεθα τὰς ἀρχὰς ἐκ πλαγίων τῆς κεφαλῆς ἀμματίζοντες.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Σχιστὸς ὀκτασκελὴς ἐφ᾽ ὅλης τῆς κεφαλῆς.

E

ΔΙελόντες τὸ ῥάκος εἰς σκέλη ὀκτὼ τοῦ μέσου ἀσχίστου καταλειπομένου, μεγέθει ὡς ὅλην τὴν κεφαλὴν σκεπάσαι, ἐπιβάλλοντες ὅλῃ τῇ κεφαλῇ καὶ τῶν σκελῶν περιειμένων δύο ἄγομεν ἐπὶ τὴν ἀνθερεῶνα διεξέοντες αὐτῶν τὸ κατὰ τὰ ὦτα συνεχὲς κἀκεῖ ἀμματίζομεν. λοιπῶν δὲ ὄντων τεσσάρων ὄπισθεν, δύο δ᾽ ἔμπροσθεν, τὰ ὕστατα τῶν ὄπισθεν ὑπὲρ τὰ ἄλλα ἀνάγομεν ἐπὶ τὸ μέτωπον, καὶ τὸ μὲν ἐπὶ πέρας ὑποστέλλομεν·
F τὸ δὲ δὴ ἕτερον ἐπιβάλλομεν εἰς κατάληψιν τοῦ ὑποκειμένου. ἔπειτα οὕτω τὰ ἔμπροσθεν σκέλη ἄγομεν ἐπὶ τὸ ἰνίον. ὁμοίως τὰς δὲ πρώτας ἀρχὰς ταὐτῇ καταλαβόμενοι τόπῳ τῷ ἑτέρῳ ὑποστέλλοντες εἰς ἑτέραν, καὶ τὰς ἄλλας δὲ δύο τὰς ὀπισθίας ἄγομεν ἐπὶ τὸ μέτωπον· τὴν μὲν ὑποστέλλοντες, τὴν δὲ ἐπάγοντες, τὴν δὲ τελευταίαν ἔξω κατὰ τὰ πλάγια τῆς κεφαλῆς ἀγκτηριζόμενοι· ὡς χωρὶς ἀμμάτων τῆς κεφαλῆς ἐπιδεομένης γίνεσθαι φυλασσόμενοι τὴν ἐκ τῶν ἀμμάτων θλῖψιν.

αἱ ἔξωθεν σχισθεῖσαι ἐπὶ ἰνίον ἀπαγέσθωσαν, κἀκεῖ ἀμμαπτιζέσθωσαν, καὶ ἀπὸ ἰνίου δὲ αὗται ἕως κατὰ τοῦ μετώπου ἀγέσθωσαν, καὶ περὶ μέσον ἀμμαπτιζέσθωσαν. εἶτα ἑξῆς αἱ λοιπαὶ δύο κατὰ τοῦ μετώπου σχισθεῖσαι ἐπὶ ἰνίον ἀγέσθωσαν· αἱ δὲ ἀπὸ ἰνίου ἐπὶ μετώπου.

vero quatuor ab occipite. Quæ à fronte pro-
B pendent, eorum duo interiora ſciſſa ad occiput deferantur, illicque nectantur. Quæ verò ab occipite, cum pendulis ad frontem adducantur, ac prope partem nectantur. Eadem ſerie reliqua duo ſciſſa à fronte pendula, ad occiput; quæ denique ab occipite, ad frontem deducantur.

ΚΕΦΑΛΑΙΟΝ ια'.

Παρασκεπάστρα τρίδεσμος ἐκ τῆς σκεπάστρας τῆς ἐκ ταινίας πλαγίας τετρασκέλεως καὶ κατόχου, καὶ καθολκέως.

C Ἁρμόζει μὲν ἐφ' ὧν ὅλην κεφαλὴν σκεπάσαι θέλομεν· παρασκεπάστρα ἐκλήθη· ὁ δὲ κάτοχός ἐστι ταινία ὑπερμήκης ὑπὲρ τῆς σκεπάστρας κατὰ μῆκος κύκλῳ τῷ προσώπῳ καὶ τῇ κεφαλῇ περιτιθεμένη εἰς τὴν κατάληψιν τῆς σκεπάστρας. ὁ δὲ καθολκεὺς ἐκ ταινίας γίνεται ἐπιμήκους· παραλαμβάνεται δὲ χάριν τοῦ καθέλκειν τὸν ἐπίδεσμον εἰς τὸ μὴ ἀπολισθαίνειν, ἐπιτελεῖται δὲ οὕτω. ῥάκος λαμβανέσθω πλάτει μὲν τηλικοῦτον, ὥστε σκέπειν ὅλην τὴν κεφαλὴν, μήκει δὲ ὡς πλεῖστον ἢ διπλοῦν δύνασθαι τοῦτο ποιῆσαι. τούτου ἡ μὲν ἑτέρα ἀρχὴ κατ' ἰνίου τιθέσθω· ἡ δὲ ἑτέρα κατὰ προσώπου φερέσθω, στενοῦ τε δὲ τελαμῶνος ἡ μεσότης ὑπὸ τὸ γένειον τιθέσθω, αἱ δὲ ἀρχαὶ κατὰ παρειῶν καὶ κατὰ βρέγματος ἀγέσθωσαν ὅπου χιασθῶσιν ἐπὶ γένυν ἐπαγέσθωσαν. ἑτέρου δὲ στενοῦ τελαμῶνος ἡ μεσότης κατὰ μετώπου· αἱ δὲ ἀρχαὶ κυκλοτερεῖς ἐπὶ ἰνίον, ἐνταῦθά τε πρὸς ἑαυτὰς καὶ πρὸς τὰς τοῦ καθολκέως ἀρχαὶ ἀμμαπτιζέσθωσαν. τὸ δὲ κατὰ προσώπου παρειμένον εἰς δύο σκέλη ἐπ' εὐθείας διαιρείσθω μέχρι μεσοφρύου καὶ χιασθέντα κατὰ μετώπου κυκλοτερῶς ἐπὶ ἰνίον ἀπαγέσθω κἀκεῖ ἀμμαπτιζέσθω. δυνατὸν δὲ καὶ τὸν κάτοχον καὶ τὸν καθολκὸν ἐξ ἑνὸς ποιῆσαι ταινιδίου ἐπιμηκεστέρου τὸν τρόπον τοῦτον. μεσότης κατὰ βρέγματος, αἱ δὲ ἀρχαὶ ἐπ' εὐθείας κατὰ παρειῶν ὑπὸ γένειον· εἶτα ὑπὸ λοβοὺς ὤτων ἐπὶ ἰνίον. κἀκεῖ χιαζέσθωσαν ἀπὸ ἰνίου ἐπὶ μέτωπον· τὸ δὲ ἄμμα ἐκ πλαγίου τῆς κεφαλῆς. Ἁπλοῖ ἐπίδεσμοι.

CAPUT XI.

Paraſcepaſtra trifaſcia ex ſcepaſtra quatricrure, catocho, & catholce conſtructa.

Quæ faſcia congruit quibus univerſum caput tegere volumus, paraſcepaſtra vocata eſt; catochos verò prælonga faſcia eſt, quæ ſuprà ſcepaſtram ſecundùm longitudinem in orbem fronti & capiti ad ſcepaſtræ comprehenſionem obvolvitur. Catholceus verò ex faſcia fit oblonga. Suſcipitur autem faſciæ deorſum contrahendæ gratiâ, ne elabatur; ita verò perficitur. Linteum ſumatur, latitudine tam amplum ut univerſum tegat caput, logitudine verò duplo ampliſſimum, ut id efficere queat. Hujus faſciæ caput quidem alterum ſuper occipitium locetur;
D alterum verò à facie demittatur, tum anguſtæ faſciæ medium ſub mentum injiciatur; capita verò per genas ac per ſinciput ducantur, quæ ubi chiaſmum fecerint, ad mentum adducantur. Alterius autem anguſtæ faſciæ medium prope frontem; ſed capita in orbem ad occiput *volvantur*, illicque inter ſe & cum catholceos capitibus annectantur. A facie verò pendulum in duo crura adusque interciſium directè dividatur; quæ decuſſata à fronte in orbem ad occiput ferantur,
E illicque nectantur. Poſſunt autem & catochos, & catholceus ex una faſciola oblongiori hoc modo conſtitui. Medio ſincipiti admoto, capita rectà per malas ſub mentum, deinde ſub aurium fibras ad occiput ferantur; illicque ab occipite ad frontem decuſſentur, atque à capitis latere nodo nectentur. Hactenus ſimplices faſciæ.

ΚΕΦΑΛΑΙΟΝ ιβ'.

Ὁ Γαληνὸς περὶ τῶν ἐπιδέσεων ποικίλων λέξων τὰ τῶν ἐπιδέσμων καὶ τῶν ἐπινεμήσεων ὀνόματά τινα δηλοῖ.

Οὕτως λοιπὸν δ' ἂν εἴη καὶ περὶ τῶν ποικίλων εἰπεῖν πρότερον ἐμφανίσαντα ὡς τῶν ἐπινεμήσεων ἡ μέν τις λέγεται εὐθεῖα, ἡ δὲ πλαγία, ἡ δὲ λοξὴ, ὡς τὰ ὀνόματα σημαίνει· ἄλλη δὲ στεφαναία, ἡ δὲ μετωπιαία, ἡ δὲ παρειάς, ἡ δὲ γενειάς, ἡ δὲ εὔκυκλος, ἡ δὲ κυκλικὴ ἐπίδεσις· ἄλλη δὲ σκέπαρνος. Στεφαναία μὲν οὖν ἐστιν ἡ κατὰ τοῦ βρέγμα-

CAPUT XII.

Galenus de deligationibus multiplicibus ſive variis dicturus faſciarum ac diſtributionum nomina quædam explicat. F

Reliquum autem fuerit de variis quoque ſive multiplicibus faſciis differere, ſi prius diſtributionum aliam rectam, aliam tranſverſam & aliam obliquam nominari declaraverimus, quales ipſa nomina ſignificat; alia coronaria, alia frontalis, alia maxillaris, alia mentina, alia rotunda, alia circularis deligatio, alia denique aſcia. Coronaria quidem eſt quæ coro-

qua altera genia primæ oppoſita eſt, ut decuſſis ad occiput fiat. Ab occipite obliqua à primis circuitibus diſtans; deinde pareiades, rurſumque obliqua, quo ſtruatur rhombus, in medio formantur. Poſtea frontales circuitus prope ipſa ad nudarum partium operimentum ac tutelam injiciuntur.

C πρὸς παρειὰς λοξὴ τῇ προτέρῃ ἀντικειμένη ὡς χίασμα γενέσθαι ἐπὶ ἰνίον, ἀπὸ ἰνίου λοξή, διεστῶσα τῆς προτέρης· εἶτα παρειάδες δύο καὶ πάλιν λοξή, ἵνα ἀποτελεσθῇ ῥόμβος ἐν μέσῳ πως σώζηται. εἶτα μετωπιαῖαι ἐπινομαὶ κατὰ τὴν αὐτὴν πρὸς τὴν τῶν γυμνῶν σκέπην.

CAPUT XIV.

Semirhombus, aut lepus ſine auribus.

SEmirhombus quibus & tholus idoneus eſt. Ita verò conficitur. Caput faſciæ ſub occiput injicitur. Deinde ſpira ſubter auris fibram; mox ad ſinciput obliqua, & ad occiput ducitur. Ab occipite obliqua ad ſinciput primæ oppoſita, mox in oris fibram, tum ad occiput, indeque frontalis conficitur, quò medium ſemirhombus ſit. Extremum verò tum in hac, tum in cæteris deligationibus ad capitis latera fibulis contineri debet. Licet autem à prima diſtributiones non infernè ſurſum, ſed contrario modo efficere.

ΚΕΦΑΛΑΙΟΝ ιδ΄.

D Ημιῤῥόμβος, ἢ χωρὶς ὤτων λαγωός.

ΑΡμόζει μὲν καὶ ἐφ᾽ ὧν ὁ θόλος· συντελεῖται δὲ οὕτως. ἡ τοῦ τελαμῶνος ἀρχὴ τίθεται ὑπὸ ἰνίον· εἶτα ἄγεται ἡ ἀνειλία ὑπὸ λοβὸν ὠτός· εἶτ᾽ ἐπὶ βρέγμα λοξή, καὶ ἐπὶ ἰνίον· ἀπὸ ἰνίου λοξὴ ἐπὶ βρέγμα ἀντικειμένη τῇ προτέρῃ· εἶτ᾽ ὑπὸ λοβὸν ὠτός· εἶτ᾽ ἐπ᾽ ἰνίον κἀκεῖθεν τε μετωπιαία συντελεῖται. ὥστε τὸ μέσον ἡμιῤῥομβοειδὲς γίνεσθαι· τὸ δὲ πέρας καὶ ἐν ταύτῃ καὶ ἐν ἁπάσαις ταῖς ἐπιδέσεσι κατὰ τὰ πλάγια τῆς κεφαλῆς ἀγκτῆρσι συνέχεσθαι ὀφείλει. ἔνεστι δὲ ἀπὸ τῆς προτέρης τὰς ἐπινεμήσεις μὴ κάτωθεν ἄνω ἀλλὰ τοὐναντίον ποιεῖσθαι δι᾽ ὧν
E ἁρμόζει.

CAPUT XV.

Deligatio calvariæ; aut capitale vinculum; aut camera Dioclis, vel Glaucii.

QUadrat quidem quibus verticem & ſinciput ſimul devincire volumus: Sic autem conſtruitur. Impoſitâ ſuper occiput faſciâ ſpiram rectâ per verticem ad frontem ducimus; illique ſiniſtræ manus noſtro indice digito ſiſtimus, rurſum ad occiput ſpiram primæ paralellam reducimus, & ab occipite tertiam ad frontem paralellam deducimus, quo tempore faſciam obvolutam quæ à digito retinetur frontalem conficimus.

ΚΕΦΑΛΑΙΟΝ ιε΄.

Σπιγκρανὶς, ἢ σκάφιον, ἢ θόλος Διοκλέους, ἢ Γλαυκίου.

ΑΡμόζει μὲν ἐφ᾽ ὧν κορυφὴν καὶ βρέγμα συνεπιδῆσαι θέλομεν· συντελεῖται δὲ οὕτω. τάξαντες κατ᾽ ἰνίον, ἄγομεν τὸ ἀνείλημα εὐθυτενὲς κατὰ κορυφῆς ἐπὶ τὸ μέτωπον·
F ἐνταῦθα τε περιστάντες τῷ λιχανῷ τῆς ἀριστερᾶς χειρὸς ἡμῶν δακτύλῳ. ἀπάγομεν πάλιν ἐπὶ ἰνίον τῇ προτέρᾳ παράλληλον, ἀπὸ ἰνίου τε τρίτην ἐπὶ μέτωπον ἄγομεν παράλληλον. ὅτε καὶ περιειλήσαντες τὴν τάσιν τὴν ὑπὸ δακτύλου διακρατουμένην, μετωπιαίαν συντελοῦμεν.

…γενοῦ πλάτους τὴν ἀρχὴν, καὶ τάξαι δὲ ὑπὸ τοὺς ἐπιτεμόντας τοῖς κατ' ἰνίον, ἐκεῖθέν τε λοξὴν ἄγειν κορυφὴν ἐπὶ βρέγμα· μέτωπον ὑπειλήσεται τοῖς κατὰ μέτωπον τῆς πρώτης ταινίας ἀγκύλην, εἶτα ἄγειν λοξὴν ἐπὶ βρέγμα, κορυφὴν, ἰνίον· ἀπὸ ἰνίου ἐπὶ λοβὸν ὠτὸς δεξιοῦ καὶ ἐπὶ βρέγμα, καὶ ἐπὶ τὸν ἀριστερὸν τοῦ ὠτὸς λοβὸν, καὶ ἐπὶ ἰνίον. ταύτῃ τῇ ἐπιδέσει εἰς ἀσφάλειαν μετωπιαίαν ἡμεῖς προσαποδίδομεν.

B fornam. Supra conſtructam cameram anguſtæ faſciæ caput ſub occipitis circuitibus collocandum eſt, indeque obliquum per verticem ad ſinciput ducendum. Frons circuitibus primæ faſciæ fibulâ ad frontem poſitis involvetur, deinde obliqua ſpira ad ſinciput, verticem & occiput ferenda. Ab occipite ad auris dextræ fibram, & ſinciput, & ad ſiniſtram auris fibram, & occiput deducenda. Nos autem huic deligationi frontalem *faſciam* ad ſecuritatem adjicimus.

ΚΕΦΑΛΑΙΟΝ ιζ΄.

